MENOLOGII

ANONYMI BYZANTINI

SAECULI X

QUAE SUPERSUNT.

FASCICULUS ALTER,

MENSES IUNIUM, IULIUM, AUGUSTUM

CONTINENS.

Sumptibus Caesareae Academiae scientiarum

e codice Hierosolymitano S. Sepulcri 17

edidit

Basilius Latyšev,

Academiae socius.

ACCEDIT TABULA PHOTOTYPICA.

PETROPOLI.

MCMXII.

Напечатано по распоряженію Императорской Академіи Наукъ.
Декабрь 1912 г.
Непремѣнный Секретарь, Академикъ *С. Ольденбургъ.*

Типографія Императорской Академіи Наукъ. (Вас. Остр., 9 лин., № 12).

Praefatio.

Cum de causis, quibus adductus sim, ut duas partes Menologii anonymi Byzantini saeculi X, quod Imperiale posse nominari Alb. Ehrhardo[1]) libenter adsentior, edendas in me suscipiam, et de editionis ipsius rationibus satis dixerim in praefatione fasciculi prioris, quem anno proxime praeterito in lucem emisi, hoc loco de rebus, quae ad alterum hunc fasciculum pertinent, lectores paucis praemonere velim.

Inter codices, qui partem Menologii Imperialis ad menses Iunium Iuliumque et Augustum pertinentem vel integram praebent, vel mutilam, primum obtinet locum Hierosolymitanus S. Sepulcri № 17, quem A. Papadopulus-Kerameus, nuperrime morte praematura litteris amicisque abreptus, ita descripsit in *Ἱεροσολυμιτικῇ Βιβλιοθήκῃ*, v. I *(ἐν Πετρουπ. 1891)* pp. 69—71: «*Τεῦχος μεμβράνινον (ὕψ. 0,305, πλ. 0,25) ἐκ τετραδίων λα' ἤ φύλλων 242, οὗ τὸ κείμενον δίστηλον καὶ ἐκ γραμμῶν 30 ἤτοι 0,215×0,17. Ἐγράφη πιθανῶς ἐν ἀρχαῖς τῆς ΙΒ' ἑκατονταετηρίδος... Ὁ κῶδιξ ἦν πρότερον κτῆμα τῆς λαύρας τοῦ ὁσίου Σάββα*[2]). *Τὸ ὄνομα τοῦ καλλιγράφου κρύπτεται ἐν φ. 242β, ἔνθα ὑπάρχει μακρὰ μονοκονδυλία δυσξύμβλητος... Ἐν τέλει τοῦ κώδικος ἰαμβεῖον, ἐξ οὗ δηλοῦται ὅτι τὸ τεῦχος ἐγράφη καὶ ἐδόθη πρὸς μελέτην γυναικί τινι*»[3]).

Continet codex ff. 1—226 vitas sanctorum vel passiones et orationes numero 93, ad tres menses, iam superius memoratos, pertinentes, et ff. 226—242 vitam S. Ioannis Damasceni ab Ioanne patriarcha

---

1) V. *Byzantinische Zeitschrift*, v. XX (1911), p. 259, et v. XXI, p. 239.

2) Hoc patet e notis quattuor, diversis manibus ff. 2, 39, 145v, 224 adscriptis, quas Papadopulus in descriptione sua non commemoravit. Nota f. 39 inscripta ita legitur: + *τῆσ λαύρ(ας) τȣ ἁγίȣ саββα τῆσ παλαιςι(ν)ησ τῶν ἱεροσολύμον*. Nota f. 145 huic simillima est, reliquae duae addunt diras in eum, qui conetur librum e monasterio auferre.

3) Carmen ipsum Papadopulus adfert p. 69.

r*

Hierosolymitano conscriptam[1]. Omnes textus enumeravit Papadopulus in descriptione sua (pp. 69—71), uno tamen per errorem omisso, scilicet passione S. Lucilliani et sociorum (die 3 m. Iunii). Nos textuum laterculum huic praefationi adiungimus. In praefatione fasciculi prioris (p. II) iam monuimus a. 1909 Papadopulum huius codicis (quem *H* littera signabimus) foliorum 1—226 apographum summa benignitate nobis praestitisse, partim a Cleopa Coecylide archidiacono, partim ab aliis confectum. Quod cum accuratius examinare coepissem, ut typis mandarem, statim vidi permultis locis dubitari licere, num omnes codicis scripturae ab exscribentibus qua par erat diligentia essent exceptae, meaque vel maxime interesse, ut imagines codicis photographica arte confectas acciperem. Casu felicissimo obvenit ut a. 1910 e Palaestina Paulus I. f. Riaschski nostras Petropolim advocaretur, qui nunc res Societatis Imperialis Orthodoxae Palaestinensis Hierosolymis gerit. Qui a me rogatus, ut codicem arte photographica exprimendum curaret, libentissime operam suam pollicitus anno proxime insequenti imagines foliorum 1—226 a Michaïlovio artifice confectas mihi misit praeter unam casu omissam, qua f. 213ᵛ et f. 214ʳ erant exprimenda (cf. p. 324). Classis historica et philologica Academiae scientiarum Petropolitanae benignissime me adiuvit, cum pretium pro imaginibus ex aerario suo persolvisset. Ad fidem harum imaginum, quibus comparatis Riaschskius de hoc libro optime est meritus, totum apographum correxi, cum typis iam excuderetur.

Cum imagines examinarem, vidi totum codicem (vel, ut accuratius dicam, ff. 1—226) una eademque manu diligenter esse conscriptum satisque bene hucusque conservatum. Scripturae exemplum fert prae se folium 1, in tabula libro nostro adiecta arte phototypica dimidiato fere verae magnitudinis modulo depictum. Scribae errores ad litteras accentusque et spiritus pertinentes in apparatu critico adnotavi, exceptis minutiis quibusdam, veluti locis, quibus spiritus asper pro leni positus est, quod haud raro occurrit. Iota mutum saepe adscribitur (infra ad dextram), accentus duplex interdum particulis *μὲν* et *δὲ* superscribitur, cum articulum substantive positum proxime subsequantur (ὁ *μὲ̏ν*, ὁ *δὲ̏*), praeterea vocibus *ἐπεὶ̏*, *ναὶ̏* et sim. Scripturae compendia notissimis modis designata cum in fine versuum obveniunt, tum in mediis versibus, sed in vocibus usitatissimis, veluti *ἄν(θρωπ)ος*, *θ(εό)ς*, *θ(εοτό)κος*, *κ(ύριο)ς*, *οὐ(ρα)νός*, *π(ατ)ήρ*, *πν(εῦμ)α* et sim. Paragraphorum initia, ut persaepe in libris manuscriptis videmus, litteris

1) Hanc vitam post alios edidit **Migne** Patr. Gr. v. 94, col. 429 sqq.

maioribus designantur, quae semper versuum initio ponuntur, nunquam in mediis versibus.

In eadem bibliotheca Hierosolymitana alterum exstat eiusdem menologii exemplum, quod Papadopulus-Kerameus descripsit inter codices S. Crucis *Ἱεροσολυμ. Βιβλιοθ.* v. III, pp. 39—45, № 16. Est codex chartaceus, initio hodie mutilus, a duobus calligraphis ex codice № 17 (*H*) a nobis supra laudato descriptus, ut Papadopulo quidem videtur, saeculo XVI. Incipit, ut nunc est, a verbis «*παράπαν εἰκόνα*» cap. 3 vitae S. Pauli (d. 8 Iulii, v. infra p. 24 v. 34) et continet omnes reliquos textus, qui exstant in *H*, excepta fortasse vita S. Cyrilli Alexandrini, cuius memoria d. 28 Iunii celebratur[1]). Quamvis Papadopulus hunc codicem ex *H* esse exscriptum diserte affirmaverit, patet tamen e vita S. Golinduch-Mariae (v. infra pp. 167—171), quam ipse utroque usus codice edidit, recentiorem hunc codicem permultis locis ab *H* differre. Sed cum codex № 16 saeculo XVI, Papadopulo teste, non sit antiquior lectionesque praebeat, ut e vita S. Golinduch colligere licet, plerumque deteriores cumque apographum eius aut imagines photographicas accipere conanti mihi non contigerit, visum est neglecto hoc codice editionem nostram posse adornari.

Aegerrime fero, quod tertio codice easdem vitas continenti uti mihi non licuit, scilicet Athoo mon. *Διονυσίου* № 83, quoniam neminem habui, quem rogare possem, ut apographum vel imagines photographicas mihi praeberet. Accuratam huius codicis notitiam Ehrhardo debemus, qui in censura prioris fasciculi Menologii Imperialis haec scribit[2]): «Dieses Menologium habe ich inzwischen etwas näher kennen gelernt durch die Untersuchung des Codex Athous Dionys. 83, Pergam., 12. Jahrh., 242 Folien, der mit dem Cod. Hieros. s. Sepulcri 17 vollständig ubereinstimmt (nur die Feste des 19. und 20. Juni sind in der Athoshs umgestellt und es fehlt hier die Vita Johannis Damasc. am Schlusse des Hs von Jerusalem, die aber nicht mehr zum Menologium gehört). Alle Texte der Athoshs haben dieselbe Anspielung auf den Kaiser, der die Textschlüsse des Cod. Mosq. charakterisiert,

1) Hanc vitam non commemoravit Papadopulus in laterculo textuum, qui codice № 16 continentur, sed nescio an memoriae lapsu, similiter atque vitam S. Luciliani in laterculo codicis *H* omisit. In eodem laterculo codicis № 16 errore manifesto pro S. Pancratio (d. 9 Iulii) nominatus est S. Procopius et pro S. Hadriano (d. 26 Augusti) S. Andreas.

2) *Byzant. Zeitschr.* XXI, p. 240. Cf. Spyr. P. Lampros, Catalogue of the Greek manuscripts on mount Athos, v. I (Cambr. 1895), p. 327. Lampros citat notam in fine codicis scriptam, ex qua patet codicem anno 1137 ab Arsenio monacho, cognomento Spastrico, esse exaratum.

bis auf die zwei Texte auf die hl. Marina (17. Juli) und des hl. Aemilianos (18. Juli)».

Papadopulus-Kerameus cum editionem vitae S. Golinduch pararet, quam supra commemoravimus, praeter codices Hierosolymitanos 17 et 16 usus est codice eiusdem monasterii *Διονυσίου* № 166, de quo tamen nihil praeter numerum illius nobiscum communicavit. E Lampri catalogo[1]) cognoscimus codicem chartaceum esse, a. 1616 a Cyro quodam monacho scriptum. Ex indice textuum, qui in codice exstant, a Lampro dato, apparet contineri eo duas orationes in honorem S. Deiparae, nempe longam illam orationem Symeonis Metaphrastae, quam nos in appendice huius fasciculi edimus (v. infra), et orationem de depositione sanctissimae vestis Blachernis, et 36 vitas passionesque et laudationes sanctarum mulierum, quarum memoriae diversis mensibus celebrantur. Ex eis sanctis mulieribus, quarum vitae vel passiones in Menologio Imperiali exstant, in laterculo codicis 166 videmus Photinam Samaritanam, Febroniam, Aquilinam, Agrippinam, Golinduch, Marinam, Mariam Magdalenam, Myropam, Christinam, Bassam, denique Anthusam. Sed utrum harum omnium vitae e Menologio Imperiali depromptae sint, necne, e Lampri catalogo non liquet, quoniam textuum initia non adfert exceptis quattuor. Non differre eas a vitis Menologio nostro inclusis cum e vita S. Golinduch conligere licet, tum ex oratione de depositione vestis Deiparae Blachernis, cuius initium a Lampro citatum cum initio orationis Menologio insertae plane congruit. Sed cum cod. Dion. 166 admodum sit recens, vix probabile est eum codice *H* lectionum varietate praestare.

Nonnullae vitae ex eis, quas *H* continet, in aliis quoque libris manu scriptis inveniuntur. Quindecim vitas sanctorum, qui mense Augusto celebrantur, a die 13 usque ad 30, exceptis 15, 25, 29, praebet codex Ambrosianus № 834 (B 1 inf., olim № 162), anno 1240 a Laurentio Rutiensi monacho exaratus[2]). Vitae illi codici insertae hae sunt: Maximi Confessoris (d. 13 Aug.), Marcelli episcopi Apameae (14),

1) Vol. I, p. 351.

2) Codicis descriptionem cum indice omnium textuum praebet «Catalogus codicum Graecorum bibliothecae Ambrosianae». Digesserunt Aemidius Martini et Dom. Bassi, t. II (Mediol. 1906), pp. 929—931. Cf. quae de illo dixit Ehrhard, *Römische Quartalschrift*, v. XI (1897), pp. 128 sqq. et *Byz. Zeitschr.* XXI, p. 241. Codicis annus et scribae nomen indicati sunt in carmine, quod ita legitur f. 121ᵛ:

Εἰλήφει χρηστὸν ἥδε πυκτὶς τὸ τέρμα,
πρὸς Λαυρεντίου χειρὸς τληπαθεστάτου
μεταγραφεῖσα ἐκ τῶν τοῦ Καλυβήτου

Diomedis (16), Stratonis, Philippi et Eutychiani (17), Flori et Lauri (18), Andreae Stratelatis (19), Bassae et filiorum eius (20), Myronis Cyziceni (21), Agathonici (22), Irenaei, Ori et Oropsaei (23), Anthusae (24), Hadriani et Nataliae (26), Poemenis (27), Moysis Aethiopis (28), Callinici (30).

Quibus ex vitis et passionibus octo ex hoc ipso codice editae sunt n Actis Sanctorum Bollandianis (v. infra). Editores carmine illo nixi, quod Laurentii monachi nomen refert quodque nos in adnotatione repetimus, sibi persuaserunt omnes illas vitas ab hoc Laurentio concinnatas esse, sed Alb. Ehrhard rectissime monuit[1]) Laurentium non auctorem fuisse vitarum, sed scribam, ideoque e numero hagiographorum Byzantinorum iure esse tollendum.

Rogatu classis historicae et philologicae Academiae nostrae praefectus bibliothecae Ambrosianae Achilles Ratti v. cl. omnium huius codicis foliorum, quae vitas quindecim continent modo enumeratas, imagines photographicas arte recentissime inventa (*blanc sur noir*) confectas nobis miserat, quarum ope codicis varias lectiones (in apparatu critico littera *A* signatas) qua par erat diligentia excerpsimus. Unde lectoribus planissime apparebit hunc codicem ab *H* saepius differre, sed meliores lectiones nonnisi raro praebere, praeterea epilogos habere in breviorem formam redactos precibus pro rege eiectis, denique in vitis Ss. Poemenis et Moysis Aethiopis additamentis longioribus esse interpolatum.

Aliquot sanctorum vitas ab *H* non diversas habet etiam codex Vaticanus 1991[2]). Is collectaneus est, quattuor partibus constans, quarum prima scripta est saeculo XI, altera et tertia saeculo XIII, quando vero quarta sit scripta, nullam in catalogo mentionem invenimus. Tertia parte (ff. 125—148^{v}) septem vitae sanctorum continentur, quorum memoriae primis diebus m. Iunii celebrantur. Sex vitas ab eis, quae in *H* exstant, non differre patet ex initiis in catalogo excerptis, quarum conspectum hic damus: 1) passio S. Iustini et sociorum

βίβλων τῆς μονῆς τῆς ἐν τῷ Ῥουσιάνῳ.
ἔτυχε δ' ἔτος ἓξ τῶν χιλιοντάδων
ἑπτακοσίων σαρακοστοῦ ὀγδόου,
ἰνδικτιόνης δεκάτης τρίτης οὔσης.

1) *Röm. Quartalschr.* XI, p. 180. Cf. quae idem dixit in Krumbacheri Hist. litter. Byzant.[2] p. 205. Carmen ipsum, quod ante oculos habemus, probat Laurentium non *συγγράψαι* librum, sed *μεταγράψαι*.

2) Codicis descriptionem v. in Catalogo codicum hagiograph. Graecorum bibl. Vaticanae, edidd. Hagiographi Bollandiani et Pius Franchi de' Cavalieri (Bruxellis 1899), pp. 177—179.

(d. 1 Iunii), 2) vita S. Nicephori archiepiscopi Constantinopolitani (d. 2), 3) passio S. Dorothei episcopi Tyri (d. 6), 4) passio S. Theodoti (d. 7), 5) passio S. Pauli *ἐν τοῖς Καϊουμᾶ* (d. 8), 6) itinera et passiones Ss. apostolorum Bartholomaei et Barnabae (d. 11). De septima vita (S. Lucilliani) statim dicemus.

Passiones Ss. Iustini et Theodoti decem fere abhinc annis edidit Pius Franchi de' Cavalieri (v. infra), illam quidem ex solo hoc codice Vaticano, hanc e Vaticano et ex *H*. Ex his editionibus adparet textus vitarum peius in Vaticano conservatos esse, quam in *H*, melioresque lectiones praebere fere nullas. Recentiorem esse Vaticanum 1991, quam *H*, vel inde colligitur, quod epilogos habet ille breviores, precibus pro rege omissis (ut cod. *A*). Itaque reliquas quattuor vitas e Vatic. 1991 conferre ad editionem meam varietate lectionum onerandam vix esse operae pretium statui. Contigit tamen, ut praeter opinionem quattuor vitarum partes ex hoc codice in imaginibus photographicis inspicerem. Dum enim materiam colligo commentationis illius, quam in praefatione fasciculi prioris (p. II) a me parari monui, e catalogo codicum bibliothecae Vaticanae cognovi in codicibus 679, 1667, 1991 vitam S. Lucilliani ineditam[1]) latere, quam ante oculos habuisse scriptorem Menologii Imperialis, cum breviorem vitam scriberet, consentaneum esse mihi visum est. Itaque classe historica et philologica Academiae scientiarum intercedente huius vitae imagines photographicas e tribus codicibus modo indicatis accepi. Quibus examinatis patuit primum S. Lucilliani vitam codici 1991 insertam ab ea, quae legitur in codd. 679 et 1667, differre (quamvis in Catalogo codd. hagiograph. bibl. Vatic. p. 178 sub n. 11 legamus «*Μαρτύριον τοῦ ἁγίου μάρτυρος Λουκιλλιανοῦ, Παύλης καὶ τῶν σὺν αὐτοῖς* = Vatic. 1667[2]») et e Menologio Imperiali procul dubio esse derivatam, deinde inter folia 132 et 133 codicis 1991 aliquot folia (quattuor, ut videtur) periisse, quod Catalogi editores non animadvertissent. Nam folium 132v desinit in verba «*ἀπειλεῖς τὸ σβεννύμενον*» passionis S. Lucilliani (v. in nostra hac editione p. 9 v. 8), folium vero 133r incipit a verbis «*οὔτε μὴν τὰς ἀπειλὰς*» passionis Ss. martyrum Aegyptiorum decem, quae in nostra editione leguntur p. 16 v. 25[2]).

1) Dum alter hic Menologii fasciculus typis excuditur, vitam S. Lucilliani e codd. Vatic. 679 et 1667 H. D[elehaye] edidit *Anal. Bolland.* v. 31 (1912), pp. 187—192.

2) Duos hos editorum Catalogi bibl. Vaticanae errores Ehrhardus quoque animadvertit, qui *Byz. Zeitschr.* v. XXI p. 241 haec scripsit: «Hier [scil. in Catalogo] wird der Text z. 3. Juni fälschlich als identisch mit dem Texte in dem Vatic. Gr. 1667 bezeichnet und sind zwei fragmentarische Texte nicht identifiziert».

Praeterea cum singulis foliolis imaginum photographicarum binae codicis paginae essent expressae, in quinque foliis rogatu nostro acceptis (129ᵛ—134ʳ) aliarum duarum vitarum partes invenimus, scilicet finem vitae S. Nicephori, quae vitae S. Lucilliani proxime praecedit (inde a verbis «*καὶ ὁδηγῶν ἀναπαύσεως*», nostrae editionis p. 5 v. 35), et initium vitae S. Dorothei, quae passionem martyrum Aegyptiorum proxime subsequitur (usque ad verba «*μνημόσυνον βέλτιστον τῷ*», nobis p. 18 v. 12). E decem paginis a nobis acceptis quattuor in imaginibus pessime leguntur (129ᵛ, 130ᵛ, 131ʳ, 131ᵛ), reliquae clarissime. Varietatem lectionis ex eis excerptam in addendis et corrigendis huius fasciculi accurate adnotavimus. Ad summam codicem Vat. 1991 codice *H* deteriorem esse hae quoque paginae confirmarunt.

Hactenus de codicibus. Plerosque autem textus Menologii Imperialis adhuc ineditos mansisse sane miraremur, nisi sciremus, quanta farrago scriptorum hagiographicorum in bibliothecarum scriniis hucusque lateat. E 93 vitis et orationibus, quas in hoc fasciculo publici facimus iuris, duodecim solum, quantum scimus, ante nos lucem viderunt, quarum laterculus hic est:

1. Passio S. Iustini et sociorum (d. 1 Iunii). E codice Vatic. 1991 edidit Pius Franchi de' Cavalieri, Studi e testi, v. 9 (1902), pp. 73—75.

2. Passio S. Theodoti (7 Iun.). E codd. *H* et Vatic. 1991 edidit Pius Franchi de' Cavalieri, Studi e testi, v. 6 (1901), pp. 85—87.

3. Passio S. Pauli *ἐν τοῖς Καϊουμᾶ* (8 Iun.). E codice *H* edidit *'Α. Παπαδόπουλος-Κεραμεύς, 'Ανάλεκτα 'Ιεροσολυμ. σταχυολογίας, τ. δ'* (1897), pp. 247—251.

4. Passio S. Golinduch (13 Iul.). E tribus codicibus, quos indicamus p. 167, edidit *Παπαδόπουλος-Κεραμεύς* l. cit. pp. 351—356 (corrigendis additis *'Αναλ.* v. V, p. 408).

Quae sequuntur vitae et passiones octo editae sunt in Actis Sanctorum Augusti e codice Ambrosiano (*A*), de quo v. supra[1]).

5. Passio S. Diomedis (16 Aug.). T. III, pp. 268—270 (ed. 3).

6. Passio Ss. Flori et Lauri (18 Aug.). T. III, pp. 520—522.

7. Passio S. Bassae et eius filiorum (20 Aug.). T. IV, pp. 419—421.

8. Passio S. Myronis Cyziceni (21 Aug.). T. III, pp. 420—422.

9. Vita S. Anthusae (24 Aug.). T. IV, pp. 502—504.

---

1) In tertia editione Actorum Ss., qua usi sumus, omnes textus typothetarum erroribus permultis iisque gravissimis foedati sunt. Diceres plagulas nullius viri Graeci sermonis periti manum corrigentem esse expertas.

10. Vita S. Poemenis (27 Aug.). T. VI, pp. 30—32.
11. Vita S. Moysis Aethiopis (28 Aug.). T. VI, pp. 209—211.
12. Vita S. Callinici archiepiscopi Constantinopolitani (30 Aug.). T. IV, pp. 645—646.

Maxime gaudens hic cum lectoribus data occasione communico Alb. Ehrhardum virum clarissimum in censura prioris fasciculi mei[1]) scripsisse quindecim eiusdem auctoris vitas ad menses Aprilem et Maium pertinentes a W. Hengstenbergio in codice quodam Patmiaco s. XIV esse detectas. Quae utinam quam citissime e bibliothecae latebris in lucem proferantur.

Iam ad appendicem transeamus. Quae in utraque Menologii Imperialis parte exstant orationes in honorem Beatissimae Deiparae (diebus 2 Februarii, 25 Martii, 2 Iulii, 15 Augusti) et S. Ioannis Baptistae (diebus 24 Febr., 24 Iunii, 29 Aug.) scriptae ad verbum fere excerptae sunt e longis illis orationibus, quas in honorem S. Deiparae et S. Ioannis Symeo Metaphrasta fertur composuisse. Quarum cum latinae tantum versiones hucusque notae essent[2]), textus autem graecus ineditus lateret, statui utramque huic fasciculo esse adiungendam, quo facilius explorari posset, quomodo Menologii auctor fontibus suis esset usus[3]). Utramque Mosquae in bibliotheca Synodali m. Februario huius anni e codice 382 Vlad. exscripsi et cum binis aliis codicibus contuli, alteram cum 383 et 390 Vlad., alteram cum 383 et 378 Vlad.[4]) De quibus pauca hic videntur praemonenda.

Codex Mosq. bibl. Synod. 9/IX (382 Vlad.), quem nos in adnotationibus littera M^1 signamus, membranaceus est, fol. 233, a. 1063 binis columnis scriptus, olim Athous mon. Stauronicetae. A scriba ipso f. 233ᵛ dicitur esse *ἡ ὑστάτη δέλτος τῶν δέκα βίβλων τῶν μεταφράσεων τοῦ λογοθέτου*. De codice ipso et de scriptis, quae in eo

1) *Byzant. Zeitschr.* XXI, p. 242, n. 1.

2) Orationem de S. Maria Deipara post alios edidit Migne, Patr. Gr. v. 115, coll. 529—566, adiectis excerptis quibusdam Graecis e Nicetae diaconi Catena ad Lucae Evangelium, quam A. Mai ediderat a. 1837 in Scriptt. vet. novae coll. v. IX (v. infra pp. 346 et 347). — Oratio de S. Ioanne latine exstat apud Lipomanum et Surium (cf. Bibl. hagiogr. Gr.² p. 118, nº 3; Th. Innitzer, Iohannes der Täufer, Wien 1908, p. 429).

3) Alios textus nonnullos ineditos, quos auctor Menologii secutus est, alio loco edere mihi propono, ne huius fasciculi editio diutius differatur.

4) Novi quidem utramque orationem aliis quoque libris manuscriptis inesse, sed praestare puto, ut ex ternis tantum codicibus utraque edatur in lucem, quam ut diutius lateat.

exstant, egit olim B. G. f. Vassilievski commentatione doctrinae et acuminis plena, cuius titulus est «Синодальный кодексъ Метафраста»[1]). Scriptorum laterculum, quae codice continentur, v. in Vladimiri archimandritae Catalogo, pp. 575—577[2]). Praeter hos viros doctissimos accuratissime codicem descripsit Gr. Ph. f. Cereteli in praefatione vitae S. Arsenii Magni, ex hoc codice et aliis duobus ab ipso editae[3]). Codex, qui inter pretiosissima *κειμήλια* bibliothecae Synodalis Mosquensis numerandus est, picturis optimis est insignis, de quibus dixit nonnulla N. Kondakov, Histoire de l' art Byzantin, v. II (Par. 1891), p. 109. Scripturae codicis specimen (f. 210r) Gr. Cereteli et Serg. Sobolevski dederunt in collectione, cuius titulus est: Exempla Codicum Graecorum litteris minusculis scriptorum annorumque notis instructorum. Vol. prius: codices Mosquenses. Mosquae 1911, tab. XIX. In folio 159v, ubi incipit oratio de S. Deipara, ante titulum auro scriptum imagines tres coloribus et auro pictae sunt, quarum primae inscriptum est «*ἡ γέννησισ τῆσ θεοτόκου*», alteri «*ἡ χριστουγέννησισ*» (et in angulo dextro superiore ipsius imaginis «*οἱ ποιμέ|νεσ*»), tertiae «*οἱ φέροντεσ τὴν τιμί(αν) ἐσθῆτα ἐν τῷ ναῷ τῶν βλαχερνῶν*». In folio 210, ubi incipit oratio de S. Ioanne Baptista, duas videmus imagines[4]), quarum prima nativitatem eius repraesentat, altera duabus constat partibus, quarum sinistrâ decollatio repraesentata est, dextrâ capitis inventio. Capitulorum utriusque orationis litterae initiales auro et variis coloribus scite admodum pictae sunt, litterae autem, a quibus paragraphi incipiunt, auro solo minore modulo sunt scriptae. Oratio de S. Deipara continetur foliis 159v—192r, oratio de S. Ioanne foliis 210—233.

Codex 160/CLXI (383 Vlad.) membranaceus, s. XI, f. 214 binis columnis a duobus scribis exaratus, olim Athous *Διονυσίου*, Mosquam ab Arsenio Suchanov asportatus, continet eadem 12 scripta, quae in cod. 382 leguntur, sed nullis hic quidem picturis ornata, et post ea (ff. 206—214) *Ὑπομνήματα εἰς ιβ' τοὺς προφήτας*. Codicis descriptionem dederunt Cereteli in praefatione vitae S. Arsenii (v. supra), pp. VI—VII, et Vladimirus archim. p. 577. Nos hunc codicem littera *M*[2] signamus (cf. p. 346).

---

1) *Журналъ М. Н. Пр.* 1897, іюнь, et separatim edita Pctrop. 1899.

2) Систем. описаніе рукописей Моск. Синод. (патріаршей) библ. Москва. 1894.

3) Житіе иже во святыхъ отца нашего Арсенія Великаго. *Записки Ист.-фил. фак. Имп. С.-Петерб. Унив.*, часть L, вып. I, Спб. 1899.

4) Has imagines vide in tabula a Cereteli et Sobolevskio l. c. edita.

Codex 159/CLX (390 Vlad.), a nobis littera M^3 signatus, membranaceus, s. XII, f. 252, olim *τῶν Ἰβήρων*, Mosquam ab eodem Arsenio Suchanov advectus, inter alia scripta hagiographica exhibet (ff. 226—232) eam partem orationis de S. Deipara, quae ad vestis depositionem Blachernis pertinet, hoc titulo praecedente (rubrica scripto): *Λόγος διαλαμβάνων περὶ τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας θκού πῶς ἐφανερώθη καὶ ὅπως ὁ μέγας οὗτος πλοῦτος τεθησαύρισται.* Scriptorum indicem, quae in codice exstant, v. apud Vladimirum, pp. 586—588. Codicem ipsum breviter admodum descripsit Vassilievski in praefatione vitae S. Meletii Novi, quam ex hoc codice edidit, *Прав. Палест. Сборникъ*, fasc. 17 (Petrop. 1886), p. VI. Cf. quae nos diximus in commentatione de Theodori Daphnopatae vita et scriptis, *Прав. Палест. Сборникъ*, fasc. 59 (1910), p. LVIII.

Codex 173/CLXXIV (378 Vlad.) membranaceus, s. XI, f. 276 binis columnis scriptus, ex eodem monasterio Iberorum Mosquam ab Arsenio Suchanov ablatus, post alia scripta hagiographica ultimo loco (ff. 255v—270) orationem de S. Ioanne habet multis locis ab aliis duobus codicibus differentem, et maxime quidem in fine. Scripta, quae codice continentur, enumeravit Vladimirus pp. 568—569. De scripturae genere cf. quae Nikitin brevibus exposuit in commentario vitae Ss. martyrum Amorensium 42, p. 127 [1]). Nos codicem littera M^4 signavimus.

Quod superest, pio animo commemoro Georgium C. f. Schmid, qui die 1 m. Augusti huius anni Berolini septuaginta sex fere annos natus supremum obiit diem, huius quoque fasciculi singulorum foliorum usque ad 18-mum plagulas typis expressas diligentissime perlegisse. Nicolao N. f. Thomassov collegae, qui cum in apographis vitarum cum imaginibus photographicis conferendis multifariam me adiuvit, tum nominum indicem accuratissime ut solet confecit, toto animo gratias ago quam maximas.

B. Latyšev.

Scribebam Petropoli m. Decembri a. 1912.

---

1) В. Васильевскій и П. Никитинъ, Сказанія о 42 Аморійскихъ мученикахъ и церковная служба имъ. *Зап. Имп. Академіи Наукъ по ист.-фил. отд.*, т. VII, № 2 (Спб. 1905).

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Μηνὸς Ἰουνίου.

Μηνὸς Ἰουλίου.

Μηνὸς Αὐγούστου.

Appendix.

Μηνὶ Ἰουνίῳ πρώτῳ. f. 1

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΙΟΥΣΤΙΝΟΥ, ΧΑΡΙΤΩΝΟΣ, ΧΑΡΙΤΟΥΣ, ΕΥΕΛΠΙΣΤΟΥ, ΙΕΡΑΚΟΣ, ΠΑΙΟΝΟΣ ΚΑΙ ΒΑΛΕΡΙΑΝΟΥ.

1. Ἀντωνίνου τοῦ δυσσεβοῦς τῆς Ῥωμαϊκῆς ἀρχῆς τὰ σκῆπτρα διέποντος Ῥουστικὸς ὁ ἔχθιστος ἔπαρχος τῆς Ῥώμης ἐτύγχανε, δεινὸς ἀνὴρ καὶ λοιμὸς καὶ πάσης μεστὸς ἀσεβείας. τούτῳ γοῦν ἐπὶ βήματός ποτε προκαθίσαντι στῖφος ἁγίων προσάγονται δέσμιοι, ἑπτὰ τὸν ἀριθμόν· τοῦτο γὰρ περισπούδαστον ἦν τοῖς ὑπηρέταις τοῦ σατανᾶ τὸ συλλαμβάνεσθαι τούτους, πικραῖς τε βασάνοις δίδοσθαι καὶ οὕτω καθυπάγεσθαι τῷ διὰ ξίφους θανάτῳ. πλὴν οὐκ ἦν μία πατρὶς τοῖς ἁγίοις, ἄλλος γὰρ ἀλλαχόθεν ὥρμητο. συνῆψε δὲ τούτους ἡ τοῦ πνεύματος χάρις καὶ ἀδελφὰ φρονεῖν ἔπεισε καὶ μίαν ἔχειν κεφαλὴν τὸν Χριστόν. | *ὅμως προσαχθέντες, ὡς εἴρηται, τῷ* col. 2 *βήματι τοῦ δυσσεβοῦς ἄρχοντος καὶ τίνες καλοῖντο καὶ ὅθεν εἶεν καὶ τί τὸ σέβας αὐτοῖς παρ᾽ ἐκείνου διερωτώμενοι, ἐπεὶ χριστιανοὺς μὲν ἀνωμολόγησαν ἑαυτούς, ἐγνώρισαν δὲ καὶ τὰς κλήσεις αὐτῷ καὶ πόλιν μίαν αὐτῶν ἔλεγον εἶναι τὴν τοῦ Θεοῦ, τὴν ἄνω Ἱερουσαλὴμ τὴν ἐλευθέραν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός, καὶ «Τίνα γάρ σοι» εἶπον, «ὦ τύραννε, τὰ τῶν κάτω πόλεων ἡμῶν ὀνόματα τὴν ὠφέλειαν προξενήσει», θυμῷ ληφθεὶς ἐκεῖ-*

Hanc passionem e codice Vatic. 1991 edidit Pius Franchi de' Cavalieri (v. praef.). Huius editionis lectiones variantes hic exscribo (littera *C* signatas), sed scripturas codicis manifesto vitiosas enotare supersedeo.

6 *Ῥούστικος ὁ ἔκδικος C.* || 8 *βήματοσ ποτὲ H* (*cod. Hierosol.*), *τότε C.* || 10 *πικρᾶσ τὲ H.* || 14 *προσαχθέντες] προσελθόντες C.* || 17 *μὲν om. C.* || ibid. *αὐτῷ] αὐτῶν C.* || 20 *τίνα γάρ σοι κ(αὶ) εἶπον ὦ τύρανε H., καὶ* ante *εἶπον C.*

νος «Θῦσον, Ἰουστῖνε», λέγει, «τοῖς ἀθανάτοις θεοῖς, τὰς βασιλικὰς προστάξεις πληρῶν, πεῖσον δὲ καὶ τούτους δὴ τοὺς ἠπατημένους ὑπὸ σοῦ τοῦτο προθύμως ποιῆσαι, ἣν μὴ βούλῃ κακῶς σὺν αὐτοῖς τὴν ζωὴν ἀποθέσθαι».

2. «Τὰς προστάξεις, ἔπαρχε, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληροῦν ἀναγκαῖον» ἔφη ὁ ἅγιος «πρὸς ζωὴν ἀπαγούσας τοὺς ἀνθρώπους ἀνώλεθρον. τὰς γὰρ τοῦ σοῦ βασιλέως οὐδ' ἀκοῇ χρὴ f. 1v *παραδέχεσθαι, πρὸς ἀπώλειαν φερούσας καὶ ἀΐδιον || θάνατον». καὶ ὁ ἔπαρχος· «Ποῦ ἄρα καὶ τούςδε τοὺς λόγους ἐξεῦρες, κακότροπε;» καὶ ὁ ἅγιος· «Πολλῶν ἐν πείρᾳ γενόμενος ταύτην ἐξεῦρον ἀληθεστάτην οὖσαν καὶ μεγάλην τὴν πίστιν, ᾗ δὴ καὶ στοιχῶ καὶ ᾗ θανεῖν ἐθέλω διὰ Χριστόν. οὗτος γάρ ἐστι ποιητὴς οὐρανοῦ τε καὶ γῆς καὶ πάσης κτίσεως δημιουργός, ὃς καὶ τοὺς αἰῶνας ἐποίησε καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τῶν χρόνων ἐπ' ἐσχάτων κατῆλθε καὶ σάρκα ταύτην ἐκ τῆς πανάγνου προσείληφε καὶ θεοτόκου Μαρίας, καθὰ δὴ πάλαι τῶν προφητῶν ὁ χορὸς προεθέσπισε*». — «Καὶ ποῦ ἄρα τὴν συνέλευσιν ὑμεῖς» ὁ ἔπαρχος ἔφη «καὶ τὴν οἰκείαν θρησκείαν ἐπιτελεῖτε καὶ τὰ περὶ τούτων διδάσκεσθε;» καὶ ὁ ἅγιος· «Οὐκ ἐν ἑνὶ τόπῳ πάντες οἱ χριστιανοὶ ποιούμεθα τὴν συνέλευσιν, ὡς σὺ νομίζεις, ἔπαρχε. καὶ γὰρ ὁ Θεὸς ἡμῶν οὐ περιγράφεται τό-* col. 2 *πῳ· ἀόρατος γὰρ ὢν καὶ ἀθάνατος | τὸν οὐρανὸν πληροῖ καὶ τὴν γῆν καὶ πανταχοῦ παρ' ἡμῶν προσκυνεῖται δὴ καὶ δοξάζεται». — «Σὺ δὲ ποῦ συνέρχῃ μετὰ τῶν σῶν μαθητῶν τούτων»; ὁ ἄρχων εἶπεν. «Ἐνταῦθα» λέγει «κατὰ τὴν πόλιν» ὁ μάρτυς, «ὅπουπερ ἂν ἡμᾶς καὶ τύχῃ τὴν ἑσπέραν καταλαβεῖν. ἤδη γὰρ δεύτερον τοῦτο τὴν Ῥώμην εἰσῆλθον σὺν αὐτοῖς καὶ τὸν παρ' ἐμοὶ γινόμενον τὸν λόγον τοῦτον διδάσκω τῆς ἀληθείας».*

3. Ταῦτα τοῦ μάρτυρος εἰπόντος πρὸς τὸν Χαρίτωνα τὸ ὄμμα περιαγαγὼν ὁ ἔπαρχος «Ἀλλὰ καὶ σύ» φησι, «Χαρίτων, χριστιανός;» — «Ναί» φησιν ὁ ἅγιος, «καὶ Χριστοῦ δοῦλος». κἀκεῖνος πρὸς τὴν Χαριτὼ «Πῶς, ὦ γύναι», φησί, «τούτων ὑπὸ τῶν λόγων ἠπάτησαι; πάντως οὐ καλὰς δίδως τὰς ὑπολήψεις». — «Οὐκ ἠπάτημαι», φησὶν ἡ Χαριτὼ πρὸς τὸν ἄρχοντα, «Θεοῦ δὲ μᾶλλον δούλη γεγέ-

1—2 inter *ἰουστῖνε* et *δὲ* lacunam habet cod. Vat. || 3 *προθύμως om. C.* || 5 *τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν C.* || 7 *τοῦ σου C.* || 8 *καὶ ὁ] εἶπεν ὁ C.* || 9 *αὐτοὺς δὲ H.* || 10 *Πολλῶν H.* || 11 alterum *ᾗ om. C.* || 13 «dopo *τοὺς* una riga è perduta, tranne l'ultima sillaba *σε*; forse *ἀνθρώπους ἠγάπησε*» *C.* || 15 *παρείληφε C.* || 19 *πάντες] συνόντες C.* || 22 *παρ' ἡμῖν C.* || ibid. *δὴ om. C.* || 25 *ἡμᾶς τύχοι C.* || ibid. *δευτερον τούτο H.* || 28 *ταύτα Τοῦ H.* || ibid. *τὸ* ante *ὄμμα om. C.* || 30 *χριστιανὸς ⟨εἰ⟩ C.* || 31 *γύναι φησι H.* || 33 *δούλη om. C.*

νημαι καὶ χριστιανὴ καὶ καθαρὰν ἐμαυτὴν τηρῶ τῇ δυνάμει τούτου ||
καὶ ἄσπιλον τῶν τῆς σαρκὸς μολυσμῶν». εἶτα καὶ πρὸς τὸν Εὐέλ- f. 2
πιστον «Οἵας σὺ τύχης εἶ, πανάθλιε;» ὁ ἔπαρχος λέγει. καὶ ὃς «Δοῦ-
λος» ἔφη «γέγονα Καίσαρος, νυνὶ δὲ Χριστοῦ, τῇ τούτου χάριτι τῆς
ἐλευθερίας τυχών». καὶ πρὸς τὸν Ἱέρακα «Πάντως καὶ σέ, Ἱέραξ,
Ἰουστῖνος ἠπάτησεν;» ὁ ἔπαρχος ἔφη. καὶ ὅς· «Χριστιανὸς γεγένη-
μαι καὶ χριστιανός εἰμι καὶ χριστιανὸς ἔσομαι». ταῦτα καὶ Παίων
ἐρωτηθεὶς τὰ αὐτὰ τοῖς ἄλλοις ἀπελογήσατο. καὶ πρὸς Βαλεριανὸν
ὁ ἄρχων τὸν λόγον μεταγαγὼν ⟨εἶπε⟩ «Αὐτὸς δὲ τί λέγεις περὶ σαυ-
τοῦ»; εἶπε. — «Χριστιανὸς εἶναι λέγω καὶ τοῖς ἄλλοις ὁμόφρων», ὁ
μάρτυς ἀντέφησεν.

4. Ἐννεὸς τοίνυν ἐπὶ πολλὴν τὴν ὥραν πρὸς τὴν τῶν ἁγίων
ἔνστασιν ὁ ἄρχων γενόμενος πάλιν πρὸς λόγους συνῆλθε καὶ πρὸς
τὸν Ἰουστῖνον εἶπεν· «Ἄκουσον ὁ λεγόμενος λόγιος καὶ νομίζων
ἀληθεῖς λόγους | εἰδέναι. ἐὰν μαστιγωθεὶς ἀποκεφαλισθῇς, ὑπονοεῖς col. 2
ὄντως εἰς οὐρανοὺς ἀνελθεῖν, ὡς νομίζεις, καί τινας ἀμοιβὰς καλῶν
ἀπολαβεῖν, ὡς διδάσκεις;» καὶ ὁ ἅγιος· «Οὐχ ὑπονοῶ, ἀλλ' ἀκριβῶς
ἐπίσταμαι καὶ πεπληροφόρημαι». τότε κοινὸν ἀποτεινόμενος τὸν
λόγον ὁ ἄρχων «Ἐπεὶ ταῦτα οὕτω λέγετε», φησίν, «ἀνόσιοι, πρὸς
τὸ προκείμενον τὸν λόγον ἀγάγωμεν. θύσατε συνελθόντες ὁμοῦ τοῖς
θεοῖς, ἵνα μὴ κακῶς ἀπόλησθε. τίς γὰρ νοῦν ἔχων ἄνθρωπος κα-
ταλιπεῖν ἐθελήσειε τοῦτο δὴ τὸ γλυκύτατον φῶς καὶ τὸ θανεῖν
αὐτοῦ προτιμήσειε;» — «Καὶ τίς σύνεσιν ἔχων ἄνθρωπος» Ἰουστῖ-
νος ἀπελογήσατο «ἀπὸ εὐσεβείας εἰς ἀσέβειαν μεταπεσεῖν ἐθελήσειε
καὶ ἀπὸ φωτὸς εἰς σκότος καὶ ἀπὸ Θεοῦ ζῶντος εἰς δαίμονας ψυ-
χοφθόρους;» — «Εἰ μή γε θύσετε», ὁ ἄρχων εἶπεν, «ἄρχομαι τῶν
βα||σάνων». καὶ οἱ ἅγιοι· «Τοῦτο δι' εὐχῆς ἔχομεν, ἔπαρχε, τοῦτο f. 2v
ποθοῦμεν, τοῦτο ζητοῦμεν, τοῦτο παρρησίαν ἡμῖν μεγάλην χαρίσε-
ται ἐν τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ, ὅτε μέλλομεν ἀπολαβεῖν
ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ· ποίει τοίνυν ὃ θέλεις· χριστιανοὶ
γάρ ἐσμεν, ὡς πολλάκις εἴπομεν».

1 τηρῶ periit in cod. V. || 2 μολυσμάτων C. || ibid. εἶτα δὲ πρὸς Εὐέλπιστον C. || 6 ἠπάτησε καὶ Χριστιανὸν ἐποίησεν, ὁ ἔπαρχος ἔφη. καὶ ὅς, Καὶ Χριστιανὸς κτλ. C. || 8 ἀπελογήσατο libri, ἀπελογίσατο C. || 9 εἶπε in margine cod. H. scriptum alia manu delevi || 10 λέγω] κἀγὼ C. || 14 ἰουστίνον H., τὸν om. C. || 16 εἰς τοὺς οὐρανοὺς C. || ibid. καλῶν] καλῶς C. || 17 ὑπονοῶ, ⟨ὦ ἄρ⟩χον, εἶπεν, ἀλλ' κτλ. C. || 19 ὁ ἄρχων] ὁ ἔπαρχος C. || ibid. ἐπει" ταῦτα H. || 21 κακῶσ H. || 22 et 24 ἐθελήσοι^{ε} H., ἐθελήσοι C. || 23 προτιμήσοι^{ε} H., προτιμήσοι C. || 24 ἀπελογήσατο libri, ἀπελογίσατο C. || 25 τοῦ ζῶντος πρὸς C. || 28 χαρίσεται μεγάλην C. || 30 αὐτοῦ] ἡμῶν C. || ibid. Χριστϊανοὶ H. || 31 post εἴπομεν C. addit καὶ εἰδώλοις οὐ θύομεν

5. *Τότε κελεύει μάστιξιν αὐτοὺς ὁ κατάρατος ἄρχων αἰκίζεσθαι. καὶ δὴ ἐμαστίχθησαν ἄχρις οὗ σάρκες μὲν αὐτοῖς κατεξάνθησαν, αἷμα δὲ τὴν γῆν ἐκείνην ἐπόρφυρεν. ὡς οὖν οὐδαμῶς εἴκοντας ἑώρα τοὺς μάρτυρας, δίδωσι κατ' αὐτῶν τὴν ἀπόφασιν, «Τοὺς ἀθετήσαντας» εἰπὼν «τὰς βασιλικὰς προστάξεις καὶ τοῖς θεοῖς θῦσαι μὴ βουληθέντας ξίφει τὰς κεφαλὰς ἐκκοπῆναι προστάσσω».*

6. *Λαβόντες τοίνυν ὑμᾶς οἱ στρατιῶται, καλλίνικοι μάρτυρες,*
col. 2 *καὶ τὸν τόπον καταλαβόντες τῆς τελειώσεως, | τὰς ἁγίας ὑμῶν ἀποτέμνουσι κεφαλάς. πρώτην ὁ Ἰούνιος ἦγεν. ἄνδρες δέ τινες τὰ πάντιμα ὑμῶν σώματα φιλοπόνως ἀράμενοι φιλοτίμως κατέθεντο. καὶ νῦν οἰκοῦντες τοὺς οὐρανοὺς καὶ τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ νέμοιτε βασιλεῖ ἡμῶν τῷ προεκλελεγμένῳ παρὰ τῆς μεγάλης προνοίας, ὡς ἐσομένῳ φύλακι τῶν αὐτῆς ἐνταλμάτων, μεγάλα κατ' ἐναντίων τὰ διανοήματα καὶ τὰ τρόπαια ἰσχυρὰ καὶ ἀπρόσμαχα καὶ ὅλως ἀνίκητα, χαλινοῦντα δυναστείας ἀντιπάλων καὶ ἀποτρέποντα, ἀσθενεῖς αὐτῶν ποιοῦντα τὰς βουλὰς καὶ τὰς γνώμας, ἤρεμον τιθέμενα τὸ βασίλειον καὶ ἥσυχον, λύμης ἐκτὸς συντηροῦντα παρανόμων ἐθνῶν, πάσης ἀνώτερον ἐπιβουλῆς κακούργου καὶ βασιλείας ἐπάξιον οὐρανίου ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ*
f. 3 *κράτος || νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ β'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. *Ἡμέτερον ὁ Νικηφόρος καὶ τῆς ἡμετέρας πόλεως, τῆς Κωνσταντίνου φημί, ταύτης δὴ τῆς μεγάλης γέννημα, θρέμμα, παίδευμα καὶ τοῦτο τοῖς ἄλλοις, ὅπερ ἡ πόλις ἐν πόλεσι, πολὺς ἐν λόγῳ καὶ τὴν ἀρετὴν ἀπαράμιλλος. γεννήτορες μὲν γὰρ αὐτῷ καὶ τὸ γένος*

2 *καὶ δὴ] καὶ μακρῶς C.* || ibid. *κατεχάνθησαν C.* || 3 *εἴκοντες C.* || 5 *τοῖς om. C.* || Lectiones codicis *H:* 7 *λαβόν|Τεσ* || 9 *ἦγε* || 9—10 **inter** *πάντιμα* **et** *ὑμ(ῶν)* ***aliquot litterae erasae*** || 15 *ὅλοσ* || 20 *εισтουσ — ἀμίν: —* || 23 *κωνςαντίνουπό'* || 24 *Ἡμέτερον* || 27 *ἀπαράμιλοσ*

7 sqq. haec habet *C: Λαβόντες τοίνυν τούτους οἱ στρατιῶται καὶ τὸν τόπον καταλαβόντες τῆς τελειώσεως, τὰς ἁγίας αὐτῶν ἀποτέμνουσι κεφαλάς, πρώτην ἄγοντος τοῦ Ἰουνίου ἡμέραν. ἄνδρες δέ τινες τὰ πάντιμα σώματα φιλοπόνως ἀράμενοι τούτων, φιλοτίμως κατέθεντο ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα κτλ.*

ἐπιφανεῖς καὶ τὴν ἀρετὴν περίφημοι καὶ πλούτῳ κομῶντες πολλῷ· καὶ γὰρ ὑπογραφεὺς ἐγνωρίζετο ὁ πατὴρ τῶν βασιλικῶν ἐνταλμάτων, ὁ καλὸς Θεόδωρος (οὕτω γὰρ ὠνόμαστο φερωνύμως), ἡ δέ γε μήτηρ θαυμαστή τις τὸν βίον καὶ γυναιξὶν ὑπόδειγμα κάλλιστον. ἀλλ᾽ ὁ μὲν ἅτε προσκυνητὴς τῶν θείων εἰκόνων ἐξορίαις ὅτι πλείσταις καθυποβάλλεται καὶ θλίψεσιν | ἄλλαις καὶ οὕτω διὰ Χριστὸν *col. 2* ἐνδόξως καταλύει τὸν βίον, μάρτυς ἀπαράγραπτος καὶ ὢν καὶ λεγόμενος καὶ χωρὶς αἵματος στεφανίτης· ἡ δὲ τῇ κοινῇ λειτουργήσασα τοῦ γένους ἀποφάσει θεοφιλῶς αὐτὸν ὑπέξεισι καὶ καλῶς.

2. Ὁ τοίνυν θαυμαστὸς Νικηφόρος τοῖς τῆς ὀρθοδοξίας δόγμασιν ἐντραφεὶς καὶ τῷ τῆς εὐσεβείας γάλακτι πιανθείς, καλῶς τε παιδευθεὶς καὶ πᾶσαν γραφὴν τήν τε ἡμετέραν καὶ τὴν θύραθεν ἐπιμελῶς διελθών, ἐπείπερ εἰς ἄνδρας προήχθη, τοῖς βασιλικοῖς ὑπογραφεῦσιν ἐντάττεται καὶ μέγας ἐν τοῖς βασιλείοις γνωρίζεται καὶ τὴν ἀρετὴν ὑψηλός. διὸ καὶ τὴν δόξαν βίου μικρὰν ἢ οὐδὲν ἡγησάμενος, τὴν πόλιν καταλιπών, τὴν Προποντίδα ⟨ταύτης⟩ καταλαμβάνει κἀκεῖσέ που μόνος μόνῳ προσομιλῶν τῷ Θεῷ τὸν βίον διήνυε, πλείστοις πόνοις διὰ Θεὸν ἐνταλαιπωρῶν καὶ πλείστων ἀρετῶν καὶ || μεγάλων ἐργάτης ἀναδεικνύμενος. *f. 3v*

3. Καὶ ἦν μὲν οὕτω βιοὺς ὁ ἀνὴρ μάλα φιλοθέως καὶ εὐπρεπῶς. ἐπεὶ δὲ κρύπτεσθαι τοῦτον τοσοῦτον ὄντα καὶ τοιοῦτον τὴν ἀρετὴν τῶν ἀδυνάτων ἦν καὶ ἀπόρων, τί γίνεται; τοῦ τῆς ἐκκλησίας ποιμένος ἄρτι τὸν βίον ἀλλάξαντος καὶ πρὸς τὰς σκηνὰς τὰς αἰωνίους ἀπάραντος — Ταράσιος ἦν ὁ σοφός — καὶ τῆς ἐκκλησίας τὸν ἄξιον ζητούσης τοῦ θρόνου καὶ καλῶς ποιμάναντα τὸ ποίμνιον, ὁ καλὸς Νικηφόρος, ἐν τοῖς ἁπάντων κείμενος στόμασι, τοῖς ἄλλοις οὐ συνηριθμεῖτο μὲν οὕτως ἁπλῶς, προετίθετο δὲ καὶ πρόκριτος αὐτῶν κατὰ πολὺ πρὸς τὴν τοιαύτην ἀρχὴν ἐψηφίζετο. τῷ τοι καὶ βιασθεὶς παρά τε τῶν ἐκκρίτων τοῦ βήματος, παρά τε τοῦ κρατοῦντος αὐτοῦ, τοὺς τῆς ἐκκλησίας οἴακας ἀναδέχεται (Νικηφόρος | ἐβασίλευε *col. 2* τότε ὁ τοῦ Σταυρακίου πατήρ) καὶ τὴν ὁλκάδα ταύτης καλῶς διακυβερνῶν, ζηλωτός τοῖς πᾶσι καὶ ἐπέραστος ἦν, αὔξων μὲν ὁσημέραι τὸ ποίμνιον ποιμὴν ὡς ἄριστος καὶ καλῶς διεξάγων [καὶ] εἰς τόπον χλόης τοῦτο κατασκηνῶν τῶν ὀρθοδόξων δογμάτων καὶ ἐφ᾽ ὕδατος ἐκτρέφων καὶ ὁδηγῶν ἀναπαύσεως.

4. Ἀλλ᾽ οὐκ ἦν ἐν τούτοις ἠρεμεῖν πάντως τὸν ἀρχέκακον δαίμονα, τοσαύτην τοῖς πράγμασιν εὐνομίαν ὁρῶντα. διὸ καὶ τὰ συνήθη τούτῳ ποιεῖ. τοῦ βασιλέως γὰρ Νικηφόρου καὶ Σταυρακίου τοῦ

4 θαυμαστὴ τίσ || 10 Ὁ τοίνυν || 11 καλῶσ τὲ || 16 ταύτης *delevi* || 22 Ἐκκλησίασ || 25 ποιμανοῦντα? || 28 τῶτοι || 33 καὶ *inserui* || 34 τούτο

υἱοῦ αὐτοῦ τὸν βίον ἐκμετρησάντων καὶ τοῦ μετ' αὐτοὺς βεβασιλευκότος Μιχαὴλ ὑπὸ Λέοντος τοῦ δυσσεβοῦς τῆς βασιλείας ἐκδιωχθέντος, ἡ τῶν σεπτῶν εἰκόνων προσκύνησις ἀθετεῖσθαι πάλιν ἄρχεται. καὶ τίς ὁ αἴτιος; ὁ ψυχοφθόρος Λέων καὶ πονηρὸς διά- f. 4 βολος, καὶ οὗτος || ὁ θηριώνυμος καὶ τῆς ἀληθείας ἐχθρός. τοῦ παρανόμου γὰρ τούτου δόγματος ἐκραγέντος εἰς ἅπασαν σχεδὸν τὴν ὑπὸ Ῥωμαίους, οὐκ ἔστιν εἰπεῖν ὅσοις οἱ προσκυνηταὶ τῶν ἁγίων ὑπεβάλλοντο τοῖς κακοῖς· ἐπιλείψει γάρ με διηγούμενον ἡ ἡμέρα καὶ καταλήψεταί με πάντως ἡ νύξ. ὅμως τῷ βουλομένῳ δυνατὸν εἰδέναι τοὺς βίους τῶν ἁγίων διεξιόντι.

5. Τί οὖν οἴει πρὸς ταῦτα παθεῖν τὴν οὐρανομήκη τοῦ πατριάρχου ψυχήν, τὴν συμπαθῆ καὶ φιλάγιον; οὐ κατηφείας πλήρη καὶ δακρύων γενέσθαι καὶ σκυθρωπότητος; οὐκ ἀποστῆναι τοῦ σώματος ἐθελῆσαι πρότερον ἢ τοιοῦτόν τι λεγόμενον ἀκοῦσαι, μή τί γε πραττόμενον κατιδεῖν; ἔνθεν τοι καὶ θυμὸν βασιλέως καὶ κολαστήρια, ξίφη τε καὶ πῦρ καὶ θάνατον αὐτὸν παρ' οὐδὲν θέμενος col. 2 ὁ σοφὸς βάλλει τὸν τύραννον ἀγχεμάχοις ὅπλοις, τοῖς θεο|σόφοις λόγοις, καὶ στηλιτεύει· καὶ μέντοι δὴ καὶ τρέπει τοῦτον εἰς κράτος καὶ γέλωτα πᾶσι τίθησιν. ἔνθεν τοι καὶ μὴ φέρων ὁ ἔχθιστος τὴν τοσαύτην αἰσχύνην εἰς τοσοῦτον ἐξεκυλίσθη μανίας καὶ θράσους, ὡς καὶ τοῦ θρόνου τοῦτον καταβιβάσαι καὶ ὑπερορίᾳ καταδικάσαι· ἐν ᾗ πολὺν χρόνον διαγαγὼν οὐκ ἔστιν εἰπεῖν ὅσας ὑπέμεινε τὰς θλίψεις καὶ τὰς κακώσεις κατ' ἐπίνοιαν τοῦ δυσσεβοῦς βασιλέως, πρὸς τὰς ἀποκειμένας ἀντιδόσεις ἀποσκοπῶν.

6. Ὅμως πρὸς πάντα τὰ τῆς ἀλλοτρίας δυσχερῆ καὶ ἐπίπονα γενναίως καρτερήσας, φερώνυμε Νικηφόρε, καὶ τοῦ ἑβδομηκοστοῦ χρόνου τῆς ἡλικίας ἐν αὐτοῖς ἐπιβάς, καταλύεις τὸν βίον καὶ πρὸς τὸν Χριστὸν διαβαίνεις, τῆς ὁμολογίας τοὺς στεφάνους ἀποληψόμενος. καὶ νῦν πατριάρχαις, προφήταις, ἀποστόλοις, δικαίοις ἅπασι f. 4v συγχο||ρεύων τε καὶ συναγαλλόμενος μέμνησο βασιλέως ἡμῶν τοῦ ὀρθοδόξου καὶ τὰ πάντα καλοῦ καὶ χάρισαι τούτῳ μακρόβιον τὸ βασίλειον καὶ νίκαις ὡραϊσμένον, ἰσχυρὸν κατὰ τῶν ἀντιπάλων καὶ ἄμαχον, χειρὸς θείας περιεζωσμένον τὴν δυναστείαν ἀνόμων ἐθνῶν εἰς θραῦσιν δὴ καὶ κατάλυσιν, ἡμέρας τε τοῦτον ἐπὶ τούτοις υἱὸν ἀπέργασαι τῆς ἀνεσπέρου, λαμπροῖς καλλυνόμενον καὶ θείοις ἔργοις, πάσης μέτοχον θυμηδίας ἐνθέου καὶ βασιλείας Θεοῦ συγκληρονόμον. ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

14 *μή|τῖγε* || 15 *Ἔνθέν τοι* || 17 *τύρανον* || 30 *τὲ καὶ σὺνάγαλλόμενοσ* || 34 *ἡμέρασ τὲ* || 36 *συγκληρονόμων*

Μηνὶ τῷ αὐτῷ γ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΛΟΥΚΙΛΛΙΑΝΟΥ, ΠΑΥΛΗΣ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΟΙΣ ΝΗΠΙΩΝ ΚΛΑΥΔΙΟΥ, ΔΙΟΝΥΣΙΟΥ ΚΑΙ ΠΑΥΛΟΥ.

1. Τοῦ δυσσεβοῦς Αὐρηλιανοῦ τὰ Ῥωμαϊκὰ σκῆπτρα διέποντος, ὡς οὐκ ὤφελε, καὶ Σιλβανοῦ τοῦ κακόφρονος ἄρχοντος τῆς Νικομήδους | τυγχάνοντος, διωγμοῦ τε κατὰ χριστιανῶν μεγάλου κεκινημένου col. 2 *καὶ βασάνων πολυτρόπων ἐπενηνεγμένων αὐτοῖς τῷ μὴ θυσίας ἐθέλειν αὐτοὺς τοῖς εἰδώλοις προσφέρειν, ἀλλὰ σπουδὴν ὅτι πολλὴν τιθεμένους μᾶλλον τῆς πλάνης τινὰς ἀποσπᾶν καὶ τῇ πίστει προσάγειν Χριστοῦ, ὁ τοῦ ναοῦ προεστὼς τῶν εἰδώλων Διός τε καὶ Ἄρεος, ὃν καὶ νεωκόρον λέγουσι, φίλος ὢν ἐς τὰ μάλιστα τοῦ κόμητος Σιλβανοῦ, πρόσεισιν αὐτῷ διὰ τάχους καὶ «Γνωστὸν ἔστω σοι, [φησί], σοφώτατε καὶ φίλε θεῶν, ὅτι πάντας τοὺς ὅσοι τὰ Ἑλλήνων πρεσβεύουσιν οἱ χριστιανοί, γοητείαις ἐξαπατῶντές τισι καὶ κενοφωνίαις ἄλλαις, τῇ ἑαυτῶν ὑπάγουσι πίστει· τοσοῦτον γὰρ ὑπερίσχυσαν ταῖς τῶν λόγων πιθανότησιν, ὅσον ὅτι καὶ τὸν ἱερέα τῶν θεῶν Λουκιλλιανὸν τὸν καλὸν ἀποκείρασθαι τὴν αὐτοῦ πεποιήκασι κόμην καὶ ἀναθέματι τοὺς θεοὺς || καθυποβαλεῖν. καὶ ἰδοὺ δύο παρ-* f. 5 *ῳχήκεσαν ἔτη μὴ προσαχθείσης αὐτοῖς ὑπὲρ βασιλέως θυσίας τὸ σύνολον».*

2. Τούτων ἀκούσας ὁ ἄρχων θυμοῦ καὶ μανίας πληροῦται καὶ θυσίας τοῖς εἰδώλοις αὐτίκα προσφέρεσθαι, ναὶ δὴ καὶ Λουκιλλιανὸν ἐκζητεῖσθαι τὸ τάχος καὶ τῷ εὑρηκότι τὸ πρῶτον εἶναι τῷ τοῦ πραιτωρίου τάγματι μισθὸν ὑπισχνεῖται. Ἰουδαῖος δέ τις, Συμεὼν ἡ κλῆσις αὐτῷ, μισθοῦ τούτου τὸν ἅγιον, ὡς Ἰούδας Χριστὸν ἀργυρίων, μεθ' ἑτέρων οὐκ ὀλίγων προδίδωσι, τὸν τόπον γνωρίσας, ὅπου δὴ καὶ Λουκιλλιανὸς διῆγεν. εὐθὺς οὖν στείλας ὁ κόμης στρατὸν συλλαμβάνεται τούτους καὶ φυλακῇ παραδίδωσιν, ἄλλῃ μὲν Λουκιλλιανόν, ἑτέρᾳ δὲ τοὺς λοιπούς.

5 Τοῦ — ἀβριλιανοῦ — σκήπτρα || 7 διωγμοῦ τὲ || 11 διὸσ τὲ || 12 ταμάλιστα (α supra) || 13 διατάχ(ους) || 14 φησὶ *inserui* || 15 ἐξαπατῶντεσ τισὶ || 18 et 23 λουκϊανὸν || 22 Τούτων || 28 λουκϊανὸσ (λλι supra)

3. *Τῇ ἐπαύριον δέ, προκαθίσας ἐπὶ τοῦ βήματος, ἄγεσθαι κελεύει τὸν δίκαιον καὶ ὄμμα τούτῳ προσβαλών, «Σὺ εἶ» πρὸς αὐτὸν* col. 2 *ἔφη «Λουκιλλιανός, ὁ τῶν θεῶν μὲν | πρότερον ἱερεύς, νυνὶ δὲ ὑβριστής;» — «Ἐγώ», φησὶν ὁ μάρτυς, «ὁ Χριστοῦ δοῦλος». — «Καὶ ἵνα τί τούτους καταλιπὼν» εἶπεν ἐκεῖνος, «ἀνθρώπῳ προσῆλθες, ἐσταυρωμένῳ καὶ ταῦτα; θῦσον τοίνυν προσιὼν τοῖς θεοῖς, καὶ ἀπολήψῃ σου τὴν ἱερωσύνην· εἰ δ᾽ οὖν, ἀλλὰ πικρῶς σε τιμωρησάμενος καὶ τοῦ ζῆν ἀπαλλάξω». — «Μή γένοιτό μοι, Χριστὲ σῶτερ, ἀρνήσασθαί σέ ποτε» φησὶν ὁ μάρτυς «καὶ δαίμοσιν ἀκαθάρτοις θυσίαν προσενεγκεῖν· ποίει, κόμης, ὡς βούλῃ, τὸ σοὶ παριστάμενον· οὐκ ἴδῃς γάρ με τοῦτο ποιοῦντά ποτε. πλεῖστα γὰρ αὐτοῖς ὑπηρετησάμενος οὐδὲν ὑπ᾽ αὐτῶν ὠφέλημαι, εἰ μὴ καὶ μᾶλλον βέβλαμμαι, τοσούτων χρόνων ἀπολέσας περίοδον».*

4. *Τότε συνθλᾶται τὰς σιαγόνας ὁ δίκαιος, εἶτα τείνεται κατὰ γῆς ἐκ τεσσάρων καὶ ῥάβδοις πικρῶς καταικίζεται. τυπτόμενος οὖν ||* f. 5v *ὕβρεσι τὸν τύραννον ἔβαλλε, μωρὸν αὐτὸν καὶ ὠμὸν καὶ ὑπηρέτην ἀποκαλῶν τῶν δαιμόνων. ἔνθεν τοι καὶ κατὰ κεφαλῆς αὐτὸν ἀναρτῶσι καὶ μάστιξι σφοδρῶς καταξαίνουσιν. οὗτος δὲ καὶ τυπτόμενος καὶ πολλαῖς ἐν ὥραις καὶ πικρῶς οὕτως καὶ λίαν ἀπηνῶς, ὡς ἄλλου διέκειτο πάσχοντος καὶ λύκον αὐτὸν Ἀραβικὸν ἀπεκάλει καὶ Θεοῦ ἐχθρὸν καὶ τὴν γέενναν αὐτῷ προσηπείλει. ἐκεῖνος δὲ τοῦτον κατενεχθῆναι κελεύσας πυρὶ κατακαύσειν ἐφόβει μὴ θύοντα, «Ἴδω πάντως» εἰπών, «εἰ ῥύσεταί σε τούτου Χριστός, ὃν ὡς Θεὸν προσκυνεῖς». τῆς αὐτῆς οὖν ἐνστάσεως ἐχομένου τοῦ μάρτυρος Κρίσπος ὁ φιλόσοφος πρὸς τὸν ἄρχοντα λέγει· «Λαμπρότατε κύριε, τάχος* col. 2 *ἐκποδὼν ποίει τὸν ἀποστάτην, ἵνα μὴ τὴν Νικο|μήδους ἅπασαν τῷ ἐσταυρωμένῳ προσάξοι». σκέπτονται τοίνυν καὶ τῇ φυλακῇ τέως αὐτὸν παραπέμπουσιν. ὃν ἰδόντες οἱ συνδεσμῶται περιέβαλλον, περιεπτύσσοντο, δάκρυα τῶν ὀμμάτων ἀπέσταζον, «Εὖ γε» λέγοντες, «ἀριστεῦ γενναιότατε, καλῶς σου διήνυσας τὸ μαρτύριον· εὖ γε, στρατιῶτα Χριστοῦ καὶ δοῦλε πιστέ, καλῶς ἠγώνισαι καὶ καλῶς τὸν ἐχθρὸν ἐτραυμάτισας· νῦν ἀπόκεινταί σοι τὰ βραβεῖα τῆς νίκης».*

5. *Καὶ ταῦτα μὲν οὗτοι· παῖδες δὲ τρεῖς, ὡραῖοι μὲν τὰς ψυχάς, ὡραῖοι δὲ καὶ τὰ σώματα, τοῖς ποσὶ τοῦ μάρτυρος καλινδούμενοι, «Εὖξαι» λέγουσιν «ὑπὲρ ἡμῶν, πανσέβαστε· εὖξαι παίδων ὑπεραθλεῖν μελλόντων Χριστοῦ· καὶ γὰρ σέ, πάτερ, εἴδομεν σταυρῷ τεταμένον καὶ πλῆθος ἀγγέλων ἀφιγμένον σὺν Χριστῷ καὶ τοῦτόν* f. 6 *σου στέφανον τιθέμενον ὑπὲρ κεφαλῆς». εἶπον || οἱ παῖδες ταῦτα,*

9 *ἀρνήσασθαί σὲ ποτὲ* || 11 *ποιοῦντ|ποτέ* || 17 *ἔνθέν τοι* || 19 *ἀπεινῶσ* || 20 *ἀρραβΐκὸν* || 27 *Σκέπτονται* || 29 *περιεπτύσοντο*

καὶ τῇ αὔριον τῷ βήματι τοῦτον ὁ κόμης παραστησάμενος, ἔχοντα συνεπομένους αὐτῷ καὶ τοὺς παῖδας, θηρίον ὥσπερ μανιωδῶς «Σοί εἰσιν» εἶπεν «οἱ παῖδες, ἀνόσιε;» καὶ ὁ ἅγιος· «Κατὰ μὲν τὸν χρόνον, ἐμοί· κατὰ δὲ τὴν εἰς Χριστὸν φρόνησιν ἴσοι πάντως ἐμοί».— «Θῦσον», ὁ βέβηλος ἔφη, «Λουκιλλιανέ, τοὺς λήρους τούτους ἀφείς, ἵνα μή σε καταναλώσω πυρί». καὶ ὁ ἅγιος· «Εἶπον» ἔφη «πολλάκις, ἀνόσιε· οὐ θύσω τοῖς δαίμοσι· τί πάλιν θέλεις ἀκούειν; τί δέ μοι καὶ πῦρ ἀπειλεῖς τὸ σβεννύμενον; ἐγὼ δέ σοι τὸ ἄσβεστον ἀνταπειλῶ καὶ τὸν σκώληκα τὸν ἀκοίμητον». καὶ ὁ τύραννος «Ἡμέρως σοι διαλεγομένου μου» πρὸς αὐτὸν εἶπε «καταφρονεῖς, ἐλπίζων ταῖς μαγγανείαις σου φυγεῖν μου τὰς χεῖρας· ἀλλ' οὐκ ἔσται σοι τοῦτο· ἢ αὐτούς σοι βοηθήσειν οἴει τοὺς παρεστῶτας»; | τοὺς παῖδας ὑπο- col. 2
δείξας χειρί· «πάντως καὶ οὗτοί σου ταῖς μαγγανείαις ἠπάτηνται καὶ μαγείαις». καὶ οἱ παῖδες «Ἀνόσιε» εἶπον «καὶ κύον μαινόμενε, ἡμᾶς λέγεις μαγείαις προσκεῖσθαι; ἡμεῖς μαγεύειν οὐκ οἴδαμεν, εὔχεσθαι δὲ καὶ ὁμολογεῖν πατέρα, υἱὸν καὶ ἅγιον πνεῦμα». — «Τρεῖς οὖν ἔχετε θεούς;» ὁ παράνομος ἔφη. καὶ ὁ ἅγιος· «Τρεῖς ὑποστάσεις ἡμεῖς ὀνομάζομεν» εἶπεν «ἐν μιᾷ δυνάμει θεότητος». τούτοις οὖν τοῖς λόγοις θυμοῦ γεμισθεὶς ὁ παράφορος ἄρχων, ὅτι γε καὶ τῶν παίδων ὑπεραπελογήσατο, κελεύει πυρὰν ὅτι μεγίστην ἀναφθῆναι καὶ ταύτῃ τούτους ἀπορριφῆναι. θᾶττον οὖν ἢ λόγος οἱ ὑπηρέται τὸ προστραττόμενον ποιήσαντες καὶ τούτους ἐναπορρίψαντες τῷ πυρί, θᾶττον καὶ Θεὸς ὁ τῶν αὐτοῦ κηδόμενος δούλων ὄμβρου φορὰν χεθῆναι ποιεῖ καὶ διὰ τούτου || σβεσθῆναι τὴν κά- f. 6v
μινον. καὶ ἦσαν οἱ μάρτυρες ὡς ἐν δροσώδει πόᾳ διακινοῦντες καὶ τὸν Θεὸν μεγαλύνοντες.

6. Πῦρ ἐπὶ τούτῳ, τὸ τοῦ λόγου, πνέει τὸ τῆς ἀσεβείας ὁ ἄρχων ὄργανον καὶ κελεύει κατὰ τὴν Χαλκηδόνα τούτους ἀπάγεσθαι, θύσοντας ἐκεῖ τῷ Διὶ καὶ τῷ Ἄρεϊ. γενομένων οὖν αὐτῶν ἐν αὐτῇ καὶ τοῦ ἄρχοντος τάχος ἀφικομένου καὶ προκαθίσαντος ἐπὶ τοῦ βήματος καὶ πρὸς ἄρνησιν τούς τε παῖδας καὶ αὐτὸν Λουκιλλιανὸν ἐκκαλουμένου γνώμῃ κακούργῳ καὶ δολερᾷ (ἔλεγε γὰρ πρὸς τοὺς παῖδας ὁρμίσκους αὐτοῖς κατασκευάσαι χρυσοῦς, περιδέραιά τε καὶ ἄλλην δοῦναι κτῆσιν πολυτελῆ), ἐκεῖνοι «Εἴη σου» εἶπον «εἰς ἀπώλειαν ἡ τιμή, κατάρατε· οὐχ αἱρήσεις γὰρ ἡμᾶς διὰ τούτων, οὐκ ἀποστήσεις Θεοῦ τοῦ πλάσαντος καὶ ποιήσαντος». τότε δίδωσιν ὁ

3 καταμεν τὸν || 4 καταδὲ — ἶσοι || 9 ἀκύμητō || ibid. ἡμέροσσοι || 11 μαγκανί|αισσου || ibid. ἀλλουκ || 13 οὗτοι σου ταῖσ μαγκανείαισ || 20 ὑπὲρ|ἀπολογήσατο || 21 θᾶττον || 27 Ἐπὶ || 31 λουκ^{λλι}ϊανὸν || 33 κατασκευᾶσαι χρυσοὺσ. περιδέρραιά τε || 35 οὐ χαιρήσεισ

col. 2 κακοῦργος τὴν ἀπόφασιν κατ' αὐτῶν, | τοὺς παῖδας μὲν ἀποτμηθῆναι ξίφει τὰς κεφαλάς, τὸν δέ γε Λουκιλλιανὸν παραδοθῆναι σταυρῷ ἐν ἐρήμῳ τόπῳ τοῦ Βυζαντίου· καὶ δὴ καὶ διαπεράσαντες οἱ στρατιῶται τοὺς μὲν ἀπεκεφάλισαν τοὺς παῖδας, τὸν δέ γε Λουκιλλιανὸν σταυρῷ παραδόντες καὶ ἥλους τῇ κεφαλῇ καὶ ταῖς χερσίν, τοῖς μασθοῖς τε καὶ τοῖς γόνασι, ναὶ δὴ καὶ τοῖς ἀναγκαίοις αὐτοῖς μορίοις ἐμπήξαντες, οὕτω τὸ τέλος αὐτοῖς ἐπηνέγκαντο· φιλόχριστοι δέ τινες ἄνδρες τὰ σώματα τούτων ἀνελόμενοι κατ' αὐτὸν δὴ τὸν τόπον κατέθεντο.

7. Γυνὴ δέ τις ὀνόματι Παῦλα τῷ τάφῳ τούτων προσμένουσα πᾶσαν ἐπῆγε θεραπείαν τοῖς μάρτυσι, φῶτα τούτοις ἀνάπτουσα καὶ θυμιάματα καίουσα, ναὶ δὴ καὶ πένησι χορηγοῦσα τὰ πρὸς τὴν
f. 7 χρείαν ὡς δύναμις. ὧν ὁ Σιλβανὸς ὑπὸ τῶν τῆς κακίας || ἀκούσας ὑπηρετῶν συσχεθῆναι καὶ ταύτην προστάττει καὶ παραχθῆναι τῷ βήματι. καὶ μέντοι δὴ καὶ παρήχθη, «Ἐπὶ σοί, κύριε, ἤλπισα» ψάλλουσα, «μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα» καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ. πρὸς ἣν ὁ ἀνόσιος «Σὺ εἶ Παῦλα», φησίν, «ἡ τοὺς βιοθανεῖς ἐκείνους τιμῶσα;» καὶ ἡ μάρτυς· «Ἐγὼ ἡ ἀγαπῶσα καλῶς τοὺς τοῦ Χριστοῦ μάρτυρας». καὶ ὁ Σιλβανὸς «Θῦσον» ἔφη «τοῖς θεοῖς προσελθοῦσα, ἵνα μὴ κακῶς ἀποθάνῃς. ὁρῶν γάρ σου καὶ τὸ νέον τῆς ἡλικίας καὶ τὸ τῆς ὥρας τερπνόν, οὐ βούλομαί σε, μὰ τοὺς θεούς, κολασθῆναι». καὶ ἡ μάρτυς «Μή μοι τοιαῦτα λέγε, δικαστά», πρὸς αὐτὸν εἶπεν· «οὐδὲ γὰρ ἀποστήσομαι τοῦ Χριστοῦ καὶ θύσω ξοάνοις ποτέ· ποίει τοίνυν τὸ σοὶ παριστάμενον». ὀργῆς οὖν πληρωθεὶς ἐπὶ τούτοις ἐκεῖνος ἀπογυμνοῦσθαι ταύτην προστάττει καὶ
col. 2 μάστιξιν αἰκίζεσθαι χαλεπῶς. ἡ δὲ καὶ τυπτομένη | καὶ σφοδρῶς καταξαινομένη, πρὸς οὐρανὸν ἀτενίσασα, «Ἐγενόμην» ἔλεγεν «ὅλην τὴν ἡμέραν μεμαστιγωμένη, κατῃκισμένη. ἀλλὰ σύ, κύριε, βοήθησόν μοι τῇ δούλῃ σου». πάλιν οὖν ὁ δεινὸς ἄρχων πρὸς ἄρνησιν αὐτὴν ἐξεκάλει, καὶ ἐπεὶ μὴ πείθειν εἶχε, βάκλοις αὖθις αὐτὴν συνθλᾶσθαι προσέταξεν, εἶτα καὶ τῇ φυλακῇ παρεδίδου· πρὸς ἣν γενομένη «Ὁ Θεός μου» ἔλεγεν «ὁ μέγας καὶ θαυμαστός, ἐλέησόν με τὴν δούλην σου καὶ κοίμισον τὰς ἀλγηδόνας καὶ ἴασαί μου τὰ τραύματα».

8. Τότε δή, τότε ἄγγελος πρὸς αὐτὴν παραγίνεται, «Μὴ φοβοῦ» λέγων, «Παῦλα, στῆθι δὲ γενναίως πρὸς τὸ μαρτύριον. ἰδοὺ γάρ ἀπέστειλέ με Χριστὸς κοιμίσαι σου τὰς ἀλγηδόνας καὶ θεραπεῦσαι τὰ τραύματα. πλεῖστα γὰρ καὶ Λουκιλλιανὸς σὺν τοῖς παισὶν ὑπὲρ

2 λουκιλιανὸν || 4 ἀπεκεφάλησ(αν) || 7 μωρίοις || 8 καταὐτὸν || 21 ματοὺσ || 31 τῇ φυλακῇ || 33 κοίμησον || 34 Τότε δὴ || 35 γενναῖοσ || 36 κοιμῖσαί | σου

15 ἐπὶ σοὶ — αἰῶνα: cf. Psalm. 21, 6; 24, 1.

σοῦ δέεται τοῦ Θεοῦ». ταῦτα τοῦ ἀγγέλου πρὸς αὐτὴν εἰπόντος || καὶ ἀποπτάντος ὑγιὴς ἡ Παῦλα καθίστατο, μὴ τραῦμα, μὴ μώλωπα [f. 7v] τὸ σύνολον ἐν τῷ σώματι περιφέρουσα.

9. Τῇ ἐπαύριον δὲ ἄγει ταύτην κατὰ τὸ βῆμα τὸ τοῦ δαίμονος ἐργαστήριον ὁ παράνομος ἄρχων καὶ πρὸς θυσίαν καλεῖ. ἡ δὲ πρὸς αὐτόν «Ἐοικάς μοι, ἄρχων, ἀναισχυντεῖν· εἶπον σοὶ πολλάκις, οὐκ ἀρνήσομαι τὸν Χριστόν μού ποτε· τί τοίνυν πράγματα καὶ σαυτῷ παρέχεις κἀμοί; εἰ γὰρ ὁ ἐμὸς πατὴρ καὶ διδάσκαλος, ἱερεὺς αὐτῶν ποτε χρηματίζων, κατέλιπεν αὐτούς, τὸν πρὸ αἰώνων Θεὸν ἐπιγνούς, πῶς ἐμὲ θῦσαι τούτοις καταναγκάζεις; ποίει τοίνυν ὃ βούλει». θυμωθεὶς οὖν ἐπὶ τούτοις ὁ Σιλβανὸς τύπτεσθαι ταύτην κελεύει κατὰ τοῦ στόματος, εἶτα καὶ τῇ φυλακῇ παραπέμπει. ἡ δὲ καὶ πάλιν εὐχαῖς προσέκειτο καὶ δεήσεσι, «Μὴ ἐγκαταλίπῃς | με, κύριε», [col. 2] λέγουσα, «μὴ ἀποστῇς ἀπ' ἐμοῦ· πρόσσχες εἰς τὴν βοήθειάν μου, κύριε τῆς σωτηρίας μου». καὶ ἅμα φωνὴ τῶν οὐρανῶν ἐξηνέχθη, «Μὴ φοβηθῇς» λέγουσα, «Παῦλα, ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν ἀποκτεῖναι μὴ δυναμένων».

10. Τῇ ἑξῆς οὖν προκαθίσας ὁ κόμης ἐπὶ τοῦ βήματος ἄγεσθαι κελεύει τὴν μάρτυρα καὶ κάμινον ἀναφθῆναι μεγάλην· ἡ μάρτυς ἤχθη, ἡ κάμινος ἀνήφθη, καὶ ὁ ἀνόσιος πρὸς θυσίαν τῶν εἰδώλων τὴν ἁγίαν ἐκάλει, μὴ πεισθεῖσαν δὲ τῇ καμίνῳ δίδωσιν. εὐχῇ καὶ πάλιν ἡ μάρτυς προσέκειτο, καὶ ἄγγελος κυρίου καταβὰς τὴν φλόγα τῆς καμίνου τὸ τάχος ἀπέσβεσεν, ὡς μηδὲ πυρὸς ἴχνος ὁρᾶσθαι τὸ σύνολον ἐν αὐτῇ, καὶ τῇ μάρτυρι τὴν ἐντεῦθεν ἀνάλυσιν σαφῶς παρεδήλωσε καὶ τῆς τῶν θαυμάτων ἐνεργείας μετὰ τέλος τὴν χάριν.

11. Τούτου οὖν || τελεσθέντος τοῦ παραδόξου καὶ τῷ Σιλβανῷ [f. 8] παρὰ τῶν ὑπηρετῶν ἀνενεχθέντος, ὡς οὐχ ἥψατο ταύτης τὸ καθόλου τὸ πῦρ, ἀσχέτῳ ληφθεὶς ἐκεῖνος θυμῷ ταύτην καὶ πάλιν τῷ βήματι παρεστήσατο καί φησιν· «Οὐκ ἄρα πολλάκις εἶπον, ὦ Παῦλα, ὅτι σου ταῖς μαγείαις καὶ τὸν ἱερέα τῶν θεῶν ἐξέστησας Λουκιλλιανόν; ἰδοὺ γὰρ καὶ τὸ πῦρ ἠσθένησεν ἐπὶ σοί· ἀλλ' οὐκ ἐκφεύξῃ μου τὰς χεῖρας». καὶ εὐθὺς δίδωσι καὶ κατ' αὐτῆς τὴν ἀπόφασιν, «Παῦλαν» εἰπὼν «μὴ προσκυνῆσαι θελήσασαν τοῖς θεοῖς ξίφει τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύω, ὅπου δὴ καὶ Λουκιλλιανὸς σὺν τοῖς παισὶ τὸ τοῦ βίου πέρας ἐδέξατο».

4 κατατό || 5 ἐργαστή|ρειον || 6 ἀναισχυντῆν. εἶπον σοι || 7 μου ποτέ || 9 ποτέ || 10 θύσαι || 14 πρόσχεσ || 16 ἀποκτινόντων || 19 με|γάλιν || 20 προσθυσίαν || 21 εὐχὴ || 29 ἄρα || 31 οὐ|κεκφεύξη

13—15 μὴ ἐγκαταλίπῃς — τῆς σωτηρίας μου: Psalm. 37 (38), 21. || 16 μὴ φοβηθῇς κτλ. cf. Matth. 10, 28.

12. Ἄγουσι τοίνυν οἱ στρατιῶται σε κατ' αὐτὸν δὴ τὸν τόπον, πανάριστε· τέμνουσί σου τὴν ἀοίδιμον κεφαλήν, καὶ τὸ μὲν σῶμα τῇ γῇ, τὴν ψυχὴν δὲ χερσὶ παρέθου Θεοῦ. καὶ δή σου τὸ πανέντι|col. 2 μον σῶμα λαβόντες τινὲς τῶν πιστῶν καὶ φιλοτίμως κηδεύσαντες σὺν τῷ μάρτυρι καὶ τοῖς παισὶ πρεπόντως κατέθεντο. καὶ νῦν οἰκοῦντες τοὺς οὐρανοὺς καὶ τῶν πόνων τὰ γέρα λαμβάνοντες καὶ θαυμάτων πηγὴν ἐν γῇ τοῖς νοσοῦσι μόνῃ προσψαύσει τῶν μαρτυρικῶν ὑμῶν λειψάνων παρέχοντες, νέμοιτε καὶ βασιλεῖ ἡμῶν τῷ δικαίῳ καὶ φιλομάρτυρι μήκιστον ἐν καλοῖς τὴν ζωὴν καὶ ἀτάραχον, ἰσχύος Θεοῦ πεπλησμένην κατὰ τῶν ἐναντίων, χάριτος αὐτοῦ θείας καὶ συμμαχίας, ἀλλὰ δὴ καὶ μελλούσης ζωῆς τῆς ἀνωλέθρου τὴν μέθεξιν, ἡλίου τοῦ τῆς δικαιοσύνης τὴν ἔλλαμψιν, πάσης θυμηδίας τὴν πλήρωσιν καὶ βασιλείας Θεοῦ τὴν ἀπόλαυσιν εἰς δόξαν πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος, τῆς τριφαοῦς καὶ ἑνιαίας θεότητος, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς || f. 8v αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ δ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΗΤΡΟΦΑΝΟΥΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. Ῥώμης τῆς ἐπιφανοῦς καὶ πρεσβυτέρας ἐπιφανὴς ὁ Μητροφάνης βλαστός, ἀλλὰ δὴ καὶ γεννητόρων εὐσεβῶν καὶ τῶν ἀπὸ γένους καταγομένων βασιλικοῦ καρπὸς εὐσεβής· Δομετίου γὰρ ὁ Μητροφάνης υἱός, ὁ δὲ Δομέτιος ἀδελφὸς ἦν Πρόβου τοῦ βασιλέως. οὗτος οὖν ὁ Δομέτιος δύο γνωρίζεται παίδων πατήρ, Πρόβου καὶ Μητροφάνους. θείας τοίνυν χάριτος τῶν ὀφθαλμῶν τῆς τοῦ Δομετίου ψυχῆς ἀψαμένης, διαπτύει μὲν οὗτος τὴν Ἑλλήνων θρησκείαν, Χριστῷ δὲ πρόσεισι καὶ τὴν εἰς αὐτὸν ἀσπάζεται πίστιν καὶ Θεὸν αὐτὸν ὁμολογεῖ καὶ ποιητὴν τῶν ὅλων καὶ βασιλέα καὶ βαπτίζεται col. 2 πανοικί, τελειοῦται καὶ δόκιμος γίνεται Χριστοῦ καὶ | πιστότατος μαθητής. ἔνθεν τοι καὶ τὴν Ῥώμην καταλιπὼν τῷ Βυζαντίῳ τάχος

1 στρατιῶται σε || 6 οἰκοῦ|τεσ || 7 ἐν γῇ || 19 κωνσταντίνουπόλε(ως) || 23 δομετιανοῦ || 26 Θείασ || 31 ἐν|θέν τοι

ἐπιδημεῖ καὶ Τίτῳ προσελθὼν τῷ τηνικαῦτα τοὺς τῆς ἐκκλησίας οἴακας ἐγκεχειρισμένῳ, πρὸς τὸν αὐτῆς ὑπὸ τούτου κλῆρον ἐντάττεται, καθ' ὃν καὶ διαπρέψας καλῶς καὶ βίῳ καὶ λόγῳ, ναὶ δὴ καὶ ταῖς ἄλλαις ἀρεταῖς καὶ μέγας ἀναφανείς, τοῦ Τίτου τὸν παρόντα βίον ἀπομετρήσαντος αὐτὸς ὁ Δομέτιος ψήφῳ τῶν ἐκκρίτων τοῦ βήματος εἰς τὸν ἐκείνου θρόνον ἀνάγεται καὶ ποιμαίνει καλῶς τὸ ποίμνιον καὶ τὸ ὀρθόδοξον κρατύνει καὶ θεοφιλῶς συντηρεῖ.

2. Ἀλλὰ καὶ τούτου τὴν ζωὴν μεταθεμένου πρὸς τὰ οὐράνια Πρόβος ὁ υἱὸς τῆς ἀρχῆς διάδοχος γίνεται καὶ τὸν [τῆς] Βύζαντος θρόνον παραλαβών, τῆς πατρικῆς εὐλαβείας ἐχόμενος χρόνοις ἐπὶ δώδεκα τοὺς τῆς αὐτῆς ἐκκλησίας || διίθυνεν οἴακας. μεθ' ὃν ὁ καλὸς f. 9 *Μητροφάνης τὴν ἀδελφικὴν ἀρχὴν θείᾳ προνοίᾳ διαδεξάμενος καλῶς καὶ οὗτος καὶ μᾶλλον τῷ τῆς πατριαρχίας ἐνέπρεψε θρόνῳ, οὐ κατὰ σειρὰν καὶ γένος εἰς ταύτην ἀναχθεὶς μόνον τὴν πρόοδον, ἀλλὰ καὶ κατ' ἀρετὴν μάλιστα, εὐλάβειάν τε καὶ τρόπων βίου χρηστότητα καὶ τῶν ἄλλων καλῶν. μέγας γὰρ ὁ ἀνὴρ καὶ μεγίστων πλήρης κατορθωμάτων καὶ ὑψηλῆς πολιτείας ἐγνωρίζετο πράκτωρ· διὸ καὶ περίφημος ἦν καὶ αἰδέσιμος ἅπασι καὶ μόνης θέας τῷ καταστήματι πρὸς ἑαυτὸν ἐφέλκων καὶ τοὺς ἄγαν θρασεῖς· οἶδε γὰρ ἀρετὴν αἰδεῖσθαι καὶ πολέμιος. τοιοῦτος οὖν ἐν τοῖς ἁπάντων κείμενος στόμασι καὶ πάντας ὑπερβαλὼν τοὺς προκατάρξαντας τοῦ τῆς Βύζαντος θρόνου καὶ ἄκρως ὑπερνικήσας εἵλκυσεν ἐν ἑαυτῷ τῷ περιόντι τῆς ἀρετῆς καὶ Κωνσταντῖνον | βασιλέα τὸν μέγαν, τὸν* col. 2 *τῆς ἁγίας Ἑλένης υἱόν· καὶ γὰρ οὗτος μεθ' ὃ κατηγωνίσατο τὸν δυσσεβῆ Μαξέντιον κατ' αὐτὴν Ἰταλίαν τῇ δυνάμει τοῦ φανέντος αὐτῷ δι' ἀστέρων σταυροῦ, δεινὸν ἄνδρα καὶ σκολιὸν καὶ πάσης ἀσεβείας μεστόν, καὶ μεθ' ὃ τὴν κατὰ τοῦ δυσσεβοῦς Ἀρείου κατὰ Νίκαιαν συνεκρότησε σύνοδον, διαπεράσας πρὸς τὸ Βυζάντιον τῷ Μητροφάνει πρόσεισιν (οὐδὲ γὰρ παρῆν ὁ ἅγιος τῇ συνόδῳ δι' ἀσθένειαν καὶ γῆρας σώματος) καὶ τούτου κατανοήσας τὴν ἁγιότητα καὶ ὅσα δι' ἀκοῆς εἶχεν ὄψει παραλαβών, εὐχῆς αὐτοῦ ποθεινῶς ἀπολαύει καὶ συμβουλῆς ἀγαθῆς κοινωνεῖ καὶ πρὸς τὸν εἰς Χριστὸν ἐπὶ πλεῖον διαθερμαίνεται ζῆλον. καὶ γὰρ τὰ χριστιανῶν ἐφρόνει, τὰ χριστιανῶν ἠσπάζετο, τὰ χριστιανῶν αὔξειν διὰ σπουδῆς ἐτίθετο· ἐξ ὧν δὴ καὶ τὸ μέγας || καλεῖσθαι πεπλούτηκεν.* f. 9v

9 *τῆς* inserui coll. infra v. 22 || 11 *διίθυνεν* || 16 *ἄλων* || 20 *Τοιοῦτοσ* || 21 *τοὺσκαταρξανταστοῦτύρ* (extremae duae litterae in margine) || 23 *κωνςαντίνō* || 24 et 27 *μεθὸ* || 24 *τὸν* bis scriptum || 26 *δ'ιάστερων* || 27—28 *κατανίκαιαν* || 29 *παρὴν* || 30 *γῆρασ* || 32 *ἀπολάβει*

*3. Οὕτως οὖν ἔχοντα κατανοήσας τὸν πατριάρχην καὶ ὡς ἤδη
μέλλοι τὴν παροῦσαν ζωὴν ἐκλιπεῖν, τὸν μετ' αὐτὸν ἄξιον τοῦ
θρόνου διάδοχον αἰτεῖ δῆλον αὐτῷ γενέσθαι· «Μέλει γάρ μοι, πάτερ
πνευματικέ», φησί, «περὶ τούτου τῷ συντηρεῖσθαι τὴν πίστιν ἀνόθευ-
τον καὶ μή τι παρὰ τῶν τὰ Ἀρείου φρονούντων παραλυμαίνεσθαι».
ἐχάρη τούτων ἀκούσας ὁ Μητροφάνης καὶ μειδιῶντι προσώπῳ
«Διὰ φροντίδος, ὦ τέκνον», ἔφη, «κἀμοὶ τοῦ τοιούτου τυγχάνοντος,
πρὸ ἑπτὰ τούτων ἡμερῶν ὁ κύριός μου Ἰησοῦς Χριστός, ὃν ἠγά-
πησας, καὶ τὴν ἐκ τοῦ βίου μου μετάστασιν καὶ τὸν τῆς ἐπισκοπῆς
ἄξιον ἐφανέρωσεν· ὁ δέ ἐστιν ὁ πρεσβύτερος Ἀλέξανδρος, ὅς μου
καὶ τὸν τόπον κατὰ τὴν σύνοδον ἀνεπλήρωσε καὶ ὃς πολλοὺς ἀγῶ-
col. 2 νάς τε καὶ ταλαιπωρίας ὑπὲρ | τῆς εἰς Χριστὸν ὑπέμεινε πίστεως
καὶ ἔτι διὰ ταύτην ἀπόδημός ἐστι τὴν Ἀρείου λύμην κατὰ τὰς νή-
σους σπαρεῖσαν ἐξαίρων καὶ τὸν λόγον ἐγκατασπείρων ταύταις τῆς
ἀληθείας».*

*4. Οὕτω πρὸς τὸν βασιλέα τοῦ Μητροφάνους διεξιόντος ἰδοὺ
καὶ ἡ σύνοδος εἰσῄεσαν πρὸς αὐτόν, κατησπάσαντό τε τοῦτον ὥσ-
περ εἰκὸς καὶ τὰ τῆς νίκης διήγγειλαν. ὁ δὲ πρὸς αὐτοὺς χαίρων τὰ
τοῦ βασιλέως ἀπήγγειλε ῥήματα καὶ «Πιστεύσατέ μοι» ἔφησε, «τέκνα,
ὅτι πρὸ ὀλίγων τούτων ἡμερῶν, καθ' ἃ δὴ καὶ τῷ βασιλεῖ προ-
απήγγειλα, δῆλόν μοι πεποίηκε κύριος δεκάτην ἐν τῷ κόσμῳ παρα-
μεῖναι ἡμέραν καὶ πρὸς τὸν τῆς ἐπισκοπῆς θρόνον ἀναγαγεῖν τὸν
Ἀλέξανδρον. ἀλλὰ δὴ καὶ τὸν μετ' αὐτὸν ἐσόμενον προεδήλωσε.
Παῦλος οὗτός ἐστιν ὁ συνὼν αὐτῷ κατὰ τὴν ἀποδημίαν, ὃς καὶ
f. 10 αὐτὸς διὰ Χριστὸν || πολλοὺς ὑπομείνῃ τοὺς διωγμούς», τὸν ὁμολο-
γητὴν Παῦλον προλέγων ὁ διορατικός. καὶ οὕτω μὲν πρὸς αὐτούς,
πρὸς δὲ τὸν Ἀλεξανδρείας Ἀλέξανδρον· «Καὶ σέ, πάτερ, Ἀθανά-
σιος διαδέξεται καὶ καλῶς τὴν σὴν ποίμνην καὶ αὐτὸς ποιμανεῖ καὶ
πλείστας θλίψεις ὑπομενεῖ δι' αὐτήν». ταῦτα ἔφη καὶ ὥσπερ ἀναρ-
ρωσθεὶς τὴν ἐκκλησίαν σὺν τοῖς ἐπισκόποις κατέλαβεν· ἦν δὲ ἡ
κυρία τῆς ἑβδομάδος. καὶ μετὰ τὴν τοῦ Εὐαγγελίου ἀνάγνωσιν τῷ
λαῷ τὴν συνήθη διδασκαλίαν ὡμίλησε καὶ ὥσπερ εἰς ἀποδημίαν
στελλόμενος συνετάττετο πᾶσι, «Τεκνία», λέγων, «ἅπερ ἐγὼ κατὰ
Θεὸν ἔτεκον, ἰδοὺ θελήματι Θεοῦ πρὸς τοὺς πατέρας πορεύομαι
καὶ προχειρίζομαι ὑμῖν εἰς ποιμένα τὸν θεοφιλῆ πρεσβύτερον καὶ
συλλειτουργόν μου Ἀλέξανδρον, ἀπόντα μὲν τῷ σώματι, παρόντα
col. 2 δὲ σὺν ἡμῖν τῷ | πνεύματι». ταῦτα τοῦ Μητροφάνους εἰπόντος
ἅπας ὁ κλῆρος σὺν τῷ πλήθει τὸ «Ἄξιος» ἐπεβόησαν. εἶτα τὸ*

3 *μέλλει* || 8 *ἰησοὺσ* || 11—12 *ἀγῶνασ τε* || 13 *ἀπόδημ*ϑ' || 17 *εἰσίεσαν* || 20 *καθὰ — προαπήγγειλα* || 24 *οὗτοσ ἐστιν* || 29 *ταύτα* || 31 *εὐδομ(ά)δ(ος)*

ὠμοφόριον ὁ πατριάρχης ἀποδυσάμενος τῇ ἱερᾷ τραπέζῃ προσαποτίθεται, φυλάττεσθαι τοῦτο κελεύσας τῷ Ἀλεξάνδρῳ, καὶ προλέγει μετὰ ἑβδόμην τῆς αὐτοῦ τελευτῆς ἡμέραν ἐπανελθεῖν τὸν Ἀλέξανδρον· ὃ δὴ καὶ γέγονεν.

5. Κοιμηθέντος οὖν τοῦ καλοῦ Μητροφάνους καὶ φιλοτίμῳ παραδοθέντος ταφῇ παρὰ τῶν ἐπισκόπων καθ' ὃν αὐτὸς οὗτος ἀνήγειρεν εὐκτήριον οἶκον, ἕβδομον ἄγοντος καὶ δέκατον πρὸς τοῖς ἑκατὸν χρόνον τῆς ἡλικίας, μετὰ τὴν ἑβδόμην ἡμέραν ἐπανῆκε καὶ ὁ Ἀλέξανδρος καὶ προχειρίζεται παρ' αὐτῶν ἐπίσκοπος τῆςδε τῆς Κωνσταντίνου. τελέσασα γοῦν ἡ σύνοδος τὰ τοῦ μάκαρος ἔνατα f. 10v καὶ τὸν πατριάρχην Ἀλέξανδρον κατασπασαμένη πιστῶς, || συνταξαμένη τε καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ, πρὸς τὴν οἰκείαν ἕκαστος ἐκκλησίαν ἀπῄει.

6. Καὶ ταῦτα μέν, ὦ Μητρόφανες, ἐν ἐπιτομῇ τὰ σὰ διηγήματα. τὰ γὰρ θαύματα εἴ τις πειράσαιτο παραδοῦναι γραφῇ, πρότερον κοτύλῃ πέλαγος ἐξαντλήσοι ἢ ψάμμον ἀριθμήσοι θαλάσσης ⟨καὶ οὕτω καὶ ταῦτα παραδοῦναι γραφῇ⟩. πλὴν εἴπερ τις πεῖρᾳ μαθεῖν ἐθελήσοι τὰ περὶ τούτων, τῷ παντίμῳ σου τάφῳ προσίτω, καὶ ὄψεται πάντως τὰ καθ' ἑκάστην τελούμενα. καὶ πῶς γὰρ οὐκ ἔμελλες συνδοξασθήσεσθαι τούτοις, τὸ ἐλεεῖν δσημέραι καὶ τὸ συμπαθεῖν πρὸς ἅπαντας ἐνδεικνύμενος; καὶ μάρτυς ὁ πρὸς καταγωγὴν τῶν πενήτων οἰκοδομηθεὶς οἶκος ὑπὸ τῆς σῆς συμπαθοῦς καὶ μεγάλης ψυχῆς καὶ τὰ πρὸς ἐπάρκειαν αὐτῶν δαψιλῶς ὡρισμένα. δι' ἃ δὴ πατριάρχαις, ἀποστόλοις καὶ πᾶσι | δικαίοις συγχορεύων col. 2 τε καὶ συνευφραινόμενος καὶ περὶ τὸν θρόνον αὐτὸν συναναστρεφόμενος τὸν δεσποτικὸν καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος, πρόστηθι καὶ βασιλέως ἡμῶν τοῦ ὀρθοδόξου καὶ πάσαις ἄλλαις ἐμπρέποντος ταῖς κατὰ Θεὸν ἀρεταῖς καὶ χάρισαι τούτῳ μακρὰν τὴν ζωὴν καὶ ἀπήμαντον, ἰλύος πάσης ἀπηλλαγμένην ἡμαρτημένων, χειρὸς θεϊκῆς τὴν ἀντίληψιν, ἀύλου δόξης τὴν μέθεξιν, ἡμέρας τε τοῦτον υἱὸν ἀπέργασαι καὶ φωτὸς ἀνεσπέρου, λαμπρὰν αὐτῷ καὶ διαυγῆ νέμων τὴν κατοικίαν, πάντων ἀγαθῶν τὴν μετάληψιν πᾶσαν καὶ βασιλείας οὐρανῶν κληρουχίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

4 γέγονε || 10 Τελέσασα || 12 τὲ καὶ || 14 Μὲν || 16 καὶ — γραφῇ videntur delenda || 17 εἴπέρτισ || 25 τὲ κ(αὶ) || 31 ἡμέρασ τὲ

f. 11 Μηνὶ τῷ αὐτῷ ε΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΔΕΚΑ ΜΑΡΤΥΡΩΝ· ΜΑΡΚΙΑΝΟΥ, ΝΙΚΑΝΔΡΟΥ, ΑΠΟΛΛΩΝΙΟΥ, ΛΕΩΝΙΔΟΥ, ΑΡΡΙΟΥ, ΓΟΡΓΙΟΥ, ΥΠΕΡΕΧΙΟΥ, ΣΕΛΗΝΙΑΔΟΣ, ΕΙΡΗΝΗΣ ΚΑΙ ΠΑΜΜΩΝΟΣ.

1. Πολλοὺς μὲν καὶ ἄλλους Αἴγυπτος ἁγίους, οὐκ ἀσκητὰς μόνον καὶ θεοφόρους ἄνδρας, ἀλλὰ καὶ μάρτυρας ἤνεγκεν, ἤνεγκε δὲ σὺν αὐτοῖς καὶ τὸν καλὸν τοῦτον χορὸν τῶν ἁγίων, τοὺς περὶ Μαρκιανὸν καὶ Νίκανδρον λέγω· οἳ καλῶς τὸν βίον αὐτῶν διαθύναντες καὶ ἄξια γεγονότες τοῦ ἀγαθοῦ πνεύματος οἰκητήρια, καὶ πρὸς τὸ μαρτύριον ὥρμησαν. μίαν γὰρ ἀναλαβόμενοι γνώμην ἄνδρες ὁμοῦ καὶ γυναῖκες καὶ στομώσαντες ἑαυτοὺς πρὸς πᾶν ὁτιοῦν ἐπενηνεγμένον αὐτοῖς λυπηρὸν ἐκδήλως ἦσαν κατ' ἐκεῖνο καιροῦ τὸν τῆς ἀληθείας λόγον κηρύττοντες καὶ παρρησιαζόμενοι τὴν εὐσέβειαν.

2. Ὁ τοίνυν δοὺξ τῆς Αἰγύπτου, δεινὸς ὢν ἀνὴρ καὶ τὰ ἄλλα | col. 2 *περίεργος, συσχεθῆναι τούτους καὶ τῷ βήματι παραστῆναι προσέταξε. καὶ δὴ καὶ συλληφθέντες ὁμοῦ χαίροντες ἤγοντο, ἄλλον ἄλλος πρὸς τὸ μαρτύριον διεγείροντές τε καὶ παραθήγοντες, ναὶ δὴ καὶ τὰ γύναια προσεπιρρωννύντες καὶ διερεθίζοντες πρὸς τὰ σκάμματα. καὶ ἐπεὶ παρήχθησαν, ὁ τῆς Αἰγύπτου δοὺξ πρὸς αὐτούς· «Ἵνα τί, ὥσπερ μηδένα φόβον ἔχοντες ἐκ βασιλέως, μηδέ τινα τῶν ἀρχόντων πτοούμενοι, ἀδεῶς οὕτως περιιόντες τῆς πρὸς θεοὺς ἐκτρέπετε τοὺς ἀνθρώπους λατρείας καὶ τῷ ἐσταυρωμένῳ προσάγετε»; οἱ δὲ μιᾷ φωνῇ πρὸς αὐτόν· «Ἡμεῖς, ὦ δούξ, βασιλεῖς καὶ ἄρχοντας μὴ προσκειμένους Χριστῷ οὐδὲν τὸ παράπαν ἡγούμεθα, οὔτε μὴν τὰς ἀπειλὰς αὐτῶν τὸ σύνολον δειδιττόμεθα καὶ διὰ τοῦτο τὸν λό-* f. 11v *γον τῆς ἀληθείας ἀφόβως κηρύττομεν, ἔχοντες τὸν ἐνδυνα||μοῦντα Χριστὸν πρὸς πάσας ὑμῶν τὰς ἐπινοίας». καὶ ὁ δούξ· «Τῶν λόγων τούτων ἀφέμενοι, δεινοὶ γάρ εἰσι καὶ πρὸς ὀργὴν ἐρεθίζουσιν, εἴπατε τάχος, τίνα τὰ ὀνόματα ὑμῶν καὶ τίς ἡ πατρίς, καὶ προσελθόντες θύσατε τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀποθάνητε». τῶν οὖν ἁγίων καὶ*

3 *λεωνίδουσ* || 12 *ὅτι οὖν* || 15 *Ὁ τοίνυν* || 19 *προσε|πιρρωνῦντεσ — σκάματα* || 21 *μῆ δέτινα* || 26 *δεδιττόμεθα κ(αὶ) διατοῦτο* || 28 *Τῶν*

τὰ ὀνόματα καὶ τὴν Αἴγυπτον γνωρισάντων εἶναι τούτοις πατρίδα καὶ ὡς «Οὔποτε θύσομεν» εἰπόντων «τοῖς ὑφ' ὑμῶν σεβομένοις ἀκαθάρτοις εἰδώλοις», ἐκεῖνος πῦρ καὶ λίθους ἀφεὶς καὶ ξίφος καὶ τἄλλα δὴ τὰ κολαστήρια καὶ οἷς πέφυκεν ἄνθρωπος θανατοῦσθαι, πρὸς καινήν τινα χωρεῖ καὶ ξένην ἐπίνοιαν, καὶ σκοπεῖτε ὡς χαλεπήν.

3. Περισκεψάμενος γὰρ τὴν χώραν, ὅτι φλογώδης καὶ πυρὸς ἔχουσα ἀκμαιοτέραν τὴν καῦσιν, οὕτω τῆς Αἰγύπτου κατὰ φύσιν ἐχούσης τῇ θέσει τοῦ τόπου, τεῖχος οἰκοδομεῖ κατὰ τὸ μεσαίτατον τοῦ | πεδίου, πρὸς τοσοῦτον ὕψος ἐπάρας αὐτό, ὡς μή τινα δύνα- col. 2 *σθαι μηδὲ τῶν λίαν ἀνδρείων ὑπεραναβῆναι τοῦτο καὶ διαδρᾶναι· ἐν ᾧ καὶ κατακλεισθῆναι τούτους προστάξας, μὴ ἄρτον, μὴ ὕδωρ, μή τι τῶν ἀναγκαίων ἕτερον ἔχοντας, ἐπὶ πολὺν οὕτως εἴασε τὸν καιρόν, φύλακας ἐπιστήσας καὶ κελεύσας ἐφ' ἑκάστης λόγους τοῖς ἁγίοις τούτοις προσφέρειν· «Ὕδωρ ἄφθονον, ὕδωρ διειδές, τροφαὶ πρόκεινται πολυειδεῖς· ἀρνήσασθε τὸν Χριστὸν καὶ τούτων ἀπολαύσαντες σώζεσθε». πρὸς ἅπερ οἱ ἅγιοι, μίαν ἐλευθερίαν καὶ ἀπόλαυσιν τὸ διὰ Χριστὸν παθεῖν εἰδότες καλῶς, μίαν καὶ τὴν σωτηρίαν τὴν εἰς αὐτὸν ὡμολόγουν πίστιν τε καὶ βεβαίωσιν, μίαν ζωὴν ἀνώλεθρον τὸν δι' αὐτὸν ἀγαπώμενον θάνατον· οὐδὲ γὰρ πρὸς τὸ φλέγον ἐπεστρέφοντο τοῦ ἡλίου, οὐ πρὸς τὸν καταπονοῦντα λιμόν, || οὐ* f. 12 *τὴν ξηραίνουσαν δίψαν θεραπεύειν ἤθελον, ἀλλ' ἦν αὐτοῖς ψαλμὸς μὲν ἡ τροφή, ποτὸν δὲ τὰ κατὰ Θεὸν δάκρυα. καὶ οὕτω προσεκαρτέρουν τοῖσδε τοῖς δεινοῖς ἐνταλαιπωρούμενοι, ἕως τοῦ σωματικοῦ τόνου παραλυθέντος τὰς ψυχὰς χερσὶν ἀγγέλων παρέθεντο. τοῦτο μαθὼν ὁ κατάρατος δοὺξ αὐτὸ τὸ περιτείχισμα περιφραγῆναι προσέταξε καὶ τάφον ὥσπερ γενέσθαι καὶ μνῆμα τοῖς ἀθληταῖς.*

4. Καὶ δή, πανάριστοι μάρτυρες, βιαίως οὕτω τὸν διὰ Χριστὸν ὑπομείναντες θάνατον, νῦν εὐφραίνεσθε σὺν ἁγίοις καὶ ταῖς οὐρανίαις ἐμφιλοχωρεῖτε σκηναῖς. διὸ καὶ παρρησίαν ὡς ἔχοντες πρὸς Χριστόν, αἰτήσασθε βασιλεῖ ἡμῶν δοθῆναι τῷ φιλομάρτυρι μέτρον ζωῆς διαρκές, ἰσχυρὸν καὶ κραταιὸν τὸ βασίλειον, χεῖρα δυνατὴν κατ' ἐχθρῶν ἁπάντων, θραῦσιν ἐθνῶν, ἥσυχον | τὴν ζωὴν καὶ ἀτά- col. 2 *ραχον, λύσιν τῶν ἐσφαλμένων, πάντων τῶν καλῶν τὴν μέθεξιν καὶ βασιλείας οὐρανῶν τὴν ἀπόλαυσιν· ὅτι Χριστῷ τῷ Θεῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.*

---

4 *τἄλλα* || 7 *ἔχουσαν — καύσιν* || 9 *τοῦ | παιδίου* || 10 *μὴ δὲ — διαδράναι* || 14 *τούτουςʔ* || ibid. *διηδὲσ* || 16 *σώζεσθαι*[ε] || 18 *πίστι¯ | τὲ* || 33 *λῦσιν*

Μηνὶ τῷ αὐτῷ ς.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΔΩΡΟΘΕΟΥ ΕΠΙΣΚΟΠΟΥ ΤΥΡΟΥ.

1. Ἡνίκα Διοκλητιανὸς καὶ Μαξιμιανὸς τῶν Ῥωμαϊκῶν εἶχον σκήπτρων τὴν ἐξουσίαν καὶ διωγμὸς ἐκράτει μέγας κατὰ χριστιανῶν, τηνικαῦτα καὶ Δωρόθεος ὁ θαυμάσιος τῆς ἐν Τύρῳ ἐκκλησίας πρόεδρος ἐγνωρίζετο, ἀνὴρ λόγῳ καὶ βίῳ καὶ ταῖς ἄλλαις ἀρεταῖς τῶν πολλῶν διαφέρων· πᾶσαν γὰρ ἐκκλησιαστικὴν ἱστορίαν συγγεγραφὼς ἄριστα καὶ ὡς οὐδεὶς ἕτερος καί τινα ἄλλα συγγράμματα πλεῖστά τε καὶ διάφορα Ῥωμαϊκοῖς ἅμα γράμμασι καὶ Ἑλληνικοῖς (ἤσκητο γὰρ καλῶς τὰς ἀμφοῖν διαλέκτους) σπουδῇ συντόνῳ καὶ f. 12v *φύσεως ἐ||πιτηδειότητι, μνημόσυνον μέγιστον τῷ βίῳ καταλελοίπει.*

2. Οὗτος οὖν ὁ καλὸς Δωρόθεος, τὸ τοῦ Θεοῦ κάλλιστον δῶρον, τὴν ἰδίαν ἐκκλησίαν διὰ τὸν ἐπικείμενον τότε βαρύτατον διωγμὸν τῶν προμνημονευθέντων τυράννων καὶ τὴν πολλὴν κατὰ χριστιανῶν ἐκείνην σκοτόμαιναν δέει τῶν ἠπειλημένων κολάσεων καταλιπών, ἐν Ὀδυσσοπόλει γίνεται, σοφῶς ὁ σοφὸς τοὺς ἀγωνιζομένους γράμμασι καὶ μακρόθεν ὑπαλείφων πρὸς τὸ μαρτύριον καὶ στερροὺς τῇ πίστει καὶ γενναίους ἐγκαθιστῶν.

3. Χρόνον τοίνυν οὐκ ὀλίγον ἐν αὐτῇ δὴ τῇ ἀλλοτρίᾳ διαγαγὼν ὁ μέγας, ὅτε Θεὸς τοὺς τυράννους ἐκποδὼν ἐποίησεν, καὶ κατεσβέσθη τὰ τῶν εἰδώλων, κέρας ἡμῖν σωτηρίας τὸν μέγιστον ἐν βασιλεῦσι Κωνσταντῖνον ἀνεγείρας τὸν πάνυ, τὸν τῆς ἁγίας Ἑλένης υἱόν, τότε δὴ καὶ οὗτος ἐκεῖθεν ἀπαναστὰς τὴν Τύρον κατέλαβε col. 2 *καὶ ἦν ἰθύνων καλῶς | τὰ τῆς ἐκκλησίας πηδάλια καὶ πρὸς ὅρμον ὀρθοδοξίας ἐμβιβάζων αὐτὴν καὶ πρὸς λιμένα σωτηρίας ἀνάγων.*

4. Ἦν δὲ καλῶς τοῦτο ποιῶν ἄχρι τῆς Ἰουλιανοῦ τοῦ δυσσεβοῦς βασιλείας. τότε γὰρ πάλιν διὰ τὸν ἐπικείμενον σφοδρὸν διωγμὸν καὶ τὰς ἀνυποίστους ἐκείνας καὶ πικρὰς τιμωρίας αὖθις τὴν ἐκκλησίαν καταλιπὼν τὴν Ὀδυσσόπολιν κατειλήφει. καὶ ἦν τὸ τῆς διδασκαλίας τάλαντον ἐμπορευόμενος ὁ μακάριος· ἐπεὶ δὲ τοῦτο λανθάνειν ἐπὶ πολὺ πάντως οὐκ ἦν, συλλαμβάνεται παρὰ τῶν τοῦ

9 *πλεῖστα τὲ* || 21 *ἐκποδῶν* || 25 *ἰθύνον* || 31 *Τοῦτο* || 32 *ἐπιπολὺ*

παραβάτου πικροτάτων ἀρχόντων καὶ πρὸς ἐξέτασιν ἄγεται καὶ δὴ καὶ μαστίγων πεῖραν ὑφίσταται καὶ τὸ μαρτυρικὸν ἐκεῖνο σῶμα ταύταις πικρῶς καταξαίνεται, τῶν αἱμάτων φοινιξάντων, φεῦ, τὸ ὑποκείμενον ἔδαφος. ἀλλὰ καὶ δεινὰς ἄλλας ὁ γέρων ὑπομένει κακώσεις, ὑπερορίας καὶ θλίψεις, εἶτα ‖ καὶ χρονίας καθείρξεις καὶ f. 13 *σκότος καὶ λιμὸν καὶ μάστιγας αὖθις καὶ πολλὰς ἑτέρας κολάσεις.*

5. Καὶ ταῦτα πάντα γενναίως ὑπενεγκὼν ὑπὲρ τῆς εἰς Χριστὸν ἀγάπης, πανσέβαστε πάτερ, ἐν βαθυτάτῳ γήρᾳ τὸν τῆς μαρτυρίας ἐκομίσω σου στέφανον, ἐν αὐτῷ τῷ πάσχειν τὴν ψυχὴν τῷ πλάσαντι παραθέμενος, εἰς ἑπτὰ πρὸς τοῖς ἑκατὸν τῆς ζωῆς σου χρόνους παρεκταθείσης. καὶ νῦν οἰκῶν τὰ οὐράνια καὶ τῶν ἐν αὐτοῖς ἐπαπολαύων καλῶν σὺν ἀρχιερεῦσι, σὺν μάρτυσι, σὺν ἅπασι τοῖς δικαίοις καὶ Χριστῷ παριστάμενος τῷ πρώτῳ ἀρχιερεῖ καὶ μεγάλῳ, νέμοις ταῖς εἰς αὐτὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ φιλομάρτυρι καὶ ὀρθοδόξῳ μονῆς ἀϊδίου τὴν καλὴν κατοικίαν, ἵλεων τὸ θεῖον καὶ εὐμενές, χορῶν ἁγίων τὴν τερπνὴν συναυλίαν, ἀπόλαυσιν ἀγαθῶν ἀθανάτων, ἥμερον | πρό γε τούτων καὶ συμπαθῆ τὸν κριτήν, col. 2 *λύσιν παρεχόμενον τῶν ἐπταισμένων, πάντων χαριζόμενον τῶν καλῶν δόσιν καὶ βασιλείας αὐτοῦ τὴν εὐκληρίαν· ὅτι αὐτῷ ἡ δόξα πρέπει καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ζ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΘΕΟΔΟΤΟΥ.

1. Ἔσχε μὲν καὶ ἄλλους περιφανεῖς ἁγίους ἡ Ἄγκυρα μάρτυρας, ἔσχε δὲ καὶ τὸν καλὸν τοῦτον Θεόδοτον, τὸν Θεοῦ δόσιν φερωνύμως καὶ κληθέντα καὶ γεγονότα, πολλῷ μὲν τοῦ μεγάλου Κλήμεντος ὕστερον, τῇ τοσαύτῃ δὲ κεχρημένον πρὸς τοὺς τυράννους ἐνστάσει καὶ παρρησίᾳ· καὶ γὰρ ἐπὶ μέσου κηρύττοντος τὸν Χριστὸν Θεὸν ἀληθῆ καὶ πάντων δημιουργὸν καὶ μηδαμῶς τὰς κολάσεις αὐτῶν πτοουμένου τινὲς αὐτῷ τῶν συνήθων φυγεῖν τὸν καιρὸν

Hanc S. Theodoti passionem ex hoc ipso codice *(H)* et e cod. Vaticano *(V)* 1991 saec. XIII edidit Pius Franchi de' Cavalieri (v. praef.), scripturae varietate accuratissime enotata. Ex qua nos potiora tantum excerpemus.

2 *πεῖραν* ‖ 12 *ἐπαπολάβων καλλ(ῶν)* ‖ 16 *σὺναὺλίαν* ‖ 18 *λῦσιν* ‖ 27 *τοσαύτη H, αὐτῇ V, mox τοὺς om. V, Τυράνουσ H.*

f. 13v συνεβούλευον καὶ μὴ πρὸς κίνδυνον ἐμπεσεῖν || προφανῆ· τοῦ δὲ μὴ ἀνεχομένου, ἀλλὰ δεῖξαι λέγοντος τοῖς ἀθέοις, ὡς ἀγοραῖος χριστιανὸς βασιλέων ἀθέων ἐστὶ δυνατώτερος, καί τισι τῶν ἀπὸ τῆς χώρας πρὸς αὐτὸν ἀφιγμένοις εἰπόντος μετὰ τὴν μαρτυρίαν εἰς αὐτοὺς τὰ λείψανα τούτου παραπεμφθῆναι, οἱ τῆς κακίας ὑπασπισταὶ τῷ ἡγεμόνι τῆς χώρας (Θεότεκνος οὗτος ἦν, τὸ τοῦ δαίμονος τέκνον) τοῦτον καταμηνύουσι, κἀκεῖνος εὐθὺς ἅπαντας τοὺς ὑπ' αὐτὸν στρατιώτας συλλαβέσθαι τοῦτον ἐξέπεμψεν.

2. Ἐπεὶ οὖν ἡ Θεοῦ δόσις ὁ καλὸς Θεόδοτος ἀκούσοι ταῦτα παρά τινων, αὐτὸς προλαβὼν τὸν ἡγεμόνα κατέλαβε καὶ «Ὄντως, ἡγεμών», ἔφη, «πολλή τις ὑμῶν ἡ τῆς ἀσεβείας εὐτέλεια· τί γὰρ ὅτι πρὸς ἕνα Χριστοῦ στρατιώτην πολεμικῶν ὅπλων γεγυμνωμένον φάλαγγα στρατιωτῶν ἐξαπέστειλας; ἰδοὺ καὶ μόνος ἥκω σοι καὶ col. 2 προθύμως Θεόδοτος, ἡγεμών, ὁ παρὰ | σοῦ ζητούμενος ἐγώ· ποίει τοίνυν τὸ σοὶ παριστάμενον». τότε θυμωθεὶς ὁ κατάρατος διαταθῆναι κελεύει τὸν μάρτυρα καὶ νεύροις ξηροῖς καταξαίνεσθαι. τὰς αἰκίσεις οὖν οὗτος τῶν νεύρων νιφετοῦ δίκην δεχόμενος οὐδὲν ἕτερον ἔλεγεν ἢ μόνον «Ἐπὶ τῶν νώτων μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν». ὁ τοίνυν ἡγεμὼν ἀνεθῆναι τοῦτον κελεύσας, «Ἴδε, Θεόδοτε», εἶπεν, «οἷά σοι προεξένησεν ἡ θρασύτης». καὶ ὃς πρὸς αὐτὸν «Εἰ ᾔδεις, ὅσα μοι προεξένησεν» ἔφη «οὐχ ἡ θρασύτης, ὡς εἶπας, ἀλλ' ὁ πρὸς Χριστόν μου διάπυρος πόθος, ἠγάπησας ἂν καὶ αὐτὸς ὑπὲρ τοιούτων τοιαῦτα παθεῖν· ἴδε γάρ, ὅτι σου τῷ πρὸς ἐκεῖνα πόθῳ τῶν βασάνων καταφρονῶ». καὶ ὁ Θεότεκνος «Κομπάζεις ἐπὶ τούτοις, Θεόδοτε, καὶ συναρπάf. 14 ζεις» ἔφη «τοὺς ἀνοήτους. ἀλλ' ἐγώ σε || ταῖς κολάσεσι πείσω τὴν τῶν θεῶν δεσποτείαν ὁμολογῆσαι». καὶ ὁ ἅγιος «Ὃ βούλει ποίει» πρὸς αὐτὸν εἶπε· «γνώσῃ γὰρ τὴν δύναμιν τοῦ Χριστοῦ, πῶς ὁ πάσχων τῶν κολαζόντων ἀνώτερος γίνεται». μαίνεται τούτων ἀκούσας ἐκεῖνος καὶ τῷ ξύλῳ τοῦτον ἀναρτηθῆναι κελεύει καὶ ξυστῆρσι τὰς πλευρὰς αὐτοῦ πικρῶς καταξέεσθαι· δριμυτέρας οὖν αἰσθόμενος τῆς ὀδύνης ὁ μάρτυς εὐχὴν ἐπανέτεινε τῷ Θεῷ, «Κούφισόν μου» λέγων, «κύριε, τὰς ὀδύνας καὶ ἐνίσχυσόν με πρὸς τὰς βασάνους, δυνατέ· σὺ γὰρ ἐπίστασαι τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν· δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ, φιλάγαθε, ἵνα γνῶσιν ἅπαντες, ὅτι σὺ εἶ μόνος ὕψιστος, διδοὺς ἰσχὺν καὶ δύναμιν τοῖς εἰς σὲ πεποιθόσιν».

3 ἀθέων *om. H.* || 9 ἀκούσοι *libri*, ἤκουσε *C.* || 15 Τότε *H.* || 18 ἔλεγεν «*add. in marg. V, om. H.*» *C.* || 20 οἷα σοι *H, mox* προσεξένησεν *V.* || 30 τοῦτον] τούτō *H.* || 32 Κούφισόν *H.*

18—19 Ἐπὶ τῶν νώτων — αὐτῶν: Psalm. 128 (129), 3.

3. Οὕτως ηὔξατο, καὶ τοῦ ξύλου κατενεχθεὶς τῇ φυλακῇ παραδίδοται, [ἐν] τῷ ἀπάγεσθαι βοῶν διὰ | μέσης τῆς ἀγορᾶς· «Ἐννοήσατε, ἄνδρες, ὅσοι τὰ τραύματα βλέπετε καὶ τῶν πόνων τὰ ἔπαθλα· col. 2 *εἰ γὰρ βασιλεὺς ἐπίγειος τοὺς ἀνδριζομένους ὑπὲρ αὐτοῦ τιμαῖς ὅτι μεγίσταις ἀμείβεται, πῶς οὐχὶ μᾶλλον ὁ ἀθάνατος στεφανώσει τοὺς ὑπὲρ αὐτοῦ μεγαλοπρεπῶς μαρτυροῦντας καὶ μετόχους δείξει τῆς αὐτοῦ βασιλείας; καὶ μαρτυρεῖ τὰ τῶν προτετελευτηκότων μαρτύρων ὀστᾶ, μύρα καὶ ἰάματα βλύζοντα». ταῦτα λέγων εἰσῆλθε τὴν φυλακήν. μεθ' ἡμέρας δὲ πέντε ταύτης αὐτὸν ἐξαγαγὼν ὁ δικάζων «Πείσθητί μοι» ἔφη, «Θεόδοτε, μὴ θέλων τῇ προτέρᾳ χρῆσθαι φιλονεικίᾳ, καὶ ἀπάλλαξον σαυτὸν τῶν κολάσεων». ὁ δὲ «Μή σοι εἴη καλῶς» εἶπεν, «ἵν' ἐγώ σοι πεισθῶ· εἰ γάρ μου καὶ τὸ σῶμα καταπεπόνηται, καὶ ταῖς πληγαῖς αἱ πλευραὶ σεσήπασιν, ἀλλ' ἀκμαιότερος ἦλθον καὶ προθυμό||τερος, ὡς ἂν μου τελειώσω* f. 14v *τὸν δρόμον καὶ λάβω τοὺς μισθοὺς παρὰ τοῦ μισθαποδότου Χριστοῦ». τύπτεσθαι τοίνυν λίθοις αὐτοῦ τὸ στόμα προσέταξεν ὁ παράνομος, «Μὴ ὀνόμαζε τὸν ἐσταυρωμένον» βοῶν, «μιαίνεις μου γὰρ τὴν αὐλήν». καὶ ὁ ἅγιος· «Μωρὲ καὶ τυφλὲ τὸν νοῦν καὶ τὰς ὄψεις, τοὺς ἐναγεῖς σου θεοὺς ὀνομάζων οὐ δοκεῖς μιαίνειν σου τὴν αὐλήν, καὶ τὸν καθαρὸν καὶ ἀμίαντον ἐμοῦ Θεὸν τὸν Χριστὸν ὀνομάζοντος ταράττῃ καὶ μαίνῃ, πανάθλιε· ἀλλὰ τί ξένον; καὶ δαίμονές ποτε, οἵ σε καὶ παραλήψονται, ταυτὸ τοῦτο ποιοῦσι· μὴ φέροντες γὰρ ἀκοῇ τὸ τούτου παραλαβεῖν ὄνομα, μήτε τὴν ἐκ τοῦ βλέπειν αὐτὸν ἐγγινομένην αὐτοῖς βάσανον, ἔλεγον· τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς». καὶ ὁ ἡγεμὼν «Ἐνόμιζον» ἔφη, «Θεόδοτε, ἐπιεικέστερόν σε γενέσθαι ταῖς προτέραις | βασάνοις· ἐπεὶ δὲ τοῖς αὐτοῖς ἐπιμένεις,* col. 2 *καινήν σοι τιμωρίαν ἐπάξω καὶ δείξω σαφῶς, ὡς οὐδὲν ἐκεῖνος, ἐφ' ᾧ πέποιθας, ὠφελήσει σε». καὶ ἅμα τῷ ξύλῳ πάλιν ὁ μάρτυς ἐγκρεμᾶται καὶ σπαθίζεται τὸ σῶμα πικρῶς, ἐπὶ τοῖς τραύμασι δεχόμενος τραύματα καὶ ἐπὶ τοῖς μώλωψι μώλωπας. ἀλλὰ καὶ χλευαζόμενος ἦν ὑπὸ τῶν ἀσεβῶν, «Ἀγωνίζου, Θεόδοτε», λεγόντων εἰρωνικῶς, «μισθοὺς γὰρ ἕξεις ὑπὲρ τούτων μεγάλους». κἀκεῖνος «Εἰ ᾔδειτε» φησὶ «τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ ποίας ἀντιδίδωσι τῶν πόνων τὰς ἀμοιβάς, ᾑρετίσασθε ἂν ἅπερ ἐμοὶ ποιεῖτε παθεῖν εἰς τὸ κερδῆσαι ταύτας· ἐπεὶ δὲ πεπώρωται τὸ διανοητικὸν ὑμῶν καὶ οὐ βούλεσθε συνιέναι τοῦ ἀγαθῦναι, τὴν γέενναν πάντως*

2 *ἐν* **inserui** || 8 *Ταῦτα H.* || 22 *δαίμονεσ ποτὲ H.* || 30 *ἐγκρεμᾶται H., ἐκκρεμᾶται C.* || 37 *γέεναν H.*

24—26 *τί ἡμῖν — ἡμᾶς:* cf. Marc. 1, 24; Luc. 4, 34 et Matth. 8, 29.

ἀνθ᾽ ὧν ἀσεβεῖτε κληρονομήσετε». ταῦτα καὶ τὰ τοιαῦτα τοῦ Θεο- f. 15 *δότου φήσαντος ὁ ἡγεμὼν πρὸς αὐτὸν «Οὐκέτι σου» φησὶ ‖ «ἀνέχομαι τοῦ θράσους, Θεόδοτε. τὴν ἀπόφασιν δώσω κατὰ σοῦ, εἰ μή γε τοῖς θεοῖς ἀπονείμῃς τὸ σέβας». καὶ ὁ ἅγιος· «Δοκεῖς μοι ἀνοηταίνειν, ἡγεμών· εἶπόν σοι πολλάκις καὶ πάλιν ἐρῶ· δαίμοσιν ἀλιτηρίοις καὶ κωφοῖς ξοάνοις οὐκ ἂν ἐγώ ποτε θύσω· ποίει τοιγαροῦν τὸ σοὶ παριστάμενον».*

4. Τότε δίδωσιν ἐκεῖνος κατ᾽ αὐτοῦ τὴν ἀπόφασιν ἀποτμηθῆναι τούτου ξίφει τὴν κεφαλήν. ἤχθης τοιγαροῦν, ὦ καλλίνικε μάρτυς, ἐπὶ τὸν τόπον τῆς τελειώσεως· καιρὸν αἰτεῖς εὐχῆς καὶ λαμβάνεις· τέμνῃ τὴν ἱερὰν κεφαλὴν καὶ πρὸς Θεὸν διαβαίνεις, τῇ γῇ μὲν τὸ σῶμα καταλιπών, ἀγγέλων δὲ χερσὶ τὴν ψυχὴν παραθέμενος. κομίζεταί σου καθ᾽ ὃν προείρηκας τόπον τὸ πάντιμον λείψανον ὑπό τινος ἀνδρὸς φιλοθέου, καὶ ναὸς ἀνίσταταί σοι πρὸς αὐτοῦ περικαλλὴς καὶ ὡραῖος, πηγὰς θαυμάτων βρύων καὶ νόσων παντοίων | col. 2 *ἰάματα. καὶ νῦν τὸν οὐρανὸν κατοικῶν καὶ τὰ ἐν αὐτῷ κάλλη κατοπτριζόμενος καὶ ταῖς ἀΰλοις σκηναῖς ἐμφιλοχωρῶν νέμοις ταῖς θερμοτάταις πρὸς Θεόν σου δεήσεσι βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μαρτύρων τιμῆς τὴν ἀντίδοσιν, ἱερῶν αὐτῶν οἴκων οἰκοδομῆς τὴν ἀντάμειψιν, χορείας ἀγγέλων τὴν σύναξιν, ἀλλὰ δὴ καὶ κράτος ἐκ τούτων κατὰ παθῶν καὶ ἐθνῶν, ἤρεμον καὶ ἡσύχιον τὸ βασίλειον, λαμπρυνόμενον τροπαίοις καὶ κατορθώμασι, πρὸς τούτοις δὲ καὶ βασιλείας Θεοῦ τὴν ἀπόλαυσιν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

+ Δεῖ εἰδέναι, ὅτι τῇ αὐτῇ ἡμέρᾳ τελεῖται ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου, ἀπὸ Πόντου Ἡρακλείας γενόμενος, πρὸς τὰ Εὐχάϊτα.

---

2 ὁ *ἡγεμὼν — αὐτὸν* om. *V.* ‖ 3 *ἀπόφασιν δὲ V.* ‖ 5 *εἶπον σοι H.* ‖ 5—6 *ἀλητηρίοισ — οὐκ ἂν ἐγὼ ποτὲ H.* ‖ 6 *τοιγαροῦν H, τοίνυν V.* ‖ 9 *ἤχθ' H.* ‖ 14 *περικαλῆσ H, περικαλλεῖσ V.* mox *πηγὰς* om. *V.* ‖ 15 «*θαυ]μάτων — παντοίων* excisa charta perierunt in *V.*» *C.* ‖ 16 *ἰαμάτων V.*

17 sqq. epilogus in *V* (quem integrum dedit *C.*, epilogi codicis *H* varietate enotata): *νέμοις — δεήσεσι τοῖς αἰτοῦσί σε χορείαις ἀγγέλων τὴν σύνταξιν, ἀλλὰ — ἐκ τούτων κατὰ παθῶν καὶ ἀοράτων ἐχθρῶν καὶ βασιλείας Θεοῦ τὴν ἀπόλαυσιν, ὅτι αὐτῷ κτλ.*

Vv. 26—28 eadem manu adscripti. Pro γενόμενος videtur legendum esse γενομένου.

Μηνὶ τῷ αὐτῷ η΄. f. 15v

ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΠΑΥΛΟΥ ΕΝ ΤΟΙΣ ΚΑΙΟΥΜΑ ΕΠΙ ΤΩΝ ΕΙΚΟΝΟΜΑΧΩΝ ΑΘΛΗΣΑΝΤΟΣ.

1. Ἄρτι τῆς δυσσεβεστάτης τῶν Ἑλλήνων θρησκείας ἀποσβεσθείσης καὶ τοῦ τῆς εὐσεβείας δόγματος ἁπανταχοῦ διαλάμψαντος εἰρήνη κατεῖχε τὴν οἰκουμένην βαθεῖα, καὶ ἦν οὕτω καλῶς τὰ πράγματα, νεύσει διακυβερνώμενα θείᾳ, καὶ τὸ χριστιανικὸν φῦλον γηθόμενον ἐν τούτοις καὶ ἀγαλλόμενον καὶ δσημέραι εὐθηνούμενον. ἐπεὶ δὲ τὸν πονηρὸν οὐκ ἦν ἠρεμεῖν ἐν οὕτω βαθείᾳ καὶ καθαρᾷ τῇ γαλήνῃ, χειμῶνα δεινὸν καὶ κλύδωνα σφοδρὸν ἐξεγείρει καὶ πάντα λίθον κινεῖ, τὸ τοῦ λόγου, τὸ καλὸν διατεμεῖν σῶμα τῆς ἐκκλησίας καὶ οὕτως ἀνεπαισθήτως ὥσπερ ἐκκυλίσαι τοὺς ἀνθρώπους αὖθις ἐπὶ τὴν πλάνην. καὶ τί ποιεῖ; Λέοντα τὸν Συρογενῆ, τὸν πάσης πλήρη κακίας καὶ δόλου κατὰ τοῦ καλοῦ βα|σιλέως, col. 2
τοῦ Θεοδοσίου φημί, κατεξανιστᾷ, χεῖρα τοῦτον ἄρασθαι πείσας πολεμικὴν κατ' αὐτοῦ. ἀλλ' ὁ μὲν ὑπεξίσταται τούτῳ τῆς βασιλείας καὶ τὸν μοναδικὸν βίον ἐπαναιρεῖται, καὶ γίνεται τὸ τοῦ δαίμονος ὄργανον ὁ Λέων τῶν Ῥωμαϊκῶν σκήπτρων ἐγκρατής, ὡς μὴ ὤφελε, καὶ δεινὴν κατὰ τῶν σεπτῶν εἰκόνων πνέει τὴν αἵρεσιν, τὴν προσκύνησιν αὐτῶν ἀποκηρύττων ὁ κατάρατος, οἴμοι, καὶ τὸ πονηρὸν τοῦτο δόγμα κατὰ πᾶσαν σχεδὸν διασπείρων τὴν οἰκουμένην.

2. Ἀλλ' ἐπεὶ τοῦτον ἡ δίκη μετῆλθε καὶ τὸ πονηρὸν τῆς κακίας κύημα τῶν σκήπτρων κακῶς ἐπελάβετο, ὁ Κοπρώνυμος Κωνσταντῖνος, καὶ τὴν αὐτὴν ἐνόσει καὶ ἐπλάτυνεν αἵρεσιν, ὁ καλὸς οὗτος Παῦλος καὶ τῆς ἀληθείας ὑπέρμαχος, τὸ τῆς ἡμετέρας πόλεως τῆς Κωνσταντίνου φημὶ γέννημα καὶ θρέμμα καὶ παίδευμα,

Hanc S. Pauli passionem ex eodem codice edidit Ἀ. Παπαδόπουλος-Κεραμεύς (v. praef.).

8 εὐθυνούμενον cod., em. P.-K. an εὐθυνόμενον? || 9 βαθεῖα cod., em. P.-K. || 16 πολεμικεῖν cod., em. P.-K. || 18 ὁ [δὲ] Λέων P.-K. perperam || 19 ὄφελε P.-K. || 24 κωνσταντίνοσ cod., em. P.-K. || 27 φιμί — παῖδευμα cod.

11 «Corpus paroem. II, σ. 201». P.-K.

f. 16 καὶ πολλοὺς ἄλ||λους πρὸς τὸν ὅμοιον ἔχων ζῆλον, κρατύνοντας τὸ ὀρθόδοξον, παρρησιάζεται καὶ αὐτὸς τὴν εὐσέβειαν καὶ τῷ τοῦ πικροῦ λέοντος πικροτέρῳ σκύμνῳ προσιών, τῷ Κωνσταντίνῳ φημί, βάλλει τοῦτον τοῖς ἐκ λόγων βέλεσι καὶ στηλιτεύει καλῶς καὶ νικᾷ κατὰ κράτος· ἀλλὰ δὴ καὶ πρὸς ὀργὴν ἐρεθίζει, μὴ δεῖν λέγων τὰ παρὰ βασιλέων καὶ πατέρων τεθεσπισμένα καὶ χρόνοις ἐν οὕτω μακροῖς τὴν πῆξιν εἰληφότα καινοφωνίαις τισὶν ἐναλλάττειν καὶ προσχήματι τῆς εὐσεβείας ἐγκατασπείρειν ἀσέβειαν. ὁ δυσσεβὴς οὖν τοὺς ἐλέγχους μὴ φέρων, καὶ μακροὺς ὄντας καὶ ἀληθεῖς καὶ ὅλως ἀναντιρρήτους, μήτε μὴν οἷός τε ὢν πρὸς τοσαύτην ἀλήθειαν ἀντισχεῖν, τὸν τῆς εὐσεβείας κακῶς μετέρχεται κήρυκα καὶ πρῶτα μὲν «Τίς καὶ πόθεν οὗτός ἐστιν» ἐρωτᾷ, «ὅτι καὶ βασιλικοῦ καταπεφρόνηκε βήματος καὶ τοσαύτην ῥημάτων ἐπαφῆκε δεινότητα»;| col. 2 καὶ ἐπεὶ μάθοι ὡς ἡμεδαπὸς ὁ ἀνὴρ καὶ θείων εἰκόνων προσκυνητής, τέως μὲν αὐτὸν τῇ εἱρκτῇ παραπέμπει, ξύλῳ τοὺς πόδας ἐγκλεισθῆναι κελεύσας.

3. Μετὰ δέ τινα παρέλευσιν ἡμερῶν παρίστησιν αὖθις τοῦτον ἐπὶ τοῦ βήματος καὶ «Νῦν γοῦν ἀνανήψας», φησί, «γενέσθαι, Παῦλε, θέλησον μεθ' ἡμῶν καὶ στοιχῆσαι τοῖς ἡμῖν δεδογμένοις». καὶ ὁ ἅγιος «Ἡμεῖς» φησί, «βασιλεῦ, τοῖς ἀποστολικοῖς καὶ τοῖς τῶν πατέρων πειθαρχοῦντες κανόσι τὴν τιμὴν οὐμενοῦν ἀπαρνησόμεθα ταῖς εἰκόσι προσνέμειν· διὸ καὶ τοῖς μὴ τοῦτο κελεύουσι δόγμασιν ἀποτασσόμεθα καὶ Θεοῦ ἐχθροὺς διαρρήδην κατονομάζομεν». τότε θυμοῦ πληρωθεὶς ὁ παράνομος τμηθῆναι κελεύει τὴν τοῦ μάρτυρος ῥῖνα καὶ δοθῆναι τοῦτον αὖθις τῇ φυλακῇ. τρεῖς ἐν τούτῳ παρῆλθον ἡμέραι, καὶ πάλιν ἐπὶ τὸ βῆμα προάγεται καὶ τῆς γνώμης f. 16v ἀπο||στῆναι κελεύεται· ἀλλ' ἐκεῖνος «Τί μάτην» ἔφη, «βασιλεῦ, πιθανότητας, ὡς οἴει, μοὶ λόγων προσάγεις; ἴσθι τοιγαροῦν, ὡς οὐ χρονία κάθειρξις, οὐ μελῶν ἀποκοπαί, οὐκ ἄλλο τι τῶν θάνατον ἐπαγόντων ἀποστῆσαί με τῆς προσκυνήσεως τῶν σεπτῶν εἰκόνων δυνήσεται. ποίει τοιγαροῦν τὸ τῇ ἐξουσίᾳ σου παριστάμενον». ταῦθ' οὕτως εἰπὼν καὶ πρὸς οὐρανοὺς ἀπιδὼν «Μὴ γένοιτό μοι» ἔφη, «Χριστὲ βασιλεῦ, τὴν σαρκομοιόμορφόν σου θείαν ἀθετῆσαι τὸ παράπαν εἰκόνα, μὴ τῆς σῆς κατὰ σάρκα μητρός, μὴ τῶν πάντων ἁγίων σου». τότε μαίνεται τὸ τοῦ δαίμονος ὁ βασιλεὺς

2 ὀρθόδοξον cod., em. P.-K || 5 κατακράτοσ cod., em. P.-K. || 7 κενοφωνίαισ cod., em. P.-K. || 8 προσσχήματι P.-K. || 15 ἱρκτῇ cod. || 17 δέτηνα cod., em. P.-K. || 18 γοῦν cod. || 19 τοῖς ἡμῖν cod., τοῖς ἡμῶν P.-K. || 21 οὐμενοῦν cod. || 22 πρόσνέμειν cod., em. P.-K. || 26 τολῆμα cod. || 28 οἴει μοι cod. et P.-K. || ibid. ἴσθη cod., em. P.-K. || 29 ἄλλό τι cod. || 32 ταυτθοῦτ(ως) cod. || 35 Τότε cod.

ἐργαστήριον καὶ πίσσαν ἐνεχθῆναι κελεύει καὶ τέαφον καὶ πυρὶ ταῦτα λυθῆναι καὶ χεθῆναι κατὰ τῆς τοῦ μάρτυρος κεφαλῆς· ἀλλὰ καὶ τούτου γενομένου καρτερὸς ὁ μάρτυς ἐδείκνυτο καὶ πρόθυμος πρὸς τὴν κόλασιν.

4. Ἔνθεν τοι καὶ δέχεται πάλιν τοῦτον τὸ δεσμωτήριον, καὶ ὁ μὲν θείοις ἐτρέφετο λόγοις | καὶ ταῖς εὐχαῖς, ὁ τύραννος δὲ τῇ μανίᾳ col. 2 *φλεγόμενος πάλιν αὐτὸν πρὸς ἐξέτασιν ἄγει, καὶ πάλιν μανίας ὑποπλησθείς· «Μέχρι τίνος, ὦ δύστηνε, τοῖς δεινοῖς διὰ δόξαν κενὴν ἐθέλων ἐγκαρτερεῖν, οὐ στοιχεῖν ἐθέλεις τοῖς ἡμετέροις, ἀλλὰ παραβάτας ἡμᾶς, μὴ καλῶς νοῶν, θείων νόμων ἀποτελεῖς»; καὶ ὁ ἅγιος· «Αὐτά, βασιλεῦ, κατηγοροῦσι τὰ πράγματα, κἂν ἐγὼ σιωπῶ, ὅτι τὴν πατροπαράδοτον ἠθέτησας πίστιν καὶ καινὴν ἄλλην καὶ πόρρω Θεοῦ βάλλουσαν προτετίμηκας». καὶ ὁ βασιλεύς· «Κακὴ κεφαλή, ἔστι που παρὰ τοῖς προφήταις, ἢ τοῖς ἀποστόλοις, ἢ τοῖς πατράσι, μορφὴν ἀνθρωπίνην νενομοθετημένον στηλογραφεῖσθαι καὶ τὸ ἀνόσιον προσκυνεῖσθαι»; καὶ ὁ ἅγιος τὴν παρὰ τῆς αἱμόρρου γυναικὸς τοῦ Χριστοῦ γεγενημένην καὶ παρὰ Λουκᾶ τοῦ ἀποστόλου τῆς Θεοτόκου μορφὴν εἰς μέσον προθείς, καὶ ὡς ἐδέχθη τούτων ἡ τιμητικὴ παρὰ τῶν πατέρων προσκύνησις || καὶ τῶν ἄλλων ἁγίων,* f. 17 *ὧν πλήρεις οἱ θεῖοι ναοί, σαφῶς ἀποδείξας, καὶ «Πῶς οὐκ ἔφριξας» εἰπών, «ὦ ταλαίπορε, τὴν ἀθέτησιν αὐτῶν δογματίσαι, ἀλλὰ δὴ σπεύδεις ἡμᾶς κοινωνῆσαί σοι τοῦ ἀτοπήματος», ἔπληξε τὴν ψυχὴν τοῦ τυράννου.*

5. Διὸ καὶ τὸ ἀπολογήσασθαι πρὸς ταῦτα καταλιπὼν ὑπεχώρησε καὶ τίνα τιμωρίαν σὺν τοῖς ἀδίκοις κριταῖς ὑποστῆναι τὸν δίκαιον διεσκέπτετο, ναὶ δὴ καὶ νόμον ἐζήτει ὁ τοῦτον παραβάς, τῶν πραττομένων συλλήπτορα. καὶ οἱ μὲν ὡρίσαντο κακῶς ὅπερ ὥρισαν, ὁ δὲ τύραννος, ἅτε δεινότερος αὐτῶν ὤν, δεινοτέραν ὁρίζει ταύτην· τοὺς ὀφθαλμοὺς ἐκκοπῆναι προστάττει τοῦ μάρτυρος. ἀλλὰ καί τινα τῆς αὐτοῦ κακίας ἐπινοεῖ τούτῳ βάσανον, καὶ σκοπεῖτε ὡς χαλεπήν· διὰ μέσης ἕλκεσθαι τοῦτον κελεύει τῆς ἀγορᾶς, σχοίνῳ τῶν αὐτοῦ ποδῶν ἐκδεθέντων, εἶτα καὶ κυσὶ μετὰ θάνατον ῥιφῆναι βοράν· ἃ δὴ καὶ τάχος | ἐπλήρουν οἱ στρατιῶται, τὰς αὐτοῦ χεῖρας col. 2 *ἐξαγκωνίσαντες, τῶν ποδῶν τε σχοίνους ἐκδήσαντες καὶ [διὰ] μέσης*

5 *ἔνθέν τοι* cod. || 6 *τύρανοσ* cod. || 8 *διαδόξαν* cod., em. P.-K. || 9 *ἐθέλοισ* cod., *ἐθέλεις* P.-K. || 10 *ἀποτελεῖσ* cod., *ἀποκαλεῖς* P.-K. || 11 *Ἀυτὰ* cod. || 12 *κενὴν* cod., *καινὴν* P.-K. || 15 *πατρᾶσι̅* cod. || 16 *αἱμόρου* esse in cod. falso dicit P.-K., cum cod. habeat *αἱμόρ|ρου* || 19 *τιμητϊκῆ* cod., em. P.-K. || 20 *οὐκέφριξασ* cod. || 22 *Ἔπληξε* cod. || 27 *Καὶ* cod. || 28 *τύραν̅* cod. || 30 *τῆς αὐτοῦ κακίας [ἀξίαν] κτλ.?* || 33 *τάχ̅* | cod., *τάχιον* P.-K. || 34 *διὰ* inserui.

ἑλκύσαντες τοῦτον τῆς ἀγορᾶς, «Ἦρα» λέγοντα «τοὺς ὀφθαλμούς μου, κύριε, πρὸς σὲ τὸν κατοικοῦντα τοὺς οὐρανούς, ὅθεν ἥξει ἡ βοήθειά μου παρὰ κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν». ταῦτα δεινῶς ἑλκόμενος ἔλεγε καὶ οὕτω παρέθετο χερσὶ Θεοῦ τὴν ψυχήν· ὀγδόην ἦγεν ὁ Ἰούνιος μήν. οἱ οὖν ἀσεβεῖς ἤδη καὶ νεκρὸν αὐτοῦ τὸ σῶμα κοράκων δίκην αἰκίζοντες τῷ τόπῳ ῥιπτοῦσι τῶν καταδίκων [κυσὶν] εἰς βορὰν οἱ κυνῶν αὐτοῦ τρόπον καθυλακτοῦντες· ἄνδρες δέ τινες εὐλαβεῖς τοῦτο λαβόντες ἐν ἰδιάζοντι κατατίθενται τόπῳ, λίθον μέγαν τῇ σορῷ προσκυλίσαντες· καὶ ἦν οὕτω κρυπτόμενον διὰ τὸν φόβον τὸ καλὸν ἐκεῖνο σῶμα τοῦ μάρτυρος.

6. Ὅτε δὲ πάλιν τῆς ἀληθείας ἡ χάρις ἐξέλαμψε καὶ πάντες ||
f. 17v γεγόνασιν ἐκποδὼν οἱ κακόδοξοι καὶ τὸν οἰκεῖον κόσμον ἡ ἐκκλησία ἠμφιάσατο, Μιχαὴλ τοῦ τῆς εὐσεβοῦς Θεοδώρας υἱοῦ τηνικαῦτα τὰ τῆς βασιλείας ἰθύνοντος σκῆπτρα καὶ Ἀντωνίου τοῦ Καυλέου κατονομαζομένου τὸν θρόνον κατακοσμοῦντος τῆς ἐκκλησίας, τότε φανεροῦται καὶ τὸ σῶμα τοῦ μάρτυρος, καὶ ὅπως, ὁ λόγος παραστήσει σαφῶς. τῷ πατριάρχῃ δὴ τούτῳ τῷ Ἀντωνίῳ νυκτὸς ὄψις ἐφίσταται, «Ἄγε δή», λέγουσα πρὸς αὐτόν, «τὸν κλῆρον ἀναστὰς τάχος παράλαβε κἀν τοῖς Ἄσπαρος μέρεσιν ἄπελθε καὶ πρὸς αὐτὴν τοῦ Καϊουμᾶ γενόμενος τὴν μονὴν τὸ τοῦ Παύλου ζήτησον σῶμα, ὃς πολλοὺς ὑπὲρ τῆς ἀληθείας τοὺς ἀγῶνας ὑπέστη, καὶ τοῦτο φιλοτίμως ὑπὲρ γῆν καταθέμενος, οὕτω τῆς προνοίας εὐδοκησάσης, ἰατρεῖον ἀπόδος τοῖς χρήζουσι». κατέλαβε τὸν τόπον ὁ
col. 2 πατριάρχης, | τελεῖ τὴν θείαν μυσταγωγίαν κατὰ τὴν δηλωθεῖσαν μονήν, ἀνορύττει τόπον ἐκκαλυφθέντα τούτῳ, πολλὰ καταδίκων εὑρίσκει κείμενα σώματα, μέγιστον ἐκεῖσε λίθον ὁρᾷ, τοῦτον ἆραι κελεύει. ἤρθη τὸ πάμμεγα τοῦ λίθου χρῆμα· μύρων ἡδυπνόων ὀσμὴ κηρύττει τὸν μαρτυρα, ἐκ παραδόξου φανέντα· ἦν γὰρ ὅλος ἀσινής, ὁλόκληρος ὅλος, ὡς ἄρτι τῇ γῇ τεθειμένος, δύο πρὸς τοῖς εἴκοσι χρόνων καὶ ἑκατὸν παρεληλυθότων ἀφ᾽ οὗπερ ὁ σοφὸς τὸν τοῦ μαρτυρίου διήνυσε δίαυλον. θαῦμα τοίνυν τοὺς ἰδόντας εἶχε καὶ ἔκπληξις, καὶ δὴ καὶ τὰ εἰκότα τελέσαντες καὶ πιστῶς αὐτὸ καὶ ἐντίμως ἀράμενοι τῷ ναῷ τῆς Θεομήτορος ἐγκατέθεντο. καὶ νῦν ἔστιν ἰδεῖν πᾶσαν ἐκεῖσε σχεδὸν ἐκκενουμένην τὴν πόλιν καὶ τὸ συμφέρον ἕκαστον εἰς θεραπείαν λαμβάνοντα· νοσούντων μὲν γὰρ

1 ἦρα *cod.* || 6 ῥιπτοῦσι *cod.*, ῥίπτουσι *P.-K.* || 7 κυσὶν *inserui* || 8 ἐνιδιάζοντι *cod.*, *em. P.-K.* || 9 μέγα *cod.*, *em. P.-K.* || 12 ἐκποδῶν *cod.* || 16 ὁλό|Γοσ *cod.* || 19 κἂν *cod.* || 26 ἄραι *cod.* || 29 ὁλόκληρος, ὅλος *P.-K.* | 30 *P.-K. falso dixit in cod. esse* τὴν — δίαυλον.

1- 3 «Ψαλμ. ρκ', 1—2. ρκβ', 1». *P.-K.*

ἐστιν ὁ μέγας ἐπίσκεψις, ἣν ἂν εἴποις || θεραπεύων νόσον καὶ ἐξιώμενος, λυπουμένων καὶ καταπονουμένων ἀναψυχὴ καὶ ἀνάκλησις, συμφορῶν ἀπαλλαγὴ καὶ χειμαζομένων λιμήν. *f. 18*

Ἀλλ' ὦ πανάγαστε καὶ πανάριστε μάρτυς, νέμοις ταῖς πρὸς θεόν σου δεήσεσι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μῆκος ζωῆς εὐτυχοῦς, ἰσχὺν καὶ κράτος κατ' ἐναντίων, χρηστότητα καὶ τρόπων εὐθύτητα, ἄλυπον τὸ βασίλειον, ἡδὺ καὶ παγγάληνον, λαμπρὸν καὶ πανθαύμαστον, πολλοῖς τροπαίοις κοσμούμενον καὶ χειρὶ Θεοῦ τῇ πανσθενεῖ συντηρούμενον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ θ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΝΙΚΑΝΔΡΟΥ ΚΑΙ ΜΑΡΚΙΑΝΟΥ.

1. Στρατιωτικῆς ἑταιρείας καὶ φάλαγγος καὶ Νίκανδρος καὶ Μαρκιανὸς οἱ μάρτυρες ἐγνωρίζοντο πρόμαχοι, Διοκλητιανοῦ κρατοῦντος καὶ Μαξιμιανοῦ τῶν ἀνόμων. | ἀλλὰ θώρακα καὶ ἀσπίδα *col. 2* καὶ δόρυ, οἷς τοὺς πολεμίους ἐτρέποντο, ῥίψαντες, νουνεχῆ καὶ πνευματικὴν πανοπλίαν ἀναλαβόμενοι πρὸς τὰς ἀρχὰς ἀντετάξαντο, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. τῷ τοι καὶ συλλαμβάνονται παρὰ τῶν τῆς ἀσεβείας ὑπηρετῶν καὶ τῷ βήματι τοῦ Μαξίμου προσάγονται. καὶ ὃς αὐτίκα πρὸς αὐτούς· «Ἵνα τί τὴν στρατείαν ὑμῶν καταλιπόντες, ἀνόσιοι, τὰ χριστιανῶν πράττειν ἐπιχειρεῖτε; ἢ ἀγνοεῖτε τὰ τῶν βασιλέων προστάγματα; προσελθόντες οὖν θύσατε, ἵνα μὴ κακῶς τὸ ζῆν ἀπολέσητε. λήψεσθε γὰρ πάντως καὶ τὰ ἀργύρια τῶν ἀξιωμάτων ὑμῶν καὶ ἄλλας τιμὰς ὑπὸ τῶν βασιλέων καὶ αὐτῶν ἡμῶν ἕξοιτε». καὶ ὁ Νίκανδρος «Ἔλαιον» εἶπεν «ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλὴν ἡμῶν· ἀλλ' οὐδὲ τοῖς θεοῖς σου θυσίαν ἡμεῖς || προσοίσομέν ποτε, χριστιανοὶ τυγχάνοντες καὶ Χριστοῦ δοῦλοι· μὴ ἴδοις τοῦτο, ἥλιε, μὴ ἐπιφαύσειας ἡμῖν τοῦτο ποιοῦσι· πῶς γὰρ καταλείψομεν Θεὸν ζῶντα καὶ ποιη- *f. 18v*

1 εἴποισ cod. || 19 ἀντέτάξαντο || 22 ἱνατί || 23 στρατίαν || 29 προσοίσομεν ποτὲ || 30 δοῦλοι

27—28 Ἔλαιον — ἡμῶν: cf. Psalm. 140 (141), 5.

τὴν τῶν ἁπάντων καὶ ξύλα καὶ λίθους σεβασθησόμεθα»; ταῦτα εἶπεν· καὶ ἡ καλλίστη τούτου σύζυγος παρεθάρρυνέ τε τοῦτον, ἐκεῖσε παρισταμένη, καὶ πρὸς τὸ μαρτύριον ἤλειφε, «Μή, κύριέ μου», λέγουσα, «μή· μὴ θύσαις τοῖς δαίμοσι· βλέψον εἰς οὐρανὸν καὶ τὰ ἐκεῖσε κάλλη φαντάσθητι, ἅτινα κερδήσεις διὰ μικρᾶς τιμωρίας». πρὸς ἣν ὁ Μάξιμος ἀπιδών, «Κακὴ» φησι «κεφαλή, βούλει σου τὸν ἄνδρα τεθνάναι»; κἀκείνη «Βούλομαι τοῦτον» ἔφη «διὰ τοῦδε τοῦ θανάτου, ὃν εἰ καὶ μὴ σύ, ἀλλ' ἡ φύσις πάντως ἐπάξει, ⟨καὶ⟩ τὴν ἀθάνατον ζωὴν καὶ ἀνώλεθρον ζῆσαι». καὶ ὁ Μάξιμος «Οὐχ οὕτω σοι διανενόηται» πρὸς αὐτὴν εἶπεν, «ἀλλ' ἵν' ἑτέρῳ γαμηθῇς, πάλαι
col. 2 συμφθειρομένῳ σοι». καὶ τὸ συνετώτατον | γύναιον· «Καὶ εἰ ταῦθ' ὑπονοεῖς, δικαστά, πρώτην ἐμὲ διαχείρισαι».

2. Τότε τοίνυν αὐτὴν μὲν ὁ δυσσεβὴς τῇ φυλακῇ παραδίδωσι, τῷ δὲ Νικάνδρῳ διάσκεψιν [δίδωσιν], «Ἵνα μὴ στερηθῇς» εἰπὼν «τοῦ ἡδέος τούτου φωτὸς καὶ τῆς γλυκυτάτης ζωῆς». ἐφ' οἷς ὁ Νίκανδρος «Ἐσκεψάμην, ἡγεμών», ἔφη, «καὶ ἡ προθεσμία πέρας ἔχει καὶ βούλομαι ζῆσαι καλῶς». ἐπάρας οὖν ἐκεῖνος τὴν φωνὴν ἅμα Λεύκωνι τῷ παρέδρῳ διεκίνουν πρὸς τὸν ναόν, νομίσαντες περὶ τῆς ἐνταῦθα τὸν μάρτυρα λέγειν ζωῆς καὶ ὡς ἐπιθύσει τοῖς εἰδώλοις αὐτῶν. ὁ δὲ «Δόξα σοι» μέγα ἔλεγε, «Χριστὲ βασιλεῦ, ὅτι με ὑπὲρ σοῦ μαρτυρῆσαι κατηξίωσας». καὶ ὁ ἡγεμών· «Τί τοῦτο; τί τὰ λεγόμενα, Νίκανδρε; καὶ πάλιν θέλεις ἀποθανεῖν»; — «Ζῆσαι» εἶπεν ἐκεῖνος «ἐθέλω τὴν ἐν Χριστῷ μου κεκρυμμένην ζωήν· διὸ καὶ πρόκειμαί σοι τῷ σώματι· ποίει τοίνυν ὃ βούλει καὶ μὴ τρίβε τὸν καιρόν». ||
f. 19 τότε τοῦτον μὲν ἀφεὶς ὁ Μάξιμος, βλέψας δὲ πρὸς Μαρκιανόν, «Σὺ δὲ τί λέγεις» ἔφη, «Μαρκιανέ»; κἀκεῖνος «Εἴ τι δὴ» φησι «καὶ ὁ συστρατιώτης μου Νίκανδρος». οὕτως εἰπόντας τοὺς μάρτυρας εἶχε τὸ δεσμωτήριον.

3. Ἡμέραι παρῆλθον εἴκοσι, καὶ πάλιν τῷ Μαξίμῳ ἤχθησαν καὶ πρὸς θυσίαν ὑπ' αὐτοῦ τῶν εἰδώλων ἐξεκαλοῦντο· οἱ δὲ τῆς αὐτῆς ἐνστάσεως εἴχοντο καὶ «Τί βραδύνεις» ἔλεγον, «δικαστά; ἰδοὺ γὰρ ὁρῶμεν τὸν μετακαλούμενον ἡμᾶς ἐπὶ τὰς ἀθανάτους σκηνάς· μὴ οὖν ἐπὶ πολὺ κατέχειν θέλε· σπεύδομεν γὰρ ἰδεῖν τὸν ἡμέτερον βασιλέα Χριστόν». τότε δίδωσιν ὁ δυσσεβὴς κατ' αὐτῶν τὴν ἀπόφασιν ξίφει τμηθῆναι τὰς αὐτῶν κεφαλάς. ἤγοντο γοῦν τὴν ἐπὶ θάνατον οἱ καλλίνικοι χαίροντες, εἵποντο δὲ τούτοις σὺν ἄλλῳ πλήθει τῷ

3 *ἤλειφε: εἴληφε* cod. || 7 *τεθνᾶναι* || ibid. *ante βούλομαι quattuor fere litterae erasae* || ibid. *τοῦδε bis scriptum* || 8 *καὶ ante τὴν delevi* || 14 *δίδωσιν* **inserui** *(nescio an praeter hoc verbum etiam dierum numerum omiserit scriba)* || 23 *κεκρυμένη* || 31 *βραδύνησ*

μὲν Νικάνδρῳ αὐτή τε γαμετὴ καὶ Παπιανὸς ὁ Πασικράτους τοῦ μάρτυρος | ἀδελφός, ἐπ' ὤμων αὐτοῦ τὸν παῖδα τοῦ Νικάνδρου col. 2 *βαστάζων, τῷ Μαρκιανῷ δὲ οἱ κατὰ γένος προσήκοντες καὶ ἡ βοηθὸς αὐτῷ τοῦ βίου καὶ κοινωνός, μὴ κατὰ βοηθὸν οὖσα, κατ' ἐχθρὸν δὲ τοῖς αὐτοῖς βάλλουσα λόγοις καὶ «Ταῦτά ἐστι» λέγουσα, «Μαρκιανέ, ἅ μοι κατὰ τὴν φυλακὴν διελέγου, ὅτι μὴ φοβοῦ, γύναι, μὴ κλαῖε, ταῦτα; οἴμοι, τί τοῦτο; πῶς οὐκ ἀποκρίνῃ μοι, ἄνερ; πῶς οὐκ ἐπιστρέφῃ μου τῆς συζύγου; οὐ δυσωπεῖ σε χρόνος τῆς συνοικήσεως, οὐ δυσωπεῖ σε παῖς οὗτος ὁ φίλτατος ἀπορφανιζόμενος; οἴμοι, τί μεμίσηκας τοὺς ποθοῦντάς σε»; τοιαῦτα δι' αὐτῆς ὁ νοητὸς ὄφις καθ' ἃ τῷ πρωτοπλάστῳ πάλαι διὰ τῆς Εὔας τῷ Μαρκιανῷ λαλήσας οὐκ ἔσεισε τὸν πύργον τῆς αὐτοῦ διανοίας, οὐ κατέαξε τὸν ἀδάμαντα. ἐπιστραφεὶς γὰρ ὁ μάρτυς πρὸς αὐτήν, «Ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων || γυναικῶν ἐλάλησας», ἔφη, «ἵνα τί σου τὸν* f. 19v *λογισμὸν ὁ σατανᾶς παρασάλευσεν; ἀπόστηθι τοίνυν μου, γύναι, μὴ ἐμποδών μου γίνου πρὸς τὸ μαρτύριον».*

4. Οὕτως ἔφη, καί τις αὐτῷ χριστιανός (Ζωτικὸς ἦν ὁ καλός) «Εὐθύμει» λέγει, «Μαρκιανέ· σπεῦδε πρὸς τὸ βραβεῖον μικρὸν ὅσον, καὶ τοὺς στεφάνους λήψῃ τῆς μαρτυρίας· ἀλλὰ μνήσθητι καὶ ἡμῶν, μετέχων τῶν οὐρανίων καλῶν». ἀπαχθέντων οὖν ὅμως ἐπὶ τὸν τῆς τελειώσεως τόπον ὁ Μαρκιανὸς πρὸς τὸν Ζωτικὸν «Κάλεσον» ἔφη «τὴν σύνοικον». καὶ ὃς ἐκάλεσε ταύτην, καὶ λαβόμενος ὁ μάρτυς τοῦ παιδὸς ἀπὸ τῶν χειρῶν αὐτῆς κατησπάσατο τοῦτο καὶ πάλιν δοὺς πρὸς αὐτήν, «Ἀναχώρησον» ἔφη, «γύναι· οὐ δυνήσῃ γάρ με κατιδεῖν μαρτυροῦντα, τῆς διανοίας σου παρασαλευθείσης ὑπὸ τοῦ πονηροῦ». ταύτης οὖν ἀποστάσης ἡ τῷ ὄντι βοηθὸς τοῦ Νικάνδρου ⟨διὰ τοῦ Μαρκιανοῦ⟩ προσῆλθεν αὐτῷ, | «Ἀνδρίζου» λέγουσα, «καρ- col. 2 *τερόμαρτυς, ἀνδρίζου καὶ ἴσχυε· καὶ γὰρ ἀπόκειταί σοι τῆς δικαιοσύνης ὁ στέφανος· νῦν ἐγὼ μακαρία, μάρτυρος λεγομένη γυνή».*

5. Οὕτω καὶ ταύτης εἰπούσης οἱ στρατιῶται μόνους ὑμᾶς ἀπολαβόντες, πανάριστοι καὶ παγγέραστοι μάρτυρες, ξίφει τὰς τιμίας ὑμῶν ἀπέτεμον κεφαλάς, ἐνάτην ἄγοντος τοῦ Ἰουνίου μηνός. ἄνδρες δέ τινες θεοφιλεῖς, καλῶς ποιοῦντες, εὐπρεπῶς ὑμῶν τὰ λείψανα θάπτουσι. καὶ νῦν οἰκοῦντες τοὺς οὐρανοὺς καὶ τὰς ὑπὲρ ἡμῶν πρεσβείας ποιούμενοι, νέμοιτε καὶ βασιλεῖ ἡμῶν τῷ χρηστῷ

1 *αὐτὴ τὲ* || 3 *καταγένοσ* || 5 *ταῦτα ἔστι* || 10 *ποθοῦντασσε* || 11 *καθὰ* || 12 *πῦργον* || 15 *σατανὰς — γῦναι* || 16 *ἐμποδ(ῶν)* || 20 *Ἀπαχθέντων* || 24 *γῦναι* || 25 *κατίδεῖν μαρτυροῦ|τα* || 27 *διὰ τοῦ Μαρκιανοῦ* ***videntur delenda*** || 35 *χριστῷ*

35 sqq. ***eis quae sunt inter*** *νέμοιτε* ***et*** *πρέπει* (p. 30, 5) ***lineola obliqua inducta deletis manus recentior spatio vacuo columnis interposito haec inscripsit:*** *νέμοιτε ἡμῖν εἰρήνην καὶ ἐπιείκειαν καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς ἡμῶν εὐαρέστως πολιτεύεσθαι Χριστῷ τῷ Θεῷ ἡμῶν, ὅτι αὐτῷ πρέπει δόξα κτλ.*

καὶ πράῳ καὶ φιλομάρτυρι μόνιμον καὶ διαρκὲς τὸ βασίλειον, ἰλύος παθῶν ἀμέτοχον, χαλεπῶν πολέμων ἐλεύθερον, ἀπηνῶν βαρβάρων ἀνώτερον, ἡδὺ καὶ καλὸν καὶ εὐφρόσυνον, λύπης πάσης ἀμέθεκτον, πάντων κακῶν ὑψηλότερον καὶ Θεοῦ βασιλείας ἐπάξιον, ὅτι Χριστῷ [*f. 20*] *τῷ Θεῷ ἡμῶν πρέπει || ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ι΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙ ΑΝΤΩΝΙΝΗΣ.

1. Τὰ κατὰ τὴν παρθένον Ἀντωνῖναν καὶ τὸν Ἀλέξανδρον τοῦ λόγου βουλομένου διαλαβεῖν, οὐκ ἔδωκεν ἡ ἱστορία ποσῶς γνῶναι, τίνων τε γονέων καὶ οἵας τῆς χώρας καὶ τίνος ἐπὶ βασιλέως μεμαρτυρήκασιν, ἵν᾽ ὑμῶν ταῦτα ταῖς φιλοθέοις ὑφαπλώσωμεν ἀκοαῖς, ἢ μόνον ὅτι Κροδάνης ἐξώρμηντο κώμης καὶ Φῆστος αὐτοῖς ἡγεμὼν ὁ τὰς κολάσεις ἐπαγαγών. καὶ ξένον οὐδέν· οἷς γὰρ πατρὶς ἡ ἄνω Σιών, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός, καὶ πατὴρ αὐτὸς οὗτος κατὰ τὸν τῆς χάριτος λόγον καὶ συμπολῖται τῶν ἁγίων οἱ δῆμοι, τίς ἡ τῶν κάτω χρεία γνωρισμάτων τε καὶ διηγημάτων; ἔνθεν τοι καὶ πρὸς αὐτὸ τὸ μαρτύριον τὸν λόγον ἀγάγωμεν.

2. Ἡ σεμνοτάτη τῶν γυναικῶν, ἡ καλὴ αὕτη καὶ σοφὴ Ἀντω- [*col. 2*] *νῖνα, παρθενίᾳ συζῶσα καὶ σεμνῶς | τὸν βίον ἀνύουσα, συλλαμβάνεται παρὰ τῶν τοῦ σκότους ὑπηρετῶν καὶ τῷ τοῦ Φήστου προσάγεται βήματι, τὸ εἶναι χριστιανὴν μόνον αἰτιω[μέ]νη καὶ τὸ τὸν Χριστὸν Θεὸν κηρύττειν καὶ τοῦ παντὸς ποιητήν. καὶ ὅρα μοι τὴν τοῦ πολυμόρφου τούτου Φήστου κακόνοιαν· ὑπούλως πως καὶ δολερῶς ὑπέρχεται ταύτην ὁ δυσσεβής, ἵν᾽ ἐντεῦθεν ἐκλύσῃ τὸ τοῦ θήλεος, ὡς ὑπενόει, χαῦνον καὶ οὕτω συλήσῃ καὶ πρὸς τὸν ἴδιον ἀγάγῃ σκοπόν. «Κυρία» γὰρ ἔλεγεν «Ἀντωνῖνα, σεμνοτάτη παρθένε, γυναικῶν ἡ τερπνότης, πάνυ σε τοῦ κάλλους ἄγαμαι καὶ θέλω τῆς μεγάλης Ἀρτέμιδος καταστῆσαι ἱέρειαν, ἀλλὰ μὴν καὶ κυρίαν καὶ*

10 *ἀν$\overset{τ}{ῶ}$|νίναν* || 12 *τίνων τὲ—ἐπιβασιλέωσ* || 17 *συμπολίται* || 18 *τὲ* || 19 *ἔνθέν τοι* || 20 *Ἡ σεμνοτάτη — αὔτη — ἀντωνίνα* || 22 *φίστου* || 23 *αἰτιω|νη* (**με litteris omissis**) || 25 *πῶσ* || 28 *ἀντωνίνα* || 29 *κάλουσ*

δέσποιναν τῶν ἐμῶν καὶ ψυχὴν αὐτήν, εἰ οἷόν τε, ποιῆσαι· μόνον θῦσαι θέλησον τοῖς θεοῖς».

3. *Καὶ ταῦτα μὲν ὁ πανοῦργος· ἡ δὲ παρθένος ἐπ' ὀλίγον μὲν σιωπᾷ, νοῦν ὥσπερ συνάγουσα, εἶτα δὲ καὶ πρὸς αὐτὸν ἀποκρίνεται· || «Τί μοι τοιαύτας, ἡγεμών, χαρίζῃ τὰς δωρεάς; μὴ γένοιτό* f. 20v *μοι μηδ' εἰς νοῦν αὐτὸν ἀναβῆναι τὴν σὴν συμβουλήν· ἀλλ' εἴ μοι πείθῃ, πάντως αὐτὸς πίστευσον εἰς Χριστόν, καὶ ἕξεις τιμὴν καὶ θησαυροὺς ἐν οὐρανοῖς ἀκενώτους». καὶ ὁ Φῆστος· «Ἐσταυρωμένῳ πῶς ἂν ἔχοιμι πιστεῦσαι Θεῷ; μάταιον ἄρα τοῦτο». καὶ ἡ ἁγία «Ναί» φησιν, «ἐσταύρωται Χριστός, οὐκ ἀρνήσομαι· πλὴν ἀλλὰ καὶ ἀνέστη ταφεὶς τὴν τρίτην ἡμέραν κἀν τῇ τοῦ πατρὸς κάθηται δεξιᾷ, καθ' ἃ προφητεύει Δαυὶδ λέγων· Ἐἶπεν ὁ κύριος τῷ κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου', ὑμᾶς ἐχθροὺς πάντως προσαγορεύων». καὶ ὁ ἡγεμὼν «Ἀφεμένη τῶν πολλῶν τούτων λόγων» ἔφη «θῦσον τοῖς θεοῖς προσιοῦσα καὶ σώθητι, τιμῶν μεγίστων ἀξιουμένη».— «Οὐ θύσω τούτοις» ἡ μάρτυς εἶπεν, «δαίμοσιν οὖσι· γέγραπται γάρ· οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια». καὶ ὁ Φῆστος· | «Τοὺς θεοὺς δαίμο-* col. 2 *νας λέγεις, κακὴ κεφαλή, καὶ οὐ πτοῇ, μή σε ταῖς ἐν Ἅιδου κολάσεσι παραπέμψουσι»; καὶ ἡ μάρτυς «Οἷς οὐκ ἔστιν ἰσχὺς» εἶπεν, «οἷς οὐκ ἔστιν ὑπόστασις, οὐ θεοὶ πάντως εἰσίν, ἀλλὰ δαίμονες. καὶ πῶς οὗτοί με ταῖς ἐν Ἅιδου κολάσεσι παραδώσουσιν, οἷς ἡτοίμασται τὸ πῦρ καὶ οἵτινες δραπετεύουσι μόνῃ τῇ τοῦ Χριστοῦ ἐπικλήσει»; καὶ ὁ ἡγεμὼν «Πληρώσατε ῥαπισμάτων τὰς αὐτῆς σιαγόνας» τοῖς στρατιώταις ἔφη. «Νὴ τοὺς θεοὺς γάρ», ἐπιστραφεὶς πρὸς αὐτὴν εἶπεν, «εἰ μὴ πεισθῇς, Ἀντωνῖνα, τῷ αὐτοκράτορος δόγματι, σφοδρῶς αἰκίσω καὶ εἰς πορνεῖόν σε πέμψω, εἶθ' οὕτω καὶ πυρὶ κατακαύσω σε. πλὴν σκέψαι, μὴ ἀπροόπτως οὕτω τοῖς δεινοῖς ἐμπεσοῦσα μεταμεληθῇς, ὅτε μηδὲν ὠφελήσεις».— «Ἐσκεψάμην» ἡ μάρτυς εἶπε «καὶ δαίμοσιν ἔγνων μὴ θῦσαι· λοιπὸν ὃ βούλει πράττε». τότε δίδωσι || ταύτην ὁ ἡγεμὼν τῇ φρουρᾷ,* f. 21 *παραγγείλας τῷ φύλακι μηδὲν εἰς αὐτὴν ἐνδείξασθαι πονηρόν, μάλιστα δὲ παραινέσαι τοῖς ἡμετέροις ὑπεῖξαι θελήμασιν. εἰσαχθεῖσαν οὖν ἐν τῇ φυλακῇ πλείστοις ὁ φύλαξ παρεκάλει τοῖς λόγοις, ἀλλ' οὐδαμῶς πειθομένην εἶχεν αὐτήν, οὔτε μὴν ὦτα τοῖς λεγομένοις διδοῦσαν.*

6 *μήδεισ* || 10 *Ναί φη(σιν) — 'ἐκαρ|νήσομαι· πλὶν ἀλλὰ* || 12 *καθὰ* || 22 *οὔτοι με* || 25 *νη τοὺσ* || 26 *πεισθείσ αντωνίνα* || 27 *πορνεῖον σε* || 29 *μεταμεληθείσ — μήδὲν* || 30 *εἶπεν* || 32 *μὴ|δὲν*

12—14 *Εἶπεν — τῶν ποδῶν σου*: Psalm. 109 (110), 1.

4. Ἡμέραι παρῆλθον τρεῖς, καὶ περὶ δευτέραν ὥραν τῆς τελευταίας αἴφνης γίνεται μεγάλη βροντή, τῆς φυλακῆς αἱ θύραι συρρήγνυνται καὶ φωνὴ τῶν οὐρανῶν ἔρχεται, «Ἀντωνῖνα» λέγουσα, «μὴ φοβηθῇς τὰς ἀπειλὰς τοῦ τυράννου, μετὰ σοῦ γὰρ εἰμί· φάγε τοίνυν ἀναστᾶσα καὶ πίε καὶ στῆθι γενναίως πρὸς τὰς αὐτοῦ μηχανάς». μετασχοῦσα τοίνυν ἡ μάρτυς ἄρτου καὶ ὕδατος πρὸς ὕπνον ἐτράπη. πρωΐας δὲ γενομένης πρὸς ἐξέτασιν ἄγεται, καὶ φωνὴ πορευομένης αὐτῆς καὶ εὐχῇ προσκειμένης γίνεται, «Μὴ col. 2 φοβοῦ» λέγουσα, «μάρτυς, ἐγὼ γάρ εἰμι | μετὰ σοῦ». πορευθεῖσα τοίνυν καὶ πρὸ τοῦ ἡγεμόνος σταθεῖσα σεμνῶς ἡ μάρτυς ἐγέλασε, καὶ «Τί δὲ γελᾷς» πρὸς αὐτὴν εἰπόντος αὐτοῦ, ἐκείνη «Τὸν θρόνον εἶδόν σου, βέβηλε, καθαιρούμενον» ἔφη «καὶ διὰ τοῦτο σοῦ κατεγέλασα». μαίνεται τούτων ἀκούσας ὁ ἄθλιος καὶ κελεύει ταύτην κρεμασθεῖσαν σπαθίζεσθαι. ἡ δὲ καὶ οὕτω πάσχουσα τῆς εὐχῆς οὐκ ἀφίστατο, ἀλλ' ἦν εὐχαριστοῦσα Θεῷ, ὅτιπερ τοῦ κλήρου κατηξίωτο τῶν μαρτύρων· ἐδέετο καὶ τὴν καθαίρεσιν ἐν τάχει τοῦ τυράννου γενέσθαι.

5. Ἤκουσε τῶν λόγων ἐκεῖνος καὶ θυμοῦ γεμισθεὶς τοῖς στρατιώταις ἐκέλευσεν ἀγαγεῖν ταύτην εἰς πορνεῖον. εἰσαχθείσης οὖν αὐτῆς ἄγγελος κυρίου τῶν στρατιωτῶν ἑνὶ ἐπιφαίνεται, νέῳ τὴν ἡλικίαν καὶ κοσμίῳ τὴν σύνεσιν — ὁ καλὸς ἦν οὗτος Ἀλέξανδρος, ἔτος ἄγων τῆς ἡλικίας τρίτον καὶ εἰκοστόν, — καί φησι πρὸς αὐτόν· f. 21v «Ἀλέξανδρε, τὸ τάχος ἀναστὰς || πρὸς Ἀντωνῖναν εἴσελθε τὴν παρθένον καὶ σκεπάσας αὐτὴν τῇ χλανίδι σου τοῦ πορνείου ἐξάγαγε». γίνεται τοῦτο, καὶ πίπτει πρὸς τοὺς πόδας τῆς ἁγίας Ἀλέξανδρος, «Δούλη τοῦ Θεοῦ» λέγων, «ὁ κύριος ἀπέστειλέ με πρὸς σέ». καὶ ἅμα καταλέγει τὰ παρὰ τοῦ ἀγγέλου ῥηθέντα· ἔκπληκτος οὖν ἡ μάρτυς γενομένη καὶ ἔκθαμβος διεταράχθη πρὸς τοῦτο· φωνὴ δὲ πάλιν ἦλθε, «Μὴ φοβοῦ» λέγουσα πρὸς αὐτήν· «ἰδοὺ γὰρ καὶ Ἀλέξανδρος ἐκλήθη πρὸς τὸ μαρτύριον· λάβε τοίνυν αὐτοῦ τὴν χλανίδα καὶ κατὰ τὸ λαληθέν σοι ποίησον· πλὴν πρόσελθε τῷ ἡγεμόνι, καλυψαμένη τῇ χλανίδι τὴν κεφαλήν, καὶ λάλησον ὡς βούλει τούτῳ, καὶ οὕτω σου πορεύθητι τὴν ὁδόν».

6. Τελεῖται καὶ τοῦτο· προσελθούσης γὰρ τῷ Φήστῳ τῆς μάρτυρος καὶ «Ποίει λοιπόν» εἰπούσης «ὃ βούλει» καὶ ἀπιούσης, τὸν col. 2 Ἀλέξανδρον ἐκεῖνος ὑπολαβὼν εἶναι | καὶ μηδὲν ἐργάσασθαι καὶ τοῦτον λέγειν οὕτω πρὸς αὐτόν (μεμαθήκει γάρ, ὡς εἰσῆλθε πρὸς

3 ἀντωνίνα || 5 ἀναστάσα || 11 τί δε γελάσ || 12 εἶδον σου — διατοῦτο σου || 16 τυράνου || 22 ἰκοστὸν ς' φησὶ || 23 ἀντωνίναν || 24 πορνίου || 37 τοῦτον correctum e τούτο

τὴν παρθένον), τέσσαρας ὁμοῦ στρατιώτας ὁ κατάρατος ἐξέπεμψε πρὸς αὐτὴν εἰς τὸ καταχρήσασθαι ταύτῃ καὶ οὕτως ἐξαγαγεῖν τοῦ πορνείου. πορευθέντες οὖν οὗτοι καὶ τὸν Ἀλέξανδρον μόνον εὑρηκότες ἐκεῖσε, «Τί τοῦτο»; πρὸς αὐτὸν εἶπον ἔκθαμβοι· «τί τὸ συμβάν; ποῦ Ἀντωνῖνα; καὶ πῶς αὐτὸς ὑπολέλειψαι μόνος»; ἐκείνου δὲ μηδὲν αὐτοῖς ἀποκρινομένου, λαβόντες αὐτὸν ἄγουσι πρὸς τὸν ἡγεμόνα, «Τοῦτον εὕρομεν μόνον» εἰπόντες. καὶ ὃς ἐκπλαγεὶς φησὶ πρὸς αὐτόν· «Τί ἐστιν, Ἀλέξανδρε; ποῦ τὸ ἀνόσιον γύναιον; εἰπὲ τὸ τάχος, ἀνόσιε· πάντως πεπορνευκὼς αὐτὴν ἀφῆκας ὑπάγειν, δοὺς αὐτῇ καὶ τὴν χλανίδα σου καὶ συνθέμενος ὁμόκοιτον αὐτήν σοι γενέσθαι. ἀλλ' οὐχ οὕτως ἔσται σοι, οὐδέ μου || τὰς χεῖρας f. 22 ἐκφύγῃς».

7. Καὶ ἅμα τὴν σύντροφον ὑπεκκαύσας ὀργὴν κρεμασθῆναι κελεύει τὸν Ἀλέξανδρον καὶ σπαθίζεσθαι. τοῦ δὲ πρὸς οὐρανὸν τοὺς ὀφθαλμοὺς ἔχοντος καὶ ὅθεν αὐτῷ περιμένοντος ἡ βοήθεια ἥξει, φωνὴ γίνεται πρὸς τὸν Φῆστον, «Ἵνα τί τὸν ἀναίτιον» λέγουσα «κολάζεις, ταλαίπωρε»; τῆς φωνῆς οὖν ἀκουσθείσης εἰς πάντας, ἐκεῖνος κατάγει τοῦτον τοῦ ξύλου καὶ πρὸς τήρησιν δίδωσιν. ἡμέραι πέντε παρῆλθον, καὶ παρίστησιν αὐτὸν καὶ πάλιν ἐπὶ τοῦ βήματος καὶ «Ποῦ ἄρα» φησὶν «Ἀντωνῖνα; καὶ τί διέσκεψαι περὶ σαυτοῦ»; καὶ ὁ μάρτυς· «Ὅπου μὲν ἡ Ἀντωνῖνα, οὐκ οἶδα· τοῦτο δὲ οἶδα, ὡς χριστιανὸς ἐγὼ καὶ Χριστοῦ δοῦλος καὶ ἕτοιμος παθεῖν ὑπὲρ αὐτοῦ καὶ ἀποθανεῖν».

8. Τούτων οὖν λεγομένων ὁ μεγάλα ποιῶν Θεὸς καὶ θαυμάσια τὴν μάρτυρα καταλαβεῖν τὸν ἡγεμόνα κελεύει καὶ τὸν τῆς μαρτυρίας δρόμον δραμεῖν. ἦλθεν ἡ παρ|θένος καὶ παρέστη τῷ βήματι col. 2 καὶ «Τί δή με ζητεῖς, ἄθλιε»; πρὸς τὸν τύραννον εἶπεν· «ἥκω σου τοίνυν τὴν ἰσχὺν καθελεῖν». ἐξεπλάγη ταύτην ἰδὼν ὁ παράνομος, εἶτα καὶ συλληφθῆναι κελεύει καὶ τῷ ξύλῳ τάχος ἀναρτηθῆναι καὶ ξέεσθαι δεινῶς τὰς πλευράς. τούτου οὖν γενομένου κατενεχθῆναι ταύτην προστάττει καί φησιν· «Εἰπέ μοι, γύναι, εἰ ἀληθῶς ἡ Ἀντωνῖνα σὺ καὶ εἰ παρθένος συντετήρησαι καὶ ἀμίαντος»; καὶ ἡ μάρτυς «Ἀνόσιε» λέγει «καὶ πάσης ἀσεβείας μεστέ, τετύφλωσαι τοὺς ὀφθαλμούς, ὥσπερ δὴ καὶ τὸν νοῦν, καὶ οὐθ' ὁρᾷς οὔτε μὴν συνίῃς, ὡς Ἀντωνῖνα τυγχάνω καὶ ὡς δυνατὸς ὁ Θεός μου συντηρεῖν με ἄφθορον». καὶ ὁ ἡγεμών· «Καὶ εἰ παρθένος πεφύλαξαι, θῦσον τοῖς θεοῖς σὺν Ἀλεξάνδρῳ καὶ σώθητε». τότε τὴν φωνὴν ὑψώ-

2 οὗτοσ || 4 συμβᾶν || 5, 20, 21, 31, 35 ἀντωνίνα || 6 μὴ δὲν || 13 ὑπεκαύσ(ας) || 18 δίδοσιν || 27 τύρανον || 31 ϛ' φησίν || 34 συνίεισ || 35 συντηρεῖμε

σαντες «Μὴ γένοιτο» εἶπον, «Χριστὲ βασιλεῦ, ἀρνήσασθαί σε καὶ *f. 22v* θῦσαι δαίμοσι ψυχοφθόροις ποτέ». καὶ || ἅμα πρὸς τὸν τύραννον «Εἴπομέν σοι, παράνομε, πολλάκις» εἶπον· «οὐ θύσομεν θεοῖς ματαίοις, οἷς οὐκ ἔστιν ἰσχύς· ποίει τοίνυν τὸ σοὶ παριστάμενον».

9. Τότε θυμομαχήσας ὁ τύραννος κελεύει μαχαίρᾳ τὰς χεῖρας αὐτῶν ἐκκοπῆναι, εἶτα κρεμασθέντας ξέεσθαι. γενομένου δὲ τούτου καὶ ὕβρεσι τῶν ἁγίων καθαπτομένων αὐτοῦ, λάκκον ἐκεῖνος ὀρυγῆναι προστάττει καὶ πυρὰν ὅτι μεγίστην εἰς αὐτὸν ἀναφθῆναι, πίσσῃ τε τοὺς ἁγίους ὑγρᾷ διαχρισθῆναι κἀν τῇ πυρᾷ βληθῆναι καὶ ξηρὰν αὐτοῖς ἐπιρραίνεσθαι πίσσαν, εἶτα καὶ τὸν λάκκον ἄνωθεν γῆς ἐπιχῶσαι συγκομιδῇ, ἵνα μή, φησίν, οἱ χριστιανοὶ τὰ σώματα τούτων εὑρόντες τιμήσωσι. γέγονε ταῦτα, καὶ τὸ μακάριον, ὦ καλλίνικοι, τέλος ἐν αὐτοῖς ἀπηνέγκασθε, δεκάτην ἄγοντος τοῦ Ἰουνίου μηνός.

10. Καὶ νῦν, ὦ πανθαύμαστοι, Χριστῷ συμπαριστάμενοι καὶ *col. 2* τοὺς στεφάνους τῆς νίκης παρὰ τῆς αὐτοῦ παντοδυνάμου | χειρὸς κομιζόμενοι, αἰτήσασθε βασιλεῖ ἡμῶν τῷ πᾶσιν ἐν Θεῷ διαπρέποντι καλοῖς μεγίστου φρονήματος χάριν, ἰσχυρὰ καὶ σταθηρὰ τὰ κατ' ἐχθρῶν ἐννοήματα, χρηστὰ καὶ ἀγαθὰ τὰ ὑπὲρ ὑπηκόων ἐπενθυμήματα, ἀνώτερα παντὸς ἐναντίου τὰ καλῶς αὐτῷ σπουδαζόμενα, ἡλίου λάμποντα δίκην τὰ κατορθώματα, λαμπρῶν ἀστέρων ἀριθμῷ εἰκαζόμενα, πάσης ἐχθρῶν κακοβουλίας ⟨ὑπερ⟩ καὶ πάντων τῶν συμβαινόντων ὑπέρτερα συντηρούμενα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ια'.

ΠΕΡΙΟΔΟΙ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΒΑΡΘΟΛΟΜΑΙΟΥ ΚΑΙ ΒΑΡΝΑΒΑ.

1. Καὶ τὸ τῶν ἄλλων ἁγίων τοὺς βίους διεξιέναι καὶ τὰ παλαίσματα βιωφελὲς ἅμα καὶ δίκαιον· τὸ δὲ καὶ τῶν ἀποστόλων τὰς περιό- *f. 23* δους, ναὶ δὴ καὶ τοὺς ἀγῶνας παρα||διδόναι γραφῇ πλέον εἰς εὐφρο-

2 τύρανον || 5 τύραθ — μαχαῖρα || 9 ὑγρὰ || 22 ὑπερ (sine acc. scriptum) delevi || 31 εὐ|φροσσόνησ

σύνης ὑπερβολὴν ἔστι τε καὶ νομίζεται. διὸ δὴ καὶ τὰ τῶν σήμερον προτεθέντων τούτων, Βαρθολομαίου καὶ Βαρνάβα φημί, διεξελθεῖν ἀναγκαῖον ἐν ἐπιτόμῳ συνεῖδον, ἵν' ἔχοιεν οἱ των καλῶν ἐρασταὶ σαφῶς εἰδέναι, ὅπου τε ἕκαστος τὸν λόγον ἐκήρυξε καὶ οἵῳ τέλει τὸν βίον κατέλιπεν. ἀρκτέον δὲ οὕτως τῆς διηγήσεως.

2. Βαρθολομαῖος ὁ πάντιμος, ὁ τῆς εὐσεβείας διδάσκαλος καὶ τῶν Χριστοῦ φύλαξ ἐντολῶν ἀκριβέστατος, ὁ τῆς δωδεκάδος τῶν ἀποστόλων σύγκληρος καὶ τῶν πλανωμένων ἀπλανὴς ὁδηγός, τῆς εὐδαίμονος Ἀραβίας κῆρυξ γνωρίζεται καὶ διδάσκαλος· αὕτη γὰρ αὐτῷ κεκλήρωτο παρὰ τῆς τοῦ πνεύματος χάριτος· ἣν καὶ καταλαβὼν καὶ τὸν σπόρον καταβάλλων τῆς πίστεως, οὐκ ἔστιν εἰπεῖν ὅσοις ὑπεβλήθη παρ' αὐτῶν τοῖς κακοῖς, νῦν μὲν διωκόμενος, νῦν δὲ τυπτό|μενος, ἄλλοτε πάλιν καὶ καθειργνύμενος, λιμῷ τε καὶ δίψει col. 2 *καταπονούμενος, κρυμῷ καὶ καύσωνι προσταλαιπωρούμενος καὶ τέλος πᾶσαν ὡς εἰπεῖν δεχόμενος κάκωσιν, πᾶσαν αἰκίαν, πᾶν εἶδος χαλεπῆς τιμωρίας, ὅμως ὀψέποτε πολλοὺς φωτίσας τῷ θείῳ βαπτίσματι καὶ πολλοὺς πρὸς τὴν ἐπίγνωσιν ἑλκύσας τῆς ἀληθείας, τὸ κατὰ Ματθαῖον αὐτοῖς καλῶς εὐαγγέλιον παραδέδωκε, τῇ ἰδίᾳ τοῦτο γεγραφὼς διαλέκτῳ, καὶ δὴ καὶ ἐκκλησίας αὐτοῖς συστησάμενος καὶ πρεσβυτέρους ταύταις καταστησάμενος.*

3. Ἐπεὶ οὖν καλῶς εἶχεν αὐτῷ ταῦτα καὶ κατὰ σκοπὸν τὸν προσήκοντα, τούτων ἀπαναστὰς ἐν Ἀλιβανίᾳ πόλει τῆς Μεγάλης Ἀρμενίας ἀπαίρει, καταγγέλλων κἀν ταύτῃ τὸ τοῦ Χριστοῦ εὐαγγέλιον [καὶ] πολλοὺς ἐνάγων πρὸς τὴν ἀλήθειαν, πολλαῖς πρότερον προσταλαιπωρήσας κἀνταῦθα καὶ ἀναριθμήτοις || ταῖς θλίψεσιν. f. 23v *ἐκεῖθεν δὲ πρὸς Ἀρβανούπολιν ἔρχεται καὶ διδάσκει Θεὸν τὸν Χριστὸν καὶ τῶν ὅλων δημιουργόν· ἐν ᾗ πλεῖστα παθὼν τὰ δεινά, τέλος καὶ σταυρῷ παραδίδοται καὶ οὕτω τὸν βίον ἀλλάττεται.*

4. Ἀλλ' οὐκ ἔστησαν μέχρι τούτου τὰ τοῦ πονηροῦ σπέρματα, οἱ τῶν δαιμόνων θεραπευταί, ἀλλὰ δὴ καὶ μολυβδίνῃ λάρνακι τοῦτον ἐμβαλόντες οἱ ἄθεοι τῇ θαλάσσῃ δεδώκασι. Θεὸς δὲ μὴ ἀμελῶν τοῦ ἰδίου θεράποντος διασώζει ταύτην μέχρις αὐτῆς Σικελίας. καὶ γὰρ ἐν Λιπάρῳ τῇ νήσῳ τῆς λάρνακος ἐκβρασθείσης, οἱ κάτοικοι χριστιανοὶ διαγνόντες, ὅ τι καὶ εἴη, θείας ἀποκαλύψεως γνωρισάσης αὐτοῖς, ὡς ὁ Βαρθολομαίου νεκρός ἐστι, φιλοτίμως αὐτὸν κατατίθενται καὶ σεμνῶς. καὶ ταῦτα μὲν εἰς τοσοῦτον τὰ περὶ τούτου.

1 ἔστι τὲ || 2 δἱεξελθεῖν || 3 ἴϑέχοιεν || 4 τὲ || 7 ἐνόλῶν (τ supra o) || 9 κήρυξ || 13 λιμῶ τὲ || 14 πρὸσ ταλαι|πωρούμενοσ || 18 καταματθαῖον || 21 Ἐπεῖ — κατασκοπὸν || 22 ἐναλιβανία || 23 καταγγέλων || 24 καὶ *inserui* || 30 μολιβδίνῃ || 34 εἴη]εἶεν || 36 τοσούτον

5. Ὁ δέ γε καλὸς Βαρνάβας, ὁ τῷ χορῷ τῶν ἑβδομήκοντα col. 2 φαιδρὸς ἐκλάμπων ὡς ἥλιος, | τὸ τῶν Κυπρίων σεμνὸν ἐγκαλλώπισμα, τῆς Λευῒ φυλῆς καὶ οὗτος ἐξώρμητο, Σαμουὴλ ἀπὸ τοῦ προφήτου σαφῶς κατάγων τὸ γένος. καὶ γὰρ οἱ τούτου πρόγονοι πολέμων ἐν περιστάσεσι τὴν Κύπρον κατειληφότες, φιλοτίμως ᾤκουν αὐτήν, ἐπιφανέστατοι καὶ τῶν εὐπόρων τυγχάνοντες. ὅθεν καί, ὥς φησι Κλήμης ὁ Στρωματεύς, περικαλλέστατον ὅτι κτῆμα τοῖς Ἱεροσολύμοις καταλελοίπεσαν, οὗ τὸ δίκαιον τῷ Βαρνάβᾳ κατεκληρώσαντο, κατὰ τὴν Κύπρον τεχθέντι καὶ παιδὶ χρηματίζοντι. τοῦτον οὖν οἱ γονεῖς ἄρτι πρόσηβον ὄντα πρὸς Ἱεροσόλυμα στείλαντες τοὺς προφήτας παιδεύεσθαι καὶ τὸν νόμον ἔσπευδον· ἃ δὴ καὶ ἐξεπαιδεύετο παρὰ τοὺς πόδας Γαμαλιήλου (νομοδιδάσκαλος οὗτος), ἔχων συμφοιτητὴν τὸν ἀπόστολον Παῦλον, Σαῦλον τέως ὀνομαζόμενον. οὕτως οὖν ἐξεπαιδεύθη τὸν νόμον, ὡς μὴ δέεσθαι βίβλων.

f. 24 6. Ἄρτι δὲ τὸν παράλυτον ὁ σωτὴρ ἰασάμενος κατὰ τὴν || προβατικὴν εἶχε θεατὴν τοῦ θαύματος τὸν Βαρνάβαν. διὸ καὶ πρὸς τὰ βάθη τῆς αὐτοῦ καρδίας ἀποβλεψάμενος καὶ λόγου μετέδωκε καὶ παρρησίας τῆς πρὸς αὐτόν. ὁ τοίνυν Βαρνάβας τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, ὃς ἐπελέγετο Μάρκος, καταλαβὼν (θείαν δὲ τούτου ταύτην εἶχεν ὁ λόγος) φησὶ πρὸς αὐτήν· «Ὁ μέλλων ἔρχεσθαι, ὃν ἐπεθύμουν ἰδεῖν οἱ πατέρες ἡμῶν, ἰδοὺ παραγέγονεν». καὶ ἅμα καταλιποῦσα πάντα κατέλαβε τὸν ναὸν καὶ Χριστῷ προσπεσοῦσα πρὸς τὸν οἶκον αὐτῆς εἰσελθεῖν αὐτὸν παρεκάλει. καὶ δὴ ἀφίκετο, καὶ ἔστιν οὗτος, ἐν ᾧ τὸ πάσχα μετὰ τῶν μαθητῶν ἐπετέλεσε. λόγος δὲ ἄνωθεν εἰς ἡμᾶς καταβέβηκεν, ὡς ὁ τὸ κεράμιον βαστάζων τοῦ ὕδατος, ᾧ κατακολουθεῖν ὁ Χριστὸς τοὺς μαθητὰς ἐπέτρεψε, Μάρκος ἦν ὁ σοφός, ὁ τῆς Μαρίας ταύτης υἱός.

7. Ἐν δὲ τῷ τοιούτῳ οἴκῳ καὶ μετὰ τὴν ἀνάληψιν ἀνῆλθον col. 2 ὑποστρέψαντες οἱ μαθηταὶ | μετὰ τῶν λοιπῶν ἀδελφῶν, ἐν οἷς ἦν καὶ Βαρνάβας καὶ Μάρκος· καὶ γὰρ ὁ Βαρνάβας ἀπὸ Ἱεροσολύμων εἰς τὴν Γαλιλαίαν πορευομένῳ τῷ Χριστῷ ἠκολούθησε καὶ οὕτω τοῖς ἑβδομήκοντα συνηρίθμητο, παρακλήσεως υἱὸς ὑπὸ πάντων λεγόμενος. ἀκούσας γὰρ τοῦ κυρίου λέγοντος «Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν» καὶ τὰ ἑξῆς, μηδὲν μελλήσας τὴν ὑπολειφθεῖσαν τῶν γεννητόρων οὐσίαν πολύτιμον οὖσαν τοῖς ἐνδεέσι διαπωλήσας διένειμε, μόνον τὸν ἐν Ἱεροσολύμοις ἀγρὸν εἰς διατροφὴν ἰδίαν καταλιπών. ὃν καὶ αὐτὸν μετὰ τὴν τοῦ ἀγαθοῦ πνεύματος κάθοδον

1 Καλὸσ || 2 σεμνõν || 7 περικαλέστατον || 15 Ἄρτι || 24 ἐπετέλεσαι || 28 Εὐ || 34 μὴ δὲν με|λήσασ || 36 ἐνιεροσολύμοις — διατροφὶν || 37 τὴν *bis scriptum.*

τιμῆς ἀποδόμενος, παρὰ τοὺς πόδας αὐτὴν φέρων τῶν ἀποστόλων τέθεικεν. ἐλάλει δὲ καὶ συνεζήτει μετὰ τοῦ Σαύλου, βουλόμενος ἀγαγεῖν αὐτὸν πρὸς τὴν τοῦ κυρίου ἐπίγνωσιν. Σαῦλος δὲ τοῦ μὲν Βαρνάβα κατεγέλα, πρὸς δὲ τὸν Χριστὸν ἐβλασφήμει. βλέπων δὲ καὶ τὰ παρὰ τῶν ἀποστόλων γινόμενα θαύματα || καὶ τὸ πλῆθος f. 24v *προστιθέμενον τῷ λόγῳ τῆς πίστεως ἐδάκνετο τὴν ψυχὴν καὶ προσβαλὼν τῷ Στεφάνῳ καὶ μὴ δυνηθεὶς ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει, πρὸς ὀργὴν καὶ τοῦτον ἀνελὼν διὰ τῶν ἀτάκτων ἤγειρε διωγμὸν ἐν Ἱεροσολύμοις κατὰ τῆς ἐκκλησίας μέγαν.*

8. *Μετὰ γοῦν τὸ πηρωθῆναι τὰς ὄψεις ὁ Βαρνάβας αὐτῷ συναντήσας «Ἵνα τί τὸν εὐεργέτην» ἔφη «διώκεις; παῦσαι πορθῶν τὴν ἐκκλησίαν Χριστοῦ». οὕτως εἶπε, καὶ ὁ Παῦλος μετάμελον λαβὼν τῶν πρακτέων συγγνώμην ᾔτει καὶ Θεὸν τὸν Χριστὸν ὡμολόγει. τότε ὁ μέγας Βαρνάβας ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς ἤγαγε πρὸς τοὺς ἀποστόλους, πρόβατον αὐτὸν ἀντὶ λύκου τούτοις γνωρίσας. τότε διηγήσατο αὐτοῖς ὁ Παῦλος, πῶς ἐν Δαμασκῷ κατὰ τὴν ὁδὸν τὸν κύριον εἶδε, καὶ ἦν σὺν αὐτοῖς διδάσκων τὸν λόγον καὶ κηρύσσων ἐν Ἱερουσαλήμ. οἱ τοίνυν Ἰουδαῖοι ἀνελεῖν αὐτὸν ἐπεχείρουν· ἀλλ᾽ οἱ ἀπόστολοι πρὸς τὴν ἰδίαν | ἐξέπεμψαν αὐτὸν πατρίδα κη-* col. 2 *ρύττειν καὶ διδάσκειν τὸ εὐαγγέλιον· ἔτι μὴν καὶ τὸν Βαρνάβαν ὡς δυνατὸν τὴν ἐκεῖσε ποιμαίνειν ἁγιωτάτην ἐκκλησίαν ἐπέτρεψαν. καὶ τούτου γενομένου πολὺς προσετέθη τῷ κυρίῳ λαός.*

9. *Ἐκεῖθεν οὖν ἐξελθὼν τὰς πόλεις πάσας περιῄει καὶ χώρας καὶ μέχρις αὐτῆς κατήντησε Ῥώμης· αὐτὸς γὰρ πρὸ παντὸς ἄλλου ἐκήρυξεν ἐν Ῥώμῃ τὸ εὐαγγέλιον. εἶτα λάθρα φυγὼν τὴν Ἀλεξάνδρου καταλαμβάνει. ἐκεῖθεν πάλιν εἰς Ἀντιόχειαν ἔρχεται καὶ ἐξ αὐτῆς εἰς Ταρσὸν παραγίνεται καὶ τὸν Παῦλον εὑρηκὼς ἐν αὐτῇ καὶ εἰς Ἀντιόχειαν ἀγαγὼν ἐνιαυτὸν ὅλον ἐτέλεσε διδάσκων σὺν αὐτῷ τὸν λαόν. εἶτα μετὰ δεκατέσσαρα ἔτη, καθὼς αὐτός φησι, τοῦ σωτηρίου πάθους αὖθις κατέλαβε τὰ Ἱεροσόλυμα, καὶ λαβόντες δεξιὰς παρὰ τῶν ἀποστόλων, ὡς ἂν αὐτοὶ μὲν εἰς τὰ ἔθνη κηρύξωσιν, οἱ δὲ περὶ Πέτρον εἰς τὴν περιτομήν, κατῆλθον εἰς Ἀντιόχειαν, || ἐπαγόμενοι καὶ τὸν Μάρκον. ἀπὸ δὲ ταύτης εἰς* f. 25 *Κύπρον ἦλθον καὶ διοδεύσαντες αὐτὴν ὅλην ἀπὸ Σαλαμῖνος καὶ μέχρι τῆς Πάφου, ὅτε καὶ τὸν Ἐλύμαν ἐτύφλωσαν καὶ ἐφώτισαν τὸν ἀνθύπατον, καὶ μαθητεύσαντες ἱκανούς, ἀναχθέντες ἐκεῖθεν ἦλθον εἰς Παμφυλίαν.*

2 **τέθηκεν** || 7 **δυνηθῆσ** || 11 *γοῦν τῷ* || 22 *ποιμένειν* (ε *suprascr.*) || 27 et 33 *εἰσαντιόχειαν* || 29 *εἰς ἀντιόχιαν — ἐτέλεσεν* || 30 *αὐτὸσ φη(σί)* || 32 *δεξιᾶσ*

10. Ὁ τοίνυν Μάρκος, ἅτε νέος ὢν καὶ ἀντέχειν πρὸς τοὺς ἀγῶνας μὴ σθένων, πρὸς τὴν μητέρα κατὰ τὰ Ἱεροσόλυμα γίνεται. ὡς δὲ καὶ πάλιν ὁ Βαρνάβας καὶ Παῦλος ταῦτα κατέλαβον, ἰδὼν αὐτοὺς ὁ Μάρκος ὑπὸ πάντων ἀγαπωμένους καὶ μετὰ τοσούτους κινδύνους καὶ μάστιγας ἐρρωμένους καὶ ὑγιεῖς, πρόσεισι τῷ Βαρνάβᾳ (καὶ γὰρ ᾔδεῖτο τὸν Παῦλον) καὶ δάκρυσι τὴν συγχώρησιν ᾔτει. ὁ δὲ «Τὸ θέλημα τοῦ κυρίου γενέσθω» πρὸς αὐτὸν ἔφη· «μόνον σὺ ἕτοιμος ἔσο τὰς ὑποσχέσεις ποιεῖν». μετὰ ταῦτα προσελθὼν Βαρνάβας τῷ Παύλῳ παρεκάλει συνέκδημον αὐτοῖς γενέσθαι
col. 2 τὸν Μάρκον, ἀλλ᾽ ὁ Παῦλος οὐκ ἠ|βούλετο τοῦτο, τοῦ Θεοῦ πάντως κρεῖττον περὶ τοῦ Μάρκου προβλεπομένου.

11. Ἐντεῦθεν ἐγένετο τοῖς ἀποστόλοις παροξυσμός, οὐκ ὀργῆς ἐμπεσούσης — ἄπαγε· πῶς γὰρ οἱ εἰρηνοποιοὶ καὶ τοῦ Χριστοῦ μαθηταὶ τοῦ εἰρηνικοῦ τούτῳ εἶχον ἁλῶναι τῷ πάθει; — ἀλλὰ παροξυσμὸς ζήλου θεϊκοῦ· ὁ μὲν γὰρ ἀκρίβειαν ἐπεζήτει ἀποστολικῇ πρέπουσαν τελειότητι, ὁ δὲ Βαρνάβας ἐτίμα καλῶς τὸ φιλάνθρωπον. διὸ καὶ τὸν Μάρκον λαβὼν εἰς Κύπρον ἀπέπλευσεν καὶ τὴν Σαλαμῖνα κατέλαβε, τοῦ Θεοῦ κηρύσσων τὴν βασιλείαν. σκόπει δέ μοι, πῶς ἡ τῶν ἀποστόλων διαίρεσις πλείονας ἐποίει τοὺς προσιόντας Χριστῷ, ὅπερ ἦν τῆς προμηθείας Θεοῦ τὸ ἐξαίρετον· ἄλλοθεν μὲν γὰρ ὁ Παῦλος τούτους συνῆγε καὶ ἄλλοθεν ὁ Βαρνάβας· εἶδες παροξυσμὸν ζήλου θείου καὶ τρόπον εὐμήχανον.

12. Ἀλλὰ τοῦ Βαρνάβα τῇ Σαλαμῖνι προσμένοντος ἐκ τῆς Συ-
f. 25v ρίας Ἰουδαῖοι παραγενόμενοι || διέσυραν αὐτόν, μὴ ἀληθεύειν ἐν οἷς διδάσκει τὸν λαὸν ἀναπείθοντες. γνοὺς οὖν ὁ ἀπόστολος τὴν ἐπιβουλὴν καὶ ὅτι μέλλοι τελευτᾶν, ἄρτον λαβὼν καὶ ποτήριον καὶ τὴν μυστικὴν ἐκτελέσας παράδοσιν, τῶν ἀχράντων μυστηρίων μετέλαβε, μεταδοὺς αὐτῶν καὶ τοῖς ἀδελφοῖς. εἶτα τὸν Μάρκον παραλαβὼν κατ᾽ ἰδίαν, γνωρίζει τούτῳ τὴν αὐτοῦ τελευτὴν καὶ ἐπισκήπτει τῆς πόλεως αὐτὸν ἐξελθόντα κατὰ δυσμὰς εὑρεῖν αὐτοῦ τὸ σῶμα καὶ θάψαι, ἀλλὰ δὴ καὶ πρὸς τὸν Παῦλον ἀπελθεῖν μετὰ ταῦτα καὶ τούτῳ συνεῖναι καὶ κηρύσσειν τὸν λόγον. «Μέλλεις γὰρ» φησὶν «ἐπὶ πᾶσαν μεγαλυνθῆναι τὴν γῆν». ἔφη καὶ τὴν συναγωγὴν ὁ Βαρνάβας κατέλαβε, πείθων τοὺς ὄχλους τοῖς θεοπνεύστοις λόγοις, ὡς Χριστὸς αὐτός ἐστιν ὁ τοῦ Θεοῦ τοῦ ζῶντος υἱός. πλησθέντες οὖν
col. 2 θυμοῦ οἱ ἀπὸ Συρίας Ἑβραῖοι ἐπιβάλλουσι τὰς χεῖρας | ἐπ᾽ αὐτὸν καὶ οἴκῳ σκοτεινῷ κατακλείουσιν· εἶτα καθ᾽ ἑσπέραν βαθεῖαν ἐξ-

1 Ὁ τοίνυν || 4 τοσοῦτους || 8 ἔτυμοσ || 18 Σκόπει || 23 σαλαμῖνι || 26 μέλοι — λαβὸν || 29 κατιδίαν — τοῦτῳ || 32 τοῦτῳ || 37 καθεσπέραν βαθείαν

αγαγόντες καὶ βασανίσαντες αὐτὸν ἱκανῶς ἔξω τῆς πόλεως ἄγουσι κἀκεῖ τοῦτον λίθοις ὡς τὸν πρώταθλον βάλλουσι· καὶ ὅρα μοι τῆς αὐτῶν κακίας τὴν ὑπερβολήν· καὶ πυρὰν ἀνάψαντες μέσον αὐτῆς ἀκοντίζουσι τοῦτον, εἰ καὶ προνοίᾳ Θεοῦ συνετηρήθη ἀκέραιος.

13. Ὁ Μάρκος οὖν κατὰ τὰ διατεταγμένα ποιήσας συγκομίζει μετά τινων ἀδελφῶν τὸ λείψανον τοῦ Βαρνάβα καὶ θάπτει φιλοτίμως αὐτό, καὶ οὕτως ἐκπλεύσας ἔρχεται πρὸς Παῦλον εἰς Ἔφεσον καὶ διηγεῖται τούτῳ περὶ τῆς τοῦ Βαρνάβα τελειώσεως. ἔνθεν τοι καὶ δακρύσας ὁ Παῦλος κατέσχε τὸν Μάρκον παρ' ἑαυτῷ. μετὰ δὲ ταῦτα πρὸς Ῥώμην ὁ Πέτρος ἀπαίρων συμπαρέλαβε καὶ τὸν Μάρκον, τρόπον τινὰ τοῦτον υἱοποιήσας. ἐκεῖσε τοίνυν γνώμῃ τοῦ πρωτοθρόνου συγγραψάμενος || ὁ Μάρκος τὸ εὐαγγέλιον καὶ μέγας *f. 26*
ἀναφανείς, πρόεδρος Ἀλεξανδρείας ὑπὸ τούτου χειροτονεῖται καὶ πρὸς ταύτην ἐκπέμπεται. ἐν ᾗ καὶ χρόνους ἐννέα τὸν λόγον διδάξας τῆς πίστεως μαρτυρικῶς τετελείωται.

14. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. κατὰ δὲ τοὺς χρόνους Ζήνωνος τοῦ βασιλέως τὸ ἀποστολικὸν ἐκεῖνο σῶμα τοῦ καλοῦ Βαρνάβα τοιούτῳ πεφανέρωται τρόπῳ. τῷ τῆς Σαλαμῖνος ἐπισκόπῳ — Ἀνθέμιος οὗτος ἦν ὁ κλεινός — νύκτωρ ἐπιφανεὶς ὁ ἀπόστολος «Ἄγε δή» πρὸς αὐτὸν εἶπεν, «Ἀνθέμιε, πορεύθητι τῆς πόλεως ἔξω κατὰ δυσμὰς εἰς τόπον σταδίους αὐτῆς ἀπέχοντα πέντε καὶ λεγόμενον τῆς Ὑγίας, ὅπου δὴ καὶ θαύματα δι' ἐμοῦ τελεῖται συχνά, καὶ ὄρυξον ἐπὶ τὴν κερατέαν, καὶ εὑρήσεις σπήλαιον καὶ λάρνακα τούτῳ ἐναποτεθειμένην κἀν ταύτῃ μου τὸ σῶμα κείμενον καὶ τὸ τοῦ Χριστοῦ εὐαγγέλιον, ὅπερ ἀπὸ Ματθαίου τοῦ εὐαγγελιστοῦ αὐτὸς | ἰδιοχείρως ἐξελαβόμην». καὶ ὁ ἐπίσκοπος «Καὶ τίς *col. 2*
εἶ, κύριέ μου», φησίν, «ἵνα ἔχω σαφῶς εἰδέναι, τίνος ἄρα τὸ λείψανον»; καὶ ὅς «Βαρνάβας ἐγώ» φησίν, «ὁ τοῦ κυρίου ἀπόστολος».

15. Αὐτίκα γοῦν τὸν τόπον καταλαβὼν [ὁ Ἀνθέμιος] καὶ πιστῶς διορύξας εὑρίσκει τὴν λάρνακα τό τε ἀποστολικὸν ἐν αὐτῇ σῶμα (εἶπες ἂν ἄρτι ταφῆναι), καὶ τὸ εὐαγγέλιον τῷ στήθει τούτου προσεπικείμενον ἦν καὶ μολυβδίναις σφραγῖσιν ἀσφαλισάμενον. τάχος τὴν βασιλεύουσαν ἔφθασε καὶ τῷ βασιλεῖ διηγεῖται πάντα κατὰ λεπτόν. ἐκεῖνος δὲ τῷ Θεῷ μεγάλα δοξάσας ἐπ' αὐτῷ, τὸ εὐαγγέλιον καὶ μόνον ἐξαιτεῖται λαβεῖν. ὃ δὴ καὶ δεξάμενος χρυσίῳ κατακοσμεῖ καὶ τῷ παλατίῳ κατατίθησι· καὶ μένει μέχρι τοῦ νῦν

9 ἔνθέν τοι || 19 τοιόύτω — σαλαμίνοσ || 26 ἀποματ|θαίου || 27 ἰδιοχεῖροσ || 30 αὐτιχ | γοῦν || ibid. ὁ Ἀνθέμιος *inserui* || 33 ἠσφαλισμένον? || 34 ἔφθασεν || 35 καταλεπτόν || 36 καὶ (ς') *ante* μόνον *supra versum.*

φυλαττόμενον· κατὰ γὰρ τὴν μεγάλην, ὥς φασι, πέμπτην ἐν αὐτῷ τὸ εὐαγγέλιον τῆς ἡμέρας ἀναγινώσκεται.

16. Καὶ ταῦτα μέν σου τὰ διὰ Χριστὸν ἆθλα, πανθαύμαστε, f. 26v *καὶ οἱ ἀγῶνες καὶ τὰ παλαίσματα. σὺ δὲ || καὶ ἔτι πρεσβείας ὑπὲρ τοῦ κόσμου ποιούμενος, ἀξιόθεε, αἴτησαι καὶ βασιλέως ἡμῶν ὑπὲρ τοῦ καλοῦ καὶ τὰ πάντα χρηστοῦ, δοθῆναι τούτῳ μήκιστον ζωὴν καὶ παθῶν ὑπερτέραν, ἵλύος πάσης ὅλως ἀπηλλαγμένην, χειρὶ σκεπομένην τε τοῦ Θεοῦ λόγου, ἀπαλείφουσαν ἐθνῶν ἄπειρα πλήθη, ἡμεροῦσαν δὴ χώρας αὐτῶν καὶ πόλεις λαμπροῖς τροπαίοις καὶ νίκαις εὐπρεπέσι, πάντων ἀγαθῶν οὐρανίων τὴν δόσιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ιβʹ.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΟΝΟΥΦΡΙΟΥ.

1. Τὰ κατὰ τὸν μέγαν καὶ θαυμαστὸν Ὀνούφριον διηγεῖσθαί μέλλων ἀγωνίσματα καὶ παλαίσματα, τὴν ἐρημικήν τε τούτου διαγωγὴν καὶ οἵους ὑπέμεινε πειρασμοὺς καὶ πῶς μέγας γέγονε τῶν ἐν col. 2 *ἐρήμῳ φωστήρ, αὐτὸν | τοῦτον ἐπικαλοῦμαι τὸν ἅγιον καὶ τὴν ἐπισκιάζουσαν αὐτῷ χάριν τοῦ πνεύματος συλλήπτορά μοι γενέσθαι τοῦ λόγου καὶ συνεπίκουρον· ἐφ' ᾧ δὴ καὶ πεποιθὼς πρὸς τὴν διήγησιν ἔρχομαι.*

2. Σπουδήν ποτε ποιησάμενος εἰς τὴν ἐνδοτέραν ἔρημον γενέσθαι καὶ εἰ ἔστι τις ἰδεῖν μοναχὸς ἐμοῦ πλεῖον δεδουλευκὼς τῷ Θεῷ, τάχος ἀναστὰς ἅπτομαι τῆς πορείας. καὶ δὴ τέσσαρας ἡμέρας ὁδεύσας σπήλαιόν τι καταλαμβάνω καί τινα μοναχὸν ἐλπίσας εὑρεῖν ἐν αὐτῷ τῶν μεγάλων, ἔκρουσα τὴν θύραν ἐπ' οὐκ ὀλίγην τὴν ὥραν, καὶ ἐπεὶ μή τις ἦν ὁ λαλῶν, ἀνοίξας εἰσῆλθον, «Εὐλόγησον πάτερ» εἰπών. εἶτα καὶ βλέψας εἶδόν τινα καθεζόμενον. νεκρὸς δὲ ἦν παλαιός, ὡς προσιὼν εὗρον, καὶ γυμνός. ὃν τῇ στολῇ μου σκεπάσας καὶ τῇ γῇ παραδοὺς πρὸς τὰ τῆς ἐρήμου ἀπῄειν βαθύτερα· καὶ δὴ πάλιν σπηλαίῳ ἐνέτυχον καὶ ἴχνη πρὸ τούτου κατεῖδον

3 *ἆθλα* || 16 *διήγεισθαι* (*sine acc.*) || 19 *ἐνερήμω* || 24 *τίσ* || 25 *πορίασ* || 26 *ς' τινὰ* || 29 *εἶδσ̄|τινὰ*

ἀνδρός· κρούσας οὖν τὴν θύραν ἐφ' ἱ||κανόν, f. 27 *ἐπεὶ μὴ εἶχον τὸν ὑπακούοντα, ἀνοίξας εἰσῆλθον καὶ μηδένα εὑρηκὼς αὖθις ἐξῆλθον καὶ τὴν ἡμέραν ὅλην ἐκεῖσε διέτριψα, ἐπανελθεῖν ἐλπίσας τὸν οὗ τὰ ἴχνη κατέλαβον καὶ γνῶναι, τίς καὶ ποταπὸς ὁ ἀνήρ.*

3. Ἄρτι δὲ τῆς ἡμέρας κλινούσης ἀγέλην ὁρῶ βουβάλων ἐρχομένην καὶ τούτων μέσον ἄνδρα περιπατοῦντα· γυμνὸς δὲ ἦν ὁ ἀνήρ, μόναις ταῖς τῆς κεφαλῆς ἐσκεπασμένος θριξί. διὸ καὶ πνεῦμα τοῦτον εἶναι ὑπονοήσας, Θεῷ δεήσεις προσῆγον· ὁ δέ με παραθαρρύνας, «Ἄνθρωπος» εἶπεν «ἐγώ, τὴν αὐτήν, ἀδελφέ, σοὶ περικείμενος σάρκα, καὶ πνεῦμα οὐκ εἰμί, ὡς νομίζεις». ἔντρομος οὖν ἐγὼ γεγονώς, ὅτι μου τὸ ἐνθύμημα γέγονεν ἐκείνῳ γνωστόν, πίπτω πρὸς τοὺς πόδας αὐτοῦ παρακαλῶν, ἵνα με πρὸς τὸ σπήλαιον εἰσαγάγῃ. καὶ δὴ καὶ εἰσαχθεὶς ἐρωτῶ, τίνος ἕνεκα γυμνητεύει καὶ ὅσος ἐτρίβη τούτῳ χρόνος ἐν τῇ ἐρήμῳ.| col. 2

4. Καὶ ὃς διηγεῖταί μοι οὕτως· «Μοναχὸς ἐγώ ποτε ἤμην ἐν κοινοβίῳ τῆς Θηβαΐδος· καὶ τῆς ἡσυχίας ἐρῶν κελλίον ἰδίως οἰκοδομῶ κἀν τούτῳ κατοικῶν εἰχόμην τοῦ ἐργοχείρου· βαΐα γὰρ ἔπλεκον· καὶ πολλοὶ χάριν αὐτῶν ἐφοίτων ὡς ἐμέ. διὸ καὶ πλεῖστά μοι [χρήματα] γέγονεν, ὡς μὴ μόνον ἐμαυτόν, ἀλλὰ καὶ πολλοὺς ἀποτρέφειν πένητας. φθονήσας τοίνυν μοι τῆς διαγωγῆς ὁ μισόκαλος ὄφις γύναιον ἐξεγείρει κατ' ἐμοῦ, βίον διατρέχον μοναδικόν· καὶ δή μοι προσβαλὸν ἔργου χάριν ἐπιταγῆς ἐνεχρόνισε καὶ τὸν λογισμὸν παρεσάλευσε, καὶ τέλος ἡ ἀνομία καὶ συνελήφθη καὶ ἀπετέχθη καὶ μησὶν ἐν ἓξ εἰργάζετό μοι, φεῦ, ἀπρεπῶς. ἐν νῷ δέ ποτε λαβὼν τὸ ἀτόπημα καὶ τὴν φοβερὰν ἐπισείσας ἐμαυτῷ κρίσιν ἐκείνην καὶ τὰ ἐκ ταύτης δικαιωτήρια, «Οὐαί σοι» λέγω, «ψυχή· πῶς τοῖς ἀτόποις κατεχράνθης μολύσμασι καὶ πῶς τῶν το||σούτων f. 27v *ἀρετῶν τὸν κόπον ἀπώλεσας»; καὶ ἅμα ῥίψας ὀπίσω πάντα καὶ πράγματα καὶ τοῦτο δὴ τὸ γύναιον, τὴν ἔρημον ταύτην κατέλαβον καὶ χρόνους ἤδη τριάκοντα καὶ πρὸς ἐναυλίζομαι ταύτῃ καὶ τοῦ ῥάκους ἐκείνου τῷ χρόνῳ διαρρυέντος ἰδοὺ ταῖς θριξίν, ὡς ὁρᾷς, καὶ αὐτὴν δὴ τὴν αἰσχύνην καλύπτομαι». — «Τροφῆς δὲ ἄρα ὅθεν εὐπορεῖς»; ἐρομένου μου, φοίνικα δείξας ἐκεῖνος ἐκεῖσέ που πεφυτευμένον, «Οὗτος» εἶπεν «ὁ φοῖνιξ δώδεκα γεννᾷ κατ' ἔτος κλάδους, ἕνα καθ' ἕνα μῆνα. τούτων ἀποτρέφομαι τῶν καρπῶν καὶ οὔ τινος ἑτέρου· ἀὴρ δέ μοι ποτὸν ἑκάστης δίδωσι τὸ ἀρκοῦν».*

2 μὴ δένα || 3 ὅλιν || 8 παρ|θαρύνασ || 9 ἀδελφέσοι || 10 Οὖν || 12 παρακαλῶν || 15 διηγεῖταιμοι — ἐγὼ ποτὲ || 17 ἐργοχεῖρου || 19 χρήματα **inserui dubitanter** || ibid. ἐ|μαυτὸν || 21 κατεμϋ̃ || 25 κρῖσιν || 26 δικαιοτήρια || 30 ῥάκκουσ || 33 πεφοιτευμένο̄ || 34 γενᾶ (ν supra) || 35 τόύτωσ

*5. Τούτων ἀκούσας ἐγὼ σύντρομος ὅλος εἱστήκειν, ἀμηχανῶν
ἐπὶ τῷ παραδόξῳ τοῦ πράγματος· εἶτα ἐμαυτὸν ἀναλαβὼν ἐρωτῶ·
«Λογισμοῖς ἔκτοτε προσεπάλαισας; ἆρα δὲ πάντως καὶ πλεῖστα
col. 2 προσεκοπίασας»; καὶ ὅς· «Τίς, ἄνθρωπε, | παραστῆσαι λόγος δυνή-
σεται τὰς τῶν πονηρῶν πνευμάτων ἐπεμβολάς; ἡνίκα γάρ μοι προσ-
έπεσον, ἔβαλλον ἐμαυτὸν εἰς τὸ ἔδαφος καὶ νεκρὸς ὡσπερεὶ δι-
ετέλουν· ἔστιν ὅτε καὶ κείμενος τὰς συνήθεις ἐπετέλουν εὐχάς· ἔπα-
θον οὖν βληθεὶς ἥπατος ἀρρωστίᾳ τὸ σῶμα καὶ κακῶς εἶχον. ἀνὴρ
δέ τίς μοι παραστὰς καὶ τὴν χεῖρα βαλὼν τῇ πλευρᾷ ἰάσατό τε καὶ
ὑγιῆ κατέστησεν ὡς τὸ πρότερον, «Ἴδε, ὑγιὴς» εἰπὼν «γέγονας· μη-
κέτι ἁμάρτανε». οὕτως εἰπόντος αὐτοῦ προσεκείμην ἐγὼ τοῦ εἶναι
σὺν αὐτῷ. κἀκεῖνος «Οὐ δύνασαι, τέκνον», εἶπε· «πολλὴ γὰρ ἡ τῶν
δαιμόνων φορά». — «Καὶ πῶς ἄρα, πάτερ», εἰπόντος ἐμοῦ, «κατο-
νομάζῃ», — «Τιμόθεος» ἐκεῖνος ἔφη.*

*6. Κἀγὼ συνταξάμενος αὐτῷ καὶ εὐχὴν αἰτήσας καὶ λαβὼν ἔξειμι
τοῦ σπηλαίου καὶ τὴν ὁδὸν διανύων, «Τίς ἐγὼ» δακρύων πικρῶς
ἔλεγον «πρὸς τοσαύτην ἀνδρὸς ἀρετήν»; ὅμως μικρὸν τὸν κόπον
f. 28 δια||ναπαύσας, τὴν ἐνδοτέραν ἔτρεχον ἔρημον, ὀλιγοστοὺς ἄρτους
καὶ ὕδωρ ἐπιφερόμενος· ἄνυδρος γὰρ ἡ ἔρημος αὕτη. κεκοπιακὼς
οὖν ἐκείμην. ἄγγελος δὲ τοῦ Θεοῦ παραστὰς ἐνεδυνάμωσέ με, καὶ
πάλιν τῆς πορείας εἰχόμην. ἑπτὰ δὲ πρὸς ταῖς δέκα πορευθεὶς
ἡμέρας πόρρωθεν ἐρχόμενον ἄνδρα βλέπω, δασὺν ταῖς τῆς κεφαλῆς
θριξὶ καὶ ταύταις τὸ σῶμα σκεπόμενον καὶ φυτοῦ φύλλοις τὴν
ὀσφὺν περιεζωσμένον. ἔνθεν τοι καὶ σύντρομος γεγονὼς ἔφευγον.
προφθάσας οὖν αὐτὸς ἐφώνησε, λέγων μοι· «Ἄνθρωπος ἐγώ, πά-
τερ· τί με φεύγεις τὸν γέροντα»; κατῆλθον οὖν πρὸς αὐτὸν τούτων
ἀκούσας ἐγὼ καὶ ῥίπτω τοῖς αὐτοῦ ποσὶν ἐμαυτόν· ὁ δέ με δι-
αναστήσας πλησίον αὐτοῦ παρεκάθισε. κἀγὼ θάρσους ἐντεῦθεν ὑπο-
πλησθείς, τίς τε εἴη καὶ ὅθεν, κατὰ λεπτὸν ἠρώτων, καὶ πῶς καὶ
col. 2 ὅτε τὴν ἔρημον οἰκήσοι καὶ οἵαν τὴν διαγωγὴν ἔχοι καὶ | τίς ἡ κλῆ-
σις αὐτῷ. κἀκεῖνος «Μοναχὸς» εἶπεν «ἐγώ, μονῆς Ἐριτῆς τοῦ
Ἑρμοπολίτου, τῆς Θηβῶν χώρας ἐξωρμημένος. τὸν βίον οὖν ἐζη-
λωκὼς Ἠλιοῦ καὶ Ἰωάννου τῶν προφητῶν, ἅτε παρὰ τῶν ἀδελ-
φῶν ἐπαινούμενον, τὴν ἔρημον ταύτην δεῖν ἔγνων καταλαβεῖν.
ἄρτι δέ μοι τὴν ὁδὸν διανύοντι, μηδὲν ἕτερον ἢ ἄρτους ὀλιγοστοὺς
ἐπιφερομένῳ, φῶς ἐπιφαίνεται μέγα καί τις ἀνὴρ προσιὼν ἄχρι
μιλίων ἓξ ἢ καὶ ἑπτά μοι συμπεριπατεῖ καὶ πρόθυμον περὶ τὴν*

8 *προσεπάλεσασ* || **5** *ἐ|πέμβολάσ* || **6** *διέτέλουν* || **7** *συνήθουσ* || **9** *δέτισμοι — πλευρ̃* || **10** *μήκέτι* || **12** *πολλῆ* || **24** *ἔνθέν τοι* || **29** *καταλεπτὸν* || **35** *μὴδὲν* || **37** *συνπεριπατεῖ* **10—11** *Ἴδε — ἁμάρτανε:* Io. 5, 14.

ὁδὸν ἀπεργάζεται. καὶ ἐπεὶ σπήλαιον κατὰ πρόσωπον εἶδον, ἐγὼ μὲν προσέβαλον αὐτῷ, ὁ δέ μοι συμπορευόμενος ἀφανὴς ἐγεγόνει. ἄγγελος δὲ ἦν, ὡς ὕστερον ἔγνων. προσιὼν οὖν ὁρῶ γηραλέον ἄνδρα, χαρᾶς ὅτι πολλῆς πεπληρωμένον τὸ πρόσωπον ἔχοντα, καὶ βάλλω ἐμαυτὸν εἰς τὴν γῆν. ἐκεῖνος δέ μοι χεῖρα δοὺς ἤγειρε καὶ κατησπάσατο ποθεινῶς, || «Τίνος χάριν» εἰπών, «Ὀνούφριε, πρὸς *f. 28v* ταπεινὸν ἐλήλυθας γέροντα; ὅμως ὁ Θεὸς συμπράξαι σου τῷ σκοπῷ· δεῦρο τοιγαροῦν, πρὸς τὴν ἐσωτέραν ἔρημον ἀπαγάγω σε, καθ' ἣν οἰκῆσαί σε Θεὸς ᾠκονόμησεν». ἔφη καὶ λαβόμενός μου τῆς δεξιᾶς ἐπορεύθημεν, καὶ τέσσαρας ἡμέρας καὶ νύκτας ὁδεύσαντες τόπον τινὰ κατελάβομεν καὶ καλύβην μικράν, ἐν ᾧπερ χρῆμα κάλλιστον πεφύτευτο φοίνικος καὶ ὕδωρ παρέρρει γλυκύ· ᾧ καὶ προσσχὼν ὁ μέγας γέρων ἐκεῖνος, «Ὧδε σοί», φησίν, «Ὀνούφριε, παρὰ τῆς προνοίας διώρισται οἰκεῖν». τριάκοντα γοῦν ἡμέρας συμπαραμείνας μοι, τὴν ἐπὶ τὸ ἴδιον κελλίον ἐστείλατο, ἅπαξ τοῦ ἐνιαυτοῦ μοι καθ' ὁδὸν συναντῶν. καί ποτε τὸ σῶμα τούτου νεκρὸν εὑρηκὼς καθ' ὁδόν, τῆς ἐμῆς αὐτὸ θάπτω πλησίον κέλλης».

7. Οὕτω μοι διηγησάμενος ὁ καλὸς Ὀνούφριος λήθην ἐνεποίησε τῶν συμβάντων μοι πορευο|μένῳ κατὰ τὰ τραχύτερα τῆς ἐρήμου *col. 2* ὄρη, ἀλλὰ καὶ ἰσχύος ἐνέπλησεν οὐκ ἔστιν ὅσης εἰπεῖν καὶ ἀγαλλιάσεως. διὸ καὶ πρὸς αὐτὸν «Μακάριος» εἶπον «σύ, πάτερ, μακάριος ἄρα κἀγὼ τοιούτῳ ἀγαθῷ προστυχών». κἀκεῖνος ὁδοιπορίας ἀψάμενος εἶχέ με συνεπόμενον. καὶ δὴ μετ' ὀλίγον κατελάβομεν καλύβην μικράν, περὶ ἣν φοῖνιξ εἱστήκει ἰδεῖν ὡραῖος καὶ τέρψαι ψυχὴν ἱκανός. ἐν ᾗ καὶ διημερεύσαντες τὸν λόγον ἦμεν μελετῶντες κυρίου. ἄρτι δὲ τῆς ἡμέρας κλινούσης ὁρῶμεν ἄρτον περὶ τὴν καλύβην καὶ ὕδωρ· καὶ «Ἀνάστηθι» λέγει μοι, «γεῦσαι τούτων· πολλὰ κεκοπιακὼς ἤδη γὰρ ἐκλείπεις τῷ λιμῷ καὶ τῇ δίψῃ». κἀγὼ πρὸς αὐτόν «Εἰ μή γε, πάτερ», εἶπον, «συμμετάσχῃς μοι τούτων, οὐκ ἂν οὐδ' αὐτὸς ἀπογευσαίμι». βίᾳ μέν, πείθω δ' οὖν ὅμως αὐτόν, καὶ συμμετασχόντος μοι τούτων, τὴν ἑσπέραν ἐκείνην ἐν εὐχαῖς ἐτελέσαμεν. πρωΐας δὲ γενομένης ἀγγέλῳ τὴν μορφὴν || ἐοικυῖαν εἶδον αὐτοῦ *f. 29* καὶ δὴ καὶ πεφόβημαι. καὶ ὃς ἀνεκτήσατό με καὶ «Τί δή σοι καὶ γέγονε, Παφνούτιε;» λέγει· «Θεός σε τὰ ἐνταῦθα καταλαβεῖν εὐδόκησεν, ἵνα μου σῶμα τὸ ταπεινὸν τῇ γῇ παραδῷς. ἰδοὺ γὰρ ἄπειμι πρὸς τὸν καλέσαντα σήμερον· γνώρισον οὖν τὴν ἐμὴν τοῖς ἀδελφοῖς τελευτήν· καὶ εἴ τίς μου κατὰ τὴν ἐτήσιον ταύτην ἡμέραν κοινω-

2 ἐγεγόνει *in rasura* || 3 προσιὸν || 7 συμπράξαί | σου || 9 οἰκῆσαι σε || 12 προσχὼν || 13 ὧδεσοι || 14 γοῦν || 18 καλλ^ο || 20 οὐκ ἔστι ὅσησ || 28 ἐκλείπησ || 29 'κὰν || 37 εἴτησμου

νήσει τῆς μνήμης καὶ θρέψει πένητα, εὕροι Θεὸν ἵλεω καὶ τοῖς αὐτοῦ θεαρέστοις θελήμασιν ὑπακούοντα». ταῦτα εἰπε καὶ μικρὸν ἀνακλιθεὶς χερσὶ Θεοῦ τὸ πνεῦμα παρέθετο. δάκρυσιν οὖν τὸ καλὸν ἐκεῖνο τοῦ μάκαρος σῶμα πλύνας καὶ ψαλμοὺς ἐπ' αὐτῷ προσεπᾴσας τῇ γῇ παραδέδωκα, δωδεκάτην ἄγοντος τοῦ Ἰουνίου μηνός.

8. Μεῖναι τοίνυν βουληθεὶς ἐν ἐκείνῳ τῷ τόπῳ, θαῦμα ξένον ὁρῶ· ἐψύγη γὰρ ὁ φοῖνιξ καὶ ἡ καλύβη συνέπεσεν. ἔνθεν τοι καὶ col. 2 *γνοὺς μὴ θέλημα Θεοῦ τὸ παραμεῖναί με τῷ τόπῳ, τάχος ἐ|κεῖθεν ἀπαίρω καὶ πρός τι γίνομαι σπήλαιον καὶ ἄνδρα βλέπω γήρᾳ κεκοσμημένον καὶ θείᾳ χάριτι λάμποντα, φοινίκων ἐκ πλοκῆς ἐνειμένον ἱμάτιον, ὅς με καὶ ὀνόματος ἐκάλεσεν ἐξ αὐτοῦ καὶ ὡς ἔθαψα τὸν Ὀνούφριον εἶπε. καὶ ἅμα τρεῖς ἕτεροι παραγεγόνασι γέροντες, οἳ καὶ προσαγορεύσαντες τὰ ὅμοια τῷ πρώτῳ λελαλήκασι γέροντι. τῆς εὐχῆς οὖν καὶ τούτων κατατρυφήσας καὶ ὡς ἑξήκοντα καὶ οὗτοι κατὰ τὴν ἔρημον ἔχουσι χρόνους μεμαθηκώς, ἀπάρας αὐτῶν προσωτέρω πεπόρευμαι· οὐδὲ γὰρ θέλοντά με συνοικεῖν αὐτοῖς ᾑρετίσαντο, οὔτε μὴν μαθεῖν ἐθέλοντι, τίνες εἶεν, ἀπήγγειλαν· τοῦτο δὲ μόνον ἱστορεῖν ὁ λόγος βούλεται περὶ τούτων, ὡς ἄρτι πέντε νεαροὶ τῷ χρόνῳ τῆς ἡμῶν ἑστιάσεως ἐπὶ γῆς εὑρέθησαν κείμενοι καὶ ὡς ἐφ' ἑκάστην τέσσαρες χορηγούμενοι, πέντε [δὲ] τῇ συνελεύσει* f. 29v *μου, || προσετέθη καί τι βρώσιμον ἕτερον εἶδος.*

9. Τοίνυν, ὡς εἴρηται, γενόμενος ἀπ' αὐτῶν ἔν τινι καταλύω σπηλαίῳ καὶ τούτῳ τὸν κόπον διαναπαύω· ἦν γὰρ ὁ τόπος ὀφθαλμοῖς ἥδιστον θέαμα· δένδρων ὁρῶ παντοίων πλῆθος πεφυτευμένον, βριθόντων καρποῖς γλυκέσι καὶ ὡραίοις καί τινα ὀσμὴν ἡδεῖαν ἐκπεμπόντων· ἀλλὰ καὶ πηγὴν ἐν αὐτοῖς βλέπω διειδοῦς ὕδατος πλήρη, ποτίζοντος τὸν παράδεισον. ὡς οὖν ἐκπεπλήγμην ἐν αὐτοῖς, νέους ὁρῶ τέσσαρας εὐειδεῖς ἄνδρας, πρὸς ἐμὲ γινομένους καὶ προβάτων ἐζωσμένους ἐν δέρμασιν· οἳ δή μοι καὶ πλησιάσαντες «Χαῖρε» λέγουσιν, «ἀδελφὲ Παφνούτιε». πρηνὴς οὖν ἐγὼ πεσὼν προσεκύνησα τούτους. οἱ δέ με καὶ ἀνέστησαν καὶ σεμνῶς προσωμίλησαν καὶ τῶν καρπῶν μοι μετέδωκαν. καὶ ἦσαν γλυκασμὸν ἀποστάζοντες col. 2 *ὑπὲρ μέλι, τὸ τοῦ Δαυίδ, καὶ κηρίον· ὧν μεταλαβὼν εὐ|φροσύνης γίνομαι πλήρης καὶ θυμηδίας ἀφάτου. καὶ δὴ καὶ ἐρωτῶ τούτους, οἵτινες καὶ ὅθεν εἶεν καὶ τίνα τὰ τούτων ὀνόματα. καὶ αὐτοὶ λέγουσιν ἐκ πόλεως μὲν τῆς Ὀξυρίχου γενέσθαι, γονέων ἐπιφανῶν καὶ ταύτης βουλευτῶν, γραμμάτων εἰδήμονες τῶν πεζῶν, ἐν μιᾷ ταῦτα*

8 ἐνθέντοι || 15 Ἐυχῆς || 21 δὲ *inserui* || 24 διάναπάυ(ω) || 26 ἡδείαν || 27 διεί|δοῦσ
34 τὸ τοῦ Δαυίδ: non exstat in psalmis.

πονοῦντες διατριβῇ. «Ἔδοξεν οὖν λαβεῖν ἐκ κοινῆς ἡμᾶς γνώμης ἄρτους ποτὲ καὶ τὴν ἔρημον ὑπελθεῖν, βίον τοῦτον κρίναντες ἄριστον μᾶλλον καὶ προτιμήσαντες τῆς συρφετώδους συγχύσεως. ὃ δὴ καὶ πεποιηκόσιν ἡμῖν ἀνήρ τις ἐφίσταται θεῖος καὶ θαυμαστὸς καὶ ὥσπερ ἐν ἐκστάσει γενομένους ἄγει πρὸς τόνδε τὸν χῶρον καὶ γέροντί τινι παρατίθησι μεγάλῳ τὴν ἀρετὴν καὶ τὰ θεῖα σοφῷ. χρόνον οὖν ἕνα συνδιαγαγόντες αὐτῷ, τελευτήσαντα θάπτομεν. καὶ ἰδοὺ χρόνοι παρεληλύθεσαν ἓξ ἀφ' οὗπερ τόνδε τὸν τόπον ἔχομεν οἴκησίν τε καὶ δίαιταν, σαββάτου μόνον καὶ || κυριακῆς ἐν ταὐτῷ *f. 30* συνιόντες, τὰς ἄλλας δὲ ἰδιαζόντως βιοῦντες».

10. Ἤκουσα τούτων· ἐξεπλάγην· ἐξέστην· καὶ δόξαν ἀπεδίδουν Θεῷ τῷ τοιαῦτά μοι δείξαντι θαυμαστὰ καὶ μεγάλα. θαρρήσας οὖν ἐπ' αὐτοῖς, «Καὶ ὅπου τῶν θείων» ἠρωτήσαμεν «μυστηρίων μεταλαμβάνετε»; καὶ αὐτοὶ «Μεῖνον» εἶπον «τὴν ἑβδομάδα, πάτερ, καὶ γνώσῃ τοῦτο σαφῶς». ἔμεινα, καὶ τῆς ἑβδόμης ἡμέρας καταλαβούσης θυμιάματος ᾐσθόμην ὀσμῆς· καὶ ἰδοὺ ἄγγελος ἐν ἀνθρώπου μορφῇ ἐπιστὰς φοβερὸς προσκαλεῖται τούτους καὶ μεταδίδωσιν αὐτοῖς τῶν μυστηρίων, εἶτα δὲ κἀμοὶ τούτων κοινωνεῖ περιδεεῖ καὶ συντρόμῳ καὶ χωρεῖ πρὸς τὸν οὐρανόν. ἐγὼ γοῦν ἀπορίᾳ πολλῇ συνεχόμενος εἱστήκειν ἐκπεπληγμένος· καταλαβούσης δὲ τῆς ἑσπέρας ὕπνωσα, τῆς ἡδίστης τοῦ θυμιάματος ἐκείνου ὀδμῆς εἰς τοῦτο καθυπαγούσης με. διαγενομένης οὖν τῆς νυκτὸς αὖθις ὁ ἄγγελος | ἐφίσταται τῇ ἐπαύριον, ἥτις ἦν κυριακή, καὶ πάλιν μεταδίδωσι τῶν *col. 2* ἁγιασμάτων ἡμῖν, εἶτα καὶ εὐλογήσας ἀπῆλθεν ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς. ἦν δὲ χαρὰ μεγάλη ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνη, εὐφροσύνη τε καὶ θυμηδία πολλή. μετασχόντων οὖν ἡμῶν τροφῆς τῶν ἡδέων ἐκείνων, ἠρώτησα τοὺς ἄνδρας ἐγὼ συνεῖναι τούτοις καὶ συνδιάγειν. οἱ δὲ μὴ θέλημα τοῦτο εἶπον εἶναι Θεοῦ, «Ἀλλὰ μάλιστα πορευθῆναί σε δεῖ καὶ τοῖς ἀδελφοῖς ἀπαγγεῖλαι ἅ τε εἶδες καὶ ἅπερ ἀκήκοας». τότε συμπορευθεὶς αὐτοῖς ὡσεὶ μίλια πέντε τὰς αὐτῶν κλήσεις μαθεῖν ἀξιῶ, καὶ δή μοι ταύτας γνωρίζουσιν· ὁ μὲν γὰρ Ἰωάννης ἔφη καλεῖσθαι, ὁ δὲ Ἀνδρέας, Ἡρακλήμων ὁ τρίτος καὶ μετ' αὐτὸν Θεόφιλος.

11. Τότε τούτους καταλιπὼν ἐπορεύθην λυπούμενος καὶ τὴν Αἴγυπτον καταλαβὼν ἀπαγγέλλω πάντα τοῖς ἀδελφοῖς, ὅσα τε εἶδον || καὶ ὅσα ἤκουσα. οἵτινες τὸ ἱερόν σου τελέσαντες καὶ ψυχω- *f. 30v*

4 πεποιήσασιν — ἀνήρ τίσ || 6 γέροντι τινὶ — θεία || 7 σὺνδιαγαγόντεσ || 12 τοιαύτα || 15 τούτο—εὐδόμησ || 19 γοῦν || 21 ὀδμῆσ *cod., sed v. 16 et p. 44 v. 26* ὀσμῆσ || 23 μετàδίδω|σι || 26 τὲ ς' θυμιδία || 29 πορευθῆναι σε — ἃ τὲ || 30 ὡσει *sine acc.* || 35 ἀ|παγγέλω — ὅσα τὲ

φελὲς μνημόσυνον, Ὀνούφριε πάνσοφε καὶ πάντιμε, πολλῶν ἀπέλαυσάν σου τῶν δωρεῶν καὶ χαρίτων, ἐπικλήσει μόνῃ τοῦ καλοῦ σου καὶ τιμίου ὀνόματος τῶν νοσημάτων αὐτῶν τὴν θεραπείαν εὑράμενοι. καὶ νῦν ἐν αὐτοῖς οὐρανοῖς κατοικῶν καὶ Χριστῷ παριστάμενος τῷ παμβασιλεῖ καὶ Θεῷ, αἴτησαι δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ τὰ πάντα καλῷ μέγα τὸ σθένος καὶ ἀπρόσμαχον κατ' ἐχθρῶν, ἰσχὺν τὴν ἀκαταγώνιστον καὶ ἀνίκητον, χρόνου ζωῆς ἀταράχου τὴν αὔξησιν, ἀμέθεκτον κακοῦ παντὸς τὸ βασίλειον, ἡμέρας τε τῆς ἀνεσπέρου τὴν φαῦσιν, λειμώνων θείων τὴν ἡδυτάτην τέρψιν, πάντων τῶν καλῶν τὴν μέθεξιν πλουσίαν καὶ βασιλείας οὐρανῶν εὐκληρίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

col. 2 *Μηνὶ τῷ αὐτῷ ιγ'.*

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΑΚΥΛΙΝΗΣ.

1. Καὶ γυναιξὶ τὸ τοῦ μαρτυρίου στάδιον ἀνέῳκται καὶ κόραις αὐταῖς· καὶ γὰρ καὶ αὐταὶ θανάτου καταφρονοῦσι καὶ καταπαλαίουσι τελευτῆς, μᾶλλον δὲ καὶ τιμῶσιν αὐτὴν καὶ ἀσπάζονται, καλὴν ἐντεῦθεν ἐμπορίαν τὴν τῶν οὐρανῶν βασιλείαν ποιούμεναι. διὸ καὶ τὸ τῶν παρθένων κλέος ἡ Ἀκυλῖνα προθύμως ἐπὶ τὸ μαρτύριον ἦλθε καὶ σὺν ἡδονῇ τὸ κέρδος καὶ τὸν θάνατον εἵλετο. πλὴν ἄνωθεν χρὴ μικρὸν τὰ περὶ ταύτης διαλαβεῖν.

2. Ἐν Βύβλῳ πόλει τῆς Παλαιστίνης ἀνήρ τις τὴν εἰς Χριστὸν πίστιν πεπλουτηκώς — Εὐτόλμιος ἦν ὁ καλός, — γυναῖκα σεμνὴν ἀγαγόμενος παῖδα τίκτει καλήν· ἣν ἅμα μητρὶ τῷ τῆς πόλεως προέδρῳ προσαγαγών — Εὐθάλιος ἦν ὁ σοφός — τοῦ θείου ταύτην βαπτίσματος ἀξιωθῆναι ζητεῖ. καὶ μέντοι δὴ καὶ τούτου τυχοῦσαν,
f. 31 *ἐπείπερ ὁ πατὴρ τὸν βίον ἀπέλιπεν, || ἡ μήτηρ ἀνῆγε καλῶς. ἐν γοῦν τῇ τῆς ἡλικίας αὐξήσει καὶ πνεύματος ἡ παῖς ἐπληροῦτο ἁγίου καὶ προέκοπτεν ἐν σοφίᾳ τε καὶ χάριτι.*

3. Ἄρτι δὲ τοῦ δυσσεβοῦς Διοκλητιανοῦ τὰ τῆς βασιλείας, ὡς μὴ ὤφελε, σκῆπτρα παραλαβόντος Οὐολοσιανός, ἀνὴρ δεινὸς καὶ

4 *νὺν* || ibid. *ἐν αὐτοῖς: ἐν τοῖς?* || 6 *κατεχθρῶν* || 8 *ἡμέρασ τὲ* || 22 *βίβλῳ — παλαιστίνησ* (gl) *ἀνὴρ τισ* || 27 *ανῆγε* sine spir. || 28 *γοὺν* || 29 *σοφία τὲ*

29 *προέκοπτεν — χάριτι*: cf. Luc. 2, 52.

περίεργος, τὴν τῆς πόλεως ἐκείνης ἀρχὴν ἐμπιστεύεται καὶ πολὺς πνέει κατὰ χριστιανῶν ὁ παμμίαρος. τὸ καλὸν οὖν ἄνθος τῆς παρθενίας ἡ ᾿Ακυλῖνα, τὴν εἰς Χριστὸν πίστιν ἐκμαθοῦσα καλῶς, ταῖς συνήλιξι ταύτης διελέγετο κόραις, «Τίς ὑμῖν ὠφέλεια» λέγουσα, «φίλαι παρθένοι, ἀπὸ τῶν ἀψύχων εἰδώλων, ἅπερ ὡς θεοὺς τιμᾶτε, κακῶς ποιοῦσαι, οὐκ ἀκούοντα, οὐ λαλοῦντα, οὐ τῶν αὐτοῖς προσαγομένων τὸ σύνολον αἰσθανόμενα»; — «Καὶ σὺ ποῖον» εἶπον ἐκεῖναι «σέβῃ Θεὸν ταῦτα ἔχοντα»; καὶ ἡ μάρτυς «Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν» ἔφη «καὶ τὰ ἐν αὐτοῖς πάντα». | κἀκεῖναι· col. 2 «Καὶ πῶς ἠκούσαμεν ἡμεῖς ὑπὸ τῶν ᾿Ιουδαίων τοῦτον πεφονεῦσθαι σταυρῷ»; καὶ αὐτὴ «Δι᾿ οἰκείαν» εἶπε «φιλανθρωπίαν ἠνέσχετο καὶ καθ᾿ ἡμᾶς γενέσθαι καὶ ταῦτα παθεῖν, ἵνα σώσῃ τὸν ἄνθρωπον καὶ τῶν τοῦ δαίμονος ἐξαρπάσῃ παγίδων· ἠδύνατο γάρ, εἴπερ ἐβούλετο, νεύματι μόνῳ πᾶσαν διασαλεῦσαι τὴν γῆν· ὃ δὴ κἀν τῷ σταυρῷ πεποίηκεν· ἀλλ᾿ ἵνα λάθῃ τὸν ἀντικείμενον καὶ ὑπόδειγμα δῷ τοῖς ἀνθρώποις, πῶς δεῖ περιγίνεσθαι τούτου, ταῦτα παθεῖν ἠνέσχετο διὰ τὴν ἡμῶν σωτηρίαν· ἐπεί, ὅσα τῆς θεότητος, καὶ ἀνέστη καὶ ἀνελήφθη, καὶ τὸ πνεῦμα πέπομφε τοῖς ἀποστόλοις τὸ ἅγιον, δι᾿ οὗ κτίσις πᾶσα κατεφωτίσθη καὶ τὸ πρῶτον ἀπέλαβε κάλλος».

4. Οὕτως αὐτῆς διαλεγομένης Νικόδημός τις ἄρχων ἀκούσας πάντα καταλέγει τῷ ἀνθυπάτῳ. καὶ εὐθὺς αὐτὸς ἀποστείλας ἄγει ταύτην τῷ ὑπ᾿ αὐτὸν βήματι καὶ «Σὺ εἶ» φησὶ πρὸς αὐτὴν «ἡ τοῖς τῶν αὐτοκρατόρων || ἐναντιουμένη προστάγμασι καὶ Χριστόν τινα f. 31v φημίζουσα Θεόν, οὗ τοὺς λατρευτὰς κεκελεύκασι τιμωρεῖσθαι; θέλησον οὖν ἀποστῆναι τούτου καὶ θυσίαν προσενεγκεῖν τοῖς θεοῖς, ἵνα μή σε τιμωρίαις ὑποβαλὼν θανατώσω». — «Ταύτας» εἶπεν ἡ μάρτυς, «ἀνθύπατε, προσδοκῶ, ταύτας ποθῶ, ταύτας ὑπομεῖναι θέλω, τὸν τῆς ἀφθαρσίας μοι στέφανον προξενούσας». κἀκεῖνος· «Νέα μὲν εἶ, παρθένε, κάλλει δὲ προφανῶς εὐπρεπής, οἶδα σαφῶς· ἵνα τοίνυν σου μὴ τὰ τῶν σαρκῶν εὐθαλῆ κατακόψω βασάνοις καὶ οὕτω σε πικρῷ παραδώσω θανάτῳ, θέλησον προσελθεῖν τοῖς θεοῖς». — «Οὐ προσέλθω» ἡ μάρτυς εἶπεν, «οὐ θύσω τούτοις· ποίει τοίνυν ὡς βούλει».

5. Τότε κελεύει, καὶ τύπτεται πολλὰς κατὰ τῶν προσώπων ἡ μάρτυς, ἐπιλέγοντος τοῦ τυράννου· «῾Η προκάταρξις αὕτη, παρθένε. τὰ γὰρ μέσα τῶν κολάσεων καὶ τὰ τε|λευταῖα οὐ μὲν οὖν col. 2 ὑποῖσαι δυνήσῃ». — «Καλά γε, ὦ τύραννε, τὰ προοίμια», ἡ μάρτυς

2 καταχρι|στιανῶν || 3 ἀκυλίνα || 5 τιμᾶται || 27 ταύ|Τασ || 33 ῾Η μάρτυσ || 37 οὐμεν οὖν

ἔφη. τότε κελεύει διαζωσθεῖσαν ὁ σκολιὸς ταθῆναι κατὰ γῆς καὶ μάστιξιν αὐτὴν σφοδρῶς καταικίζεσθαι, ἐπιλέγεσθαί τε ταύτῃ· «Ποῦ ἐστιν ὁ Θεός σου; ἐλθέτω ταχὺ καὶ ῥυσάσθω σε». καὶ ἡ μάρτυς· «Καὶ τέως ἐλπίζεις, τύραννε, τῶν σῶν μαστίγων ἐν αἰσθήσει με γεγενῆσθαι; δεινότερα κολαστήρια πρόσαγε, καὶ γνώσει σαφῶς τὴν δύναμιν τοῦ Χριστοῦ». καὶ ὁ ἄθλιος «Διάσκεψίς σοι δέδοται, καὶ σκέψαι» εἶπεν «εἰς τὸ σωθῆναί σε». — «Διεσκεψάμην» ἡ μάρτυς ἔφη, «καὶ ἡ αὐτή εἰμι καὶ τοῖς αὐτοῖς στοιχῶ καὶ τοῖς αὐτοῖς ἐπιμένω». τότε Οὐολοσιανὸς «Πυρωθήτωσαν» λέγει «σοῦβλαι σιδηραῖ καὶ διὰ τῶν ὤτων αὐτῆς ἐνεχθήτωσαν, ἵν' εἰδῇ, τίνι πέποιθεν ἡ κατάρατος». γενομένου τοιγαροῦν τούτου καὶ τοῦ τῆς μάρτυρος f. 32 *ἐγκεφάλου τῇ καύσει τοῦ πεπυρακτωμένου σι||δήρου δεινῶς ὑποσυρίζοντος καὶ πάντων θανεῖν αὐτὴν ἐλπισάντων, ἔξω τῆς πόλεως ὁ ἡγεμὼν ἐκέλευσε ταύτην ἀπορριφῆναι κυσὶν εἰς βοράν.*

6. Γέγονε ταῦτα, καὶ ἄγγελος αὐτῇ Θεοῦ παραστὰς ἰάσατό τε καὶ ἀπαθῆ κακοῦ διεφύλαξε καὶ μέχρι τῶν πυλῶν τῆς πόλεως διεσώσατο. ὧν ἀνοιγεισῶν αὐτῇ παραχρῆμα τὴν πόλιν εἰσῆλθε, προπορευόμενον τὸν ἄγγελον ἔχουσα· καὶ πρὸς αὐτὸ δὲ τὸ τοῦ ἄρχοντος πραιτώριον γενομένη, καὶ τῶν θυρῶν ὁμοίως καὶ τούτων παραδόξως ἀναπετασθεισῶν, εἰς αὐτὸν κοιμώμενον τὸν Οὐολοσιανὸν παραγίνεται καὶ στᾶσα πρὸς τῇ κεφαλῇ αὐτοῦ φόβον οὔτι μικρὸν τούτῳ προσενεποίησεν ἀφυπνώσαντι· διὸ καὶ βοῆς τὸν οἶκον ἐκεῖνος ἐπλήρωσε καὶ πάντας τοὺς ὑπ' αὐτὸν συνεκάλεσε καὶ «Τίς ἐστιν αὕτη»; τεταραγμένως ἔλεγε. φῶτα τοίνυν κομίσαντες καὶ ταύτην col. 2 *κατανοήσαντες, «Ἀκυλῖνα» | λέγουσιν, «ἣν κυσὶ παρέθου βοράν, ἔξω ῥίψας τῆς πόλεως». κἀκεῖνος «Τηρείσθω» φησὶν «ἡ κατάρατος μέχρι πρωΐας· μάγος γὰρ αὕτη καὶ φαρμακός». ὄρθρος ἦν, καὶ πάλιν παρίστησι ταύτην τῷ βήματι καὶ «Σὺ εἶ», φησί, «τρισκατάρατε, σὺ Ἀκυλῖνα»; — «Ἐγώ», φησὶν ἡ μάρτυς, «ἀνόσιε· ἦ τετύφλωσαι σὺν τῷ νῷ καὶ τὰ ὄμματα», οὕτω ταύτης εἰπούσης δίδωσιν ἐκεῖνος κατ' αὐτῆς τὴν ἀπόφασιν ξίφει τὴν κεφαλὴν ἐκκοπῆναι.*

7. Ἤχθης οὖν ἐπὶ τὸν τῆς τελειώσεως τόπον, πανάριστε· εὔχῃ τὴν τελευταίαν εὐχὴν καὶ φωνῆς ἀκούεις ἄνωθεν πρὸς τὰ βραβεῖα καλούσης σε καὶ εὐθύς, πρὸ τοῦ τὴν τομὴν ἐπαγαγεῖν σοι τὸν σπε-

1 *καταγῆσ* || 4 *ἐναισθήσει* | 8 *αὐτὴ εἰμί* || 9 *ὀυόλοσϊανὸσ — σούβλαι σιδηραὶ* || 11 *τοιγαροῦν* || 14 *ἀ|πορριφήναι* || 18 *αὐτὸ δή?* || 20 *οὐόλοσιανὸ* || 23 *συνεκάλεσεν* || 25 *ἀκυλίνα — κυσὶν* || 29 *ἀκυλίνα — τετύφλωσε*

8 *ῥυσάσθω*: cf. Matth. 27, 43; Ps. 21 (22), 9 || 29 *ἦ τετύφλωσαι κτλ.* ***mirum in modum haec verba consentanea sunt cum verbis Oedipodis Soph. Oed. R. 371*** *τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ* (Schmid).

κουλάτορα, χερσὶ Θεοῦ τὸ πνεῦμα παρέθου καὶ οὕτω δέχῃ καὶ ταύτην ὑπὸ τοῦ παρανόμου· γάλα δὲ τῆς πληγῆς ἀνθ' αἵματος ἐξερρύη καὶ θαῦμα τοὺς παρόντας κατέσχε. φιλόχριστοι δέ τινες τὸ σῶμά σου λαβόντες φιλοτίμως κατέθεντο. || τρισκαιδεκάτην ἔτρεχεν f. 32v *ὁ Ἰούνιος μήν. καὶ νῦν τοῖς οὐρανίοις ἐμφιλοχωροῦσα σκηνώμασι καὶ τῶν πόνων κομιζομένη τὰς ἀμοιβάς, μέμνησο καὶ βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ τὰ πάντα χρηστοῦ, ἰσχὺν αὐτῷ βραβεύουσα κατ' ἐναντίων Θεοῦ, χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν, ἀλλὰ δὴ καὶ μενόντων καλῶν τὴν ἀπόλαυσιν, ἡλίου θείου τὴν λάμψιν, πάσης θυμηδίας τὴν χάριν καὶ βασιλείας Θεοῦ τὴν ἐπίτευξιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ιδ'.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΛΙΣΣΑΙΕ ΤΟΝ ΠΡΟΦΗΤΗΝ.

1. Καὶ τίς οὐκ ἂν ἀγάσαιτο τὸν Ἐλισσαίου βίον τῆς θαυμαστῆς διηγήσεως, πλήρη χαρίτων ὄντα καὶ μεγίστων θαυμάτων, Ἐλισσαίου τοῦ μόνου καλῶς τὴν κλῆσιν ταύτην ἐν τοῖς προφήταις πλουτήσαντος καὶ Ἠλιοὺ τοῦ πάνυ φοιτητοῦ χρηματίσαντος; | ὃς γῆς col. 2 *μὲν ὥρμηται τοῦ Ῥουβεὶμ, υἱὸς δὲ Σαφὰτ τοῦ ἐξ Ἀβελμοὺθ ἔστι τε καὶ γνωρίζεται, ὥς πού φησιν ἡ τρίτη τῶν Βασιλειῶν· «Ἥξεις» γὰρ «εἰς ὁδὸν Δαμασκοῦ» φησὶν ἡ θεία φωνὴ πρὸς Ἠλίαν, ἡνίκα τὸ ἐν Χωρὴβ ἐξέβη σπήλαιον, «καὶ χρίσεις τὸν Ἐλισσαιέ, υἱὸν Σαφάτ, ἀντὶ σοῦ εἰς προφήτην». ἐν Γαλγάλοις οὖν τεχθέντος αὐτοῦ γίνεται, καθ' ἃ δὴ κἀν τῷ Ἠλίᾳ, τέρας καὶ ἐπὶ τούτῳ παράδοξον· ἡ γὰρ ἐν Σηλὼμ δάμαλις ἡ χρυσῆ ὀξέως οὕτως ἐβόησεν, ὡς καὶ εἰς αὐτὴν Ἱερουσαλὴμ τὴν βοὴν ἀκουσθῆναι. τοίνυν ὁ ἱερεὺς τότε περὶ τούτων ἐρωτηθείς, «Προφήτης» εἶπε «διὰ τῶν δηλωμάτων ἐτέχθη σήμερον, ὃς καθελεῖ τὰ γλυπτὰ καὶ συνθλάσει τὰ χωνευτά».*

4 *τρισκαὶ δεκάτην* || 14 sqq. *Ἑλισαιὲ R.* || 19 *Ἡλιοῦ H.* || 21 *ἔστι τὲ — ὥσπου φησὶν* || 22 *ηλίαν* **sine spir.** || 24 *ἀντι σοῦ — Ἐν'* || 25 *καθὰ* || 26 *χρυσὴ* || 28 *εἶπεν*

S. Elissaei vita excerpta est e Regn. III et IV (*R.*), e quibus passim correxi.

21—24 *Ἥξεις — προφήτην: R.* III, 19, 15—16.

2. Τοῦ Ἠλία γοῦν τὴν ἐπὶ Δαμασκὸν ὁδὸν ἀπιόντος καὶ τὸν Ἐλισσαῖον ἐν δώδεκα βοῶν ζεύγεσιν ἀροτριῶντα καταλαβόντος f. 33 καὶ τὴν μηλωτὴν ἐπιρρίψαντος καὶ καλέσαντος ἐξ ὀνόματος, || οὗτος, ἅτε τὴν διάνοιαν ἐλλαμφθείς, τὰς βοῦς καταλιπὼν καὶ κατόπιν ἐκείνου δραμών, «Καταφιλήσω» λέγει πρὸς αὐτὸν «τὸν πατέρα καὶ τὴν μητέρα μου καὶ ἀκολουθήσω ὀπίσω σου». εἰπόντος οὖν αὐτῷ τοῦ Ἠλία «Πορεύου, ἀνάστρεφε, ὅτι πεποίηκά σε», ἀνέστρεψεν· εὐθὺς ἐκεῖνος καὶ τὰ ζεύγη λαβὼν τῶν βοῶν, θύσας τε καὶ ἑψήσας καὶ διαδοὺς τῷ λαῷ, τὸν Ἠλίαν κατέλαβε καὶ ἐλειτούργει αὐτῷ.

3. Εἶδες εὐγνώμονος ἔργον ψυχῆς· ὅρα καὶ τὰ τοῦ ἔργου χαρίσματα· προφήτης γίνεται καὶ θαυμάτων πολλῶν αὐτουργὸς καὶ μεγάλων. μέλλοντος τοῦ Ἠλία πυρίνοις ἵπποις ἀναληφθῆναι καὶ πρὸς αὐτὸν «Αἴτησαι, τί σοι ποιήσω πρὶν ἀναληφθῆναί με» φήσαντος, διπλῆν ἐκεῖνος αὐτοῦ τὴν χάριν αἰτεῖ, καὶ τοῦ προφήτου «Ἐσκλήρυνας» εἰπόντος «τὴν αἴτησιν», οὐ φθονοῦντος αὐτῷ τῆς χάριτος, ἀλλ᾽ ὅτι λιμὸς ἔμελλεν ἐν ἑπτὰ χρόνοις ἔσεσθαι δι᾽ αὐτοῦ, col. 2 ἐπ᾽ ἐκείνου γὰρ ἐν τρισὶ γέγονε καὶ ἐν ἡ|μίσει, «πλὴν εἴπερ ἴδῃς με ἀναλαμβανόμενον, ἔσται οὕτως, καὶ ἐὰν μή, οὐ γένηται», ἐν τῷ πορεύεσθαι τούτους ἰδοὺ ἅρμα πυρὸς εἰς οὐρανοὺς ἀνέλαβε τὸν Ἠλίαν, καὶ εὐθὺς Ἐλισσαιὲ «Πάτερ» λέγει, «πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ», ὡς ἀποχρῶντα καὶ μόνον, χωρὶς ὅπλων καὶ ἵππων καταλῦσαι τοὺς πολεμίους. καὶ τότε δραξάμενος αὐτοῦ τῶν ἱματίων διαρρήγνυσιν εἰς δύο ταῦτα καὶ οὕτω τὴν μηλωτὴν ὑψοῖ, ἣ ἔπεσεν ἐπάνω αὐτοῦ.

4. Ἐπιστρέφει οὖν ἐκεῖθεν κἀν τῷ Ἰορδάνῃ γίνεται, καὶ ἐπεὶ διαβατὸς ἦν αὐτῷ μηδαμῶς, πατάσσει τὸ ὕδωρ Ἐλισσαῖος τῇ μηλωτῇ, καὶ μὴ διαιρεθέντος, «Ποῦ ἐστι» φησὶν «ὁ Θεὸς Ἠλιοὺ ἀφφώ;» βουληθεὶς γὰρ διὰ μόνης σχίσαι τὸν Ἰορδάνην τῆς μηλωτῆς ὁ προφήτης, τούτου μὴ γενομένου τὸν κρύφιον ἐκάλεσε καὶ ἀόρατον Θεὸν εἰς βοήθειαν. τοῦτο γὰρ σημαίνει τὸ ἀφφώ. καὶ οὕτω f. 33v πατάξας αὖθις, τὰ ὕδατα διῃρέθησαν || καὶ διέβη. ἰδόντες οὖν αὐτὸν οἱ ἐν Ἱεριχὼ τῶν προφητῶν υἱοί, οἳ ἐξ ἐναντίας «Ἐπαναπέπαυται» εἶπον «τὸ πνεῦμα Ἠλιοὺ ἐπὶ Ἐλισσαιέ». τίνας δὲ υἱοὺς τῶν προφητῶν καλεῖ ἡ γραφή; ἢ πάντως αὐτοὺς τοὺς προφήτας κατὰ τὸ Ἑβραίων καὶ Σύρων ἰδίωμα· υἱοὶ γάρ, φησίν, ἀνθρώπων· καὶ παῖδας δὲ καλοῦμεν ἰατρῶν αὐτοὺς τοὺς ἰατρούς.

1 γοὺν || 4 βοὺσ || 7 πεποίηκά σε: σοι R. III, 19, 20 || 8 θύσασ τὲ || 11 Εἶδεσ || 15 διπλὴν || 19 οὐ̃ || 26 καντῶ || 27 ἦν] ἣν || 28 Ἠλιοῦ ἀφφῶ || 34 υιοὺσ sine spir. || 35 ἢ] ἡ

5. Καὶ ἅμα ἀφικόμενοι πρὸς αὐτὸν προσεκύνησαν αὐτόν, «Ἰδοὺ δὴ» φήσαντες «μετὰ τῶν παίδων σου πεντήκοντά εἰσιν ἄνδρες, υἱοὶ δυνάμεως. πορευθέντες ζητησάτωσάν σου τὸν κύριον, μή ποτε ἦρεν αὐτὸν πνεῦμα κυρίου καὶ ἔρριψεν ἐν τῷ Ἰορδάνῃ ἢ ἐφ' ἓν τῶν ὀρέων, ἢ ἐφ' ἕνα τῶν βουνῶν».—«Οὐκ ἀποστελεῖτε» πρὸς αὐτοὺς εἶπεν Ἐλισσαιέ. καὶ ἐπεὶ παρεβιάσαντο αὐτὸν καὶ κατένευσεν, ἄνδρας πεντήκοντα στέλλουσιν, οἳ καὶ ἀναστρέψαντες μηδὲν εὑρηκέναι, τρισὶν ἐν ἡμέραις ζητήσαντες αὐτόν, ἀπήγγειλαν. καὶ ὁ προφήτης «Οὐκ εἶπον ὑμῖν» ἔφη, «μὴ πορευθῆτε;» | τότε οἱ ἄνδρες τῆς col. 2 Ἱεριχὼ «Ἰδοὺ» λέγουσιν «ἡ κατοίκησις τῆς πόλεως ἀγαθή, καθὼς ὁ κύριος βλέπει, καὶ τὰ ὕδατα πονηρὰ καὶ ἀτεκνοῦντα, καὶ ἡ γῆ ἀτεκνουμένη», διὰ τούτων δὴ τῶν ῥημάτων ἕλκοντες αὐτὸν εἰς συμπάθειαν. καὶ αὐτός «Λάβετέ μοι» λέγει «καινὴν ὑδρίαν καὶ ἐμβάλετε ἅλας». ἐποίησαν οὕτως καὶ ἤνεγκαν πρὸς αὐτόν. οὗτος πορεύεται πρὸς τὴν τῶν ὑδάτων διέξοδον, ῥίπτει τοὺς ἅλας ἐκεῖ καί φησι· «Τάδε λέγει κύριος· ἴαμαι τὰ ὕδατα ταῦτα. οὐκ ἔσται ἔτι ἐκεῖθεν θάνατος καὶ ἀτεκνουμένη». καὶ ἰάθησαν τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης. οὐ λόγῳ δὲ συμπαθείας φυσικῆς διὰ τῶν ἁλῶν τὸ ὕδωρ ἐγλύκανεν, ἀλλὰ θείᾳ δυνάμει, ῥᾳδίως ποιούσῃ καὶ ἄνευ συμπαθειῶν τὰ παράδοξα.

6. Ἐντεῦθεν οὖν ὁ προφήτης ἀπάρας ἦλθεν εἰς Βεθήλ. καὶ τῷ ἀναβαίνειν αὐτὸν τὴν ὁδόν, παιδάρια μικρά, ὥσπερ δὴ καταπαί||ζοντα τούτου, «Ἀνάβαινε» φάσκουσιν (ἵνα τοῖς αὐτῶν χρήσομαι f. 34 ῥήμασιν), «ἀνάβαινε, φαλακρέ». κατηράσατο γοῦν αὐτοῖς ἐν ὀνόματι κυρίου, καὶ ἰδοὺ δύο τῶν δρυμῶν ἄρκοι δύο ἐξ αὐτῶν διέρρηξαν καὶ τεσσαράκοντα παῖδας. ἐκεῖθεν οὖν ἐπὶ τὸ ὄρος ἔρχεται τὸ Καρμήλιον, εἶθ' ὑπέστρεψεν εἰς Σαμάρειαν.

7. Ἀθετήσαντος δὲ μετὰ τελευτὴν Ἀχαὰβ τοῦ βασιλέως Μωάβ, ἐν Ἰωρὰμ βασιλεῖ Ἰσραήλ, υἱῷ Ἀχαάβ, ὡς ὑπήκοος μετὰ τὴν αὐτοῦ τελευτὴν κατεφρόνησε τοῦ υἱοῦ αὐτοῦ Ἰωράμ, τῶν συνθηκῶν ἀμελήσας, οὗτος ὁ Ἰωρὰμ πρὸς Ἰωσαφὰτ ἀπέστειλε βασιλέα Ἰούδα, «Εἰ συμπορεύσῃ μοι» λέγων «πρὸς Μωὰβ εἰς πόλεμον;» καὶ ὃς πρὸς αὐτὸν «Ἀναβήσομαι τάχος» εἶπεν, «ὡς ὁ λαός σου ὁ λαός μου, ὡς οἱ ἵπποι σου οἱ ἵπποι μου· ἀλλὰ ποίαν ὁδὸν ἀναβῶ;»—«Ὁδὸν ἔρημον» φησὶν ἐκεῖνος «Ἐδώμ». πορευθέντες οὖν σὺν βασιλεῖ Ἐδὼμ ὁδὸν ἡμερῶν | ἑπτά, καὶ οὐκ ἦν ὕδωρ τῇ παρεμβολῇ col. 2 καὶ τοῖς κτήνεσι τοῖς ἐν τοῖς ποσὶν αὐτῶν. λέγει οὖν ὁ βασιλεὺς

2 πεντήκοντα εἰσὶ || 4 εὗρεν || 4 et 5 ἐφ' ἓν || 7 μηδὲν || 13 κενὴν || 16 φησίν || 21 Βαιθὴλ B. || 23 χρήσωμαι? || 24 γοῦν — ἐνονόματι || 26 Ἐκεῖθεν || 36 verbum ὁδὸν *primitus omissum eadem manu in infimo margine adscriptum est* || 37 κτήνεσιι

Ἰσραήλ· «Ὦ, ὅτι κέκληκε κύριος τοὺς τρεῖς βασιλεῖς παρερχομένους δοῦναι αὐτοὺς ἐν χειρὶ Μωάβ». Ἰωσαφὰτ οὖν «Οὐκ ἔστιν» εἶπεν «ὧδε προφήτης, ἵν' ἐπιζητήσωμεν τὸν κύριον δι' αὐτοῦ;» λέγει τοίνυν τῶν παίδων εἷς τοῦ Ἰσραὴλ βασιλέως· «Ἔστιν Ἐλισσαιὲ υἱὸς Σαφάτ, ὃς ἐπέχεεν ὕδωρ ἐν χερσὶν Ἠλιού».

8. Τότε κατέβησαν πρὸς αὐτὸν οἱ τρεῖς βασιλεῖς λῦσαι τὴν ἀνάγκην αὐτοῖς ἱκετεύοντες. φησὶν οὖν ὁ προφήτης πρὸς τὸν Ἰσραὴλ βασιλέα· «Τί ἐμοὶ καὶ σοί; δεῦρο πρὸς τοὺς προφήτας τοῦ πατρός σου καὶ πρὸς τοὺς προφήτας τῆς μητρός σου». καὶ ὃς πρὸς αὐτόν· «Μὴ κέκληκε κύριος τοὺς τρεῖς βασιλεῖς, παραδοῦναι τούτους εἰς χεῖρας Μωάβ». καὶ ὁ προφήτης· «Ζῇ κύριος τῶν δυνάμεων, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, ὅτι εἰ μὴ πρόσωπον Ἰωσαφὰτ f. 34v βασιλέως Ἰούδα ἐγὼ || λαμβάνω, εἰ ἐπέβλεψα πρὸς σὲ καὶ εἶδόν σε· καὶ νῦν λάβε δή μοι ψάλλοντα». τοῦτο δὲ καὶ Δαυὶδ ἐποίει, τοὺς μὲν ἱερεῖς ταῖς σάλπιγξι, τοὺς δὲ λευίτας ταῖς κινύραις καὶ ναύλαις (ναῦλα δέ ἐστιν εἶδος ὀργάνου), ναὶ δὴ καὶ κυμβάλοις χρᾶσθαι προστάττων.

9. Ἐγένετο οὖν, ὡς ἔψαλλεν ὁ ψάλλων, χεὶρ ἐπὶ τὸν προφήτην κυρίου, καὶ εἶπε· «Τάδε λέγει κύριος· ποιήσατε τὸν χειμάρρουν τοῦτον βοθύνους βοθύνους· οὐκ ὄψεσθε γὰρ πνεῦμα καὶ οὐκ ὄψεσθε ὑετόν. καὶ ὁ χειμάρρους οὗτος ὕδατος πληρωθήσεται, καὶ πίεσθε. καὶ παραδώσω Μωὰβ ἐν χειρὶ ὑμῶν. καὶ πατάξετε πᾶσαν πόλιν ὀχυρὰν καὶ πᾶν ξύλον ἀγαθὸν καταβαλεῖτε καὶ πάσας πηγὰς ὕδατος ἐμφράξετε καὶ πᾶσαν μερίδα ἀγαθὴν ἀχρειώσετε ἐν λίθοις». καὶ ἐγένετο πρωΐ, ἀναβαινούσης τῆς θυσίας, καὶ ἰδοὺ ὕδατα ἤρχετο ἐξ ὁδοῦ col. 2 Ἐδώμ, καὶ ἐπλήσθη ἡ γῆ ὕδατος· καὶ | ἀνέβη ὁ ἥλιος ἐπὶ τὰ ὕδατα καὶ εἶδε Μωὰβ ἐξ ἐναντίας τὰ ὕδατα πυρρὰ ὡσεὶ αἷμα καὶ εἶπεν· «Αἷμα τοῦτο τῆς ῥομφαίας». ἐμαχέσαντο οἱ βασιλεῖς ἕκαστος τῷ πλησίον καὶ νῦν ἐπὶ τὰ σκῦλα Μωὰβ καὶ εἰσῆλθον εἰς τὴν παρεμβολὴν Ἰσραὴλ καὶ Ἰσραὴλ ἀνέστησαν καὶ ἐπάταξαν τὴν Μωὰβ καὶ πάντα τὰ τῆς προφητείας εἰς αὐτὸν διεπράξαντο. ἄνδρας οὖν ἐπιλέκτους ἑπτακοσίους ῥομφαίας ἐσπασμένους λαβὼν ὁ βασιλεὺς Μωὰβ διέκοψεν ἐπὶ τὸν βασιλέα Ἐδώμ, καὶ ἐπεὶ μὴ ἐδύνητο μηθέν, τὸν πρωτότοκον υἱόν, ὃς ἐβασίλευσεν ἀντ' αὐτοῦ, πρὸς τὸ τεῖχος ἀναγαγών, ὁλοκαυτῶσαι τοῦτον προείλετο. πολὺς οὖν ὁ μετάμελος εἶχε τὸν Ἰσραήλ, καὶ ἀπάραντες ἐκεῖθεν εἰς τὴν γῆν αὐτῶν ὑπέστρεψαν.

10. Γυνὴ δέ τις ἐβόα πρὸς τὸν Ἐλισσαιέ, «Ὁ δοῦλός σου» λέγουσα «ὁ ἀνήρ μου ἤδη τετελεύτηκε, καὶ σὺ ἔγνως, ὅτι φοβούμενος

1 ὤ ὅτι || 6 λύσαι || 8 ἐμοι *sine acc.* || 13 εἶδον σε || 16 ναύλα || 19 εἶπεν || 22 πατάξατε || 24 ἐγέ|Νετο || 27 πυρὰ || 29 σκύλα || 30 τὸν Μοὰβ || 33 Καὶ ἐπεὶ

ἢν τὸν Θεόν. καὶ νῦν ὁ δανειστὴς ἧκε τοὺς δύο μου λαβεῖν || υἱοὺς f. 35 *εἰς δουλείαν». τινές φασι τὸν Ἀβδιοῦ τοῦτον εἶναι, τὸν τοῦ Ἀχαὰβ οἰκονόμον, ὃς ἑκατὸν ἄνδρας ἐν δυσὶ κατακρύψας σπηλαίοις διέτρεφεν αὐτοὺς ἐν ἄρτῳ καὶ ὕδατι, καὶ τὸ χρέος δὲ διὰ τὴν εἰς ἐκείνους ἐπιμέλειαν αὐτῷ γεγενῆσθαι. ἔνθεν τοι δῆλον ὅτι καὶ τοῦ λαοῦ καὶ τῶν βασιλέων ἀνομούντων εἰσί τινες εὐσεβεῖς. λέγει οὖν Ἐλισσαιὲ πρὸς αὐτήν· «Τί σοι ποιήσω; ἀνάγγειλόν μοι, τί ἐστιν ἐν τῷ οἴκῳ σου». ἡ δὲ «Οὐκ ἔστιν οὐθέν» ἔφη «τῇ δούλῃ σου, ἀλλ' ἢ ὃ ἀλείψομαι ἔλαιον». καὶ ὃς πρὸς αὐτήν· «Δεῦρο λάβε σεαυτῇ σκεύη παρὰ πάντων τῶν γειτονούντων σοι, σκεύη κενά, μὴ ὀλιγώσῃς· καὶ εἰσελεύσῃ καὶ ἀποκλείσεις τὴν θύραν κατὰ σοῦ καὶ κατὰ τῶν υἱῶν σου καὶ ἀποχέεις ἐπὶ τὰ σκεύη ταῦτα καὶ τὸ πληρωθὲν ἄρῃς καὶ αὐτὸ οὐκ ἀποστήσεις». καὶ ἐποίησεν οὕτως, καὶ οἱ μὲν υἱοὶ προσήγγιζον τὰ σκεύη, καὶ αὐτὴ ἐπέχεεν, | ἕως ἐπλήσθησαν. καὶ ἐπεὶ μὴ ἦν ἕτερον σκεῦος,* col. 2 *ἔστη τὸ ἔλαιον. ἦλθεν οὖν ἡ γυνὴ καὶ ἀνήγγειλε τῷ προφήτῃ τὸ πρᾶγμα. καὶ ὃς πρὸς αὐτήν· «Ἀπόδου τὸ ἔλαιον καὶ ἀποτίσεις τοὺς τόκους σου, καὶ σὺ καὶ οἱ υἱοί σου ζήσεσθε ἐν τῷ ὑπολοίπῳ ἐλαίῳ».*

11. Καὶ ἐγένετο ἡμέρα, καὶ ἀνέβη Ἐλισσαιὲ εἰς Σωμάν, καί τις αὐτὸν ἐκράτησε φαγεῖν ἄρτον μεγάλη γυνή. ἐγένετο οὖν ἀφ' ἱκανοῦ τοῦ εἰσπορεύεσθαι αὐτόν, καὶ ἐξέκλινεν ἐκεῖ τοῦ φαγεῖν ἄρτον. καὶ ἡ γυνὴ τῷ ἀνδρὶ αὐτῆς «Ἰδοὺ δὴ ἔγνων» εἶπεν, «ὅτι ὁ ἄνθρωπος οὗτος ἅγιος τῷ Θεῷ ἐστι. ποιήσωμεν δὴ τούτῳ ὑπερῷον, τόπον μικρόν, καὶ θῶμεν αὐτῷ κλίνην καὶ τράπεζαν καὶ δίφρον καὶ λυχνίαν». γέγονε τοῦτο, καὶ ἐξέκλινε πορευόμενος ὁ προφήτης εἰς τὸ ὑπερῷον καὶ ἐκοιμήθη ἐκεῖ. καί φησι πρὸς Γιεζῆ τὸ παιδάριον· «Κάλεσόν μοι τὴν Σωμανῖτιν || ταύτην». καὶ εἶπεν αὐτῇ· «Ἰδοὺ f. 35v *ἐξέστησας ἡμῖν ἅπασαν τὴν ἔκστασιν ταύτην. τί δεῖ ποιῆσαί σοι; εἰ ἔστι σοι λόγος τις πρὸς τὸν βασιλέα ἢ πρὸς τὸν ἄρχοντα τῆς δυνάμεως;» ἡ δὲ πρὸς αὐτόν· «Ἐν μέσῳ τοῦ λαοῦ μου ἐγὼ οἰκῶ», ἤγουν ἀπραγμοσύνῃ χαίρω καὶ πρός τινα ἔχειν ἀμφισβήτησίν τινα οὐκ ἀνέχομαι. κἀκεῖνος πρὸς Γιεζῆ «Τί δεῖ» φησὶ «ποιῆσαι αὐτῇ;» καὶ ὅς· «Καὶ μάλα υἱὸς οὐκ ἔστιν αὐτῇ, καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης». μετακαλεῖται ταύτην εὐθὺς ὁ προφήτης καί φησι πρὸς αὐτήν· «Εἰς τὸν καιρὸν τοῦτον ὡσεὶ ὥρα ζῶσα καὶ σὺ περιειληφυῖα υἱόν». κἀκείνη «Μή, κύριε», εἶπεν, «μὴ διαψεύσῃ τῇ δούλῃ σου». ἐν γαστρὶ*

1 *δανιστὴσ* || 2 *τινὲσ φασὶ* || 3—4 *διέθρεφεν — ἐνάρτω* || 5 *Ἔνθέν τοι* || 6 *Οὖν* || 9 *σεαυτὴν* || 13 *οὗτοσ* || 14 *ἐπλίσθησαν* || 18 *in. Καὶ* || ibid. *σουμᾶν* || 25 sqq. *Γιεζὶ R.* || 25 *καὶ φησὶ* || 26 *σουμανίτην H., Σωμανῖτιν R.* || 28 *ἐστί σοι λόγοσ τισ'* || 30—31 *ἀφισβήτησίν τινα 'ὀκανέχομαι* | *Κἀκεῖνοσ* || 31 *ποιῆσαι αὐτὴν* || 32 *οὐκ ἔστιν] 'ὀκῖ* || 33 *καὶ φησὶ* || 34 *... τοῦτον, ὡς ἡ ὥρα, ζῶσα σύ, περιειληφυῖα R.* IV, 4, 16 || 35 *τὴν δούλην R.* l. c.

οὖν ἔλαβεν ἡ γυνὴ καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον ὡσεὶ ὥρα ζῶσα, καθὼς ἐλάλησεν Ἐλισσαιὲ πρὸς αὐτήν.

12. Ἡδρύνθη τὸ παιδάριον, ἐξῆλθε πρὸς τοὺς θεριστὰς καὶ | col. 2 *πρὸς τὸν πατέρα «Τὴν κεφαλήν μου» λέγει, «τὴν κεφαλήν μου». κομίζεται πρὸς τὴν μητέρα, τοῖς γόνασι ταύτης ἐναποτίθεται καὶ τὸ τῆς ζωῆς δέχεται πέρας. κοιμίζει τοῦτον εἰς τὴν τοῦ προφήτου κλίνην ἡ μήτηρ καὶ πρὸς τὸν ἄνδρα γίνεται καί φησιν· «Ἀπόστειλον δή μοι τῶν παίδων ἕνα καὶ μίαν τῶν ὄνων, καὶ δραμοῦμαι ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ ἐπιστρέψω». κἀκεῖνος «Τί, ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν» ἔφη «σήμερον; οὐ νεομηνία οὐδὲ σάββατον», τὴν τῶν ἡμερῶν ἐμφαίνων ἐντεῦθεν ἀργίαν. ἡ δὲ πρὸς αὐτόν· «Εἰρήνη». καὶ ἐπέσαξε τὴν ὄνον καὶ πρὸς τὸ παιδάριον «Ἄγε, πορεύου» φησίν, «μὴ ἐπίσχῃς με τοῦ ἐπιβῆναι· ὅτι ὃ ἂν εἴπω σοι, δεῦρο, καὶ πορεύσῃ καὶ ἐλεύσῃ πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ εἰς τὸ ὄρος τὸ Καρμήλιον». ὡς οὖν ἐρχομένην αὐτὴν εἶδεν Ἐλισσαιέ, «Ἰδοὺ ἡ Σωμανῖτις» λέγει τῷ Γιεζῇ, «σπεῦσον εἰς ἀπάν||-* f. 36 *τησιν αὐτῆς καὶ ἐρεῖς· «Εἰρήνη σοι, εἰρήνη τῷ ἀνδρί σου, εἰρήνη τῷ παιδαρίῳ» (τοῦτο δὲ ἀντὶ τοῦ πῶς ἔχουσίν ἐστι καὶ καλῶς διάγετε, ὑγιαίνετε). ταῦτα πρὸς αὐτὴν εἰπόντος τοῦ Γιεζῇ, φησὶν ἡ γυνή· «Εἰρήνη». καὶ ἦλθε πρὸς Ἐλισσαιὲ καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ· τοῦ Γιεζῇ δὲ ταύτην ἀπώσασθαι θελήσαντος, «Ἄφες αὐτὴν» εἶπεν ἐκεῖνος, «κατώδυνος γὰρ ἡ ψυχὴ αὐτῆς καὶ κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι»· ἡ δὲ πρὸς αὐτόν· «Μὴ ᾐτησάμην υἱὸν παρὰ τοῦ κυρίου μου; ὅτι εἶπον· οὐ πλανήσεις μετ' ἐμοῦ». κἀκεῖνος πρὸς Γιεζῇ «Ζῶσαι τὴν ὀσφύν σου» λέγει «καὶ λάβε τὴν βακτηρίαν μου καὶ δεῦρο, ὅτι ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτόν, καὶ ἐὰν εὐλογήσῃ σε ἀνήρ, οὐκ ἀποκριθήσῃ τούτῳ». τί διὰ τούτου διανοούμενος; ᾔδει τοῦτον κενόδοξον καὶ ὅτι τοῖς κατὰ τὴν ὁδὸν ἐντυγχάνουσι τοῦ δρόμου πάντως τὴν αἰτίαν ἐρεῖ,* col. 2 *κἀντεῦθεν ἡ κενοδοξία | τὴν θαυματουργίαν κωλύσει. «Καὶ ἐπιθήσεις» φησί «τὴν βακτηρίαν ἐπὶ τὸ πρόσωπον τοῦ παιδαρίου». λέγει οὖν ἡ γυνή· «Ζῇ κύριος καὶ ζῇ ἡ ψυχή μου, εἰ ἐγκαταλείψω σε».*

13. Τότε συνεπορεύθη ταύτῃ Ἐλισσαιέ, καὶ Γιεζῇ προκαταλαβὼν ἐπέθηκε τὴν βακτηρίαν ἐπὶ πρόσωπον τοῦ παιδός, καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις. καὶ ὑποστρέψας εἰς ἀπάντησιν αὐτοῦ, «Οὐκ ἠγέρθη» λέγων «τὸ παιδάριον, κύριε». παραγενόμενος οὖν ὁ προφήτης καὶ τὸ παιδάριον ἰδὼν ἀπέκλεισε τὴν θύραν καὶ προσ-

13 *ἐπίσχῃς μοι* R. || 16 *σουμανίτισ* || 18 *ἔχουσιν ἐστὶ* || 19 *Τᾶυτα* || 24 *ὅτι οὐκ εἶπα* R. IV, 4, 28. || 25 *ὀσφῦν* || 29 *post δρόμου spatium erasum 8 fere litterarum* || 32 *ἡ ψυχή σου* R. || 36 *ʽѕκηγέρθη*

ευξάμενος ἀνέβη καὶ ἐπέθηκε τὸ στόμα αὐτοῦ ἐπὶ τὸ ἐκείνου στόμα, τοὺς ὀφθαλμοὺς ἐπὶ τοὺς ὀφθαλμούς, τὰς χεῖρας ἐπὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἐπὶ τοὺς πόδας, ὡς ἂν τῶν ἐκ πνευματικῆς χάριτος ἁγιασθεισῶν αἰσθήσεων μεταλαβὼν ὁ παῖς ἀναστῇ. καὶ διέκαμψεν εἰς αὐτόν, καὶ διεθερμάνθη ἡ σάρξ τοῦ παιδαρίου. καὶ ἐπέστρεψε καὶ ἐπορεύθη κατὰ τὴν οἰκίαν || ἔνθεν καὶ ἔνθεν, καὶ f. 36v ἀνέβη καὶ συνέκαμψεν ἐπὶ τὸ παιδάριον αὖθις ἑπτάκις, κἀκείνου τοὺς ὀφθαλμοὺς ἀνεώξαντος, φησὶν Ἐλισσαιὲ τῷ Γιεζῇ· «Κάλεσον τὴν Σωμανῖτιν ταύτην». ἦλθεν οὖν ἡ γυνὴ καὶ τὸν παῖδα ζῶντα λαβοῦσα προσεκύνησεν Ἐλισσαιὲ καὶ ἐξῆλθεν.

14. Τοῦ δὲ γενομένου εἰς Γάλγαλα καὶ τοῦ λιμοῦ κρατοῦντος οἱ τῶν προφητῶν υἱοὶ ἐνώπιον αὐτοῦ πεινῶντες ἐκάθηντο. λέγει τοίνυν Ἐλισσαιὲ τῷ Γιεζῇ· «Ἐπίστησον τὸν λέβητα τὸν μέγαν καὶ ἕψει ἕψεμα τοῖς υἱοῖς τῶν προφητῶν». ἐξῆλθεν οὖν ἐκεῖνος εἰς τὸν ἀγρὸν συλλέξαι ἀριὼθ (λάχανα τοῦτο ἡρμήνευσαν οἱ ἑρμηνευταί) καὶ συνέλεξεν ἀπὸ τῆς ἀμπέλου στολύπην ἀγρίαν, πλῆρες αὐτοῦ τὸ ἱμάτιον (ἔστι δὲ αὕτη ἡ στολύπη φάρμακον ἀναιρετικόν), ἐνέβαλέ τε ταύτην τῷ λέβητι τοῦ ἑψέματος, ὅτι οὐκ ἔγνω, καὶ ἐνέχεε τοῖς ἀνδράσι φαγεῖν. ἐν τῷ ἐσθίειν οὖν ἀνεβόησαν ἄφνω καὶ εἶπον «Θάνατος, | ἄνθρωπε τοῦ Θεοῦ, ἐν τῷ λέβητι» καὶ οὐκ ἠδύ- col. 2 ναντο φαγεῖν. ἐκεῖνος οὖν εἶπε· «Λάβετέ μοι ἄλευρον καὶ ἐμβάλετε εἰς τὸν λέβητα». καὶ πρὸς τὸν Γιεζῆ· «Ἔγχεε τῷ λαῷ καὶ ἐσθιέτωσαν». καὶ ῥῆμα πονηρὸν ἐν τῷ λέβητι οὐκ ἐγένετο.

15. Καὶ ἰδοὺ ἀνὴρ διῆλθεν ἐκ Βαισθαδισὰ καὶ ἤνεγκεν ἐκ πρωτογεννημάτων πρὸς αὐτὸν εἴκοσιν ἄρτους κριθίνους καὶ παλάθας ὀλίγας. ὁ δὲ «Δότε τῷ λαῷ καὶ ἐσθιέτωσαν» εἶπε. καὶ ὁ λειτουργὸς «Τίνι δῶ ταῦτα» φησίν «ἐνώπιον ἀνδρῶν ἑκατόν»; κἀκεῖνος «Δὸς τῷ λαῷ καὶ ἐσθιέτωσαν» ἔφη, «ὅτι τάδε λέγει κύριος· φάγονται καὶ καταλείψουσιν». ἔφαγον οὖν καὶ κατέλειψαν κατὰ τὸ ῥῆμα κυρίου.

16. Καὶ ἰδοὺ Νεεμὰν ὁ ἄρχων τῆς δυνάμεως βασιλέως Συρίας λελεπρωμένος, ὃς δυνατὸς ἦν ἐν ἰσχύι. ἡ τοίνυν αἰχμάλωτος αὐτῷ νεᾶνις, ἐκ γῆς Ἰσραὴλ οὖσα, «Ὤφελον» εἶπε πρὸς τὴν αὐτῆς κυρίαν «ἐνώπιον τοῦ ἀνθρώπου τοῦ Θεοῦ παρεγένετό μου ἐν Σαμαρείᾳ ὁ κύριος καὶ ἀπέθετο ἂν τὴν λέπραν αὐτοῦ». ἀπήγγειλεν ἐκείνη || τούτῳ τὸν λόγον. διῆλθε καὶ πρὸς αὐτὸν τὸν βασιλέα Συ- f. 37 ρίας, καὶ λέγει πρὸς Νεεμάν· «Λάβε δὴ βιβλίον καὶ πορεύθητι πρὸς βασιλέα Ἰσραήλ». καὶ λαβὼν αὐτὸ καὶ δέκα τάλαντα ἀργυρίου,

9 σουμανίτιν || 10 ἐξῆλθε || 11 Τοῦ δε || 15 ἀριῶθ || 16 et 17 τολύπη R. || 22 ἔνχεε || 24 in. Καὶ || ib. Βαιθαρισὰ R. || ib. πρωτογε|νημάτων || 30, 36 νεεμαῦ H., Ναιμάν R. || 32 νεάνισ || ib. Ὤφελον R. IV, 5, 3 || 37 λαβὸν

ἑξακισχιλίους τε χρυσοῦς καὶ στολὰς ἀλλασσομένας δέκα ἤνεγκε πρὸς βασιλέα Ἰσραήλ. ὁ δὲ τὴν ἐπιστολὴν ἀναγνοὺς διέρρηξεν αὐτοῦ τὰ ἱμάτια καὶ «Μὴ Θεὸς ἐγὼ τοῦ ζωογονῆσαι ἢ θανατῶσαι» εἶπεν, «ὅτι οὕτως ἀπέστειλε πρός με ἀποσυνάξαι ἄνδρα ἀπὸ τῆς λέπρας αὐτοῦ; πλὴν γνῶτε δὴ καὶ ἴδετε, ὅτι προφασίζεται οὗτός μοι». ἤκουσεν Ἐλισσαιὲ τὸ γινόμενον καὶ ἀπέστειλε πρὸς αὐτόν, «Ἵνα τί» λέγων «διέρρηξάς σου τὰ ἱμάτια; ἐλθέτω δὴ πρός με Νεεμὰν καὶ γνώτω ὅτι ἔστι προφήτης ἐν Ἰσραήλ». ἦλθεν οὖν ἐκεῖνος ἐν ἵππῳ καὶ ἅρματι καὶ ἔστη ἐπὶ θύραις Ἐλισσαιέ. ὁ δὲ πρὸς αὐτὸν ἄγγελον ἔστειλε λέγων· «Πορευθεὶς βάπτισαι ἑπτάκις ἐν τῷ Ἰορδάνῃ, καὶ
col. 2 *ἐπιστρέψει σου ἡ σάρξ καὶ καθαρισθήσῃ». | ἐθυμώθη δὲ Νεεμὰν καὶ εἶπεν· «Ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύσεται πρός με καὶ ἐπικαλέσεται κύριον τὸν Θεὸν καὶ ἐπιθήσει τὴν χεῖρα τούτου ἐπὶ τὸν τόπον, καὶ ἀποσυναχθήσεται τὸ λεπρόν. οὐχὶ ἀγαθοὶ Ἀρβανᾶ καὶ Φαρβᾶ ποταμοὶ Δαμασκοῦ ὑπὲρ τὸν Ἰορδάνην; οὐχὶ πορευθεὶς ἐν αὐτοῖς λούσομαι καὶ καθαρισθήσομαι;» καὶ ἀπῆλθεν ἐν θυμῷ. οἱ παῖδες οὖν αὐτοῦ λέγουσι πρὸς αὐτόν· «Εἰ μέγαν λόγον ἐλάλησεν ὁ προφήτης, οὐκ ἂν ἐποίησας; ὅτι δὲ εἶπέ σοι «Πορευθεὶς λοῦσαι καὶ καθαρίσθητι», οὐ ποιήσεις αὐτό;» κατέβη οὖν καὶ ἐβαπτίσατο ἑπτάκις ἐν τῷ Ἰορδάνῃ· καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ ὡς παιδίου μικροῦ, καὶ ἐκαθαρίσθη. τότε γίνεται πρὸς τὸν Ἐλισσαιὲ καὶ «Ἀληθῶς» λέγει «οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ἀλλ᾽ ἢ ἐν τῷ Ἰσραήλ. καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου». ὁ δὲ πρὸς αὐτόν· «Ζῇ κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον, εἰ λήψομαί τι· δεῦρό» φησιν «εἰς εἰρήνην».*

f. 37v *17. Καὶ ἀπῆλθε Νεεμὰν εἰς γῆν || Χαβραθᾶ. Γιεζῆ δὲ δραμὼν ὀπίσω τούτου φησὶ πρὸς αὐτόν· «Ὁ κύριός μου ὁ προφήτης ἀπέσταλκέ με λέγων· Ἰδοὺ νῦν ἦλθον πρός με δύο παιδάρια ἐξ ὄρους Ἐφραῒμ ἀπὸ τῶν υἱῶν τῶν προφητῶν. δὸς δὴ αὐτοῖς τάλαντον ἀργυρίου καὶ δύο ἀλλασσομένας στολάς». τοῦ δὲ παρασχόντος ἐκεῖνος λαβὼν ἐν οἴκῳ παρέθετο σκοτεινῷ καὶ εἰσελθὼν παρειστήκει τῷ κυρίῳ αὐτοῦ. οὐκ ἔλαθε τοῦτο τὸν Ἐλισσαῖον καὶ «Πόθεν» αὐτῷ «παραγέγονας;» λέγει. τοῦ δὲ μὴ πορευθῆναί που λέγοντος ὁ προφήτης «Οὐχὶ ἡ καρδία μου μετὰ σοῦ πεπόρευτο» πρὸς αὐτὸν εἶπεν, «ὅτε ἔλαβες ἀπὸ Νεεμὰν τὸ ἀργύριον καὶ τὰς στολάς, καὶ λήψῃ ἐν αὐτοῖς κήπους καὶ ἐλαιῶνας καὶ ἀμπελῶνας καὶ πρόβατα*

1 *τὲ χρυσοὺσ — ἀλασσομέναϲ* || 5 *οὗτοσμε* || 7, 11, 26, 35 *νεεμᾶν* || 11 *Ἐθυμώθη* || 13 *τοῦτου* || 14 *Ἀβαρὰ καὶ Φαρφὰρ* R. IV, 5, 12 || 18 *εἶπεν* || 19 *καθαρισθητι* **sine acc.** || 21 *ἐκαθερίσθη* || 24 *ᾧ πάρεστιν* || 25 *δευροφησὶν* || 26 *εἰς Δεβραθὰ τῆς γῆς* R. IV, 5, 19 || 27 *Ὁ κύριόσ* || 30 *ἀλασσομέναϲ* || 32 *ἐκέλαθε*

καὶ βόας, παῖδάς τε καὶ παιδίσκας. ἰδοὺ τοίνυν καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα». καὶ ἐξῆλθε Γιεζῆ ἀπὸ τοῦ προσώπου τούτου λελεπρωμένος ὡσεὶ
χιών, | τῆς φιλοχρηματίας οὕτω τρυγήσας τοὺς καρποὺς καὶ τοῦ col. 2
ψεύδους.

18. Οἱ τοίνυν υἱοὶ τῶν προφητῶν πρὸς τὸν Ἐλισσαιὲ «Ἰδοὺ δὴ ὁ τόπος» εἶπον, «ὃν οἰκοῦμεν ἐνώπιόν σου, στενός. πορευθῶμεν δὴ ἕως τοῦ Ἰορδάνου καὶ λάβωμεν ἐκεῖθεν ἀνὴρ [εἷς] δοκὸν μίαν καὶ ποιήσωμεν ἑαυτοῖς τοῦ οἰκεῖν ἐκεῖ». ἐπορεύθη οὖν σὺν αὐτοῖς εἰς τὸν Ἰορδάνην, καὶ αὐτοὶ ἔκοπτον ξύλα. καὶ ἰδοὺ ὁ εἷς, καταβαλὼν τὴν δοκόν, καὶ τὸ σιδήριον ἔπεσεν εἰς τὸ ὕδωρ, καὶ ἐβόησεν· «Ὢ δή, κύριε, καὶ αὐτὸ κεκρυμμένον», οἷον ὅτι οὐκ ἐμόν, φησίν, ἀλλὰ παρ' ἄλλου ἔλαβον αὐτό. τοσαύτη ἦν ἡ πενία τῶν εὐσεβούντων. τὸν τόπον οὖν, ὅπου δὴ καὶ πέπτωκε, μαθὼν ὁ προφήτης, ξύλον ποθὲν ἀποκνίσας, ἔρριψεν ἐκεῖσε τοῦτο. καὶ ἐπεπόλασε τὸ σιδήριον εἰς αὐτό, καὶ πρὸς τὸν ἄνθρωπον «Λάβε τοῦτο» φησὶν ὁ προφήτης. καὶ ἐξέτεινεν ἐκεῖνος τὴν χεῖρα καὶ ἔλαβεν αὐτό.

19. Πολεμοῦντος δὲ τοῦ βασιλέως Συρίας καὶ βουλευσαμένου
μετὰ τῶν παίδων αὐτοῦ || πρός τινα τόπον παρεμβαλεῖν, ὁ προφήτης f. 38
τῷ βασιλεῖ γνωρίζει τοῦ Ἰσραὴλ φυλάξαι μὴ παρελθεῖν ἐν τῷ τόπῳ τούτῳ, ὅτι, φησίν, ἡ Συρία ἐκεῖ κέκρυπται. γνοὺς οὖν ὁ βασιλεὺς Συρίας, ὅτιπερ ἐφυλάξατο ἐκεῖθεν ὁ βασιλεὺς Ἰσραήλ, ἐζήτει, ὅθεν ἔγνωσται τούτῳ. λέγει οὖν εἷς τῶν αὐτοῦ παίδων πρὸς αὐτόν· «Ἐλισσαιὲ ὁ προφήτης ἀπαγγέλλει πάντως αὐτῷ ὅσα ἂν λαλήσῃς ἐν τῷ κοιτῶνί σου». — «Καὶ ποῦ ἐστιν οὗτος» φησὶν ὁ βασιλεύς, «ἵνα ἀποστείλας λήψομαι τοῦτον»; ἀνηγγέλη οὖν αὐτῷ, ὡς ἐν Δωθαῒμ ἐστι. καὶ αὐτίκα ἵππον ἀποστέλλει καὶ ἅρμα καὶ δύναμιν βαρεῖαν, καὶ νυκτὸς τὴν πόλιν περιεκύκλωσαν. ὁ τοίνυν λειτουργὸς τοῦ προφήτου πρωῒ ἐξιὼν καὶ θεασάμενος ταῦτα, φησὶ πρὸς αὐτόν· «Ὢ κύριε, πῶς ποιήσομεν;» κἀκεῖνος· «Μὴ φοβοῦ, ὅτι πλείους οἱ
με|θ' ἡμῶν ὑπὲρ τοὺς μετ' αὐτῶν». καὶ ἅμα εὐχῇ τοῦ προφήτου col. 2
ὁρᾷ τὸ παιδάριον, καὶ ἰδοὺ τὸ ὄρος πλῆρες ἵππων καὶ ἅρμα πυρὸς περικύκλῳ Ἐλισσαιέ, καὶ ἐπάταξε τούτους ἀορασίᾳ. καὶ προσιὼν ὁ προφήτης «Οὐκ αὐτὴ» φησὶν «ἡ πόλις, οὐκ αὐτὴ ἡ ὁδός; δεῦτε ὀπίσω μου, καὶ ἀπάξω ὑμᾶς πρὸς τὸν ἄνδρα, ὃν ζητεῖτε». καὶ ἀπήγαγεν αὐτοὺς εἰς Σαμάρειαν, καὶ τότε ἔγνωσαν, ὅπου δὴ καὶ ἦσαν. ὁ βασιλεὺς τοίνυν Ἰσραήλ, ὡς εἶδεν αὐτούς, φησὶ πρὸς Ἐλισσαιέ·

1 παῖδασ τὲ — νεεμᾶν || 6 Ὁι || 8 εἷς *inserui e R.* IV, 6, 2 || 10 καταβαλὼν] καταβάλλων *R.* IV, 6, 5 || 12 κεχρημένον *H., correxi e R. l. c.* || 13 παράλλου || 17 αυτό *sine spir.* || 23 Λέγει || 24 ἀπαγγέλει || 25 κοιτῶνισ8 || 26 δοθαεὶμ || 37 Τοίνυν — φὴ

«Εἰ πατάξας πατάξω, πάτερ;» κἀκεῖνος «Οὐ πατάξεις» εἶπεν «εἰ μὴ οὓς αὐτὸς ᾐχμαλώτισας ἐν ῥομφαίᾳ σου· παράθου δὲ μᾶλλον τούτοις ἄρτον καὶ ὕδωρ, καὶ φαγέτωσαν καὶ πιέτωσαν καὶ ἀπελθέτωσαν πρὸς τὸν κύριον αὐτῶν». γέγονε τοῦτο, καὶ ἀπῆλθον οἱ ἄνδρες, καὶ f. 38v οὐκέτι μονόζωνοι Συρίας προσέθεντο πρὸς γῆν ἐλθεῖν || Ἰσραήλ.

20. Μετὰ ταῦτα δὲ συνήθροισεν υἱὸς Ἄδερ ὁ βασιλεὺς Συρίας πᾶσαν αὐτοῦ τὴν παρεμβολὴν καὶ περιεκάθισε τὴν Σαμάρειαν, καὶ ἐγένετο λιμὸς μέγας ἐν αὐτῇ, ὡς τὴν τοῦ ὄνου κεφαλὴν πεντήκοντα σίκλων ἀργυρίου τιμᾶσθαι καὶ τέταρτον κάβου κόπρον περιστερῶν (μέτρα δὲ ταῦτα) σίκλων ἀργυρίου πέντε. αὕτη οὖν ἡ κόπρος χρείαν ἐπλήρου αὐτοῖς τοῦ ἅλατος· τοσαύτη γὰρ ἦν ἡ ἀνάγκη καὶ ὁ λιμός. καὶ ἦν ὁ βασιλεὺς Ἰσραὴλ διαπορευόμενος διὰ τοῦ τείχους, καί τις γυνὴ πρὸς αὐτὸν ἐξεβόησε, «Σῶσον, κύριε» λέγουσα «βασιλεῦ». ὁ δὲ πρὸς αὐτὴν «Μή σε κύριος» εἶπε «σώσαι· πόθεν γὰρ σώσω σε; μὴ ἀπὸ τῆς ἅλωνος ἢ τῆς ληνοῦ; τί ἐστί σοι;» κἀκείνη· «Ἡ γυνὴ αὕτη μοι, βασιλεῦ», ὑποδείξασα ταύτην, «δός, ἔφη, τὸν υἱόν σου καὶ φάγωμεν αὐτὸν σήμερον, αὔριον δὲ τὸν ἐμόν· ἑψήσασα δὲ τὸν col. 2 ἐμόν, ἐφάγομεν· αὕτη οὖν τὸν ἑαυτῆς οὐ | παρέχει». ἤκουσεν ὁ βασιλεὺς καὶ διέρρηξεν αὐτοῦ τὰ ἱμάτια, καὶ εἶδεν ὁ λαὸς σάκκον ἐπὶ τῆς σαρκὸς αὐτοῦ ἔσωθεν. κἀκεῖνος ἔφη· «Τάδε ποιήσαι μοι ὁ Θεὸς [καὶ] τάδε προσθείη, εἰ στήσεται ἡ κεφαλὴ Ἐλισσαιὲ ἐπ᾿ αὐτῷ σήμερον». καὶ οὗτος ἐκάθητο ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τῶν πρεσβυτέρων, καί φησι πρὸς αὐτούς· «Μὴ οἴδατε, ὅτι ἀπέστειλεν ὁ υἱὸς τοῦ φονευτοῦ ἀφελεῖν μου τὴν κεφαλήν; ἴδετε, καὶ ὡς ἂν ἔλθῃ ὁ ἄγγελος, ἀποκλείσατε τὴν θύραν καὶ ἐκθλίψατε αὐτὸν ἐν αὐτῇ· οὐχὶ φωνὴ τῶν ποδῶν τοῦ κυρίου αὐτοῦ κατόπισθεν αὐτοῦ;» ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ ἄγγελος κατέβη πρὸς αὐτὸν καὶ εἶπεν· «Αὕτη ἡ κακία παρὰ κυρίου, τί ὑπομενῶ τῷ κυρίῳ ἔτι;» καὶ ὁ προφήτης· «Ἄκουσον λόγον κυρίου. τάδε λέγει κύριος· ὡσεὶ ὥρᾳ ταύτῃ αὔριον μέτρον σεμιδάλεως σίκλου καὶ δίμετρον κριθῶν σίκλου ἐν ταῖς πύλαις Σα- f. 39 μαρείας». καὶ ἀπεκρίθη ὁ τριστάτης, ἐφ᾿ ὃν ὁ βασιλεὺς || ἐπανεπαύετο, πρὸς τὸν Ἐλισσαιὲ καὶ εἶπεν· «Ἰδοὺ ποιήσει κύριος καταράκτας ἐν οὐρανῷ· μὴ ἔσται κατὰ τὸ ῥῆμα τοῦτο»; καὶ ὁ προφήτης· «Σὺ μὲν ὄψει τοῖς ὀφθαλμοῖς, οὐ φάγῃς δὲ ἐξ αὐτῶν». ὃ δὴ καὶ γέγονεν.

2 ᾐχμαλώτευσας — παράθες *R.* IV, 6, 22 || 6 συνήθρησεν || 10 Αὔτη || 11 ἅ|λατ° || 12 ἐπὶ τοῦ τείχους *R.* IV, 6, 26 || 14 εἶπεν || 15 τί ἔστί σοι || 17 φαγόμεθα *R.* IV, 6, 28 || 20 ποιῆσαι μοι || 20 καὶ *inserui e R.* IV, 6, 31 || 23 μὴ οἴδατε] εἰ εἴδετε *R.* IV, 6, 32 || 24 καὶ *ante* ὡς *om. R.* || 28 ὑπομενῶ] ὑπομείνω *R.* IV, 6, 33 || 29 ὡς ἡ ὥρα αὕτη *R.* IV, 7, 1 || 35 γέγονε

21. Τέσσαρες οὖν ἦσαν λεπροὶ παρὰ τὴν θύραν τῆς πόλεως. καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· «Τί, ὅτι ἡμεῖς ἀποθνήσκομεν ὧδε; ἐν τῇ πόλει λιμός, ὧδε λιμός. εἰσέλθωμεν εἰς τὴν παρεμβολὴν Συρίας. καὶ ἐὰν ζωογονήσωσιν ἡμᾶς, καὶ ζησόμεθα. καὶ ἐὰν θανατώσωσιν ἡμᾶς, καὶ ἀποθανούμεθα». εὐθὺς οὖν ἐν τῷ σκότει ἀναστάντες εἰσῆλθον εἰς τὴν παρεμβολὴν Συρίας. καὶ ἰδοὺ οὐκ ἦν ἐκεῖσε ἀνήρ. κύριος γὰρ ἀκουστὴν ἐποίησε τῇ παρεμβολῇ Συρίας φωνὴν ἅρματος καὶ φωνὴν ἵππου καὶ φωνὴν μεγάλης δυνάμεως, καὶ εἶπεν ἀνὴρ πρὸς τὸν ἀδελφὸν αὐτοῦ· «Νῦν ἐμισθώσατο καθ' ἡμῶν βασιλεὺς Ἰσραὴλ τοὺς βασιλεῖς τῶν Χετταίων καὶ τοὺς βασιλεῖς Αἰγύπτου τοῦ ἐλθεῖν ἐφ' ἡμᾶς». καὶ ἀνέστησαν| καὶ ἀπέδρασαν ἐν τῷ σκότει καὶ κατέλιπον τὰς σκηνὰς αὐτῶν καὶ col. 2 τοὺς ἵππους αὐτῶν ἐν τῇ παρεμβολῇ, ὡς ἦσαν, καὶ ἔφυγον πρὸς τὴν ψυχὴν ἑαυτῶν.

22. Εἰσῆλθον οὖν οἱ λεπροὶ ἕως μέρους τῆς παρεμβολῆς καὶ εἰς σκηνὴν μίαν καὶ ἔφαγον καὶ ἔπιον καὶ ἦραν ἐκεῖθεν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἐπορεύθησαν καὶ εἰσῆλθον εἰς ἑτέραν σκηνὴν καὶ ἔλαβον κἀκεῖθεν καὶ ἐπορεύθησαν καὶ ἀπέκρυψαν καὶ πρὸς ἀλλήλους εἶπον· «Ἡ ἡμέρα αὕτη ἡμέρα εὐαγγελίου ἐστίν, καὶ ἡμεῖς σιωπῶμεν». καὶ ἅμα εἰσῆλθον καὶ ἐβόησαν πρὸς τὴν πύλην τῆς πόλεως λέγοντες· «Εἰσήλθομεν εἰς τὴν παρεμβολὴν Συρίας, καὶ ἀνὴρ οὐκ ἔστιν ἐν αὐτῇ καὶ φωνὴ ἀνθρώπου, ὅτι εἰ μὴ ἵππος δεδεμένος καὶ ὄνος, καὶ αἱ σκηναὶ αὐτῶν ὡς εἰσίν». εὐθὺς οὖν οἱ θυρωροὶ δραμόντες εἰς τὸν οἶκον τοῦ βασιλέως ἀπήγγειλαν ταῦτα. ὁ τοίνυν βασιλεὺς νυκτὸς ἀναστὰς «Ἀναγγελῶ δὴ ὑμῖν» ἔφη πρὸς τοὺς παῖδας αὐτοῦ, «ἃ ἐποίησαν || ἡμῖν οἱ πολέμιοι. ἔγνωσαν ὅτι f. 39v πεινῶμεν καὶ ἐξελθόντες ἐκ τῆς παρεμβολῆς ἐκρύβησαν, ἵν' ἐξελθόντας ἡμᾶς συλλάβωνται». δύο οὖν ἔκρινεν ἱππεῖς ἀποστεῖλαι, ἐφ' ᾧ πορευθῶσι μέχρι τοῦ Ἰορδάνου καὶ ἴδωσι τὸ πραχθέν. πορευθέντες οὖν ἐκεῖνοι τὴν ὁδὸν εὗρον ἱματίων πλήρη καὶ σκευῶν, ὧν ἔρριψεν ἡ παρεμβολὴ Συρίας ἐν τῷ φεύγειν αὐτήν, καὶ τάχος ὑποστρέψαντες ἀπήγγειλαν πάντα τῷ βασιλεῖ. ἐξιὼν οὖν ὁ βασιλεὺς διήρπασε πάντα, καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου κατὰ τὸ ῥῆμα κυρίου καὶ δίμετρον κριθῶν σίκλου. καὶ ὁ βασιλεὺς ἔστησε τὸν τριστάτην ἐκεῖνον, ἐφ' ὃν ἐπανεπαύετο, ἐπὶ τῆς πύλης, καὶ συνεπάτησεν αὐτὸν ὁ λαός, καὶ ἀπέπνευσε, καθὰ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ.

2 ἕκαστος] ἀνὴρ R. IV, 7, 3 || 3 τῇ *supra versum* || 7 παρεμβολὴν τὴν Συρίας R. IV, 7, 6 || 12 κατέλειπον H, ἐγκατέλιπον R. || 16 ἦραν || 19 εὐαγγελίας R. IV, 7, 9 || 21 εἰσῆλθομεν || 28 συλάβων(ται) || 34 ῥῆμα

23. Μετὰ δὲ ταῦτα ἐλάλησεν Ἐλισσαιὲ πρὸς τὴν γυναῖκα, ἧς ἐζώωσε τὸν υἱόν, οὕτως· «Ἀνάστηθι καὶ δεῦρο σὺ καὶ ὁ οἶκός σου,
col. 2 καὶ παροίκει οὗ ἂν παροικήσῃς, ὅτι κέκληκε κύριος | λιμὸν ἐπὶ τὴν γῆν, καί γε ἦλθεν ἑπτὰ ἔτη ἐπὶ τὴν γῆν». καὶ ἀνέστη ἡ γυνὴ καὶ ἐπορεύθη αὐτὴ καὶ ὁ οἶκος αὐτῆς καὶ παρῴκει ἐν γῇ ἀλλοφύλων ἑπτὰ ἔτη, ὡς οὐ καθολικὸς ἦν ὁ λιμός, ἀλλ' ὁ Ἰσραὴλ ἐπαιδεύετο μόνος. καὶ ἐγένετο μετὰ τὸ τέλος τῶν ἑπτὰ ἐτῶν, ὑπέστρεψεν ἡ γυνὴ εἰς τὴν πόλιν καὶ προσῆλθε τῷ βασιλεῖ λαλῆσαι περὶ τοῦ οἴκου αὐτῆς καὶ περὶ τῶν ἀγρῶν. τότε δὴ οὖν ὁ βασιλεὺς ἐλάλει πρὸς Γιεζῆ τὸν Ἐλισσαιὲ παῖδα καὶ συνεζήτει τούτῳ περὶ τῶν θαυμάτων αὐτοῦ καὶ πῶς τὸν τῆς γυναικὸς ἐζώωσε παῖδα. ἰδὼν οὖν ὁ Γιεζῆ τὴν γυναῖκα, «Κύριε» λέγει «βασιλεῦ, αὕτη ἡ γυνὴ καὶ οὗτος ὁ ταύτης υἱός». τότε ὁ βασιλεὺς μαθὼν ἅπαντα τὰ λαλούμενα παρ' αὐτῆς προσέταξε δοθῆναι ταύτῃ καὶ τὰ γεννήματα καὶ τοὺς ἀγροὺς καὶ εἴ τι ἕτερον καταλέλοιπεν εἰς τὴν οἰκίαν αὐτῆς.

24. Ἦλθεν οὖν Ἐλισσαιὲ εἰς Δαμασκόν. καὶ υἱὸς Ἄδερ βασι-
f. 40 λεὺς Συρίας ἠρρώστει· καὶ ἀνηγγέλη τούτῳ, ὡς || ἥκεν ὁ τοῦ Θεοῦ ἄνθρωπος ἕως ὧδε. λέγει τοίνυν πρὸς Ἀζαὴλ τὸν ἄρχοντα αὐτοῦ· «Λάβε δὴ ἐν τῇ χειρί σου μαναὰ (ἔστι δὲ εἶδος ἐσκευασμένης θυσίας) καὶ δεῦρο εἰς ἀπάντησιν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ καὶ ἐπιζήτησον τὸν κύριον δι' αὐτοῦ, εἰ ζήσομαι ἐκ τῆς ἀρρωστίας μου ταύτης». ἥκεν οὖν Ἀζαὴλ καί φησι πρὸς Ἐλισσαιέ· «Υἱός σου, υἱὸς Ἄδερ, βασιλεὺς Συρίας, ἀπέστειλέ με πρὸς σὲ λέγων, εἰ ζήσομαι ἐκ τῆς ἀρρωστίας μου ταύτης;» καὶ ὁ προφήτης· «Εἰπὲ αὐτῷ· ζωῇ ζήσῃ, καὶ ἔδειξέ μοι κύριος, ὅτι θανάτῳ ἀποθανεῖται». τοῦτο δὲ εἶπεν, ἵνα μὴ ἀθυμῶν ὑπεξέλθῃ τὸν βίον. ἔκλαυσεν οὖν ὁ ἄνθρωπος τοῦ Θεοῦ, καὶ ὁ Ἀζαὴλ πρὸς αὐτόν· «Τί, ὅτι ὁ κύριός μου κλαίει;» καὶ ὁ προφήτης· «Οἶδα, ὅσα κακὰ ποιήσεις τοῖς υἱοῖς Ἰσραήλ. τὰ ὀχυρώματα αὐτῶν ἐξαποστελεῖς ἐν πυρί, τοὺς ἐκλεκτοὺς αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενεῖς καὶ τὰ νήπια αὐτῶν ἐνσείσεις [καὶ] τὰς ἐν γαστρὶ ἐχούσας αὐτῶν ἀναρρήξεις». καὶ ὁ Ἀζαήλ· «Τίς
col. 2 ἐστιν ὁ δοῦλός σου ὁ κύων | ὁ τεθνηκώς, ὅτι ποιήσει τὸ ῥῆμα τοῦτο»; καὶ ὁ προφήτης· «Ἔδειξέ μοι κύριος σὲ βασιλεύοντα ἐπὶ Συρίαν». πορευθεὶς οὖν ἔφη τῷ κυρίῳ αὐτοῦ· «Ὁ προφήτης εἶπεν Ἐλισσαιέ· ζωῇ ζήσῃ». τῇ ἐπαύριον οὖν ἔλαβε τὸν μαχμᾶν (ἔστι δὲ εἶδος στρώματος) καὶ ἔβαψεν ἐν τῷ ὕδατι καὶ περιέβαλεν ἐπὶ τὸ πρόσω-

1 με|Τὰ || 3 λιμῶν || 14 γενή|ματα || 15 καταλέλιπε || 18 ἠρώ|στει || 20 μανλὰ *H*, *correxi e R.* IV, 8, 8 || 22 ἀρρωστεί|ασ || 23 ̔ς φησὶ || 31 καὶ *inserui* || 33 δοῦλοσσου || 36 μαχμᾶν *H.*, μαχβὰρ *R.* IV, 8,15

που αὐτοῦ, καὶ ἀπέθανε. τινὲς μὲν οὖν φασι τὸν βασιλέα τοῦτο διαπράξασθαι πρὸς ἑαυτόν, Ἰώσηππος δὲ τὸν Ἀζαὴλ λέγει τοῦτο πρὸς ἐκεῖνον ποιῆσαι. βασιλεύσαντος οὖν τοῦ Ἀζαὴλ πάντα τὰ παρὰ Ἐλισσαίου προρρηθέντα τὴν ἔκβασιν εἴληφεν.

25. Μετὰ δὲ ταῦτα ἐκάλεσεν Ἐλισσαιὲ τῶν υἱῶν ἕνα τῶν προφητῶν καὶ λέγει αὐτῷ· «Ζῶσαι τὴν ὀσφύν σου καὶ λάβε τὸν φακὸν τοῦ ἐλαίου τούτου (τοῦτο δὲ εἶδός ἐστιν ἄγγου) καὶ δεῦρο εἰς Ῥεμμὼθ Γαλαάδ, καὶ εἰσελεύσῃ ἐκεῖ καὶ ὄψει Ἰηοὺ υἱὸν Ἰωσαφὰτ υἱοῦ Ναμεσὶ καὶ ἀναστήσεις ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ || καὶ f. 40v *εἰσάξεις ἐν τῷ ταμείῳ καὶ ἐπιχέεις τὸν τοῦ ἐλαίου φακὸν ἐπὶ τὴν αὐτοῦ κεφαλὴν καὶ ἐρεῖς· τάδε λέγει κύριος· κέχρικά σε εἰς βασιλέα ἐπὶ Ἰσραήλ· καὶ ἀνοίξεις τὴν θύραν καὶ φεύξῃ καὶ οὐ μενεῖς». τίνος οὖν ἕνεκα μὴ δι' ἑαυτοῦ, ἀλλὰ δι' ἑτέρου προφήτου κέχρικεν Ἐλισσαιὲ τὸν Ἰηού; ὅτι λάθρα τοῦτο γενέσθαι συνέφερεν, ὥστε συντόμως ἀναιρεθῆναι τὸν Ἰωρὰμ υἱὸν Ἀχαάβ, Ἰσραὴλ βασιλέα. εἰ γὰρ προήσθετο, παρετάξατο ἄν, ἐν δὲ τῇ παρατάξει πολλοὺς ἦν ἀνάγκη πεσεῖν ἀμφοτέρωθεν. χρίσαντα δὲ φυγεῖν εὐθὺς παρηγγύησεν, ἵνα μὴ συλληφθεὶς κινδυνεύσῃ. βούλεται γὰρ ὁ Θεὸς ἡμᾶς καὶ ἀνθρωπίναις οἰκονομίαις κεχρῆσθαι, ὡς λόγῳ τιμηθέντας. πορευθέντος οὖν τοῦ παιδαρίου καὶ χρίσαντος βασιλέα καθ' ὃν εἴρηται τρόπον τὸν Ἰηού, ἵνα τὰ ἐν μέσῳ παρῶ, συμβολῆς γενομένης ἐπάταξε τόξῳ Ἰηοὺ τὸν Ἰωρὰμ ἀνὰ μέσον τῶν βραχιόνων αὐτοῦ, καὶ ἐξῆλθε τὸ βέλος διὰ τῆς | καρδίας αὐτοῦ, καὶ ἀπέθανεν· ἐπάταξε δὲ τῷ φεύ-* col. 2 *γειν καὶ Ὀχοζίαν Ἰηοὺ καὶ ἀπέκτεινεν, ἀλλὰ καὶ πάντας τοὺς ἐν τῷ οἴκῳ Ἀχαὰβ ἐπάταξεν, ὥστε μὴ καταλειφθῆναι τοῦτο κατάλειμμα.*

26. Ἠρρώστησεν οὖν Ἐλισσαιὲ τὴν ἀρρωστίαν αὐτοῦ, δι' ἣν καὶ ἀπέθανε. καὶ κατέβη Ἰωὰς βασιλεὺς Ἰσραὴλ εἰς αὐτὸν καὶ ἔκλαυσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ εἶπε· «Πάτερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ». καὶ εἶπεν αὐτῷ Ἐλισσαιέ· «Λάβε τόξον καὶ βέλη». καὶ ἐπέθηκεν Ἐλισσαιὲ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας τοῦ βασιλέως καὶ εἶπεν· «Ἄνοιξον τὴν θυρίδα κατὰ ἀνατολὰς καὶ πάταξον τόξῳ τὴν γῆν. βέλος γὰρ Συρίας τῷ κυρίῳ καὶ βέλος σωτηρίας ἐν Συρίᾳ». καὶ ἐπάταξεν ὁ βασιλεὺς τρὶς καὶ ἔστη, καὶ ἐλυπήθη ἐπ' αὐτῷ ὁ ἄνθρωπος τοῦ Θεοῦ καὶ εἶπεν· «Εἰ ἐπάταξας πεντάκις ἢ ἑξάκις, τότε ἂν ἐπάταξας καὶ τὴν Συρίαν ἕως συντελείας· καὶ νῦν τρὶς πατάξεις τὴν Συρίαν.

1 φασὶ || 4 προρηθέντα — εἴληφε || 7 τοῦτου — εἶδοσ ἐστι — ῥεμὼθ || 8 ἰηοῦ sqq. H., Ἰοὺ R. || 9 Ναμεσσὶ — ἐκ μέσου R. IV, 9, 2 || 13 ἕ|Νεκα || 22 μέσων || 26 Ἠρώσ(ρ)τησεν || 28 εἶπεν || 32 βέλος γὰρ σωτηρίας R. IV, 13, 17 || 36 πατάξασ

2 Ἰώσηππος: Fl. Ios. Ant. Iud. IX, 92.

f. 41 *27. Καὶ ταῦτα μὲν || τὰ μεγάλα καταπραξάμενος ἐν ζωῇ σου καὶ ὑπερέκπληκτα, προφῆτα πανθαύμαστε, τέρατα καὶ πλήρης ἡμερῶν γενόμενος τῶν τοῦ πνεύματος καταλύεις τὸν βίον καὶ θάπτῃ φιλοτίμως ἐν τῇ πόλει Σεβαστῇ Σαμαρείας, ὡς εἰκός, παρὰ τῶν ποθούντων σε. πλὴν οὐδ' ἡ σεβασμία σου τελευτὴ τῶν τοιούτων ἄμοιρος καὶ ἀμέτοχος· νεκρὸς γὰρ ἐνριφεὶς σου τῷ σώματι τὸ ζῆν ἀπέλαβε, τὸ παράδοξον.*

Καὶ νῦν τοὺς οὐρανοὺς κατοικῶν, πανοαοίδιμε, καὶ τὰ ἐν αὐτοῖς ἐνοπτριζόμενος κάλλη, ναὶ δὴ καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος, αἴτησαι Θεὸν δωρηθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ συμπαθεῖ καὶ χρηστῷ μῆκος τῆς ζωῆς καὶ καλῶν εὐτυχίαν, ἰσχὺν ἐκ Θεοῦ κατὰ πάντων καὶ κράτος, χρηστόν, ἔμφρονα, θεοτερπῆ τὸν βίον, ἀνεπίδεκτον παντὸς κακοῦ καὶ βλάβης, ἥμερον ἀπέργασαι τὸν κριτὴν *col. 2* *τούτῳ, λογοπραγοῦντα κρίσεως ἐν ἡμέρᾳ, πάσης ἔμπλησον | χαρᾶς καὶ θυμηδίας καὶ βασιλείας αὐτὸν ἀδιαδόχου· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ιε'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΔΟΥΛΑ.

1. Διοκλητιανοῦ τοῦ δυσσεβοῦς βασιλεύοντος καὶ Μαξίμου τοῦ ἀπηνοῦς τῆς Κιλικίας ἡγεμονεύοντος, πολλή τις ἐκράτει καὶ τὴν χώραν ἐκείνην σκοτόμαινα· τοὺς γὰρ εὑρισκομένους ἐν αὐτῇ χριστιανοὺς πολλαῖς ὁ Μάξιμος ὑποβάλλων βασάνοις, εἶτα καὶ θανάτῳ παρέπεμπεν. Δουλᾶς οὖν, δοῦλος ὁ καλὸς τοῦ Χριστοῦ, τῆς ἐπαρχίας ἐξωρμημένος Κιλικίας, κώμης Πραιτωριάδος τοῦ Ζεφυρίου, ἐπεὶ θεοσεβὴς ἐτύγχανε καὶ γονέων πιστῶν τε καὶ περιφανῶν καὶ τὸν Χριστὸν Θεὸν ὡμολόγει καὶ ποιητὴν οὐρανοῦ τέ φημι καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς καὶ πολλοὺς διδάσκων πρὸς τὴν ἐπίγνωσιν ἐνῆγε τῆς ἀληθείας (ἦν γὰρ ὁ ἀνὴρ καὶ λόγῳ σοφὸς καὶ τρόπῳ χρηστὸς *f. 41v* *καὶ πάσαις || ἄλλαις ἀρεταῖς περιδέξιος), κατασχεθεὶς ὑπὸ τῶν εἰς τοῦτο τεταγμένων ὑπηρετῶν ἄγεται πρὸς τὸ βῆμα τοῦ δικαστοῦ καὶ δὴ καὶ ἐρωτᾶται πρὸς αὐτοῦ, τίς καὶ ὅθεν καὶ τί τούτῳ τὸ ἐπιτήδευμα καὶ τὸ ὄνομα. καὶ ἐπεὶ μάθοι καὶ χριστιανὸν αὐτὸν εἶναι καὶ*

2 ὑπερέκπληκτα || 22 εὑρι|σκομαίνουσ || 24 δουλάσ || 27 δυνοῦ τε φημὶ

τῆς κώμης ἐξορμᾶσθαι Πραιτωριάδος καὶ Δουλᾶν ὀνομάζεσθαι, «Οὐ δέδοικας οὖν» ἔφη «τὰς ἠπειλημένας τοῖς οὕτως ἔχουσι τιμωρίας; ἢ ἀγνοεῖς τὰ βασιλικὰ διατάγματα»; — «Οὐ μὲν οὖν ἀγνοῶ» πρὸς αὐτὸν εἶπεν ὁ μάρτυς, «καταφρονῶ δὲ καὶ βασιλέως παράνομα πράττοντος καὶ αὐτῶν δὴ σου τῶν ἠπειλημένων βασάνων· οὐδὲν γάρ με παραβλάψαι δυνήσονται, τὸν Χριστὸν ἔχοντα βοηθοῦντά μοι καὶ ἀντιλαμβανόμενον».

2. Τότε θυμοῦ πληρωθεὶς ὁ δικάζων κατὰ γῆς αὐτὸν κελεύει διαταθῆναι καὶ ῥάβδοις ἀφειδῶς καταξαίνεσθαι. τυπτόμενος οὖν ὁ καλλίνικος ἐκάλει μόνον τὸν Χριστὸν εἰς | βοήθειαν καὶ οὐδὲν ἕτερον col. 2 *ἔλεγεν. ἀναστῆναι οὖν αὐτὸν τῆς γῆς τοῦ Μαξίμου κελεύσαντος καὶ τὸν Χριστὸν ἐπικερτομοῦντός τε καὶ διασύροντος, ὅτι τε ἄνθρωπος γέγονε καὶ ὅτι Θεὸν ἑαυτὸν ποιῶν καλῶς ὑπὸ τῶν Ἰουδαίων πεφόνευται, ὁ μάρτυς ὑπολαβὼν καὶ τὰ μυθώδη τῶν Ἑλλήνων εἰς μέσον παραγαγών, πῶς ὁ μαντικὸς αὐτοῖς Ἀπόλλων, ἐρασθεὶς τῆς Δάφνης, ταύτην ἐδίωκε καὶ τῆς ἐπιθυμίας οὐκ ἔτυχε, πῶς τε Ἀφροδίτη τοῦ Ἀδώνιδος ἤρα, καίπερ αὐτῆς ὁ Ἄρης ἀντήρα, καὶ τούτοις καὶ τοῖς ὁμοίοις καταβροντήσας τὸν ἀσεβῆ κἀντεῦθεν πρὸς πλείονα θυμὸν αὐτὸν ἐκκαλεσάμενος καὶ ὀργήν, τύπτεται πάλιν κατὰ τῆς γαστρὸς ἀπηνῶς. εἶτα καὶ ὕπτιος ἐπ' ἐσχάρας πεπυρακτωμένης τεθεὶς καταφλέγεται. καὶ ἐπείπερ εἰς πολὺ κατέτηξε τούτῳ τὰς σάρκας ἡ βάσανος, μόνα περιλιποῦσα γυμνὰ τὰ ὀστᾶ, τῇ φυλακῇ παραδίδοται. ||*

3. Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ πάλιν ὁ μάρτυς εἰς δευτέραν f. 42 *ἐξέτασιν ἄγεται· ἐκκαλεῖται παρὰ τοῦ κολαστοῦ πρὸς τὴν τῶν εἰδώλων θυσίαν· οὐ πείθεται· καὶ πάλιν αἱ κολάσεις καὶ πάλιν αἱ βάσανοι τὸ καλὸν ἐκεῖνο σῶμα κατεδαπάνων· ἐλαίῳ γὰρ ὁ καλλίνικος τὴν κεφαλὴν διαβρέχεται καὶ ἄνθρακας, φεῦ, πυρὸς ἐπ' αὐτῆς ἐπιδέχεται. ἀλλὰ δὴ καὶ σινήπει τοὺς μυκτῆρας πληροῦται, σιδήροις τε τὰ νῶτα χαράσσεται καὶ ὄξει καὶ ὀστράκῳ τὰς ὑπολειφθείσας κατατρίβεται σάρκας, εἶτα δὲ τὰς σιαγόνας καὶ τὰ σκέλη συντρίβεται καὶ ὅλος γίνεται τραυματίας καὶ θέαμα τοῖς ὁρῶσιν ἐλεεινὸν ὁ πανάριστος τίθεται. οἶκτον οὖν οὐδένα τούτου λαβὼν ὁ παράφορος ἄρχων τῇ φυλακῇ καὶ αὖθις αὐτὸν παραπέμπεται.*

4. Οὐ πολλαὶ διῆλθον ἡμέραι, καὶ πρὸς τρίτην ἐξέτασιν ὁ νικητὴς παρίσταται καὶ τὴν αἰτίαν ἐγκαλεῖται τῆς εἰς τοὺς [θεοὺς] | ὕβρεως, καὶ πῶς ἐν σαρκὶ Θεὸς γέγονε καὶ διὰ τί καὶ πῶς νομίζε- col. 2

3 Ὀυμενοὺν || 14 Ὀ μάρτυσ || 15 μέσων — ἐρασθὴσ || 16 ʼἐκέτυχε· πῶσ τὲ || 17 ἥρα — ἀντῆρα || 22 περιλειποῦσα || 26 πάλιν ἐβάσανοι || 29 σινίπι || 30 τὲ || 31 τασκέλη || 33 οἶ|Κτον || 36 θεοὺς *inserui*.

ται Θεὸς ὁ Χριστός, παρὰ τοῦ τυράννου διερωτᾶται· καὶ ὃς ἀρξάμενος πᾶσαν ἄνωθεν τοῦ Χριστοῦ τὴν οἰκονομίαν αὐτῷ διεξῄει κατὰ λεπτόν, ὅπως Θεὸς ὢν ἀληθὴς καὶ Θεοῦ υἱὸς ἀληθοῦς ὁ Χριστός, πρὸ πάντων γεννηθεὶς τῶν αἰώνων, διὰ τὴν ἡμῶν σωτηρίαν ἑαυτὸν ἐκένωσε, μορφὴν ἐμοῦ τοῦ δούλου λαβὼν ἐκ παρθένου σεμνῆς, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ πνεύματι, ὅπως τε παρὰ τῶν ἐχθίστων Ἰουδαίων ἐσταύρωται, φθονησάντων αὐτῷ δι᾿ ἅπερ ἐποίει θαύματα, νεκροὺς ἐγείρων, τυφλοὺς ὀμματῶν, χωλοὺς ἀνορθῶν καὶ πᾶσαν ἄλλην νόσον θεραπεύων αὐτῶν καὶ μαλακίαν, πῶς τε τριήμερος ἐξανέστη τοῦ μνήματος καὶ πῶς ἀνελήφθη καὶ πῶς τὸ πνεῦμα τοῖς ἀποστόλοις κατέπεμψεν.

5. *Ταῦτα διεξιόντος τοῦ μάρτυρος καὶ τὰ τούτοις ὅμοια κατὰ* f. 42v *μέρος, ὄνος ἦν ἐκεῖνος, τὸ τοῦ λόγου, || πρὸς λύραν. διὸ καὶ τῶν μεμολυσμένων τοῦτον θυσιῶν ἀπογεύεσθαι καταναγκάζει. καὶ ἐπεὶ μὴ ἔπειθεν ὁ ἀνόσιος, βίᾳ κελεύει τῷ στόματι τοῦ σοφοῦ τὰς μυσαρὰς ἐκείνας ἐμβληθῆναι σπονδάς. ὡς οὖν ἀπέπτυσε ταύτας ὁ μάρτυς, ἀναρτηθῆναι τῷ ξύλῳ καταδικάζεται καὶ ξέεται μὲν πρῶτον τὰς παρειάς, ὡς γυμνὰ φαίνεσθαι σαρκῶν τὰ ὀστᾶ, εἶτα ξέεται καὶ κατὰ γαστρὸς ἐπὶ τοσοῦτον, ὥστε τὰ μυστήρια ταύτης καὶ ἅπερ ὁ ἥλιος οὐκ ἴδοι ποτέ, δῆλα κεῖσθαι καὶ θεατὰ τοῖς παροῦσι, θέαμα δεινὸν καὶ ἐλεεινὸν καὶ μὴ φορητὸν ὀφθαλμοῖς ἐλεήμοσιν.*

6. *Ἀλλ᾿ οἱ καὶ θηρῶν αὐτῶν ἀγριώτεροι καὶ ἐλαύνεσθαι τοῦτον ὁδὸν μακρὰν κατακρίνουσι· καὶ ἦν ἰδεῖν σχεδὸν πολλοῖς ἄπιστον διηγούμενον πρᾶγμα καὶ μόνοις πιστὸν ὀφθαλμοῖς· φέρων ἐν χερσὶν ὁ μάρτυς τὰ ἔγκατα τὴν ὁδὸν ἠλαύνετο, μὴ οἴκτου, μὴ συμ-* col. 2 *παθείας, μή τινος ἐλέους ὑπὸ τῶν ἑλκόντων τυγχάνων· | προσταλαιπωρήσας οὖν παντελῶς καὶ μὴ οἷός τε ὢν εἰσέτι τὴν πορείαν ποιεῖσθαι, μικρὸν εἰς γῆν καθεσθεὶς Θεῷ τὸ πνεῦμα παρέθετο. καὶ τοῦτον μὲν οἱ ἀσεβεῖς οὕτω καταλιπόντες ὑπέστρεφον, χεῖρες δὲ θεοφιλῶν ἀνελόμεναι καὶ τὰ εἰκότα τελέσασαι φιλοτίμως ἔθαψαν.*

7. *Ταῦτά σου, καλὲ Δουλᾶ, τὰ διὰ Χριστὸν ἀνδραγαθήματα καὶ τὰ σκάμματα. καὶ νῦν τοὺς οὐρανοὺς κατοικῶν καὶ περὶ τὸν θρόνον τοῦ παμβασιλέως στρεφόμενος καὶ τῶν πόνων ἀπολαμβάνων τὰς ἀμοιβάς, αἴτησαι δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ χρηστῷ καὶ τὰ πάντα καλῷ μῆκος ζωῆς χρηστῆς τε καὶ ἀταράχου, ἰσχὺν γενναίαν κατ᾿ ἐχθρῶν ἐναντίων, χαρὰν ἀνυπέρβλητον καὶ στέφος θεῖον,*

1 *τυράνου* || 6 *ὅπ(ως) τὲ* || 8 *διάπερ* || 10 *πῶσ τὲ* || 12 *διεξιόντ°* || 12—13 *καταμέροσ* || 14 *ἀπογέ|βεσθαι* || 20 *᾿ὃ|κῖδοι* || 21 *παροῦσιν* || 28 *εἰσ ἔτι* || 29 *Καὶ* || 32 *δουλὰ*
5 *ἑαυτὸν ἐκένωσε:* cf. Phil. 2, 7.

ἁπάντων καλῶν τὴν τέρψιν καὶ τὴν δόσιν, ἡλίου φαιδροῦ τὴν λάμψιν καὶ τὴν χάριν, λειμώνων τερπνῶν τὴν καλὴν κατοικίαν, πάσης θυμηδίας τε ἄφθονον χάριν καὶ βασιλείας οὐρανῶν κληρουχίαν· || ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ f. 43
ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιϛ΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥ ΤΥΧΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ ΠΟΛΕΩΣ ΑΜΑΘΟΥΝΤΩΝ ΤΗΣ ΚΥΠΡΟΥ.

1. Φιλόχριστοι τῷ Τύχωνι λίαν οἱ κατὰ σάρκα πατέρες, ἀλλὰ δὴ καὶ φιλόπτωχοι. δι᾿ ἃ δὴ καὶ υἱὸν εὐχῆς ἐκτήσαντο τοῦτον, Ἀμαθοῦντα τὴν πόλιν οἰκοῦντες, Ἐπιφανίου τότε τοῦ μεγάλου τῆς Κυπρίων πρώτης ἐκκλησίας [τὸν θρόνον] ἔχοντος. τοῦτον οὖν οἱ τεκόντες τὸν Τύχωνα ἅμα τῷ εἰς φῶς προελθεῖν καθιεροῦσι Θεῷ καὶ τῇ ἐκκλησίᾳ φέροντες ὑπεσχημένον ἅτε δῶρον ἀνατιθοῦσιν, εἶτα βαπτίσματος ἀξιοῦσι καὶ καλῶς ἀνδρυνόμενον παιδεύουσί τε καὶ διεξάγουσιν.

2. Μαθήμασιν οὖν καὶ ταῖς τῶν γραφῶν μελέταις ὁσημέραι προκόπτοντα βλέποντες καὶ παιδικῶν μὲν ἀπεχόμενον ἀθυρμάτων, πολιὸν δὲ τὸ φρόνημα κεκτημένον ἐν | νέᾳ τῇ ἡλικίᾳ καὶ τύπον col. 2
ὡσανεὶ καὶ κανόνα τοῖς ὁμήλιξι δεδειγμένον, τῷ τῆς ἐκκλησίας Ἀμαθούντων προέδρῳ προσάγουσι καὶ δέονται συγκαταλεγῆναι τοῦτον τῷ ταύτης συστήματι καὶ τὴν τοῦ κληρικοῦ δέξασθαι χειροτονίαν καὶ τάξιν. ἔνθεν τοι καὶ χειροτονεῖ τοῦτον ἐκεῖνος δεξάμενος καὶ τῷ λαῷ τὰς βίβλους ὑπαναγινώσκειν προτρέπεται. χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ τοῦ βήματος προβάλλεται τοῦτον διάκονον καὶ τὴν οἰκονομίαν ἐγχειρίζει τῆς ἐκκλησίας. καὶ γίνεται Τύχων δεξιὸς αὐτῆς παραστάτης καὶ φύλαξ ἠκριβωμένος. τῶν δικαίων γὰρ αὐτῆς φροντίζων ὡς οὐκ ἄλλος τις ἐφαίνετο, τῷ κλήρῳ παντὶ τύπον ἑαυτὸν ἀπεδίδου, ἀρετῶν ἀναβάσεις ἐτίθει καὶ κτήσεις ἐν ἑαυτῷ, ἐλεημοσύναις καὶ πίστεσιν ἐνευδοκίμει, προσευχαῖς καὶ νηστείαις

11 διὰ δὴ || 13 τὸν θρόνον inserui dubitanter || 17 διεξάγουσι || 24 ἔνθέν τοι || 29 ἀλλόσ|τισ

ἐσχόλαζεν, ἀγρυπνίαις καὶ δεήσεσιν ἐνετρύφα καὶ ταπεινοφροσύνην f. 43v ὡς οὔτις ἄλλος ἠσπάζετο. τῷ τοι καὶ μέγας ὁ Τύχων || ἐλέγετο, μέγας ἐγνωρίζετο, μέγας τοῖς ἁπάντων ἔκειτο στόμασι. πᾶς τις ὡς αὐτὸν ἀπῄει βουλευσόμενος τὸ συνοῖσον καὶ πᾶς τις τῶν εὐχῶν αὐτοῦ δεόμενος ἦν.

3. Περιβόητον οὖν οὕτω γενόμενον οὐ τῇ Κυπρίων μόνῃ, ἀλλὰ καὶ τοῖς πόρρω, ὡς ὁ προεστὼς τῆς ἐκκλησίας πλήρης ἡμερῶν γενόμενος τὸν βίον ἀπέλιπεν, ἐπ᾽ αὐτὸν ὅσον ἔκκριτον τῆς πόλεως εἶδε καὶ ἀξιόλογον· μία ψῆφος ἅπασι τὸ Τύχωνα τοὺς τῆς ἐκκλησίας οἴακας δέξασθαι. διὸ καὶ σύμψηφος αὐτοῖς ὁ μέγας γεγονὼς Ἐπιφάνιος χειροτονεῖ τοῦτον καὶ πρόεδρον τίθησιν Ἀμαθούντων, πάντων εὐφραινομένων, πάντων ἀγαλλομένων καὶ σκιρτώντων ὡσανεὶ τὰ σωτήρια πάντων· καθίσας οὖν ἐπὶ τοῦ θρόνου τῆς ἐκκλησίας καὶ τὴν εἰρήνην ἐπευξάμενος τῷ λαῷ καὶ τῶν πραγμάτων ἐγκρατὴς γεγονὼς ἄρχεται καὶ τῆς τοῦ ποιμνίου ἐπιμελείας μὲν καὶ | col. 2 συστάσεως, ἀλλὰ δὴ καὶ τῆς τῶν εἰδώλων καταστροφῆς, καὶ πάντας μὲν ναοὺς αὐτῶν καὶ τεμένη τέλεον καθαιρεῖ καὶ πᾶσαν στήλην εἰδωλικὴν ἀπαλείφει καὶ κονίᾳ δίδωσι καὶ καθαρὰν ὅλως τὴν αὐτοῦ πόλιν ποιεῖ τῶν σατανικῶν ῥυπασμάτων.

4. Τὸ δὲ μετὰ ταῦτα τί; δαίμονας ἐξ ἀνθρώπων, ἵνα συνελὼν εἴπω, διώκει, τυφλοῖς τὸ βλέπειν χαρίζεται, ἀλάλοις τὰ λαλεῖν καὶ τὸ βαδίζειν ὀρθὰ τοῖς χωλοῖς· πᾶσαν, ἣν ἂν εἴποις, νόσον ἰᾶται καὶ ἰατρεῖον ἄμισθον τῇ Κυπρίων γνωρίζεται. πλὴν ὅσιον ἄρα καὶ τὸ τελευταῖον ἐπεξηγήσασθαι θαυματούργημα τούτου. κληματίδα πάντῃ ξηρὰν καὶ ἄνικμον καὶ ὡσανεὶ πολυχρόνιον μυστικῷ τινι λόγῳ τῇ γῇ καταχώννυσιν. ἓξ καὶ δεκάτην ἔτρεχεν ὁ Ἰούνιος μήν, καθ᾽ ἣν ὁ μέγας μετά γε χρόνους τινὰς τὸν βίον ἀπέλιπεν· αὕτη— μεγάλα σου, Χριστέ, τὰ θαυμάσια—ῥιζοῦται παραυτίκα, κομᾷ φύλ- f. 44 λοις || καὶ βρίθεται τῷ καρπῷ. καὶ ἔστιν ἰδεῖν μέχρι τῆς σήμερον καθ᾽ ἕκαστον ἔτος αὐτῇ δὴ τῇ τῆς κοιμήσεως ἡμέρᾳ τοῦ μάκαρος τῆς θείας ἀρχομένης δοξολογίας τῆς μυστικῆς ἱερουργίας περκάζοντας τοὺς βότρυας καὶ οἷον αὐξομένους καὶ τὸ τῆς μεταλήψεως κατὰ μικρὸν λαμβάνοντας τέλεον, πρὸς αὐτὸ δὲ τὸ τέλος τῆς λειτουργίας καὶ πεπείρους καὶ πρὸς μετάληψιν ἀποδεικνυμένους εὐχρήστους.

5. Τοῦτο πάντως μετὰ τῶν ἄλλων οὐ μικρὸν εἰς λόγον ἐγκωμίου τῷ Τύχωνι καὶ ἱκανὸν ἀποδεῖξαι, οἵας δὴ καὶ τετύχηκε τῆς

2 οὔτησ — τώτοι || 3 στόμασιν || 4 ἀπίοι || 7 προέ|στῶσ || 13 Καθίσασ || 17 στείλην || 20 δαίμονεσ || 21 εἴπω || 22 χολοῖσ || 25 μύστιΚ | τινὶ || 26 ἐξ || 28 παράὐτίκα — φύλοισ || 32 αυξομένουσ sine spir.

παρὰ Θεοῦ στάσεώς τε καὶ τάξεως. πλὴν οὕτω βιοὺς καὶ οὕτω καλῶς ποιμάνας τὸ ποίμνιον καὶ τοσούτων μεταδοὺς αὐτῷ τῶν θαυμάτων, πλήρης τε γενόμενος ἡμερῶν τῶν τε λυομένων καὶ τῶν τοῦ πνεύματος, ἐν βαθεῖ καὶ καλῷ γήρᾳ καταλύει τὸν βίον, ἓξ καὶ δεκάτην ἐπαναβαίνοντος τοῦ Ἰουνίου μηνός, καθ' ἥν, ὡς εἴρηται, καὶ τὸ τελευταῖον | τῆς ἀμπέλου διετέλεσε θαῦμα. col. 2

6. Φιλοτίμως οὖν κατατεθεὶς ἐν αὐτῇ δή σου τῇ ποίμνῃ, πανθαύμαστε Τύχων, μύρα βλύζεις ὡς ἐκ πηγῆς ἀεννάου τοῦ τάφου σου, παντοίων νοσημάτων ἰάματα. καὶ νῦν τῷ τοῦ παμβασιλέως Χριστοῦ παριστάμενος θρόνῳ νέμοις ταῖς εὐκτικαῖς εἰς αὐτόν σου δεήσεσι βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ πάσαις κεκοσμημένῳ ταῖς ἀρεταῖς μακρότητα βίου καλοῦ καὶ ἀταράχου, ἰσχὺν κατ' ἐχθρῶν ὁρατῶν [καὶ] νοουμένων, χαρμονὴν ἀρίστην τε καὶ θυμηδίαν ἅπασαν, τὴν μέθεξιν τῶν ἀιδίων, ἡλίου λάμψιν τοῦ νοητοῦ καὶ θείου, λαμπράν, παμφαῆ τὴν ἄνω κατοικίαν, πάσης ὡραιότητος τὴν εὐφροσύνην καὶ βασιλείας τῆς ἄνω μετουσίαν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιζ'. f. 44v

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΜΑΝΟΥΗΛ, ΣΑΒΕΛ ΚΑΙ ΙΣΜΑΗΛ.

1. Οἱ τρεῖς τῆς Τριάδος προσκυνηταὶ Μανουὴλ ὁ ἔνδοξος, ὁ περιφανὴς Σαβὲλ καὶ Ἰσμαὴλ ὁ θαυμάσιος, οἳ καὶ τοῦ λόγου τῆς διηγήσεως ἡμῖν ὑπόθεσις πρόκεινται, τὴν Περσῶν μὲν ἔσχον χώραν καὶ πατρίδα καὶ οἴκησιν, γένος δὲ τὸ ἀπὸ μητρὸς εὐσεβὲς καὶ φιλόθεον· ὁ γὰρ πατὴρ αὐτοῖς ἤδη (φίλη γὰρ ἡ ἀλήθεια) τῇ πλάνῃ μεμένηκεν· ἀλλὰ δὴ καὶ βίον σεμνὸν εἶχον μάλα καὶ ὑπερφυῆ καὶ τῇ εὐσεβείᾳ προσήκοντα, ἀδελφοὶ τυγχάνοντες ἄμφω, καὶ ψυχὰς καὶ τὰ σώματα. οἵτινες τὰ πάτρια διαπτύσαντες (πάτρια γὰρ τοῖς Πέρσαις λυχνία καὶ πῦρ καὶ τὸ κνισσοῦσθαι τοῖς θύμασι), τὰ ἡμέτερα

1 *παραθ͠υ* || 3 *πλήρησ τὲ* || 4 *ἕξ* || 6 *τελευταιῖ* || 13 *καὶ* **inserui** || ibid. *ἀρίστιν* || 17 *αἰώνασ* || 23 *τοῦ λόγου* **nescio an delenda sint** || 24 *χῶραν* || 30 *λύχνια*

καλῶς ἐκπεπόνηντο, ἀνδρὸς εὐσεβοῦς τοῖς τῆς πίστεως αὐτοὺς ἐκθρέψαντος δόγμασιν.

2. Τούτους ἐνταῦθα σταλῆναι δεῆσάν ποτε παρὰ τοῦ τηνικαῦτα col. 2 τῆς χώρας | κρατοῦντος (Ἀλαμούνδαρος οὗτος ἦν), ὡς ἂν πρὸς τὸν μισόχριστον καὶ παραβάτην τῆς ἡμῶν πίστεως, Ἰουλιανὸν τὸν ἔχθιστον λέγω, σπονδὰς εἰρηνικὰς ποιήσαιντο (τοῦτο γὰρ ὁ δυσσεβὴς γράμμασιν ᾔτησε πρότερον καὶ ἀποστολῇ πρέσβεων), οὔτε τὴν ἀρετὴν τῶν ἀνδρῶν ὁ ἀλαζὼν αἰδεσθείς, οὔτε ὡς μετακληθέντες ἥκασιν, οὔτε τὴν μέλλουσαν ἐντεῦθεν συρραγῆναι μάχην λαβὼν κατὰ νοῦν, τιμωρίαις τούτους ἀμείβεται καὶ θανάτῳ τελευταίον πικρῷ, καλοῖς αὐτοὺς τοῖς ἀπαντήμασι δεξιούμενος. καὶ ὅθεν ἦλθεν εἰς τοῦτο, ὁ λόγος ὑμῖν παραστήσει.

3. Ὡς οὖν ἐκ Περσίδος οἱ τρεῖς οὗτοι, καθὰ δεδήλωται, παρεγένοντο καὶ διαλλαγὰς καὶ συμβιβάσεις ἐκόμισαν, τέως μὲν συνῆσαν τῷ βασιλεῖ καὶ φιλοφροσύνης ἀπέλαυον· δόξαν δὲ τούτῳ ποτὲ κατά τινα τόπον φοιτῆσαι τῆς Βιθυνῶν, ἐφ' ᾧ καὶ μεταβληθῇ καὶ τοὺς f. 45 ἑαυτοῦ θεραπεύσειε δαίμονας || — ὄνομα τῷ τόπῳ, ἐν ᾧ τὰ μυσαρὰ ἐτελεῖτο, τοῦ Τρίγωνος, — καὶ πάντων περαιωθέντων σὺν αὐτῷ τῶν ἐν τέλει καὶ αὐτῶν δὴ τούτων τῶν καλλινίκων μαρτύρων, οἱ μὲν ἄλλοι πάντες καὶ συνεώρταζον τῷ βασιλεῖ καὶ συνεθυσίαζον, μόνοι δὲ οὗτοι, μὴ ἀνασχόμενοι τούτοις κἂν ποσῶς ὀφθαλμοῖς προσβαλεῖν, πόρρω καὶ ἐν γωνίᾳ δεδακρυμένοι καὶ κατηφεῖς ἵσταντο, τὸν ἀγαθὸν ἐκδυσωποῦντες Θεὸν μὴ τῇ κοινωνίᾳ καταχρανθῆναι τῶν δυσσεβῶν, ἀλλ' ἐπιστραφῆναι καὶ τούτους δὴ τοὺς πεπλανημένους πρὸς τὴν εὐσέβειαν καὶ γνωρίσαι τὸν αὐτοὺς εἰς τὸ εἶναι παραγαγόντα καὶ πλάσαντα καὶ πάλιν πεσόντας βέλτιον ἀναπλάσαντα.

4. Καὶ οἱ μὲν ἦσαν οὕτω τὴν ἄνωθεν βοήθειαν ἐκκαλούμενοι, ὡς δέ τις παρὰ βασιλέως ἧκε, — κουβικουλάριος τὴν ἀξίαν ἐτύγχανεν, — ἕλκων αὐτοὺς καὶ προάγων ἐπὶ θυσίαν, «Εὐφήμει, ἄνθρωπε», πρὸς αὐτὸν ἐπεβόησαν, «καὶ πόρρω ἀφ' ἡμῶν γενοῦ· οὐ γὰρ | col. 2 Θεὸν τὸν ἡμέτερον καταλείψομεν οὐδὲ τοῖς παρ' ὑμῖν λατρεύσομεν δαίμοσιν· οὐχ οὕτως ἡμεῖς ἀσύνετοι καὶ τὰς φρένας παράκοποι· μὴ γὰρ ἐπὶ τούτοις ἀφίγμεθα ἢ διὰ τοῦτο τὴν μακρὰν πορείαν ἐποιησάμεθα· ἐπὶ διαλλαγὰς μόνον ἥκομεν καὶ συμβιβάσεις καὶ τοῦ ἐμπεδῶσαι τὰ δεδογμένα, τὰ δ' ἄλλα ἔχειν ὡς ἔχομεν. ἀκουέτω ταῦτα καὶ βασιλεὺς ὁ σός, ὡς ἡμᾶς οὐ μεταθήσετέ ποτε τοῦ σκοποῦ, κἂν εἰ καὶ αὐτὰς τὰς ψυχὰς προσαφέλοισθε».

1 ἐκπεπονηντο *sine acc.* || 2 δόγμασι || 3 δὲ ἦσαν ποτὲ || 13 περ|Σίδοσ || 16 βύθυνῶν || 17 ἐνῷ || 20 συνεόρταζον || 21 κἂν — πρόσ βα|λεῖν || 27 Ἦσαν || 28 παραβασιλέωσ || 33 διατοῦτο — ἐποιήσαμι (ἐθα above) || 36 μεταθήσετε ποτὲ

5. Τούτων ὡς ἤκουσεν ὁ τοῦ παρανόμου παρανομώτερος ὑπηρέτης, τάχος τῷ βασιλεῖ πάντα διασαφεῖ· κἀκεῖνος τέως μὲν οὐδὲν ἄλλο ἢ κατακλείστους αὐτοὺς ἐν φρουρᾷ προστάσσει γενέσθαι, εἶθ' οὕτω τῇ ἑξῆς ἅμα προκαθίσας ἐπὶ βήματος παραστῆναι κελεύει τοὺς μάρτυρας καὶ πρῶτα μὲν λόγοις θωπευτικοῖς πανούργως ὑπέρχεται τούτους, εἰπὼν ὡς «Ὁμόφρονας πάντως ὁ ὑμέτερος ἀπέστειλε || βασιλεύς, ἵν' ἐν πᾶσιν ἡμῖν κοινωνήσητε καὶ ἐν μηδενὶ *f. 45v* διαφέρησθε, ἐξ ὧν καὶ τὰ τῆς διαλλαγῆς βεβαιότερα. εἰ δὲ ἄλλα φρονεῖτε καὶ ἄλλα πιστεύετε, οὐ πρέσβεις, ἀλλ' ἐχθροὶ παρεγένεσθε. Πέρσαι γὰρ ἅμα ἡμῖν καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς λοιποὺς τῶν ἀστέρων τιμῶσιν, ἔτι μὴν καὶ τὴν λαμπροτάτην τοῦ πυρὸς δύναμιν». πρὸς ὃν οἱ ἅγιοι συνετῶς «Ἡμεῖς» εἶπον, «ὦ βασιλεῦ, χριστιανοὶ ὄντες καὶ κληθέντες τὸ ἀπ' ἀρχῆς — τοῦτο γὰρ ἡμᾶς ὁ διδάσκαλος ἡμῶν ἐξεπαίδευσεν, ὃς ἱερεὺς ἐχρημάτιζεν, εὔνοιαν πολλὴν εἰς ἡμᾶς κεκτημένος, ἐπεὶ καὶ Εὐνοϊκὸς ὠνομάζετο, — οὐκ ἄν ποτε τὴν πίστιν ἡμῶν ἀρνηθείημεν καὶ τοῖς ὑμῶν σεβάσμασι προστεθείημεν, οὐδὲ τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν καταλείψαιμεν, δαίμοσι δὲ πονηροῖς τὸ σέβας προσάψοιμεν· ἀσυνεσίας γὰρ τοῦτο πολλῆς καὶ φρενῶν παρακοπῆς καὶ ἐκστάσεως. ἵνα τί δὲ καὶ σύ, | τὰ περὶ ὧν *col. 2* ἀπεστάλμεθα σκοπεῖν ἀφεὶς καὶ συνδιατίθεσθαι, τὰ μηδὲν πρὸς σὲ κάθῃ διερευνῶν, τίς μὲν ὁ τῶν σῶν θεῶν λατρευτής, τίς δὲ ὁ τούτων τὴν θεραπείαν ἀπαγορεύων;»

6. Θυμοῦ τοίνυν πλησθεὶς ὁ παράνομος «Πῶς ὑμεῖς, ἀμαθεῖς ὄντες» ἔφη «παιδείας ἑλληνικῆς, τοὺς εἰς ἄκρον γνώσεως ἐληλακότας ἡμᾶς ἀναιδεύεσθε πείθειν; ὅθεν τούτων ἀφέμενοι πείσθητέ μοι τὰ κρείττονα συμβουλεύοντι· εἰ δὲ ἀπειθεῖς γένοισθε, ἡ πεῖρα τῶν βασάνων ὑμᾶς διδάξει, οἷα ἀνθ' οἵων προετιμήσασθε». ἐφ' ᾧπερ οἱ ἅγιοι «Ἐμάθομεν» ἔφησαν «παρὰ τοῦ ἡμετέρου Θεοῦ καὶ δεσπότου μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεινόντων τὰ σώματα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, ἀλλὰ τοῦτον φοβεῖσθαι τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀποκτεῖναι ἐν γεέννῃ, μηδὲ μεριμνᾶν ἐν ἡμέρᾳ ἐπαγωγῆς, τί ἀποκρίνασθαι, || αὐτοῦ τοῦ ἀγαθοῦ πνεύ- *f. 46* ματος λόγον ἐν ἀνοίξει διδοῦντος τοῦ στόματος».

7. Τούτων ἡ παχεῖα καὶ γεώδης ἀκούσασα ψυχὴ ὀργῆς ἀκαθέκτου πληροῦται καὶ παραυτίκα τῇ γῇ διακελεύει ταφῆναι τοὺς μάρτυ-

2 τέοσ || 3 προστάσ^ει || 9 αλ|λὲχθροὶ || 10 σελήνιν || 12 προσ sine acc. || 13 ἀπαρχῆσ || 18 ασυνεσίασ sine spir. || 20 μὴ δὲν || 26 συμβουλέ|βοντι — πεῖρα || 27 προἐτιμήσασθε || 29 ἀποκτενόντων || 31 μὴ|δὲ || 35 παρ'αὐτίκα

29—31 μὴ φοβεῖσθαι — ἐν γεέννῃ: cf. Matth. 10, 28 || 31 μηδὲ μεριμνᾶν κτλ.: cf. Matth. 10, 19 || 33 ἐν ἀνοίξει: cf. Ephes. 6, 19.

ρας καὶ λώροις ὠμοῖς καὶ ξηροῖς διὰ τεσσάρων αἰκίζεσθαι. καὶ τούτου γενομένου, αἵμασιν αὐτῶν ἦν ἰδεῖν τοῖς τιμίοις τὸ ἔδαφος ὅλον καταρρανθέν. εἶτα καὶ χεῖρας καὶ τοὺς ὡραίους πόδας αὐτῶν τοῖς ἥλοις διαπρήσας καὶ τῷ κολαστηρίῳ ξύλῳ προσδήσας ἅμα καὶ ἀναρτήσας, σιδηροῖς ὄνυξι τὰς σάρκας αὐτοῖς καταξαίνεσθαι διορίζεται. ὧν ἀφειδῶς ξαινομένων καὶ πλεῖστα τῶν μελῶν τοῖς ξυστῆρσιν ἐκείνοις ἀποσπωμένων, καιρίαις τε πάντοθεν βαλλομένων ὀδύναις, οὐδ᾽ οὕτως ὁ τῆς ψυχῆς αὐτῶν τόνος ἐκάμπτετο, ἀλλὰ πρὸς μόνον ἀτενίζοντες τὸν Θεόν, «Ἐπὶ ξύλου καὶ αὐτὸς» ἔλεγον «ἀνηρ-
col. 2 *τήθης, | δέσποτα, θριαμβεύσας τὴν ἁμαρτίαν· ἐπὶ ξύλου νῦν καὶ ἡμεῖς οἱ σὲ ἠγαπηκότες κρεμάμεθα, ἵνα πάντως καὶ τὸ τῆς σαρκὸς πάχος ἀποξυσώμεθα καὶ τῇ πληγῇ τῶν σιδήρων τὴν πληγωθεῖσαν ψυχὴν ἰασώμεθα. ἀλλ᾽ ἐπεὶ τὴν ἀσθένειαν οἶδας τῆς φύσεως, δὸς δὴ τὴν ἐξ ὕψους βοήθειαν καὶ τὸν πόνον ἐλάφρυνον καὶ τὴν ἀλγηδόνα τῆς ψυχῆς καταπράυνον· ὁρᾷς τὴν πικρίαν ὅση, κύριε».*

8. Τούτων οὕτως εὐξαμένων οὐκ ἐνεβράδυνες ὁ γλυκύτατος Ἰησοῦς, ταχὺς ὢν εἰς ἀντίληψιν· ἄγγελος γὰρ θεῖος ἐπιφανεὶς τὰς ὀδύνας αὐτοῖς ἐπεκούφισε καὶ τὰ σώματα ῥᾷον διέθηκεν· οὐ μόνον δέ, ἀλλὰ καὶ πρὸς τὰ λοιπὰ τῶν ἀγώνων ἐνίσχυσεν. ἐν ὅσῳ δὲ ταῦτα ἐγίνετο, καὶ ὁ τύραννος τῶν κολάσεων ἀνεθῆναι τούτους ἐκέλευσεν. ἐπιγελῶν οὖν καὶ οἷον ἐπιχλευάζων, «Εἴδετε» φησί,
f. 46v *«πῶς ὑμῖν φιλανθρώπως προσφέρομαι, || τῶν βαρυτέρων τέως τιμωριῶν ἀπεχόμενος ἐλπίδι τοῦ μεταβαλέσθαι ὑμᾶς». καὶ οἱ ἅγιοι «Μὴ ὑπολάμβανε, θεομάχε, συλήσειν ἡμᾶς» ἔφησαν «πώποτε· πρᾶττε λοιπὸν τὸ σοὶ παριστάμενον. τοίνυν ἡμεῖς πάντα παθεῖν ἕτοιμοι καὶ στρεβλοῦσθαι καὶ σφοδροτέρως αἰκίζεσθαι καὶ αὐτῷ πυρὶ καταπίμπρασθαι· τρυφὴ γὰρ ἡμῖν αἱ κολάσεις αὗται νομίζονται».*

9. Τί οὖν ὁ ἀσύνετος; οὐδὲ μετὰ τοσαύτην πεῖραν συνείς, ἀλλ᾽ ἐκκεκωφημένος ὢν ἔτι καὶ τὰς φρένας καὶ τὰ ὦτα, τρόπον ἄλλον πειρᾶται τοὺς ἁγίους ἐξαπατῆσαι καὶ τὸν μὲν ἕνα τούτων καὶ πρῶτον ἰδίᾳ στήσας καὶ πόρρω, τοῖς δυσὶ μόνοις, τῷ τε Σαβὲλ καὶ τῷ Ἰσμαήλ, τοιούσδε λόγους προσάγει, «Ὁ μὲν κακῇ μοίρᾳ» φήσας «ἐκ τοῦ εὐγενοῦς ὑμῶν πατρὸς γεννηθείς, ὃν οὐκ ἀδελφὸν ὑμῖν λέγω, φιλόνικος ὢν οὐ τὰ συμφέροντα φρονεῖ οὐδὲ καλῶς ὑμῖν
col. 2 *συμβουλεύει· ἀλλ᾽ ὑμεῖς τὸ δέον μεταμαθόντες, ἐ|κεῖνον μὲν ἐάσατε ληρεῖν καὶ πάσχειν διὰ κενῆς, αὐτοὶ δὲ στῆτε μεθ᾽ ἡμῶν καὶ λατρεύσατε τοῖς ἡμετέροις θεοῖς, ὡς ἂν παρ᾽ αὐτῶν τε καὶ παρ᾽ ἡμῶν μυρίων τῶν καλῶν ἀπολαύσοιτε». καὶ οἱ μάρτυρες· «Τί σαυτὸν*

1 διατεσσάρων || 3 καταρ^ο^ανθέν || 13 οἶδασ || 16 Ἐυξαμένων || 20 τύρ^α^|νοσ || 21 ἐπαγγελῶν || 25 πράττε || 28 πεῖραν || 33 αδελφὸν *sine spir.* || 37 παράντῶν τὲ

ἀπατᾷς, ἐμβρόντητε καὶ πολύτροπε; εἰ μὲν οὐκ ἔσχες πεῖραν ἡμῶν, ποίει τὸ σοὶ παριστάμενον· εἰ δὲ καὶ ταύτην εἴληφας καὶ τὴν εἰς Θεὸν ἡμῶν πίστιν ἀμετάθετον ἔγνως, τί ματαιοπονεῖς, ἀψύχοις ἡμᾶς εἰδώλοις προσελθεῖν ἀναγκάζων, οἷς ὀφθαλμοὶ μὲν εἰσίν, ἀλλ' οὐ βλέπουσιν, ὦτα δὲ μηδὲ τὸ παράπαν ἀκούοντα, ῥῖνες οὐδὲ τὸ σύνολον ὀσφραινόμεναι, χεῖρες καὶ πόδες ἄχρηστοι, καὶ ὅπερ ἔχουσί σου τὰ ἰνδάλματα, λίθοι ἄψυχοι ὄντα καὶ πάσης αἰσθήσεως ἄμοιρα».

10. Ἠλλοιώθη τούτων ἀκούσας ὁ παραπλήξ. ἔνθεν τοι καὶ θυμοῦ πληρωθεὶς λαμπάδας παραχρῆμα πυρὸς ταῖς τούτων ὑφάπτει πλευραῖς, || καὶ ἐπεὶ μηδὲν διὰ Χριστὸν ἡγεῖσθαι τὰς βασάνους τούτους ἑώρα, f. 47 *«Οὐ συνίετε» πρὸς αὐτοὺς ἔφη, «πῶς τὴν ἐπιστροφὴν ὑμῶν οἱ θεοὶ περιμένουσι καὶ διὰ τοῦτο ῥᾷον ὑμᾶς φέρειν τὰς κολάσεις παρασκευάζουσιν»; — «Οὐδὲν ἡμῖν καὶ τοῖς σοῖς θεοῖς», οἱ ἅγιοι μέγα ἐβόησαν, «τύραννε· ἔχομεν γὰρ βοηθὸν τὸν σωτῆρα Χριστόν· ἐπεὶ πῶς ἂν πρὸς τοσαύτας βασάνους ἐξηρκήσαμεν»; φοβηθεὶς οὖν ὁ παραβάτης, μὴ πλείονα τὴν αἰσχύνην καὶ τὰς ὕβρεις δέξοιτο, τούτους ἐπὶ πλεῖον ἐτάζων, ἐπιστρεφὴς πάλιν γίνεται πρὸς τὸν Μανουὴλ καὶ μείζους ἀπειλὰς τῶν προλαβουσῶν προτείνεται. ἀλλ' ὁ καρτερόφρων καὶ γενναιότατος «Τί ματαιοπονεῖς; τί διὰ κενῆς ἀναιδεύῃ, τύραννε;» λέγει· «οὐκ οἶσθα, ὅπως ἔχομεν ἀμφότεροι καὶ γνώμης καὶ διανοίας; ἢ τοίνυν περιγενοῦ τῶν τριῶν, ἢ τῶν τριῶν ἀπόστηθι. τῇ Τριάδι τῇ ἁγίᾳ οἱ τρεῖς τετειχίσμεθα· τῷ τοι καὶ τὴν | πίστιν, ᾗ συνετράφημεν, οὐκ ἐξομοσσόμεθα, τοῖς* col. 2 *παρά σου δαίμοσιν οὐ λατρεύσομεν, τὸν κύριον ἡμῶν καὶ Θεὸν οὐκ ἐγκαταλείψομεν».*

11. Ἐξαπορηθεὶς οὖν ἐπὶ τούτοις ὁ δυσώνυμος τὴν κατ' αὐτῶν ἀπόφασιν τὸ τάχος ἐκφέρει, ἥλους πρότερον ταῖς κεφαλαῖς ἐμπαρέντας προστάξας, καλάμους τε ὀξεῖς τοῖς ὄνυξιν ἐμπαγέντας οὕτω καὶ τὸν διὰ ξίφους αὐτοὺς δέξασθαι θάνατον, εἶτα καὶ πυρὰν ἐκκαῆναι καὶ τὰ τούτων ἐκριφῆναι σώματα. οἱ οὖν ἅγιοι παρὰ τῶν στρατιωτῶν ἀγόμενοι τὸν τῆς τελειώσεως τόπον κατέλαβον, Κωνσταντίνου οὕτω καλούμενον, κρημνώδη ὄντα καὶ λίαν δυσπρόσιτον· ἐν ᾧ καὶ σταθέντες, «Κύριε» εἶπον, «ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, πρόσδεξαι ἐν εἰρήνῃ τοὺς δούλους σου καὶ τοῖς ἀπ' αἰῶνός σοι εὐηρεστηκόσι κατάταξον· ἀλλὰ καὶ τὸν περιεστηκότα || ὄχλον ἐπίστρεψον πεπλανημένον πρὸς τὴν σὴν ἐπίγνωσιν». f. 47v *ταῦτα τῶν μαρτύρων εἰπόντων φωνὴ ἄνωθεν ἠνέχθη, «Δεῦτε»*

1 *πείραν* || 5 *μὴ δὲ* || 6 *ὠσφραινόμεναι* || 8 *ἤλλοι|ώθη — ἔνθέν τοι* || 10 *μὴδὲν* || 12 *δια|τοῦτο* || 14 *τύρανε* || 16 *Οὖν* || 17 *τοῦτουσ* || 19—20 *διακενῆσ* || 22 *τώτοι* || 24 *παρὰ σοῦ* || 26 *δυσσώνυμοσ* || 28 *προσταξασ* sine acc. || 33 *ἐνῶ* || 37 *Ταῦτα*

λέγουσα, «τοὺς στεφάνους τῆς δόξης ληψόμενοι· καλῶς γὰρ ὑμῖν ὁ δρόμος διήνυσται». καὶ εὐθὺς τὰς κεφαλὰς ἀπετμήθησαν, ἑπτακαιδεκάτην τότε τρέχοντος τοῦ Ἰουνίου μηνός.

12. Παραυτίκα γοῦν ὁ τόπος, ἔνθα ἵσταντο, εἰς δύο μέρη διαιρεθεὶς τὰ τούτων περιέλαβε σώματα· οἱ δήμιοι δέ, τὸ παράδοξον τοῦτο ἑωρακότες, φυγῇ συνέστειλαν ἑαυτούς· τῶν δὲ παρισταμένων πολλοί, τῷ Χριστῷ πιστεύσαντες ἀπετάξαντό τε τῇ πλάνῃ καὶ τοῖς χριστιανοῖς συνετάξαντο. οἱ δὴ καὶ δυσὶν ἐν ἡμέραις τῷ τόπῳ προσμείναντες, ἐπεὶ θαυμασίως ἤδη τὰ μαρτυρικὰ ἀναδέδωκε λείψανα, λαβόντες αὐτὰ καὶ φιλοτίμως κηδεύσαντες ἐντίμως κατέθεντο, col. 2 *πολλὴν τὴν ἴασιν ἀναβλύ|ζοντα καὶ τοῖς φοιτῶσι τὴν χάριν δωρούμενα.*

13. Ἀλλ' οὐκ ἠμέλησεν ἡ δίκη ἐφ' οἷς ὁ παραβάτης ἔδρασε· τῇ Περσῶν γὰρ προσβαλὼν (ἐφλέγμαινε γὰρ ὁ θυμὸς τῷ Πέρσῃ διὰ τὴν τῶν ἁγίων ἀναίρεσιν) καὶ πόλεμον συμβαλών, πλήττεται κατὰ τῶν σπλάγχνων ἐνδίκως καὶ γέλως δαίμοσι καθορᾶται καὶ χριστιανοῖς αὐτοῖς, οἷς ἠπείλει τὰ κάκιστα. ἐφ' ᾧ χρὴ καὶ δόξαν ἡμᾶς ὡς εἰκὸς ἀναπέμπειν Θεῷ τῷ μὴ ἐπὶ πολὺ ῥάβδον ἁμαρτωλῶν κλήρῳ δικαίων ἐπαφιέντι, ἀλλὰ διδόντι τοῖς αὐτὸν ἀγαπῶσι ταχεῖαν τὴν σωτηρίαν καὶ ἐλπίδος μείζονα.

14. Ὑμεῖς δέ μοι, πανθαύμαστοι καὶ παγγέραστοι μάρτυρες, τῷ ταῖς μνήμαις ὑμῶν ἐπιχαίροντι βασιλεῖ ἡμῶν τῷ φιλομάρτυρι καὶ θεοστεφεῖ καὶ τὰ πάντα χρηστῷ νέμοιτε ταῖς πρὸς Θεὸν ὑμῶν ἱκεσίαις μεγίστην ὄντως τὴν ἐν πολέμοις νίκην, ἰσχυράν, ἀκράδαν- f. 48 *τον κατ' ἐχθρῶν χεῖρα, χαρᾶς τῆς ἄνω || τὴν καλὴν μετουσίαν, ἁπάντων χρηστῶν τὴν δόσιν καὶ τὴν χάριν, ἡμέρας τερπνῆς τὴν φαῦσιν καὶ τὴν λάμψιν, λειμώνων θείων τὴν τρυφὴν καὶ τὴν τέρψιν, πάσης καλλονῆς τὴν μέθεξιν πλουσίαν καὶ βασιλείας τῆς θείας κληρουχίαν· ὅτι τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

2 *ἑπτακεδαικάτην* || 4 *γοῦν* || 5 *περι|ἔλαβε* || 8—9 *πρόσμείναντεσ* || 10 *ϛ* (= *καὶ*) *bis scriptum* || 13 *παράβάτισ* || 18 *ὡσεικ(ὸς)*

Μηνὶ τῷ αὐτῷ ιη΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΛΕΟΝΤΙΟΥ.

1. Οὐεσπασιανοῦ τοῦ δυσσεβοῦς τὴν βασίλειον ἀρχὴν διέποντος καὶ Ἀδριανοῦ τοῦ ἀπηνοῦς τὴν ἡγεμονίαν τῆς Φοινίκης ἔχοντος οἱ χριστιανοὶ δεινῶς ἐταράττοντο καὶ θύειν εἰδώλοις κατηναγκάζοντο καὶ πόλεων, ναὶ δὴ καὶ χωρῶν αὐτῶν ἀπηλαύνοντο καὶ ὅλως παντοίοις κακοῖς ὑπεβάλλοντό τε καὶ κατετρίβοντο. καὶ εἴ πού τις τῶν ἀσεβῶν χριστιανὸν εἰς χεῖρας τῶν κολαστῶν παρεδίδου, δώροις ἐφιλοτιμεῖτο καὶ ἀξιώμασιν.

2. Ὅθεν τινὲς τῷ Ἀδριανῷ προσιόντες, ἀνδρὶ λοιμῷ καὶ τὰ πάντα σκαιῷ, κακογνώμονί τε καὶ πάντη θηρίων τρόποις προσεοικότι, μηνυταὶ γίνονται τοῦ καλοῦ Λεοντίου, ὅτιπερ ἔστι τις ἀνὴρ ἐν Τριπόλει, στρατιώτης τὸ πρὶν γεγονώς, ἀνὴρ γενναῖος κατά τε χεῖρα καὶ σῶμα, Λεόντιος κατονομαζόμενος, τὴν εἰς Χριστὸν ἀσπαζόμενος πίστιν καὶ πολλοὺς ἀποστρέφων τῆς εἰς τοὺς θεοὺς οἰκειώσεως καὶ τῷ Γαλιλαίῳ προσάγων μαγικαῖς ἐπινοίαις, ὃν εἰ μὴ θᾶττον ἐκποδὼν ποιήσεις, ἀποστήσει μὲν ἅπαντας τῶν θεῶν, οἰκειώσει δὲ τῷ ὑπ' αὐτοῦ κηρυττομένῳ Χριστῷ. col. 2

3. Τούτων ἀκούσας Ἀδριανὸς στρατιώτας εὐθὺς ἀποστέλλει, τάχος ὡς αὐτὸν τὸν Λεόντιον ἄξοντας. τὴν Τρίπολιν οὖν ἐκεῖνοι καταλαβόντες καὶ πρὸ ταύτης ἔν τινι καταλύσαντες τόπῳ, σταδίους ἀπέχοντι τῆς πόλεως πέντε, τῷ τὸν Ὕπατον οὕτω καλούμενον (τριβοῦνος δὲ οὗτος τῆς ἐκείνων τάξεως || ἦν) λάβρῳ συσχεθῆναι πυρετῷ καὶ μὴ οἷόν τε εἶναι προσωτέρω βαδίζειν, τρισὶν ἐφ' ἡμέραις αὐτῷ συμπαρέμειναν. τῇ τρίτῃ δὲ νυκτὶ (τίς ἀναγγελεῖ σου τὰ θαυμάσια, κύριε;) ἄγγελος καθ' ὕπνους τούτῳ φαίνεται καί φησιν· «Εἴπερ μέλει σοι τῆς ὑγίας, Ὕπατε, ὁ Θεὸς—εἰπὲ τρίτον—Λεοντίου, βοήθει μοι, καὶ τύχης ἅμα τῆς σωτηρίας». ἀνανήψαντος οὖν αὐτοῦ καὶ δόξαντος ἔτι τὸν λαλοῦντα βλέπειν, τὴν στολὴν ἐξαστράπτοντα f. 48v

7 εἴπουτισ || 11 προσε οικότι || 12 τιό || 14 σώμα || 17 ἐκποδῶν || 19 Τούτον || 22 οὕτω **bis scriptum** || 26 ᾿ς φησίν || 27 μέλ|λει — οι ὑγίασ
*

καὶ φοβερὸν τῷ εἴδει, καὶ ὅστις ἄρα καὶ εἴη διερωτήσαντος, «Ἄγγελός εἰμι Θεοῦ» εἰπόντος ἐκείνου, καὶ τοῦ Ὑπάτου φήσαντος «Ἐμοῦ σὺν τοῖςδε τοῖς στρατιώταις κατασχεῖν Λεόντιον προσταγέντος, ἐφ' ᾧ τῷ ἡγεμόνι τοῦτον παραστῆσαι, πῶς σὺ λέγεις· ὁ Θεὸς τοῦ ἁγίου Λεοντίου βοήθει μοι, καὶ σωθήσῃ;» καὶ τοῦ ἀγγέλου μετὰ τὴν διάλεξιν ἀφανοῦς γενομένου, ὁ Ὕπατος φόβῳ πολλῷ συσχεθεὶς ἐφώνησε | *col. 2* τοὺς συστρατιώτας καὶ τὴν ὅρασιν ἀπήγγειλεν ἔντρομος. Θεόδουλος δέ τις ἀνὴρ στρατιώτης φησὶ πρὸς αὐτόν· «Καὶ λευχείμων ἦν ὁ φανείς, Ὕπατε, καὶ φοβερὸς τὴν ὄψιν;» καὶ ὃς «Ναὶ» λέγει, «φοβερός».

4. Ἅμα δὲ πρωῒ κοινοῦται τὸν λόγον τοῖς στρατιώταις ὁ Θεόδουλος, «Τοῦτον, εἰ δοκεῖ ὑμῖν», εἰπών, «λάβω τὸν τριβοῦνον Ὕπατον, ἐρράισε γὰρ ἡ νόσος αὐτῷ, καὶ εἰσέλθω τὴν πόλιν καὶ ζητήσας Λεόντιον τοῦτον ἀμυνητὶ κατάσχω». ἤρεσεν ὁ λόγος αὐτοῖς· διὸ καὶ πορευθέντες οἱ δύο συναντῶσιν αὐτῷ μήτε γινώσκοντες, μήτε μὴν γινωσκόμενοι. «Χαῖρε» τοίνυν δόντες αὐτῷ καὶ λαβόντες, τὴν αἰτίαν ὁ Λεόντιος μαθεῖν ἐζήτει τῆς αὐτῶν παρουσίας· καὶ ἐπεὶ μάθοι δι' αὐτὸν αὐτοὺς ἀφικέσθαι, ἐφ' ᾧ συλλαβόντας αὐτὸν παραστῆσαι τῷ ἡγεμόνι, ἄγει τούτους ἅμα πρὸς τὴν ξενίαν, «Ἔλθετε» φήσας, «μεταλάβωμεν ἄρτου, κἀγὼ τοῦτον ὑμῖν ὑποδείξω». δαψιλοῦς οὖν || *f. 49* ἐμφορηθέντες καὶ φιλοτίμου τραπέζης λέγουσι πρὸς αὐτόν· «Θᾶσσον ὑπόδειξον ἡμῖν τὸν ζητούμενον». κἀκεῖνος· «Ἐγώ εἰμι Λεόντιος, ἐγὼ ὁ τοῦ Χριστοῦ στρατιώτης, ὁ ζητούμενος ὑμῖν ἐγώ». τότε πίπτουσιν αὐτοῦ πρὸς τοὺς πόδας ἐκεῖνοι, «Δοῦλε» λέγοντες «τοῦ Θεοῦ τοῦ ὑψίστου, δέξαι τοὺς ἀθλίους ἡμᾶς καὶ τῷ σῷ Χριστῷ προσοικείωσον, ἵν' ἐξέληται τῆς τῶν εἰδώλων πλάνης τὰς ἡμετέρας ψυχάς· χριστιανοὶ γὰρ γενέσθαι βουλόμεθα».

5. Τότε τὴν τοσαύτην τῶν ἀνδρῶν μεταβολὴν ἰδὼν ὁ Λεόντιος δόξαν ἀπεδίδου Θεῷ. καὶ ἰδοὺ νεφέλη ὕδατος ἐβάπτισε τούτους καὶ στολὰς λευκὰς περιέβαλεν· οἱ δὲ τῆς πόλεως, τὸ γεγονὸς θεασάμενοι, κραυγῆς ἐπλήρουν τὴν ἀγοράν, «Ἀπόλωλε τὰ τῶν θεῶν» λέγοντες, «καταπεφρόνηται τὰ τῶν βασιλέων· οὐδεὶς ὁ βοηθῶν, οὐδεὶς ὁ τῆς θρησκείας ἡμῶν ἀντιλαμβανόμενος». ἐν τοσούτῳ δὲ καὶ Ἁδριανὸν κατέλαβον τὸν παράνομον καὶ πάντα κατὰ μέρος ἀπαγγέλ|*col. 2*λουσι τούτῳ, ὡς ἀνήρ τις Λεόντιος ὄνομα τὸν Χριστόν, ὃν Ἰουδαίους λέγουσι σταυρῶσαι, Θεὸν ὀνομάζων ἐξιστᾷ τοὺς πολλοὺς ταῖς μαγείαις καὶ τοὺς θεοὺς ἀθετεῖσθαι ποιεῖ, μὴ βασιλέως, μὴ

1 ὁστισ **sine spir.** || 1—2 ἄγγελοσ|εἰμὶ || 13 ἐράϊσε || **ibid.** εισελθω **sine acc.** || 20 δαψιλοὺσ || 30 γεγονὼσ || 33 ἐν τοσοῦτο || 34 καταμῆροσ || 35 ἀπαγγέ|λουσι — ἀνὴρ τισ || 36 στρῶσαι

ἄρχοντος θυμὸν περὶ πλείστου τιθέμενος· ἰδοὺ γὰρ καὶ στρατιώτας ἠπάτησε καὶ τῷ Γαλιλαίῳ προσήγαγεν.

6. Οὔπω πᾶν εἴρητο, καὶ στρατιῶται στέλλονται πάλιν καὶ τούτους συσχόντες ἄγουσι καὶ τῇ φυλακῇ παρατίθενται. πλὴν ὁ Λεόντιος νουθετῶν καὶ διδάσκων τοὺς ἄνδρας οὐκ ἔληγε, προσκαίρους μὲν εἶναι λέγων τὰς παρούσας βασάνους καὶ πρὸς τὴν μέλλουσαν ὀλίγας χαράν. «Ὑπομείνωμεν οὖν ὀλίγον, ἀδελφοί, ἵνα τοὺς τῆς νίκης στεφάνους ἀναδησώμεθα». διὰ πάσης οὖν τῆς νυκτὸς ψάλλων σὺν αὐτοῖς καὶ εὐλογῶν τὸν Θεὸν οὐ διέλιπε. πρωΐας δὲ γενομένης ἄγουσιν αὐτοὺς πρὸς τὸν ἡγεμόνα· καὶ ὃς προκαθίσας καὶ πρὸς τὸν ἅγιον ἀπιδών· || f. 49v «Θρυλούμενος σὺ εἶ ὁ τὴν πόλιν ἀναστρέψας καὶ τοὺς στρατιώτας ἀπατήσας μαγείαις, σύ; λέγε τὸ τάχος, ὅθεν ὥρμησαι καὶ τί σου τὸ ὄνομα καὶ τί σου τὸ ἐπιτήδευμα;» — «Στρατιώτης» εἶπεν ὁ μάρτυς «ἐγὼ τοῦ Χριστοῦ. Λεόντιος ἡ κλῆσίς μοι καὶ τῆς Ἑλλάδος ἐξώρμημαι· τούτους δὲ (πρὸς τοὺς στρατιώτας ἰδὼν ἐκεῖνος) οὐ μαγεῖαι, μὴ τοῦτο εἴη, θεογνωσίας δὲ φῶς καταλάμψαν Χριστοῦ πεποίηκε δούλους». θυμοῦ τοίνυν ὁ ἡγεμὼν πληρωθεὶς ἐπὶ τούτοις, ῥάβδοις μὲν αὐτὸν διακελεύεται τύπτεσθαι, εἶτα καὶ τῇ φυλακῇ παραπέμπει.

7. Τὸν δέ γε Ὕπατον καὶ Θεόδουλον παραστησάμενος εἰς ἐρώτησιν, «Διὰ τί» φησὶ «κατελίπετε τὰς στρατείας ὑμῶν καὶ τὰ σιτηρέσια καὶ τῷ μάγῳ τούτῳ προσεκολλήθητε;» οἱ μάρτυρες «Τὸ σιτηρέσιον ἡμῶν» εἶπον «ἐξ οὐρανοῦ ἡμῖν ὁ Χριστός, ὁ τῆς ζωῆς ἄρτος, ἀπέσταλκεν, καὶ ἰδοὺ νῦν | col. 2 ἐσμὲν πεφωτισμένοι τῇ αὐτοῦ θεογνωσίᾳ καὶ χάριτι». καὶ ὁ ἡγεμών· «Ὁ ἀνόσιος ὑμᾶς Λεόντιος ἐδίδαξε ταῦτα· ἀλλ᾽ εἴ μοι πείθεσθε καλῶς συμβουλεύοντι, ποιήσατε τὸ τοῦ βασιλέως πρόσταγμα καὶ θύσατε τοῖς θεοῖς καὶ μείζονος τῆς στρατείας ἐπιτεύξεσθε· εἰ δ᾽ οὖν, ἀλλὰ κολάσεις ὑμᾶς πολλαὶ καταλήψονται καὶ κακῶς τὸ ζῆν ἀποθήσεσθε». ἔφησαν οἱ ἅγιοι· «Ἡμῶν ἐν οὐρανοῖς ἐστι τὸ πολίτευμα, καὶ στρατείας τῆς ἐκεῖσε τυχεῖν ἐφιέμεθα. ποίει τοίνυν τὸ σοὶ παριστάμενον». τότε τούτους ἀναρτηθέντας ὁ ἡγεμὼν ἐπὶ ξύλου τὸν μὲν ξέεσθαι τὰς πλευράς, τὸν Ὕπατον, τὸν δὲ σπαθίζεσθαι, τὸν Θεόδουλον, διωρίσατο. τιμωρουμένων οὖν οὕτως ἐπὶ πολὺ τῶν ἁγίων καὶ «Σῶσον ἡμᾶς, κύριε», λεγόντων, «ὅτι ἐκλέλοιπεν ὅσιος», ὁ Ἁδριανὸς τὸ ἀμετάθετον αὐτῶν ἰδὼν καὶ ἄτρεπτον, ἀποτμηθῆναι τούτων κελεύει || f. 50 τὰς κεφαλάς. ἀπαγόμενοι οὖν οἱ ἅγιοι ἔψαλλον· «Ὅτι σὺ εἶ ὁ ὑπερασπιστὴς ἡμῶν,

14—15 *κλῆ|σισμοι* || 17 *τοί|Nυν* || 21 *δι|ατίφ ησιν* || 24 *ἰδοῦ — ἐσμὲν* || 28 *δοῦν* || 30 *ἐστὶ*

23 *ὁ τ. ζ. ἄρτος:* Io, 6, 35 || 34 35 *Σῶσον ὅσιος:* Psalm. 11 (12), 1.

*

κύριε, εἰς χεῖράς σου τὰ ἡμέτερα παραθήσομεν πνεύματα». καὶ ταῦτα εἰπόντες τὰς κεφαλὰς ἀπετμήθησαν καὶ χερσὶν ἀγγέλων τὰς ψυχὰς ἐναπέθεντο.

8. Τῇ ἑξῆς οὖν ἐνεχθῆναι τὸν Λεόντιον ὁ ἡγεμὼν ἐκέλευσε καί φησι πρὸς αὐτόν· «Λεόντιε, οἴκτειρον σαυτόν, ὡς ἐχέφρων καὶ συνετός, καὶ μὴ θελήσῃς κακῶς ἀπολέσθαι καθ' ἃ δὴ καὶ Ὕπατος καὶ Θεόδουλος. καὶ γὰρ μὴ θύοντά σε τοῖς θεοῖς ἀνάγκη πάντως βασάνοις ὑποβληθῆναι. πείσθητι τοίνυν μοι, ναὶ πείσθητι καλῶς συμβουλεύοντι, καὶ θεάσῃ καὶ βασιλέα καὶ σὺν αὐτῷ δοξασθήσῃ καὶ τιμῶν ἀπολαύσεις». καὶ ὁ ἅγιος «Μή μοι γένοιτο» ἔφη «βασιλέως ὄψιν τοῦ σοῦ θεάσασθαί ποτε, ἡγεμών, μηδὲ τῶν αὐτοῦ καλῶν ἐν ἀπολαύσει γενέσθαι. τί γάρ με ὠφελῆσαι δυνήσεται, ἐχθρὸς τυγχάνων
col. 2 *Θεοῦ; πλὴν εἴ γε | πεισθείης μοι σὺ μᾶλλον, Ἀδριανέ, προσέλθῃς Χριστῷ καὶ δόξαν εὑρήσεις παρ' αὐτῷ καὶ πλοῦτον αἰώνιον». — «Ναί», φησὶν ἐκεῖνος, «ὅσην εὗρεν ἄρα καὶ Ὕπατος καὶ Θεόδουλος. ἢ οὐκ οἶδας, οἵῳ τέλει τὴν ζωὴν ἐναπέρρηξαν;» — «Οὐκ ἀπέθανον» ὁ μάρτυς εἶπεν «ἐκεῖνοι, πρὸς ζωὴν δὲ μετέβησαν τὴν ἀνώλεθρον».*

9. Τότε διαταθῆναι τοῦτον κατὰ γῆς ἐκέλευσεν ὁ παράνομος καὶ βάκλοις ἐκ τεσσάρων τύπτεσθαι καθ' ὅλου τοῦ σώματος, τὸν κήρυκά τε βοᾶν· «Οἱ τοῖς θεοῖς μὴ πειθόμενοι θύειν μηδὲ τὸ τοῦ βασιλέως θέλημα ποιεῖν οὕτω κακῶς τιμωροῦνται. ποίησον οὖν ταῦτα, Λεόντιε, καὶ ἀπαλλάγηθι τῶν κολάσεων». τοῦ δὲ «Μή μοι γένοιτο τοιούτῳ συνθέσθαι παρανόμῳ κελεύσματι» εἰπόντος καὶ ὡς «καὶ εἰ τοῦ σώματος κρατήσεις, τύραννε, ἀλλὰ τῆς ψυχῆς οὐμενοῦν κατακυριεύσεις», ὁ Ἀδριανὸς κρεμασθέντα τοῦτον ξέεσθαι ||
f. 50v *καὶ πλευρὰς καὶ χεῖρας καὶ κνήμας ἐκέλευσεν. ἐπὶ πολὺ δὲ ξεομένου καὶ μηδὲν ἕτερον ἢ μόνον «Ὁ Θεός, ὁ Θεός μου, πρόσσχες μοι» λέγοντος «καὶ σῶσόν με, ὅτι ἐπὶ σοὶ ἤλπισα», ὁ Ἀδριανὸς κατενεχθῆναι τοῦτον τοῦ ξύλου προσέταξεν, ἐλπίζων αὐτὸν μετάμελον σχεῖν ἐπὶ τοῖς προτέροις καὶ σέβας τοῖς αὐτοῦ θεοῖς ἀπονεῖμαι.*

10. Ὡς οὖν καὶ πάλιν πεῖραν προσῆγε καὶ πάλιν ἀμετάθετον ἑώρα τὸν ἀθλητήν, κελεύει πάλιν, καὶ κατὰ κεφαλῆς αὐτὸν ἀναρτῶσι καὶ λίθον ὅτι μέγιστον τοῦ τραχήλου τοῦ μάκαρος ἐξαρτῶσι καὶ βάκλοις αὐτοῦ συνθλῶσι τὸ σῶμα, εἶτα καὶ τῇ φυλακῇ προσρίπτουσιν, ἐν ᾗ καὶ ῥιφεὶς ἔψαλλε· «Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;» καὶ περὶ μέσας νύκτας ἄγγελος

1 *χεῖρασσου* || 4–5 *ὡς — φησὶ* || 11 *μὴ δὲ — ἐναπολαύσει* || 15 *ναίφησιν* || 16 *ἐνἀπέρρηξαν* || 19 *καθόλου* || 20 *μὴ δὲ* || 24 *οὐμενοῦν* || 27 *μὴ δὲν — πρόσ|χεσ* || 28 *σῶσον με* || 29 *ἐλπίζον* || 31 *πεῖραν* || 32 *κατακεφαλῆσ* || 34 *σὺνθλῶσι — πρόσριπτοῦσι.*

1 *εἰς χεῖρας — πνεύματα:* cf. Luc. 23, 46; Ps. 30 (31), 5–6 || 27 *Ὁ Θεὸς — μοι:* Ps. 21 (22), 1 || 35–36 *Κύριος — φοβηθήσομαι:* Ps. 26 (27), 1.

αὐτῷ φαίνεται θεῖος λέγων· «Ἀνδρίζου, Λεόντιε· ἐγὼ γάρ εἰμι μετὰ σοῦ». πρωΐας δὲ γενομένης ἤχθης πάλιν εἰς τὸ μέσον, πανάριστε, | καὶ μηδὲ τὴν ἀκοὴν ὑποσχὼν οἷς ὁ ἀνόσιός σε ποιεῖν συνεβούλευε, col. 2 διατείνῃ πάλιν κατὰ γῆς ἐκ τεσσάρων καὶ πάλιν αἰκίζῃ καθ' ὅλου, φεῦ, τοῦ σώματος ἀπηνῶς ἐπὶ τοσοῦτον, ἕως οὗ τὴν ψυχὴν χερσὶ τοῦ πλάσαντος ἐναπέθου.

11. Καὶ νῦν χορείαις ἀγγέλων συνευφραινόμενος, τάξεσι δικαίων συναγαλλόμενος καὶ τὰς ὑπὲρ τοῦ κόσμου πρεσβείας ποιούμενος, αἴτησαι δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ πιστῷ καὶ φιλοθέῳ καὶ φιλομάρτυρι μήκιστον ὅτι τὴν ζωὴν καὶ καλλίστην, ἰσχυρὰν ἐχθροῖς καὶ σταθερὰν εἰς ἅπαν, χρηστήν, προσηνῆ πᾶσι τοῖς ὑπηκόοις, ἀλλὰ καὶ καλῶν πάντων τὴν εὐκληρίαν, ἡμέρας υἱὸν ἀνεσπέρου γενέσθαι, λάμποντα βίον ταῖς πολλαῖς εὐποιΐαις, πάσαις διαπρέποντα καλῶν ἰδέαις ταῖς ἐπαξίαις τῆς Χριστοῦ βασιλείας, ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιθ'. f. 51

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΙΟΥΔΑΝ.

1. Υἱὸς ἄρα καὶ Ἰούδας οὗτος Ἰωσὴφ τοῦ μνηστῆρος Μαρίας, τῆς μητρὸς τοῦ κυρίου, τῆς ἀειπαρθένου λέγω καὶ Θεοτόκου, κἀντεῦθεν συγγενὴς αὐτοῦ φαίνεται κατὰ τὸ ἀνθρώπινον, ὅτι καὶ ἀδελφὸς Ἰακώβου τοῦ πάνυ. καλεῖται τοιγαροῦν παρὰ μὲν τῷ Λουκᾷ ἔν τε τῷ Εὐαγγελίῳ καὶ αὐταῖς δὴ ταῖς Πράξεσιν Ἰούδας, παρὰ δὲ Ματθαίῳ καὶ Μάρκῳ Θαδδαῖός τε καὶ Λεββαῖος.

2. Οὗτος τοίνυν ὁ θαυμαστὸς καὶ μέγας Ἰούδας ὑπ' αὐτοῦ Χριστοῦ καὶ τοῦ παναγάθου πνεύματος εἰς τὸν σύμπαντα κόσμον πεμφθείς, ἅτε τῆς δωδεκάδος τῶν ἀποστόλων εἷς καὶ αὐτὸς χρηματίζων, ὥστε τὴν σωτηρίαν καταγγέλλειν τοῖς ἔθνεσι καὶ πρὸς τὸ τῆς ἀληθείας φέγγος αὐτοὺς ὁδηγεῖν, καὶ πολλοῖς ἐν τόποις κηρύξας τὸ Εὐαγγέλιον καὶ πολὺ πλῆθος ἀνθρώπων εἰς τὴν τοῦ Χριστοῦ πίστιν χειραγωγήσας καὶ πολλοὺς τῆς τῶν εἰδώλων πλάνης ἐλευθερώσας | εἰς τὴν μέσην γίνεται τῶν ποταμῶν· καλεῖται δὲ οὕτως col. 2

1 γάρ|ἐιμὶ || 3 μὴδὲ || 4 καθόλου || 8 συνάγαλλό|μενοσ || 24 θαδδαῖοσ τὲ || 29 ὀδιγεῖν

ἐκεῖνο τῆς γῆς τὸ χωρίον διὰ τὸ μέσον Εὐφράτου κεῖσθαι καὶ Τίγρητος· ἐν ᾧ καὶ μεγάλην συστησάμενος ἐκκλησίαν καὶ τοῖς ὁμόροις ἔθνεσι τὸν τῆς πίστεως σπόρον καταβαλόμενος τῷ λόγῳ καὶ πλείστους καταφωτίσας καὶ υἱοὺς ἡμέρας ἀπεργασάμενος καταλαμβάνει τὴν Ἔδεσαν καὶ τῷ Αὐγάρῳ περιτυχὼν καὶ τοῦ συνέχοντος ἐκεῖνον πάθους ἰατρὸς ἀναφανεὶς δοκιμώτατος, αὖθις ἐπὶ τὸ κήρυγμα τρέχει καὶ πόλεις διελθὼν οὐκ ὀλίγας οὐκ ἔστιν εἰπεῖν ὅσους ἐξήρπασε τῶν τοῦ δαίμονος βρόχων, τοῦτο μὲν διδάσκων καὶ καταγγέλλων τὸν τῆς πίστεως λόγον καὶ πάσας ὁδοποιῶν τὰς ἀρετὰς τοῖς πιστεύουσι, τοῦτο δὲ καὶ πᾶσαν στηλιτεύων κακίαν καὶ οἷς ὁ τῆς ἐπιστροφῆς λόγος οὐμενοῦν ἐλογίσθη δεκτός, καὶ πᾶσαν ἀπόνοιαν ἀναιρῶν καὶ πᾶν ὕψωμα καρδίας ἐμμελέστατα καθαιρῶν ‖ [f. 51v] καὶ παράδειγμα παράγων τὸν ἀποστάτην αὐτὸν καὶ διάβολον καὶ τοὺς ὑπ' αὐτὸν τεταγμένους δαίμονας, ὅπως ἔκπτωτοι δι' ὑπερηφανίαν τῆς τῶν οὐρανῶν ἐγένοντο δόξης, κατὰ τοῦ πεποιηκότος τραχηλιάσαντες, καὶ οἷον ἑαυτοῖς πῦρ ἄυλον ἐθησαύρισαν καὶ ἄσβεστον καὶ αἰώνιον, καὶ τοὺς ἐν Σοδόμοις φιλοσάρκους καὶ ἐν Γομόρροις, καὶ τὸν ἐμπρησμὸν ἐκεῖνον καὶ τὴν ἀπώλειαν, φοβῶν δι' αὐτῶν ὡς διδάσκαλος ἐμπειρότατος καὶ ἐπανάγων πρὸς τὴν εὐσέβειαν καὶ πάσας ὑποτιθέμενος τοῖς δεχομένοις τὸν λόγον τὰς ἀρετὰς καὶ τὴν αὐτῶν κτῆσιν μέγα τι καλὸν εἶναι καὶ θαυμάσιον βεβαιῶν, ἅτε τῆς ἀγγελικῆς μερίδος ἀπεργαζόμενον τοὺς μετιόντας αὐτήν. καὶ ταῦτα πάντα εἴ τις κατὰ μέρος γνῶναι θελήσειε, τὴν καθολικὴν ἐπιστολὴν ἐπὶ χεῖρας τούτου λαβὼν καὶ φιλοπόνως ἐπιὼν εἴσεται | [col. 2] τῶν λεγομένων τὴν δύναμιν.

3. Οὕτως οὖν ποιῶν καὶ οὕτως ἔχων καλῶς ὁ θαυμάσιος καὶ τοὺς νοσοῦντας αὐτῶν τὴν ἣν ἂν εἴποις νόσον ἰᾶτο, δαίμονας ἐξ ἀνθρώπων ἐλαύνων, τυφλοῖς τὸ ὁρᾶν χαριζόμενος, χωλοῖς τὸ περιπατεῖν, ἀλάλοις τὸ λαλεῖν καὶ πᾶσι τὰ πάντα γινόμενος, πατήρ, ἀδελφός, ἰατρός, προκινδυνεύων αὐτῶν ἕνεκα καὶ τῆς αὐτῶν σωτηρίας, ἐξ ὧν δὴ καὶ μάλιστα τοὺς ἀνθρώπους εἷλκεν εἰς σωτηρίαν καὶ προθυμοτέρους περὶ τὴν πίστιν ἐποίει. τί οὖν τὸ ἑξῆς; ἐν Ἀραρὰτ τῇ πόλει κατάγεται κἀν ταύτῃ καταγγέλλει τὸν λόγον καὶ πολλοὺς ἐπανάγει πρὸς θεοσέβειαν. ἀλλ' οὐκ ἤνεγκεν ὁ φθόνος προκοπὴν λαμβάνειν ἐπὶ πολὺ τὴν ἀλήθειαν καὶ τὸν καλὸν τοῦτον ἐργάτην καὶ παιδευτὴν εἰς πολλῶν διαμένειν ὠφέλειαν. διὸ καί τινας ὁ πονηρός, τοῦ φθόνου πατὴρ καὶ τοῖς ἀγαθοῖς ἀντικείμενος, ἐξεγεί-

1 ἐφράτου ‖ 3 καταβαλλόμενοσ ‖ 8 καταγγέλων ‖ 11 οὐμενοῦν ‖ 16 ἑ|αὐτοῖσ ‖ 17 Γομόρροις: Genes. 19, 24 Γόμορρα ‖ ibid. ἐμπρισμὸν ‖ 21 μεγάτι ‖ 26 Οὕτωσ ‖ 33 καταγγέλει

ρει τῶν ὁμοφρόνων αὐτῷ πάντως || καὶ φίλων κατὰ τοῦ μάκαρος· f. 52 οἵτινες καὶ συλλαβόντες τὸν δίκαιον δεσμοῦσι, φεῦ, ἀπηνῶς, εἶτα καὶ κρίνουσιν, ἀνακρίνουσί τε καὶ ἐξετάζουσι καὶ λόγοις καὶ τραύμασιν ἐγκαλοῦσι τὸν δίκαιον [καὶ] τὰς τῶν νόσων αὐτῶν θεραπείας ὥσπερ καταιτιῶνται.

4. Καὶ τί γε χρὴ τὸ συνέδριον ἐκεῖνο καλέσαι; ἢ συνέδριον ἀπειθῶν, συνέδριον κακοφρόνων, θυμοῦ πνέον, θυμὸν ἐγεῖρον καὶ τὰ θυμοῦ πάντολμα διαπραττόμενον ἔργα. ἀναρτήσαντες γὰρ ἐπὶ ξύλου σε, πανaοίδιμε, τοξεύουσι βέλεσι, χειμερίοις ἐοικόσι νιφάσι, καὶ οὕτω τὸν μακάριον ὕπνον, ὦ καλλίνικε τοῦ κυρίου μαθητὰ καὶ ἀπόστολε, κοιμηθείς, ὡς ἔδει, διὰ τὸν ὑπὲρ σοῦ τὸ αἷμα κενώσαντα, πρὸς οὐρανοὺς ἀνέπτης στεφανηφόρος· τὸ δέ γέ σου πάντιμον καὶ σεμνοπρεπέστατον σῶμα χεῖρες περιστείλασαι δικαίων καλῶς ἐν τάφῳ κατ' αὐτὴν δὴ τὴν πόλιν Ἀραρὰτ | φιλοτίμως κατέθεντο, νόσων col. 2 παντοίων ἴαμα καὶ ψυχῶν καὶ σωμάτων. καὶ νῦν ταῖς τῶν ἁγίων ψυχαῖς ἐμφιλοχωρῶν καὶ περὶ τὸν θρόνον αὐτὸν στρεφόμενος τὸν δεσποτικόν, αἴτησαι δωρηθῆναι βασιλεῖ ἡμῶν τῷ φιλοχρίστῳ καὶ φιλαγίῳ μέγιστα κατ' ἐναντίων τὰ τρόπαια, ἰσχυρὰς τὰς κατ' αὐτῶν ἐπεμβολὰς καὶ γενναίας, χρηστὰς τὰς νίκας, εὐσθενεῖς τοὺς ἀγῶνας, ἀλλὰ καὶ σκηνῆς δικαίων κατοικίαν, ἡμέρας τε φωταύγειαν τῆς μεγάλης, λαμπρὰν τὴν δόξαν καὶ βασιλικωτάτην, πάντων ἀγαθῶν ἀθανάτων τὴν δόσιν καὶ βασιλείας οὐρανῶν εὐκληρίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κ'. f. 52v

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΖΩΣΙΜΟΥ.

1. Τραιανοῦ τὰ Ῥωμαίων σκῆπτρα διέποντος καὶ σφοδροῦ διωγμοῦ κατὰ τῆς πίστεως ἡμῶν κινουμένου Δομετιανός τις ἡγεμὼν τὴν ἡγεμονίαν εἶχε τῆς Πισιδίας Ἀντιοχείας· ὃς καὶ διατάγματα λαβὼν βασιλικὰ ἐφ' ᾧ τοὺς εὑρισκομένους χριστιανούς, μὴ πειθομένους θύειν εἰδώλοις, πολυτρόπων βασάνων ἰδέαις καθυποβάλλειν,

4 καὶ *inserui* || 6 ἡ || 12 τὸ δέγεσου || 13 περιστείλασε || 16 ψυχαῖς: αὐλαῖς? || ibid. ἐμφιλο|χορῶν || 18 κατεναντίων || 20 ἡμέρ(ας) τὲ || 24 αἰῶ|νων

εἶτα δὲ καὶ θανάτῳ τελευταῖον καταδικάζειν, πολὺς ἦν δεινὸς διώκτης καὶ σφοδρὸς κατήγορος. Ζώσιμος οὖν στρατιώτης, πάλαι τὴν Ἑλλήνων δόξαν ἐξομοσάμενος καὶ τῇ ἁγιωτάτῃ προσελθὼν ἐκκλησίᾳ καὶ τοῦ βαπτίσματος τὴν χάριν δεξάμενος, ὡς τὰ παρὰ τοῦ Δομετιανοῦ πραττόμενα κατὰ τῶν πιστῶν ἔμαθεν, ὠδίνων ἐκ πολλοῦ τὸ μαρτύριον, ἐκδήλως ἐπρέσβευε τὰ χριστιανῶν καὶ τὸν λόγον col. 2 διετέλει | διδάσκων τῆς πίστεως.

2. Τῷ ἡγεμόνι τοίνυν ἀπὸ τῆς Σωζοπολιτῶν ἀπάραντι καὶ τὴν Ἀπολλωνιάδα καταλαβόντι προσίασί τινες τοῦτον ἐνδιαβάλλοντες καὶ «Ἔστι τις ἐνταῦθα» λέγοντες, «ἡγεμών, Ζώσιμος οὕτω καλούμενος, ἐκθύμως τὰ χριστιανῶν σεβόμενος καὶ πολλοὺς ἐπιστρέφων τῆς τῶν θεῶν λατρείας πρὸς τὸν ὑπ' αὐτοῦ κηρυττόμενον [Χριστόν], καὶ τὸ δὴ μεῖζον, στρατιώτης ὤν ποτε, περιφρονήσας τὸν αὐτοκράτορα καὶ τῆς ὑμῶν εἰς ἅπαν ἠλογηκὼς ἐξουσίας, τήν τε στρατείαν ἠρνήσατο καὶ τοὺς θεοὺς μηδὲν εἶναι λέγει, μὴ λαλεῖν, μὴ ἀκούειν, μή τι τὸ παράπαν ἐργάσασθαι δύνασθαι».

3. Τούτων ἀκούσας ἐκεῖνος τῷ βήματι τοῦτον εὐθὺς ἀνάρπαστον παραστῆναι κελεύει. συσχεθεὶς οὖν ἤχθη καὶ παρέστη τῷ ἄρχοντι, καί φησιν οὗτος πρὸς αὐτόν· «Σὺ εἶ ὁ μεγάλοις ἐν κακοῖς f. 53 ᾀδόμενος Ζώσιμος; καὶ ἵνα τί || τὴν καλῶς σοι συναχθεῖσαν στρατείαν καταλιπὼν τῷ ἐσταυρωμένῳ προσῆλθες καὶ πολλοὺς ἀπατῶν τούτῳ προσοικειοῖς, ἀνθρώπῳ γε ὄντι καὶ σταυρὸν ὡς κακούργῳ κατακριθέντι; λέγε οὖν ἡμῖν ὅμως, ἀφίστασαι τῆς πλάνης ταύτης καὶ θύεις τοῖς θεοῖς, πληρῶν τὸ τοῦ βασιλέως θέλημα, ἢ οὔ;» καὶ ὁ ἅγιος· «Ἐγὼ μέν εἰμι Ζώσιμος, δικαστά, ὁ μεγάλοις ᾀδόμενος ἐν καλοῖς, ἐγὼ τὴν στρατείαν ταύτην ὁ καταλιπὼν καὶ στρατευσάμενος τῷ ἀθανάτῳ βασιλεῖ καὶ μεγάλῳ. ἐγὼ τῆς πλάνης ὑμῶν κατεγέλασα καὶ θεοὺς ἀψύχους διέπτυσα καὶ χριστιανὸς καὶ γέγονα καὶ εἰμὶ καὶ ἔσομαι, καὶ οὔποτέ με δυνήσεταί τις ἀποστῆσαι τῆς ἀγάπης Χριστοῦ, εἰ καὶ ψυχὴν αὐτὴν ἀφελέσθαι σπουδάσοι».

4. Κατεπλάγη τούτων ἀκούσας ὁ ἄρχων καὶ τῇ φυλακῇ τέως αὐτὸν παρεπέμψατο. τῇ ἑξῆς οὖν καθίσας ἐπὶ τοῦ βήματος ἄγεσθαι col. 2 τοῦτον ἐκέλευσε, | καὶ ἐπείπερ ἤχθη, «Θῦσον, Ζώσιμε, τοῖς θεοῖς» ἔφη, «μὴ τὸ ζῆν ἀπολέσῃς». — «Οὐ θύσω ξοάνοις» ὁ μάρτυς εἶπεν, «οὐκ ἀρνήσομαι τὸν Χριστόν μου, μὴ γένοιτο». καὶ εὐθὺς ὁ παράνομος τύπτεσθαι τοῦτον χερσὶ γενναίως κελεύει ἀπηνῶν καὶ ὠμο-

1 πολὺς ἦν [καὶ] δεινός? || 2 στρα|Τιώτησ || 8 Τφ || 9 προσίασι τινέσ || 10 ἔστι τισ' || 11 ἀποστρέφων? || 12 Χριστὸν *inserui* || 13 ὢν ποτὲ || 15 μὴ δὲν || 17 ἀν|άρπαστον || 19 ̓ς φησὶν || 29 οὔπωτε || 32 Οὖν || 33 ἐκέλευσε̃

29—30 οὔποτε — Χριστοῦ: cf. Rom. 8, 35.

τάτων ἀνδρῶν. διαταθέντος οὖν καὶ σφοδρῶς τυπτομένου ταῖς μάστιξι, τὸ ἔδαφος ἐπληρώθη τοῦ αἵματος. καὶ ὁ μάρτυς «Κύριε παντοκράτορ», ἔλεγεν, «εἰσάκουσόν μου τῆς δεήσεως, τοῦ σοῦ δούλου, καὶ ἐνίσχυσόν με πρὸς τὰς βασάνους τοῦ κολαστοῦ, ἵνα γνῶσι πάντες, ὅτι σὺ εἶ Θεὸς μόνος δυνατός, ποιῶν πάντα καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι». φωνὴ τοίνυν αὐτίκα τῶν οὐρανῶν ἐξηνέχθη, «Θάρσει, Ζώσιμε», λέγουσα, «ἐγὼ γάρ εἰμι μετὰ σοῦ». ταύτης τῆς φωνῆς οἱ παρόντες ἀκούσαντες, «Μέγας» εἶπον «ὁ ἄνθρωπος οὗτος, ὅτι τοιοῦτον γέγονεν ἐπ' αὐτῷ τέρας». ἄλλοι ἔλεγον· «Μέγας ὁ Θεὸς τῶν χριστιανῶν, || ὁ τῶν οἰκείων οὕτω κηδόμενος f. 53v *δούλων». Δομετιανὸς δὲ ὁ τοῦ δαίμονος δοῦλος, μεστὸς ἐντεῦθεν μᾶλλον μανίας γενόμενος, ἐκ τεσσάρων τείνευθαι κελεύει τὸν μάρτυρα καὶ δεινῶς καταικίζεσθαι.*

5. Τὴν ὑπομονὴν οὖν αὐτοῦ τινες τῶν παρόντων θαυμάσαντες ἐπίστευσαν εἰς Χριστόν. διὸ δὴ καὶ φοβηθεὶς ὁ ἄρχων, ἵνα μὴ πάντες ὑπάγωσιν ὀπίσω τοῦ μάρτυρος καὶ πιστεύσωσι τῷ Χριστῷ, διεσκέπτετο, πῶς αὐτὸν θανατώσει. κράβατον οὖν χαλκοῦν ἐνεχθῆναι κελεύει, φλογί τε πολλῇ τοῦτον πυρακτωθῆναι κἀν τούτῳ, φεῦ, ἀνακλιθῆναι τὸν μάρτυρα. γίνεται τοῦτο, καὶ γυμνοῦ τοῦ μάκαρος ἀνακλιθέντος ἐν τούτῳ, — τίς λαλήσει τὰς δυναστείας σου, κύριε, καὶ τὰ θαυμάσια διηγήσεται; — ἄγγελοι παραστάντες εὐθὺς αἴρουσί τε τοῦ κραβάτου τοῦτον ἀβλαβῆ καὶ πάντων κατατιθοῦσιν ἀοράτως ἐνώπιον. ἐπίστευσαν τούτου γενομένου καὶ πάλιν πολλοὶ τῷ Χριστῷ· | καὶ ὁ ἡγεμὼν ἔγγιστα τούτου παραστήσας τὸν Ζώσιμον, col. 2 *«Πείσθητί μοι, ἄνθρωπε», λέγει, «καὶ θῦσον τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀποθάνῃς· κηδόμενοι γάρ σου ῥύονταί σε τῶν ἀναγκῶν». — «Οἱ σοὶ θεοί με, παράνομε, οἱ σοὶ τῶν κινδύνων λυτροῦνται; οὐκ αἰσθάνῃ, ταλαίπωρε, ὅτι οὐδὲ ἑαυτοῖς λίθοι καὶ ξύλα βοηθῆσαι δύνανται; πῶς οὖν οὕτως ἔχοντες, ὥσπερ οἶσθα καὶ αὐτός, βοηθεῖν ἑτέροις δυνήσονται;» καὶ ὁ ἡγεμὼν «Παῦσαι τοιαῦτα λέγων, ἀνόσιε, κατὰ τῶν θεῶν» εἶπεν, «ἵνα μή σε πυρὶ κατακαύσω». καὶ ὁ ἅγιος· «Ἅπαξ εἶπον, ἀνθρώπων ἁπάντων ἀσυνετώτερε, οὐ θύω κιβδήλοις, καὶ πάλιν ἐρωτᾷς καὶ πάλιν μαθεῖν ἐκζητεῖς».*

6. Θυμομαχήσας οὖν ὁ παμβέβηλος ἀνέστη τοῦ βήματος καὶ τὴν Κανονέων πόλιν μέλλων καταλαβεῖν, ἕλκεσθαι τὸν Ζώσιμον κρηπῖσι τοὺς πόδας ἐμπεπαρμένον ἥλους ὀξεῖς ἐ||χούσαις ἐκέλευσεν, f. 54 *ἐκεῖσε τοῦτον ἀπειλήσας παραδοῦναι πυρί. γίνεται κατὰ τὴν πόλιν*

3 Παντοκράτορ || 14 οὖν *supra versum* || ibid. τινὲσ || 17 διέσκέπτετο || 18 φλογὶ τε — κὰν || 19 ανακλιθῆναι *sine spiritu* || 20 ἀνακληθέντοσ || 28 οὐδὲ *sine accentu* || 33 Κανονέων: *an* Κομανέων? *(cf. p. 82 v. 20)* || 35 κρηπίσι || 36 ἐκεισε *sine accentu.*

ὁ ἄρχων· φυλακῇ τὸν μάρτυρα δίδωσι· τρεῖς ἡμέραι παρῆλθον, ἐν αἷς ὁ μάρτυς οὐ μετέσχε τροφῆς, καὶ ἄγγελοι Θεοῦ νεανίσκων ἐν εἴδει δύο φαίνονται τούτῳ, ὁ μὲν ἄρτον ὀρέγων, ὁ δὲ κρᾶμα διδούς, «Δέξαι» λέγοντες «τὸν μαργαρίτην τὸν θεῖον, ὑπὸ κυρίου πεμφθέντα σοι». λαβὼν οὖν ἐκεῖνος καὶ φαγὼν καὶ πιών, «Εὐλογῶ σε, κύριε», εἶπεν, «ὅτι ἠλέησάς με καὶ παρεκάλεσάς με τὸν ἀνάξιον δοῦλόν σου· ὑμνῶ καὶ δοξάζω σου τὴν μεγαλοσύνην εἰς τοὺς αἰῶνας».

7. Πρωίας δὲ γενομένης ὁ ἄρχων καθίσας ἐπὶ τοῦ βήματος καὶ τοῦτον παραστησάμενος, «Θῦσον», λέγει, «Ζώσιμε, τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀποθάνῃς». ὡς οὖν οὐδαμῶς ταῖς ἀπειλαῖς τὸ στερρὸν τοῦ μάρτυρος κατεχαύνου, ξέεσθαι καὶ πάλιν τοῦτον ἐκέλευσεν, col. 2 εἶτα καὶ λαμπάδας πυρὸς προσά|γεσθαι τῇ κοιλίᾳ καὶ ταῖς πλευραῖς αὐτοῦ. μὴ ἐνδιδόντα τοίνυν αὐτὸν τὸ σύνολον καθορῶν, δίδωσι κατ᾽ αὐτοῦ τὴν ἀπόφασιν, «Ζώσιμον» εἰπών, «τὴν ἰδίαν στρατείαν καταλιπόντα καὶ γεγονότα χριστιανὸν καὶ πολλοὺς τῶν θεῶν ἀποσπάσαντα, ἐξυβρικότα τε καὶ πρὸς τὸν αὐτοκράτορα, ξίφει τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύω».

8. Ἤχθης τοίνυν ἐπὶ τὸν τῆς τελειώσεως τόπον, πανάριστε, ἔστης εἰς προσευχὴν καὶ οὕτω δέχῃ τὴν τομὴν εὐπροθύμως. ἐννεακαιδεκάτην ἦγεν ὁ Ἰούνιος μήν. τῶν πιστῶν δέ τινες τὸ τίμιον ἀνελόμενοι σῶμά σου τῇ Κομάνῃ κατέθεντο, νόσων παντοίων ἴαμα καὶ δαιμόνων πληγήν. καὶ νῦν ταῖς οὐρανίαις σκηναῖς ἐμφιλοχωρῶν, νέμοις ταῖς εἰς Θεόν σου δεήσεσι βασιλεῖ ἡμῶν τῷ πρᾳοτάτῳ f. 54v καὶ τὰ πάντα χρηστῷ μακροῦ βίου εὐμάρειαν καὶ || τῶν ἄλλων καλῶν, ἰσχὺν κατὰ τῶν ἀντιπάλων καὶ κράτος, χειρὸς Θεοῦ τὴν ἀντίληψιν καὶ τὴν συμμαχίαν, ἀύλων μονῶν τὴν τερπνὴν κατοικίαν, ἡλίου φαῦσιν τῆς τριττῆς θεαρχίας, πάντων ἀγαθῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας οὐρανῶν μετουσίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1 ἐναῖσ || 3 κράμα || 7 μεγαλωσύνην || 11 του *sine accentu* || 12 κυλία || 16 τὲ καὶ || 19 ἐνεακαὶ|δεκάτην || 21 σῶ|μασου || 23 δεήσεσιν || 24 εὐμάριαν || 27 τριτῆσ

Μηνὶ τῷ αὐτῷ κα΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ ΕΝ ΤΗι ΚΙΛΙΚΙΑι.

1. Διοκλητιανοῦ τοῦ τυράννου τῆς Ῥωμαίων, ὡς οὐκ ὤφελεν, ἀρχῆς τὰ σκῆπτρα διέποντος, Μαρκιανὸς ὁ δυσσεβὴς τὴν τῆς Κιλικίας εἶχεν ἡγεμονίαν, ἀνὴρ λοιμὸς καὶ ἀπηνὴς καὶ τῶν πώποτε μνημονευομένων ἐν κακίαις ὁ χαλεπώτατος. ὃς ἀφεὶς τὴν τῶν δημοσίων πραγμάτων ποιεῖσθαι πρόνοιαν καὶ ὧν τὴν ἀρχὴν ἐμπεπίστευτο, κατὰ χρι|στιανῶν τὴν πᾶσαν μᾶλλον ἐποιεῖτο σπουδήν· πολλῇ γὰρ col. 2 *κεκράτητο τῇ περὶ τὰ εἴδωλα πλάνῃ.*

2. Μηνύεται τοίνυν αὐτῷ παρὰ τῶν τῆς κακίας ὑπηρετῶν ὁ καλὸς Ἰουλιανός, ὡς εἴη τὰ χριστιανῶν πρεσβεύων καὶ διαπτύων τὰ τῶν Ἑλλήνων. οὗτος δὲ τῆς Ἀναζάρβου πόλεως ἦν γέννημα, θρέμμα καὶ παίδευμα, πατρὸς μὲν Ἕλληνος, μητρὸς δὲ χριστιανῆς, παρ᾽ ἧς καὶ τὴν εἰς Χριστὸν εὐσέβειαν μεμαθήκει, εὐγενὴς καὶ τῶν τὰ πρῶτα φερόντων οὐ τῷ χριστιανὸς εἶναι μόνον, ἀλλὰ δὴ καὶ τῷ βουλευτικοῦ γένους ὁρμᾶσθαι, πάσης παιδεύσεως μέτοχος καὶ πάσης γνώσεως ἔμπλεως.

3. Καὶ ἅμα στέλλονταί τινες ἐπὶ τὸ συντυχεῖν αὐτὸν καὶ τῷ βήματι παραστῆσαι. ἤχθη τοίνυν ἡ μεγάλη ψυχή, τὸν ὀκτωκαιδέκατον ἄρτι ἐπαναβαίνων χρόνον, ἤχθη καὶ τῷ ἡγεμόνι παρέστη, ἐν Φλαβιάδι τυγχάνοντι· καὶ ὃς πρὸς αὐτὸν «Λέγε μοι» || ἔφη «σύ, εἰ αὐτὸς f. 55 *εἶ Ἰουλιανός, ὁ τὰ χριστιανῶν ἐκτόπως πρεσβεύων;» τοῦ δὲ «Ἐγὼ» μετὰ παρρησίας εἰπόντος, ὁ ἡγεμὼν «Καὶ τίνα παρ᾽ αὐτῶν τὴν ἀξίαν» ἔφησεν «ἔχεις;» ὁ δὲ· «Τὸ χριστιανὸς εἶναί τε καὶ ὀνομάζεσθαι». κἀκεῖνος· «Ἀφεὶς τὸ οὕτω λέγειν, οὐδὲ γάρ σοι συντελέσει τι πρὸς ἀπολογίαν, θῦσον προσελθὼν τοῖς θεοῖς, ἵνα μὴ κακῶς ἀποθάνῃς». καὶ ὁ ἅγιος «Χριστιανὸς ὢν» εἶπεν «οὐκ ἀνέξομαι θεοῖς ἀψύχοις θυσίαν ἀπονεῖμαί ποτε, ἀλλ᾽ ἢ μόνῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς». καὶ ὁ ἡγεμὼν «Τοῖς ἀηττήτοις*

5 *σκήπτρα* || 6 *πόποτε* || 10 *περιτὰ* || 26 *συντελέσει τί* || 27 *ἵναμη* || 29 *ἀπονεῖμαι ποτέ* || 30 *Τοῖσ*

σε χρὴ βασιλεῦσιν ὑπείκειν» ἔφη «καὶ τοῖς αὐτῶν θελήμασιν ἐξακολουθεῖν καὶ μὴ ξένα τινὰ παρεισάγειν αὐτοῖς καὶ ἀσυνήθη δόγματα. θῦσον οὖν, ἵνα μὴ κακῶς, ὥςπερ εἴρηται, τὸ ζῆν ἀπορρήξῃς, πολλαῖς πρότερον βασάνοις ὑποβληθείς».— «Οὐ πτοοῦμαι ταύτας, ἡγε- col. 2 *μών», ὁ ἅγιος εἶπεν,| «οὔτε μὴν ὃν παρέλαβον παιδόθεν νόμον ἀθετήσω τὸ σύνολον, κἂν εἰ πυρί με παραδῷς καὶ βασάνων ἄλλων ἰδέαις· ἔχω γὰρ τὸν ἐνδυναμοῦντά με Χριστόν, ᾧ λατρεύω καὶ ᾧ θύσω θυσίαν αἰνέσεως».*

4. Τότε τοίνυν θυμοῦ πληρωθεὶς ὁ παράφρων τείνεσθαι κελεύει τὸν μάρτυρα καὶ τὸν λογιστὴν Κρονίδην εἰς μέσον παραγαγών, «Οἵου γένους ἐστὶν ὁ παράφορος οὗτος, εἰπέ», λέγει, «καὶ πῶς εἰς τοῦτο μανίας ἐξέπεσεν, ὡς ἀλογῆσαι μὲν θεῶν, προσελθεῖν δὲ τῷ ἐσταυρωμένῳ;» κἀκεῖνος «Εὐγενὴς» ἔφησεν «ὁ νεανίας ἐστίν, ἀλλὰ δὴ καὶ πατρόβουλος· βουλευτῶν γὰρ ἀπὸ γένους κατάγεται καὶ πατὴρ αὐτῷ βουλευτὴς ἐχρημάτισε. πῶς δὲ οὗτος εἰς τὴν τοιαύτην ἐξηνέχθη θρησκείαν καὶ οἵῳ περιέπεσε δαίμονι, ἀγνοῶ, μὰ τὴν σὴν κορυφήν». τότε νεύει τοῖς κολασταῖς ὁ σκολιός, καὶ τύπτεται f. 55v *τὸ καλὸν ἐκεῖνο σῶμα καὶ κατα‖κρεουργεῖται ταῖς μάστιξι. καὶ ἐπεὶ μὴ ἐνδιδοῦντα τὸν ἅγιον ἑώρα μηδὲ τῷ τούτου σκοπῷ συντιθέμενον, κρέα, φεῦ, ἠλισγημένα τῷ λύθρῳ τῶν εἰδωλικῶν θυσιῶν ἐμβληθῆναι τούτου προστάττει τῷ στόματι καὶ πρὸς αὐτὸν «Ἴδε», λέγει, «τρισάθλιε, τῶν σπονδῶν ἀπογέγευσαι· τί οὖν μὴ καὶ αὐτὸς θύεις θεοῖς καὶ φίλος γίνῃ τοῦ βασιλέως;» καὶ ὁ ἅγιος· «Μή σοι εἴη καλῶς, ἵν᾽ ἐγὼ θύσω τοῖς ἀσεβέσι θεοῖς, κατάρατε· πλὴν εἰ τὴν ἀκούσιον ταύτην μετάληψιν τῶν σῶν θυσιῶν μέγα τι νομίζεις, τί πάλιν με πρὸς θυσίαν καλεῖς; ἀλλ᾽ οἶδας καὶ αὐτὸς πάντως, ἀνόσιε, ὡς οὐδέν ἐστι τὸ ἀκούσιον· διὸ πρᾶττε λοιπὸν ὃ βούλει καὶ τὰς βασάνους σου πρόσαγε τάχος· ἔχω γὰρ Χριστὸν τὸν ἐνδυναμοῦντά με».*

5. Κελεύει γοῦν καὶ πάλιν ὁ ματαιόφρων, καὶ τείνεται ὁ μάρτυς col. 2 *καὶ νεύροις ὠμοῖς τὰς μαρτυρικὰς καταξαίνεται | σάρκας, εἶτα καὶ τῇ φυλακῇ παραπέμπεται. μέλλων τοίνυν ὁ ἡγεμὼν καταλαβεῖν τὴν Ἀνάζαρβον κελεύει τυπτόμενον αὐτὸν πᾶσαν τὴν ὁδὸν πρὸς αὐτὴν ἀπαχθῆναι. προκαθίσας οὖν ἐπὶ τοῦ βήματος ὁ ἀνόσιος καὶ τοῦτον παραστησάμενος «Ἔπεισεν ἄρα σε τὸ τῆς ὁδοῦ μῆκος, Ἰουλιανέ», λέγει, «καὶ αἱ προλαβοῦσαι βάσανοι θῦσαι τοῖς ἀθανάτοις θεοῖς, ἢ βούλει μειζόνων ἐν πείρᾳ γενέσθαι;» καὶ ὁ ἅγιος· «Μέχρι τίνος,*

2 *ασυνήθη* **sine spiritu** || 3 *ἀπορρήξασ* || 4 *πτοούμαι* || 6 *κὰν* **sine accentu** || 7 *ἐνδυναμοῦ|ταμε* || 19 *μὴ δὲ τω* || 20 *ἠλισγημένον* || 22 *σποδῶν* || 25 *μέγάτι* || 27 *πράττε* || 29 *ἐνδυναμοῦνταμε* || 33 *ἀνάβαρζαν*

ἀσύνετε, πολυπλασιάζεις τὰς ἐρωτήσεις σου; εἶπόν σοι πολλάκις καὶ πάλιν ἐρῶ· οὐ θύω δαίμοσιν· οὐ φοβοῦμαί σου τὰς βασάνους. ἔχεις ἐξουσίαν τοῦ σώματος· ποίει τὸ σοὶ παριστάμενον».

6. Τότε πάλιν ὀργῆς πληροῦται τὸ τοῦ δαίμονος ἐργαστήριον καὶ πάλιν οἶνον ἐμβάλλει τούτου τῷ στόματι μεμιασμένον καὶ λιβανωτὸν ἐντίθησιν αὐτοῦ τῇ χειρὶ καὶ τῷ βωμῷ τοῦτον προσάγει || καὶ βίᾳ τούτου καταστρέφει τὴν χεῖρα καὶ πάλιν ὀνειδίζει *f. 56* τὴν σπονδὴν ὁ δείλαιος. καὶ ὁ μάρτυς «Τυραννικῶς» εἶπε «ταῦτα ποιεῖς, τρισάθλιε· αὐθαίρετον δὲ τὴν γνώμην ἐπιζητεῖ τοῦ θύοντος ὁ λογισμός· ὁ γὰρ ἐθέλων τοῦτο ποιεῖν ἑκών, οὐχὶ βίᾳ, πράττει τὸ κελευόμενον». τότε πάλιν τείνεσθαι τὰς αὐτοῦ χεῖρας κελεύει καὶ μάστιξιν ὁ ἀπηνὴς αὐτὸν καταξαίνεσθαι κατά τε στέρνων καὶ τῶν νώτων αὐτῶν καὶ ἐπιλέγεσθαι τούτῳ· «Θῦσον, Ἰουλιανέ, τοῖς θεοῖς καὶ ἀπαλλάγηθι τῶν κολάσεων». καὶ ὁ μάρτυς «Ἵνα τί τοσοῦτον ἀνοηταίνεις», ἔφη, «παράνομε, λίθους καὶ ξύλα θεοὺς ἀποκαλῶν καὶ καταναγκάζων ἀνθρώπους καὶ τυραννῶν θυσίας ἀνοήτους προσάγειν αὐτοῖς; οὐκ ἔργα χειρῶν ἀνθρώπων ταυτί σου τὰ ξόανα; οὐ τέχνης ἀνθρωπίνης ἐπινοήματα; πάντως εἰ τέχνης ταύτης ἠμοίρησαν ἄνθρωποι, θεοὺς οὐκ ἂν τὸ τῶν Ἑλ|λήνων ἐκτή- *col. 2* σατο γένος». οὕτως αὐτὸν εἰπόντα τὸ δεσμωτήριον διαδέχεται.

7. Μετὰ ταῦτα πάλιν ὁ δικαστὴς ἐν Αἰγαῖς γίνεται (Αἰγαὶ δὲ πόλις ἐστὶ Κιλικίας τῆς ἐνδοτέρω) κἀν ταύτῃ προκαθίσας ἐπὶ τοῦ βήματος—εἷλκε γὰρ δεσμώτην τὸν ἅγιον — ἀχθῆναι τοῦτον κελεύει καί φησι πρὸς αὐτόν· «Εἴ γε τοῦ συνοικοῦντός σοι δαίμονος ἀπηλλάγης, θῦσον, Ἰουλιανέ, τοῖς θεοῖς, τοῖς αὐτοκρατορικοῖς πειθόμενος διατάγμασιν· ἢ οὐκ οἶδας, ὡς ζωόκαυστόν σε γενέσθαι μὴ πειθόμενον ὁ αὐτοκράτωρ ἐκέλευσε;» — «Καὶ τί σοι τὸ ἐμποδὼν μὴ τοῦτο πρᾶξαι;» ἀντέφησεν ὁ μάρτυς. ἠπόρησε παντελῶς ὁ ἡγεμὼν πρὸς πειθώ. καί τινες αὐτῷ φιλοτιμούμενοι «Δῆθεν» λέγουσι «μήτηρ ἐστὶ τούτῳ· ταύτην εἴ γε προσκληθῆναι θελήσεις καὶ πείσεις, ἕψεται τάχος τοῖς ἐκείνης λόγοις αὐτός». πείθεται τῇ συμβουλῇ τούτων ὁ κακότεχνος καὶ παρίστησι || ταύτην τῷ βήματι καὶ μετέρ- *f. 56v* χεται λόγοις οἷς ἂν ἐθέλχθη αὐτὸς πρὸς τὴν ἀπάτην· «Εἴ μοι», φησίν, «Ἀσκληπιοδώρα (τοῦτο γὰρ αὐτῇ κλῆσις), τὸν υἱὸν ὑπήκοον πείσεις γενέσθαι καὶ θεοῖς θυσίαν προσενεγκεῖν, τεύξῃ πολλῶν τῶν καλῶν καὶ μεγάλων τιμῶν· καὶ γὰρ πολλαῖς αὐτὸν κολακείαις καὶ βασάνων ἐπαγωγαῖς ὑπελθὼν κάμψαι τὸ σύνολον οὐμενοῦν

1 εἶπονσοι || 2 φοβοῦ|μαι σου || 8 εἶπεν || 9 ἐπὶ ζητεῖ || 15 τοσούτον || 19 ημοίρησαν *sine spiritu* || 21 Πάλιν || 24 φὴ(σι) — συνοικοῦντοσ σοι || 28 ἠπὸρησε || 30 θελήσει || 36 κολακίαισ || 37 οὐμενοῦν

ἐδυνήθην πρὸς τὸ θυμῆρες ἐμοί». καὶ τῶν γυναικῶν ἡ καλλίστη «Σπλάγχνον» εἶπεν «ἐμόν», ἐμβλέψασα τῷ υἱῷ, «σὺ τὸ συμφέρον οἶδας, καθὰ δὴ καὶ πεπαίδευσαι· πρᾶττε τοίνυν τὰ κάλλιστα καὶ οἷς ἥδεται Θεὸς καὶ δοξάζεται». καὶ ὃς πρὸς αὐτήν· «Σαυτῆς, ὦ μῆτερ, ὑπεραπολογοῦ, ὥσπερ δὴ καὶ σκοποῦ συμφερόντως ἔχεις. ἐγὼ γὰρ ἤδη γνώριμον κατέστησα τῷ ἄρχοντι τὸν σκοπόν». περιαγαγοῦσα τοίνυν ἐκείνη πρὸς τὸν ἡγεμόνα τὸ βλέμμα, «Σκληρός, col. 2 ἡγε|μών, Ἰουλιανὸς ὡς ὁρᾷς ἐστιν» ἔφη· «τρεῖς οὖν ἡμέρας διάσκεψις ἡμῖν δοθήτω, καὶ προσηκόντως αὐτὸν καὶ ὡς χρὴ νουθετήσω».

8. Τῆς προθεσμίας οὖν ἐν τῇ φυλακῇ διελθούσης καὶ στηριξάσης αὐτῆς μᾶλλον τὸν υἱὸν ἐν τῇ πίστει τῇ εἰς Χριστόν, ὁ ἡγεμὼν αὖθις προκαθίσας ἐπὶ τοῦ βήματος καὶ τοὺς ἁγίους παραστησάμενος τὸ τῆς διασκέψεως αὐτοὺς ἔργον ἀπήτει καὶ πρὸς θυσίαν ἐκάλει· καὶ ἐπεὶ μὴ ἔπειθεν διασκέψασθαι καλῶς εἰπόντας καὶ μὴ συμφέρον εἶναι Θεὸν ζῶντα καταλιπεῖν καὶ νεκροῖς εἰδώλοις κακῶς προσελθεῖν, πορνείῳ τὴν Ἀσκληπιοδώραν κελεύει παραδοθῆναι. μαθὼν δὲ παρὰ τῶν τῆς τάξεως, ὡς εὐγενής ἐστι καὶ διατάγματα βασιλικὰ ἐπιφέρεται, ταύτῃ συντηροῦντα τὸ ἀκατάπληκτον, τοῦτο μὲν οὐ ποιεῖ, ἀλλ᾽ ἀφίησι τῆς τυραννίδος αὐτήν, τὸν Ἰουλιανὸν δὲ καὶ πάλιν ἀγώγιμον ποιεῖ καὶ μὴ πειθόμενον αἰκισμοῖς καθυποf. 57 βάλλει || δεινοῖς, εἶτα καὶ σάκκον ἐνεχθῆναι κελεύει, θῆράς τε τούτῳ τῶν ἑρπηστικῶν ὅτι πλείστους ἐμβληθῆναι καὶ ψάμμον καὶ τοῦτον δὴ σὺν αὐτοῖς τὸν ἀθλητὴν τοῦ Χριστοῦ καὶ κατὰ πελάγους ῥιφῆναι.

9. Θᾶττον οὖν ἢ λόγος τὸ προστεταγμένον οἱ ὑπηρέται διαπραξάμενοι ἔρριψαν αὐτὸν κατὰ τοῦ πελάγους, ἐν ᾧ καὶ τὴν ψυχὴν εἰς χεῖρας ἀγγέλων, ὦ πανθαύμαστε μάρτυς Ἰουλιανέ, παραθέμενος, ἐν Ἀντιοχείᾳ τῆς Κιλικίας τὸ λείψανον ἐκβρασθῆναι ποιεῖς ἐν τόπῳ καλουμένῳ Βαφείῳ, πολύτιμον ὄλβον καὶ φυλακτήριον αὐτὸ τοῖς ἐκεῖσε παρασχόμενος. ὃ δὴ γυνή τις εὐσεβής, χηρείᾳ συζῶσα, πιστῶς ἀνελομένη φιλοτίμως τε καὶ κηδεύσασα καὶ τιμήσασα καὶ πᾶσιν ἄλλοις δεξιωσαμένη καλοῖς, πρός τινα σεμνὸν κατέθετο τόπον, δαιμόνων ἀποτροπήν, νόσων παντοίων ἴαμα καὶ πάσης κακώσεως ἀμυντήριον.

10. Σὺ δέ μοι, μαρτύρων ἀγλάισμα, δικαίων συνόμιλε καὶ πάν|col. 2 των ἁγίων συμμέτοχε, τῷ δεσποτικῷ παριστάμενος θρόνῳ, χάρισαι

1 καλίστη || 3 πράττε — κάλιστα || 5 μήτερ ὑπεράπολογοῦ || 6 περιάγαγοῦσα || 9 ωσχρὴ *sine spiritu* || 13 ἄγιοσ || 15 καλῶσ || 22 κελέυῖ θῆρας τὲ || **24** καταπελάγουσ || 29 ἐναντιοχεία || 30 βαφίῳ || 31 Γυνή — χειρίᾳ || 32 φιλοτίμωσ τὲ

ταῖς εὐκτικαῖς εἰς Θεὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μακράν.τὴν ζωὴν καὶ καλῶν ἀφθονίαν, ἰσχὺν κραταιὰν τῆς Θεοῦ βοηθείας, χειρὸς δύναμιν τῆς πανσθενοῦς καὶ θείας, ἀπείρων ἐθνῶν τὴν κατάλυσιν πᾶσαν, ἡμέρας μακρᾶς καὶ φωταυγοῦς τὴν χάριν, λαμπρὰν ἡλίου τὴν ἀνέσπερον χύσιν, πάντων ἀγαθῶν ἀκηράτων τὴν δόσιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κβ΄.

ΑΘΛΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΕΥΣΕΒΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΣΑΜΟΣΑΤΩΝ.

1. Σαμόσατα πόλις ἐστὶ τῆς Συρίας· Εὐφράτης αὐτῇ παραρρεῖ. ταύτης πρόεδρος καὶ σεμνὸς πολιοῦχος ὁ καλὸς Εὐσέβιος, ὁ νῦν προτεθεὶς ἡμῖν εἰς διήγησιν, ὅς, ἵνα || μὴ τὰ καθ' ἕκαστον λέγω καὶ *f. 57v* οἷς οὐδὲν ἐνσεμνύνεται (τίς γὰρ εἰς εὐφημίαν χρεία πατρίδος μνήμη καὶ προγόνων εὐγένεια τῷ τὴν ἄνω Ἱερουσαλήμ, τὴν ἐλευθέραν, τὴν τῶν πρωτοτόκων πατρίδα πλουτοῦντι καὶ προγόνους τοὺς εὐηρεστηκότας Θεῷ μεγίστων ἀρετῶν ὑπερφυΐᾳ;), ὑψηλῷ τε βίῳ καὶ πολλοῖς ἀνεφίκτῳ μέγας γέγονε καὶ περίφημος καὶ τοῖς ἁπάντων ἔκειτο στόμασι. διὸ καὶ τὸν οὕτω λαμπρὸν ταῖς ἀρεταῖς ἀποδεδειγμένον καὶ περιβόητον οὐχ ὑπὸ τὸν μόδιον κρύπτεσθαι Θεὸς συνεχώρησεν, ἀλλ' ἐπὶ τὴν λυχνίαν τέθεικεν, ἵνα λάμψῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, τῷ κόσμῳ, καὶ υἱοὺς ἀποδείξῃ φωτός.

2. Ἐγχειρισθεὶς γὰρ τοὺς τῆς ἐκκλησίας οἴακας ψήφῳ Θεοῦ καὶ τῶν ἐκκρίτων αὐτῆς, διάπυρος τῆς ὀρθοδόξου πίστεως ἐραστὴς ἀνεφάνη καὶ τῶν παρόντων ὑπεροψίᾳ σπεύδων ὅση | δύναμις τὰ *col. 2* τῆς εὐσεβείας αὔξειν καὶ πρὸς ἐπίδοσιν ἄγειν, μηδὲν τῆς ὀρθοδόξου πίστεως προτιθέμενος, μὴ πλοῦτον, μὴ δόξαν, μηδ' ἄλλο τι τῶν ὅσα ψυχὴν οἶδε μαλάσσειν φιλόκοσμον, ἀλλὰ δεύτερα πάντα νομίζων, ἀπειλὰς καὶ κολάσεις καὶ θάνατον καὶ εἴ τι ἕτερον τῶν φευ-

3 πασθενοῦσ || 13 καλλ° || 18 ὑψηλῷ τὲ || 21 'ε|κ ἐπὶ (*correxi e Matth. l. c.*).
21 sq. οὐχ ὑπὸ τὸν μόδιον κτλ.: cf. Matth. 5, 15.

κτῶν, καίπερ ἀντιπράττοντα τὸν Κωνστάντιον ἔχων (οὗτος γὰρ ἐβασίλευε τότε, τῆς ἀρειανικῆς ἀντεχόμενος λύμης). ἄξιον δὲ τὸ τῆς παρρησίας αὐτοῦ πολὺ καὶ τὸ γενναῖον τῆς ψυχῆς καὶ ἀνδρεῖον παραστῆσαι τῷ λόγῳ.

3. Μελετίου τοῦ μεγάλου τῆς Κωνσταντίνου προέδρου ψῆφον συνοδικὴν ἐκθεμένου κατὰ τῆς Ἀρείου κακοδοξίας, ψῆφον ἐλέγχουσαν καὶ καθαίρουσαν τὸ παράνομον αὐτοῦ δόγμα καὶ σφαλερόν, ὁ Κωνστάντιος, ἅτε τῆς αὐτῆς κακοδοξίας ἔμπλεως, παρὰ τῷ μεγάλῳ ταύτην εἶναι μαθών, ἐνστατικῶς αὐτὴν ἐζήτει καὶ βιαίως f. 58 λαβεῖν || ἐπεχείρει· ἠπείλει δέ, ὡς εἰ μὴ ταύτην προδῷ, τὴν δεξιὰν ἐκκοπῆναι. τί οὖν ὁ τῆς εὐσεβείας ἐπώνυμος; ἆρα προέδωκε τῷ φόβῳ τὴν ψῆφον; ἆρα τὴν τῆς δεξιᾶς ἀφαίρεσιν χειρὸς ἀπειληθεὶς ὑπομεῖναι σεσάλευται ποσῶς τὸν λογισμόν, ἢ ὅλως ἐλθεῖν πρὸς τοῦτο καὶ μόνον διενοήσατο; οὐμενοῦν, ἀλλ' ἀμφοτέρας ἐκτείνας, «Τέμε ταύτας» εἶπε, «βασιλεῦ, καὶ εἴ τι ἕτερον βούλει τοῦ σώματος μέρος, καὶ θάνατον αὐτὸν πρόσθες· ὡς ἡδέως ἂν αἱροίμην ἔγωγε ταῦθ' ὑπομεῖναι, ἢ προδοῦναί μου τὴν εὐσέβειαν καὶ τόδε τὸ σύμβολον». ἐξέστη τούτων ἀκούσας ὁ βασιλεύς, τὸ πεπαρρησιασμένον καὶ γενναῖον τοῦ ἀνδρὸς κατεπλάγη καὶ μηδὲν ἕτερον προσθεὶς εἵλετο σιωπήν. οἶδε γὰρ ἀνδρὸς ἀρετὴν σαφῶς αἰδεῖσθαι καὶ πολέμιος.

4. Ἰουλιανοῦ δὲ μετὰ ταῦτα τοῦ δυσσεβοῦς τῶν βασιλικῶν col. 2 σκήπτρων | κακῶς καὶ ὡς μὴ ὤφελεν ἐπιλαβομένου καὶ τὴν ἐκκλησίαν Χριστοῦ καταδιώξαντος ἐμμανῶς καὶ πάντα λίθον, τὸ τοῦ λόγου, κινήσαντος ἑλεῖν τὸν Εὐσέβιον, οὗτος ἀτρέπτῳ φρονήματι καὶ ἀνδρείῳ ψυχῆς παραστήματι τὰς ἐκείνου λαβὰς καλῶς ὑπεξέκλινε, τηρήσας τὸ ὀρθόδοξον ἀπαράθραυστον. ἀλλὰ καὶ τούτου κακῶς ἐν τῷ Περσικῷ πολέμῳ τὴν ψυχὴν ἀπορρήξαντος, Οὐάλης ἐκράτησε τῆς βασιλείας, ἀνὴρ σκαιὸς καὶ τὴν Ἀρειανῶν αἵρεσιν πνέων ὡς οὔτις ἄλλος τῶν κακοδόξων. ὃς πρὸς κολάσεις μὲν τέως οὐκ ἐχώρησε κατὰ τοῦ εὐσεβοῦς Εὐσεβίου, μὴ συντιθεμένου τούτῳ τὴν αἵρεσιν, ὑπερορίαν δὲ τούτου κατέκρινε παρὰ τὸν Ἴστρον λεγόμενον ποταμόν, τοῦ θρόνου πρότερον αὐτὸν ἀπελάσας.

5. Εἶχε μὲν οὖν τὸν καλὸν Εὐσέβιον ἡ ὑπερορία τὸν ὅλον τῆς f. 58v ζωῆς τοῦ Οὐάλεντος χρόνον, || πολλαῖς προσταλαιπωροῦντα ταῖς θλίψεσι καὶ ταῖς ἀνάγκαις τοῦ σώματος. ἐπεὶ δὲ ἡ μεγάλη πρόνοια ἐκποδὼν ἔθετο καὶ τὸν κακόφρονα τοῦτον, ἐπάνεισιν ὁ τρισαριστεὺς

2 Δὲ || 10 *f.* 58 *in.* λαβεῖν *repetitum est, sed postea erasum.* || ibid. ἐπεχείρη ἠπείλη || 13 ὑπομειναι *sine accentu* || 14 ᾽ὃμενοῦν || 17 προδοῦναι μου || 25 εὐσέβειον || 31 ᾽ὃκεχώρησε — εὐσεβοὺσ || 35 πρὸσταλαιποροῦν|τα

πρὸς τὴν ἰδίαν πάλιν ἐκκλησίαν καὶ ποίμνην, πολλοῖς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶσι λελαμπρυσμένος· νουθετεῖ πάλιν, διδάσκει, καθαίρει ταύτην τῶν αἱρετικῶν ζιζανίων· κύνας ὥσπερ ἀποδιώκει τοὺς κακόφρονας τῇ σφενδόνῃ τοῦ λόγου καὶ τέλος τὸν μαρτυρικὸν δέχεται στέφανον καὶ ταινιοῦται περιδεξίως τὴν κεφαλήν· καὶ ὅπως, ὁ λόγος δηλώσει.

6. Γύναιόν τι παράφορον καὶ κακόδοξον, τῆς αἱρετικῆς μοίρας τυγχάνον καὶ τὰ Ἀρείου φρονοῦν ἐκτόπως, τῷ διδάσκειν τὸν ἅγιον καὶ στηλιτεύειν τὴν αἵρεσιν, ἀποκηρύττειν τε τοὺς αἱρετικοὺς καὶ πάντα τὰ προβλήματα τούτων κενὰ δεικνύειν καὶ μάταια, κέραμον κατὰ τῆς αὐτοῦ κεφαλῆς διά τινος στέγης ἀφὲν | διέθραυσέ τε ταύ- col. 2
την καὶ διεμέρισε καὶ τῷ μαρτυρικῷ τοῦτον θανάτῳ παρέπεμψεν. εἰκοστὴν δευτέραν ἦγεν ὁ Ἰούνιος μήν. ἀλλ' ὁ καλὸς σὺ τὰ πάντα Εὐσέβιος, μηδὲ τῶν ἀποστολικῶν χαρισμάτων ἄμοιρος ὤν, μηδὲ τῆς τοῦ πρωτάθλου συμπαθείας ἀπολειπόμενος, συγχωρεῖς τῷ γυναίῳ τὸ δρᾶμα καὶ συγγνώμης αὐτὴν ἀξιοῖς, «Μὴ στήσαις» εἰπών, «κύριε, τὴν ἁμαρτίαν αὐτῇ· οὐδὲ γὰρ οἶδεν ὃ πεποίηκεν».

7. Ἔνθεν τοι καὶ τῶν ἐν οὐρανοῖς ἀπολαύων καλῶν καὶ σὺν ἀγγέλοις χορεύων, οἳ σου τὸ πανίερον ἐδέξαντο πνεῦμα, καὶ περὶ τὸν θρόνον αὐτὸν στρεφόμενος τὸν δεσποτικόν, μέμνησο καὶ βασιλέως ἡμῶν τοῦ τὰ πάντα χρηστοῦ καὶ ὀρθοδόξου καὶ φιλομάρτυρος, μέτοχον αὐτὸν τῆς σῆς δόξης ποιῶν, ἵλεω τούτῳ τὸν κριτὴν ἐργαζόμενος, χώρας δικαίων τὴν κατοίκησιν χαριζόμενος, ἀΰλου δόξης τὴν μέθεξιν, ἡλίου τοῦ τρισσοφαοῦς τὴν ἔλλαμψιν, || πάντων f. 59
ἀγαθῶν ἀθανάτων τὴν ἀπόλαυσιν καὶ βασιλείας Θεοῦ τὴν ἐπίτευξιν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κγ'.

ΑΘΛΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΑΓΡΙΠΠΙΝΗΣ.

1. Σὺν ἄλλοις ὅτι πλείστοις ἁγίοις ἀρχιερεῦσι καὶ μάρτυσι καὶ τὴν μεγάλην ἤνεγκε ταύτην ἡ περιφανὴς Ῥώμη καὶ περιβόητος, τὴν Ἀγριππίναν φημί. ἥτις γονέων μὲν ἔφυ περιφανῶν καὶ μεγάλων,

3 κῦνασ || 7 Γύναιόν τι || 8 ἐκτόποσ || 9 ἀποκηρύττειν | τὲ || 14 μὴ δὲ || 16 δράμα || 18 ἐνθέν τοι || 29 ἀγριπίνησ et 32 ἀγριπίναν, sed p. 91 v. 36 ἀγριππίνα

16—17 Μὴ στήσαις — αὐτῇ: cf. Act. 7, 60.

ἐπλούτει δὲ καὶ τὴν εἰς Χριστὸν πίστιν ὡς οὔτις ἄλλη τὸ κατ' ἐκεῖνο καιροῦ. τῷ τοι καὶ τὸν κατὰ Θεὸν εἵλετο βίον καὶ παρθενίαν μὲν ἐπόθησε, τὴν εἰς οὐρανοὺς ἀνάγουσαν καὶ συνάπτουσαν ταῖς ἐκεῖσε τῶν ἀγγέλων χοροστασίαις, ἁγνείαν δὲ διαφερόντως ἠγάπησε, τὴν οἰκειοῦσαν Θεῷ διὰ πνεύματος, καὶ τοσοῦτον ἀρετῶν εἰς ὕψος ἀνέδραμεν, ὡς πλήρη ταύτης εἶναι γῆν τε πᾶσαν ἐκείνην col. 2 *καὶ θάλασσαν καὶ ταῖς τῶν | θαυμάτων ἀκτῖσι τὰ πέρατα καταστράπτεσθαι.*

2. *Τῷ τοι καὶ παρθένοι πρὸς αὐτὴν συνέτρεχον, τῶν προσηκόντων καταφρονοῦσαι, καὶ συνεῖναι ταύτῃ διὰ Χριστὸν ἠγάπων καὶ συμβιοῦν. ἀλλὰ δὴ καὶ γυναῖκες πρὸς τὸν ὅμοιον διαθερμαινόμεναι ζῆλον τὴν σὺν αὐτῇ πολιτείαν τῶν ἄλλων προετίμων καὶ προετίθεσαν. ἦν γὰρ ἡ καλλίμαρτυς καὶ βίῳ σεμνὴ καὶ τρόπῳ χρηστὴ καὶ ταῖς ἄλλαις ἀρεταῖς περιδέξιος. ἀγάπης μὲν γὰρ τοσοῦτον ἐφρόντισεν, ὡς ὑπεραποθνήσκειν τῶν ὁμοπίστων, ἐλεημοσύνης δὲ καὶ συμπαθείας, ὡς τράπεζαν εἶναι πένησι καὶ ἀνήροτον ἄρουραν καὶ ἰατρεῖον τοῖς νόσῳ κάμνουσιν ἄμισθον. καὶ τί χρὴ τὰ καθ' ἕκαστον τῶν προτερημάτων αὐτῆς ἀριθμεῖν; οὐκ ἔστιν οὐδὲν ὃ Θεῷ φίλον, ὃ μὴ παρ' αὐτῆς κατώρθωτο καὶ εἰς τὸ ἀκρότατον.*

3. *Ἀλλ' οὕτως ἔχουσαν καὶ οὕτως βιοῦσαν ὁ φθόνος μένειν* f. 59ᵛ *οὐ συνεχώρησεν· || ὅθεν διαβάλλεται τοῖς εἰδωλολάτραις, ὡς εἴη τὰ αὐτῶν διαπτύουσα καὶ θεῶν μὲν ἀποσπῶσα καὶ Χριστῷ τὰς παρθένους προσάγουσα, καταφρονοῦσα δὲ καὶ κατορχουμένη βασιλικῶν διατάξεων καὶ φόβον μὲν ἀρχόντων παρ' οὐδὲν θεμένη, κηρύττουσα δὲ Χριστὸν ἀριδήλως Θεὸν καὶ τοῦδε τοῦ παντὸς ποιητήν. ἔνθεν τοι καὶ στέλλονταί τινες οἱ ταύτην εὐθὺς ἀπάξειν πρὸς τὸν ἄρχοντα μέλλοντες. καὶ δὴ καὶ συσχόντες ἄγουσιν αὐτὴν πρὸς αὐτόν, Βάσσης καὶ Παύλης καὶ τῆς ἀρίστης Ἀγαθονίκης συνεπομένων αὐτῇ.*

4. *Καὶ ἐπεὶ παρέστη πρὸς τὴν ἐξέτασιν, «Λέγε μοι», φησὶ πρὸς αὐτὴν ὁ ἄρχων, «τίσι θαρροῦσα πρὸς τοσοῦτον ἐλήλυθας ἀπονοίας, ὡς ἀλογεῖν μὲν θεῶν, καταφρονεῖν δὲ καὶ βασιλέων καὶ θυμὸν ἀρχόντων παρὰ φαῦλον τίθεσθαι, οὐ μὴν ἀλλὰ καὶ τολμᾶν παρρη-* col. 2 *σιάζεσθαι τὴν ἀσέβειαν καὶ Θεὸν τὸν Χριστὸν | διαρρήδην κηρύττειν καὶ μηδένα ποιεῖσθαι λόγον τοῦ δικαστηρίου καὶ τῆς ἐτάσεως; ἰδοὺ γάρ, ὡς ἤγγελται, καὶ τὰς παρθένους ἐξαπατῶσα παρ' ἑαυτῇ συνάγεις καὶ ἁγνείαν ταύταις νομοθετεῖς, τὸν γάμον, ὅς ἐστι κόσμου ποίησις, ἀτιμάζουσα. λέγε τοίνυν τὸ τάχος, πρὶν ἢ σου τῶν σαρκῶν*

2 et 9 *τῶτοι* || 5 *ἠγάπησεν* || 6 *γῆν τὲ* || 7 *ἀκτίσι* || 15 *ὑπὲρ ἀποθνήσκειν* || 16 *πένισι* || 19 *κατόρθωτο* || 25 *ἔνθέντοι* || 29 *Φησὶ* (*scriptum erat Φησὶν, sed ν littera postea erasa*) || 33 *ἀσέβιαν* || 37 *ἀτιμά|ζουσου*

ἐφάψομαι. πλὴν ἀλλ᾽ εἴ γέ σοι τῶν πρακτέων μετάμελος εἰσέλθοι καὶ μετάνοια ᾗ προσῆκόν ἐστι παρακολουθήσοι καὶ θυσία θεοῖς ὑπὸ σοῦ προσαχθείη, ἀφεθήσεταί μέν σοι τὰ ἐγκαλούμενα, τιμαὶ δὲ καὶ δῶρα παρὰ βασιλέως δοθήσονται, καὶ ἔσῃ συνδιάγουσα τῇ δεσποίνῃ καὶ μεγάλων ἐν ἀπολαύσει καλῶν».

5. Ἤκουσεν ἡ μάρτυς τῶν τοῦ ἄρχοντως λόγων· ἀμετάτρεπτος ἔστη καὶ ὅλως ἀκλόνητος· λῆρον ἡγήσατο τὰ ῥηθέντα καί φησι πρὸς αὐτόν· «Τεθάρρηκα μέν, ὦ οὗτος, ἐπὶ Χριστόν, ὅς με δυνατὸς τῶν σῶν ἐξελέσθαι χειρῶν· || ἀλογῶ δέ σου καὶ θεῶν καὶ τοῦ *f. 60* βασιλέως καταφρονῶ, ὡς αὐτῶν μὲν δαιμόνων ὄντων ἀπατηλῶν, τούτου δὲ παρανόμου καὶ μηδὲν ὑγιὲς κελεύοντος· τοῦ δικαστηρίου δὲ κατορχοῦμαι καὶ τῆς ἐτάσεως, ὡς μηδένα μοι φόβον δυναμένων προσεμποιῆσαι ἢ καὶ τὴν τυχοῦσαν βλάβην ποτέ· καὶ τὰς παρθένους οὐκ ἀπατῶ, Θεῷ δὲ προσάγω, τῷ πλάστῃ τῆς ἡμῶν φύσεως, ὥσπερ ἄρα ἐχρῆν· καὶ παρθενίαν νομοθετῶ, ὡς κόσμον χωρίζουσαν καὶ Θεῷ διὰ τῆς ἁγνείας προσάγουσαν, τῷ ἐκ παρθένου διὰ τὴν ἡμῶν τῶν δούλων σωτηρίαν τεχθέντι. ταῦτα, δικαστά, τὰ ἐμά, καὶ οἶμαι ὡς καλῶς ἔχει καὶ ἀληθῶς, καὶ οὐκ ἂν εἴποις ψευδῶς. σὺ οὖν τὸ παριστάμενόν σου τῇ ἐξουσίᾳ ποίει· οὐκ ἴδῃς γάρ μέ ποτε Θεὸν ζῶντα καταλιποῦσαν, νεκροῖς εἰδώλοις θύουσαν».

6. Τούτοις ὁ μιαρὸς ἄρχων ὅλον ἐκκαύσας τὸν θυμὸν κελεύει γυμνοῦ|σθαι τὴν μάρτυρα τοῦ χιτῶνος, ταθῆναί τε ταύτην κατὰ *col. 2* γῆς ἐκ τεσσάρων καὶ ῥάβδοις ἀφειδῶς τὰς παρθενικὰς αὐτῆς καταξαίνεσθαι σάρκας. ἦν οὖν ἰδεῖν τούτου γινομένου αἱμάτων αὐτῆς τῶν τιμίων πεπληρωμένον τὸ ὑποκείμενον ἔδαφος, αὐτὴν δὲ ταύτην ὡς ἄλλου πάσχοντος δεικνυμένην· οὐ φωνὴ γάρ, οὐ στεναγμός, οὐκ ἄλλο τι τῶν ὅσα ποιοῦσιν ἄνθρωποι πάσχοντες ἐξ αὐτῆς ἀνεπέμπετο. ὅθεν καὶ δεσμοῖς καὶ στρέβλαις καθυποβάλλεται καὶ συντρίβεται, φεῦ, τὰ ὀστᾶ καὶ οὕτω τῇ φυλακῇ παραπέμπεται. ἀλλ᾽ ὁ ταχὺς εἰς ἀντίληψιν Θεός, ὁ μὴ παρορῶν τοὺς εἰς αὐτὸν ἠλπικότας, εὐθὺς αὐτῇ τὴν ἴασιν ἐπιπέμπεται· θεῖος γὰρ ἄγγελος ὡς αὐτὴν καταπτὰς λύει τε τῶν δεσμῶν καὶ ὑγιᾶ τελείως ἀποκαθίστησιν, ὡς μηδὲ μώλωπα τῷ σώματι ταύτης τὸ σύνολον ὑποφαίνεσθαι.

7. Ἡμέραι παρῆλθον || οὐχὶ συχναί, καὶ πάλιν ἡ καλλίνικος πρὸς *f. 60v* ἐξέτασιν ἄγεται καὶ «Τί δὲ μὴ θύεις τοῖς θεοῖς, Ἀγριππίνα;» πρὸς αὐτὴν εἰπόντος τοῦ ἄρχοντος· «ὁρᾷς γάρ, ὅτι σου κηδόμενοι καὶ

1 εἴγε|σοι || σοι || 4 παραβασιλέωσ || 5 ἐναπολαύ|σει || 7 ῾ς φησὶ || 11 μὴ δὲν || 12 ὡσμὴ δὲ͡ν || 15 ἐχρή || 17 δοῦλων || 19—20 γάρμε ποτὲ || 21 Ὁ μιαρὸσ || 23 ἀφι|δῶσ || 24 Ἦν || 27 ἄλλὄ τι || 32 λύει τὲ || 33 ὡσμὴ δὲ

τῶν δεσμῶν λελύκασι καὶ ὑγιᾶ σε κατέστησαν», — «Μή σοι εἴη καλῶς,» ἡ μάρτυς ἀντεῖπεν, «ἀνόσιε, ἵν' ἐγὼ παρὰ τῶν σῶν δαιμόνων θεραπείας ἀξιωθῶ· Χριστὸς γάρ με τῆς τοιαύτης ἠξίωσε χάριτος, ὃς καὶ σὲ καὶ τοὺς σοὺς θεοὺς τῷ αἰωνίῳ παραπέμψει πυρί». μαίνεται τούτων ἀκούσας ἐκεῖνος καὶ πικροτέραις αὐτὴν βασάνοις ἐκδίδωσι· καὶ τοσοῦτον κατὰ γῆς ταθεῖσαν ταῖς ῥάβδοις συνέκοψαν, ὡς ἐν αὐταῖς τὸ πνεῦμα χερσὶν ἀποθέσθαι τοῦ πλάσαντος.

8. Ἐκριφέντος οὖν τοῦ πανιέρου σώματος ἐκείνου κυσὶν εἰς βοράν, αἱ συνοῦσαι ταύτῃ κατὰ τὸν τοῦ μαρτυρίου δρόμον γυναῖκες Βάσσα καὶ Παῦλα καὶ ἡ τῆς ἀγαθῆς νίκης ἐπώνυμος Ἀγαθονίκη κηδεῦσαι τοῦτο [ἐβουλήθησαν] καθ' ὅσον ὁ καιρὸς ἐδίδου, κἂν | col. 2 τοῖς ὤμοις αὐτῶν πιστῶς ἀνελόμεναι, νυκτὶ τὴν Ῥώμην ἐξέβησαν καὶ πρὸς τὴν θάλασσαν ὥρμησαν, Θεῷ καὶ τῇ μάρτυρι τὴν σωτηρίαν ἑαυτῶν ἐμπιστεύσασαι. πολὺν τοίνυν τόπον αὐτὸ διαβαστάσασαι, Θεοῦ πάντως τὴν γυναικείαν ἀσθένειαν ἐνισχύσαντος, τὸν αἰγιαλὸν κατέλαβον, πολλῶν κατὰ τὴν ὁδὸν καὶ μεγάλων τελεσθέντων θαυμάτων. καὶ γὰρ ταῖς νυξὶ ποιουμέναις τὴν πορείαν ταῖς μακαρίαις φῶς ἄνωθεν ἐπέλαμπε καὶ ἀπρόσκοπον αὐταῖς τὴν ὁδὸν ἐνεποίει, φωτὸς ἀπαυγάζοντος καὶ τοῦ σώματος τῆς μάρτυρος φαινομένου, ὅτε δὴ καὶ Βάσσα τὰ διὰ ταύτης μέλλοντα τελεσθῆναι θαύματα προεφήτευσε καὶ καλῶς ἀνυσθῆναι ταύταις τὴν ὁδὸν προηγόρευσε καὶ ὡς τῷ ὁμοίῳ τρόπῳ καὶ αὗται τὸν δρόμον τοῦ μαρτυρίου τελέσουσιν.

9. Τὸν αἰγιαλὸν τοίνυν καταλαβοῦσαι καὶ πλοῖον τὸ τάχος ὡς f. 61 ἐπ' αὐτῷ τούτῳ Θεοῦ νεύ||μασιν ἡτοιμασμένον προσεπιβᾶσαι τῇ Σικελίᾳ προσώρμισαν, ἧς κατὰ τὸ πρῶτον ἀκρωτήριον τὸ πολύαθλον ἐκεῖνο καταθέμεναι σῶμα ναὸν ἀνήγειραν, φιλοθέων τινῶν εἰς τοῦτο συναραμένων αὐταῖς. ἔνθα δὴ καὶ θαῦμα γίνεται τὸ τοῦ ἐμοῦ Χριστοῦ παρόμοιον θαύματι, ὅτι καὶ τούτου μάρτυς ἡ μάρτυς καὶ ταύτης ἐκεῖνος Θεὸς ὁ Θεός. γυνὴ γάρ τις αἱμόρρους, ὡς μόνον ἐκείνου τῇ καταθέσει τοῦ μαρτυρικοῦ σκήνους ἥψατο πόθῳ, ἰάθη τε τῆς μάστιγος αὐτίκα καὶ τῆς τοῦ αἵματος ῥύμης ἐπισχεθείσης ⟨καὶ⟩ ὅλως ὑγιὴς καθωράθη. ἀλλὰ καὶ λεπροὶ τῷ ταύτης τάφῳ προσιόντες ἐκαθαρίσθησαν, δαιμονῶντες ἰάθησαν καὶ πᾶσα νόσος ἄλλη τῶν πίστει προστρεχόντων ἐθεραπεύετο. καστελλίῳ τοίνυν (μικρὰ δὲ τοῦτο πολίχνη) ἐφόδου τῶν τῆς Ἄγαρ ἕνεκα τὸν τάφον

5 Ἀκούσασ || 11 βᾶσσα || 12 ἐβουλήθησαν *inserui* || ibid. κἂν || 18 Καὶ || 24 τελέσουσι || 26 προ|σεπιβάσαι || 27 ἀκροτήριον || 32 ἰάθη τὲ || 34 καὶ *delevi*

οἱ εὐσεβεῖς περιλαβόντες, τὸ | ἄφοβον ἐντεῦθεν εἶχον καὶ ἀνεπίβουλον· ἀλλ᾽ ἐπεί ποτε τούτῳ προσέβαλλον οἱ κατάρατοι, περιστερὰ οἷα χρυσῆ, ὅπλῳ τοῦ σταυροῦ φραττομένη, κατ᾽ αὐτῶν ἡ μάρτυς ἐξῄει καὶ τούτους μὲν ἐξηφάνισε, τοὺς πιστοὺς δὲ μιαιφονίας τῆς τούτων ἀπελυτρώσατο. τοίνυν ὁ τῆς ἐκκλησίας προεστὼς κατανοῶν τὰ τοιαῦτα θαυμάσια Θεὸν ἐμεγάλυνε καὶ τὴν μάρτυρα δοξάζειν οὐκ ἔληγε. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. col. 2

10. Ἡ δέ γε Βάσσα καὶ Παῦλα σὺν Ἀγαθονίκῃ τῇ καλλίστῃ τῶν γυναικῶν νεύσεσι θείαις τοῦ μαρτυρίου τὸ πέρας ὡς ἀληθῶς εὗρον τῷ πόθῳ κατάλληλον, σπεύδουσαι πρὸς τοῦτο προθύμως καὶ μέντοι δὴ καὶ τυχοῦσαι τούτου καὶ τῶν αὐτοῦ στεφάνων ἀξιωθεῖσαι, διωγμοῦ μετά γε τοῦτο κινηθέντος ὑπὸ τῶν ἀσεβῶν.

11. Καὶ ταῦτα μέν σου, καλλιπάρθενε μάρτυς, τὰ διὰ Θεὸν ἀγωνίσματα καὶ τὰ σκάμματα, ταῦτα τὰ || θαύματα, ἃ δὴ καὶ εἰσέτι πηγάζεις τοῖς πόθῳ προσιοῦσι τῷ τάφῳ σου. νυνὶ δὲ τῷ θρόνῳ τοῦ παντάνακτος παρισταμένη Χριστοῦ, δώρησαι ταῖς εὐκτικαῖς εἰς αὐτόν σου δεήσεσι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μέγιστα κατὰ τῶν τῆς Ἄγαρ υἱῶν δοθῆναι καὶ τῶν ἄλλων πολεμίων τὰ τρόπαια, ἰσχὺν καὶ σθένος ἄμαχον κατ᾽ αὐτῶν καὶ ἀήττητον, χωρῶν αὐτῶν καὶ πόλεων τὴν ἀπάλειψιν, ἀπείρων αὐτῶν στρατευμάτων τὴν ἐξολόθρευσιν, ἡλίου τε πρὸς τούτοις τοῦ νοητοῦ τὴν ἔλλαμψιν, λειμώνων θείων ἀκηράτων τὴν ἀπόλαυσιν, πάντων τῶν καλῶν τὴν μέθεξιν καὶ βασιλείας Θεοῦ τὴν ἐπίτευξιν· ὅτι αὐτῷ ἡ δόξα πρέπει καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. | f. 61v

---

Μηνὶ τῷ αὐτῷ κδ΄. col. 2

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΦΗΤΟΥ, ΠΡΟΔΡΟΜΟΥ ΚΑΙ ΒΑΠΤΙΣΤΟΥ ΙΩΑΝΝΟΥ.

1. Ἰωάννην τὸν πάνυ, τὸ μέγα κλέος τῆς οἰκουμένης, τὸν βαπτιστὴν καὶ προφήτην καὶ πρόδρομον ἐπαινεῖν μὲν ἅπασιν ἐφετόν, ἐπαινεῖν δὲ πρὸς ἀξίαν ἑνὶ τῶν πάντων οὐκ ἐφικτόν. τίς γὰρ ἐπα-

1 ἀσεβεῖσ || 2 ἐπεὶ ποτὲ τούτω || 3 χρυσὴ || 4 ἐξέίη || 5 Ἐκκλησίας || 11 ἀ|ξιωθῆσαι || 14 εἰσ ἔτι || 15 νυνιδὲ || 21 ἡλίου τὲ

ξίως αὐτὸν ἐπαινέσεται, ὃν ὑπερκεῖσθαι πάντων ὁ πάντων ἔφη δημιουργός; ἀλλ' ἵνα μὴ ἀμελείας κριθῶμεν, τὴν σεπτὴν αὐτοῦ γέννησιν ἀφέντες ἀνεκδιήγητον, λεκτέον τὸ κατὰ δύναμιν τὰ ἐκείνου καὶ διηγητέον ἡμῖν, Λουκᾷ τῷ εὐαγγελιστῇ κατ' ἴχνος ἀκολουθοῦσιν.

2. *Κατὰ τοὺς Ἡρῴδου χρόνους, ὃς ἦρχε τῆς Ἰουδαίας, ἱερέα φησὶν ὁ θεῖος οὗτος Λουκᾶς γενέσθαι τὸν Ζαχαρίαν ἐξ ἐφημερίας Ἀβιά· δύο γὰρ ἐτύγχανον ἱερεῖς, ἐκ διαδοχῆς τὴν λειτουργίαν ἔχοντες, ὁ Ἀβιὰ οὗτος καὶ Ζαχαρίας. ἐπεὶ οὖν τελέσειε τὴν λειτουργίαν* f. 62 *ὁ Ἀ||βιά, μετὰ τὴν ἐκείνου ἐφημερίαν ἐλειτούργει καὶ Ζαχαρίας. ἐφημερίαν δὲ νοήσεις οὐ τὸ πρὸς ἡμέραν, ἀλλὰ τὸ πρὸς ἑβδομάδα παραμένειν τῇ λειτουργίᾳ· τοῦτο γὰρ τοῖς παλαιοῖς ἔθιμον. λέγει τοίνυν ὁ αὐτὸς εὐαγγελιστὴς εἶναι τῷ Ζαχαρίᾳ καὶ γυναῖκα ἐκ τῶν θυγατέρων μὲν Ἀαρὼν ὁρμωμένην, ὡς ἂν ἑκατέρωθεν νόμιμος ἱερεὺς ᾖ, Ἐλισάβετ δὲ καλουμένην. τούτοις ὁ αὐτὸς δικαιοσύνην τε μαρτυρεῖ τὴν κατ' ὀφθαλμοὺς Θεοῦ (ἡ γὰρ ὄντως δικαιοσύνη αὕτη, ἐπεὶ καὶ αὐτῷ μόνῳ τῶν ἀνθρώπων καρδίαι καταφανεῖς) καὶ τὸ ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ καὶ τοῖς δικαιώμασιν ἀμέμπτως πορεύεσθαι. καίτοι δὲ ἀρετῆς οὕτως ἔχοντας, ὅμως παίδων αὐτοὺς ἐστερῆσθαι λέγει· ὅπερ ὄνειδος ἦν τοῖς παλαιοῖς τὸ βαρύτατον.*

3. *Τούτῳ τοίνυν ἐν τῷ ἱερατεύειν τῷ Ζαχαρίᾳ ἄγγελον ὁ Λουκᾶς* col. 2 *ἐκ δεξιῶν | ὀφθῆναι λέγει τοῦ θυσιαστηρίου τοῦ θυμιάματος (ἦν γὰρ καὶ ἕτερον θυσιαστήριον, τὸ τῶν καρπωμάτων φημί), καὶ τὸν μὲν Ζαχαρίαν ἔνδον παραμένειν μόνον, ἔξωθεν δὲ τὸν λαὸν προσευχόμενον. ταραχθέντι δὲ τῇ θέᾳ τῷ Ζαχαρίᾳ καὶ γενομένῳ περιδεεῖ τὸν ἄγγελον λύοντα τὸν φόβον αὐτῷ «Μὴ φοβοῦ» φάναι, «ἀκουστὴ γάρ σου γέγονεν ἡ δέησις». καὶ τοῦ ἀκουσθῆναι ἀπόδειξις ἐπαγγελία υἱοῦ καὶ ὅπως κληθήσεται δήλωσις καὶ τῆς ἐπὶ τῇ γεννήσει τούτου χαρᾶς προαγόρευσις· «Τέξεις γὰρ υἱόν» φησι «καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννης, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει τούτου χαρήσονται». ἀλλὰ ποίας ἄν τις ἀκολουθίας εἴποι τοῦτο τυγχάνειν, ἐκεῖνον ὑπὲρ ἁμαρτιῶν λαοῦ πρεσβεύοντα ἐπαγγελίαν λαβεῖν ἴδιον παῖδα τεκεῖν; καὶ πάνυ γε συνᾷδον καὶ προσφυές· ὃν* f. 34v *γὰρ ἐκεῖνος ἔμελλε τίκτειν, κῆρυξ οὗτος τοῦ || ἀμνοῦ ἔμελλεν εἶναι τοῦ τὴν ἁμαρτίαν τοῦ κόσμου, καθὼς αὐτὸς ἐκεῖνος βοᾷ, αἴροντος· ἔσεσθαι δὲ καὶ μέγαν αὐτὸν οὐχ ἁπλῶς, ἀλλ' ἐνώπιον κυρίου προσαγορεύει, ὥσπερ ἄρα καὶ τοὺς γεγεννηκότας δικαίους ἐνώπιον Θεοῦ*

3 *καταδύναμιν* || 4 *ἀκολουθοῦσι* || 5 *Τοὺσ* || 7, 8, 9 *ἀβῖᾶ* || 10 *εὐδομάδα* || 14 *δικαιοσύνῆ|τὲ* || 30 *χαρίσονται* || ibid. *τούτο* || 32 *συνάδον* || 33 *κήρυξ* || 36 *γεγενηκότασ*

4 *Λουκᾷ τῷ εὐαγγελιστῇ*: v. Luc. 1, 5–80.

προλαβὼν ἐγνώρισεν. ἐν τίνι δὲ καὶ μέγαν αὐτὸν ὁ θεῖος ἔφη Λουκᾶς; ἢ πάντως ἐν τῇ δαψιλείᾳ τοῦ πνεύματος· οὐδὲ γὰρ θείας χάριτος κοινωνήσειν αὐτὸν ἁπλῶς λέγει, ἀλλὰ πλησθήσεται, φησί, πνεύματος ἁγίου, καὶ οὐ μετά τινα χρόνον, οὐδὲ ἡλικίας τινὸς ἁπτόμενον, ἀλλὰ σύνδρομος αὐτῷ ἔσται καὶ ἡ ἀπὸ γαστρὸς ἐξέλευσις καὶ ἡ τοῦ πνεύματος πλήρωσις. «Πλησθήσεται» γάρ φησι «πνεύματος ἁγίου ἐκ κοιλίας μητρὸς αὐτοῦ». τί δὲ καὶ ἔργον ἕξει καὶ τί διαπράξεται; ἐπιστροφὴν πολλῶν υἱῶν [Ἰσραὴλ] ἐπὶ κύριον τὸν Θεὸν αὐτῶν. «Ἐπιστρέψει» γάρ φησι «πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ κύριον τὸν Θεὸν αὐτῶν». πρόσθες καὶ τὰ λοιπὰ τῆς εὐφημίας, ὦ ἄγγελε· ὅτι τε προελεύσεται ἐνώ|πιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ—καὶ col. 2 *γὰρ ὥσπερ ἐκεῖνος τῆς δευτέρας ἔσται Χριστοῦ παρουσίας πρόδρομος, οὕτως καὶ οὗτος τῆς πρώτης γέγονε τῇ ἴσῃ δυνάμει καὶ τῷ αὐτῷ φημι πνεύματι,—καὶ ὅτι ἐπιστρέψει καρδίας πατέρων ἐπὶ τέκνα. τί τούτῳ δηλῶν; ἢ τὸ ἐπηκόους γενέσθαι τοὺς Ἰουδαίους παρασκευάσαι τῆς τῶν ἀποστόλων διδασκαλίας. οὗτοι γὰρ ἐκείνων τέκνα τῇ συγγενείᾳ τοῦ αἵματος, ὧν καὶ τῇ φρονήσει καταπειθεῖς ὤφθησαν οἱ τέως ἀπειθεῖς καὶ ἀνήκοοι. πρὸς τοῦτο γὰρ φέρει καὶ τὸ κατασκευάσαι κυρίῳ λαὸν περιούσιον, τὸ τὸν Ἰουδαϊκὸν λαὸν εὐπειθῆ γενέσθαι Χριστῷ καὶ πρὸ τῆς τοῦ Χριστοῦ φανερώσεως, ὑπὸ Ἰωάννου δηλαδὴ προευτρεπισθέντας καὶ τῆς αὐτοῦ γλώττης θήραμα γενομένους.*

4. Τί οὖν φησι Ζαχαρίας πρὸς ταῦτα; «Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς». καὶ ὁ ἄγγελος· «Ἐγὼ μὲν ἀπεστά||λην λαλῆσαι καὶ εὐαγγε- f. 63 *λίσασθαί σοι ταῦτα. εἰμὶ δὲ Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ. ἐπεὶ δὲ σὺ διαπιστῶν ὤφθης τοῖς ἐμοῖς λόγοις καὶ τῇ τοῦ πέμψαντός με δυνάμει, ἐπιτίμιον ἕξεις τὴν ἀφωνίαν· ἔσῃ γὰρ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρις ἧς ἡμέρας γένηται τοῦτο». ὑπόδικος, φησίν, ἔσῃ τῇ σιωπῇ μέχρι τῆς τῶν εἰρημένων ἐκβάσεως. ὅτι δὲ κατὰ πόδας ἡ δίκη καὶ τῇ φωνῇ τοῦ ἀγγέλου, τῷ Ζαχαρίᾳ εὐθὺς ἔσβεστο ἡ φωνή. δεῖγμα σαφὲς τὸ νεῦμα· ἦν γάρ, φησίν, αὐτοῖς διανεύων, τῷ λαῷ δηλονότι, δι' ἀπορίαν τοῦ φθέγματος καὶ διέμεινε κωφός. σὸν ἄρα καὶ τοῦτο, πρόδρομε τοῦ σωτῆρος, καὶ τῆς σῆς ἐκ προοιμίων ἀπορρήτου δυνάμεως, ἵνα καὶ τῷ πατρὶ δεσμὰ λύσῃς γλώττης ἐκ ψιλοῦ τοῦ ὀνόματος καὶ τῇ μητρὶ δεσμοὺς ἀναγκαίας στειρώσεως, ὥσπερ οὖν καὶ πολλοῖς ὕστερον κηρύγματι μετανοίας ἁμαρτιῶν δεσμὰ λέλυκας.*

2 et 15 *ἢ* || 5 *ἀπογαστρὸσ* || 8 *Ἰσραὴλ* *inserui e v. 9* || 10 *ὅτι τὲ* || 14 *φημὶ* || 23 *Τί — φησὶ* || 31 *καταπόδασ — φωνὴ* || 33 *διὰ|πορίαν*

col. 2 5. Πλὴν ἀλλὰ | Ζαχαρίας μέν, τῶν ἡμερῶν αὐτῷ τῆς λειτουργίας ἤδη τελεσθεισῶν, οἴκαδε ἐπανήει· τῇ Ἐλισάβετ δὲ μετὰ ταῦτα ἐκ παραδόξου ἡ σύλληψις ἐπιλάμπει· καὶ περιέκρυβεν ἑαυτήν, φησί, μῆνας πέντε, τὴν γηραιὰν ὥσπερ καὶ ἔξωρον αἰδουμένη κυοφορίαν. ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ (δεῖ γὰρ καὶ ταῦτα συνάψαι, τοῖς προκειμένοις ἀκολούθως ἔχοντα) ἡ προσήκουσα κατὰ γένος αὐτῇ Μαρία, τὴν Θεοτόκον φημί, ἐν τῷ τοῦ μνηστῆρος Ἰωσὴφ οἴκῳ διάγουσα, ὃς ἀνὰ πόλιν Ναζαρὲτ ἐτύγχανεν ὤν, ἐκεῖ τε τῆς τοῦ λόγου σαρκώσεως τὰ εὐαγγέλια δεξαμένη καὶ διαπορούσα καὶ λέγουσα «Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω», ἀκούει παρὰ τοῦ ἀγγέλου τρανῶς τά τε ἄλλα βεβαιοῦντα τὸν λόγον καὶ τό· «Ἰδοὺ» γάρ φησι «καὶ ἡ συγγενής σου Ἐλισάβετ, καὶ αὐτὴ συνείληφεν υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ».

f. 63v 6. Εἶθ᾽ οὕτως ἀκολουθεῖ μετ᾽ ὀλίγον ἥ τε μετὰ σπουδῆς || τῆς Μαρίας πρὸς τὴν ὀρεινὴν ἄφιξις καὶ ἡ πρὸς τὸν οἶκον Ζαχαρίου ταύτης εἰσέλευσις. ἔσπευσε γὰρ συγχαρῆναι τῇ Ἐλισάβετ τὰ τῆς κοινῆς ταύτης συλλήψεως εὐαγγέλια. τοιγαροῦν πρόσεισι καὶ ἀσπάζεται φιλοφρόνως αὐτήν, εἶτ᾽ οὖν προσαγορεύει. ὁ δὲ ἀσπασμὸς σκίρτημα τοῦ ἐν γαστρὶ βρέφους τῇ Ἐλισάβετ ἡδὺ γίνεται. καὶ γὰρ ἀπὸ γαστρὸς ἐμάνθανεν ἤδη τὸν ἐν γαστρὶ δεσπότην ὁ δοῦλος. τοῦτο γὰρ τὸ ἐν ἀγαλλιάσει σκίρτημα ἐδήλου φανερῶς. «Ἰδοὺ γάρ» φησίν, «ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου». μὴ λάθῃ δὲ σὲ μηδὲ τὸ λίαν μέτριόν τε καὶ ὑποχωρητικὸν τῆς Ἐλισάβετ μετὰ καὶ τῆς θαυμαστῆς προσρήσεως. ᾐδεῖτο γὰρ τὴν τῆς παρθένου ἐπιστασίαν, ὡς ὑπὲρ ἀξίαν αὐτῆς οὖσαν· καὶ διὰ ταῦτα «Πόθεν col. 2 μοι» λέγει «τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ | κυρίου μου πρός με»; καὶ προφητεύει, καθ᾽ ἃ δὴ καὶ ὁ παῖς ἐκείνης πρὸς τὴν δεσποτικὴν ἐποίει προσέλευσιν, «Καὶ σὺ ἔρχῃ πρός με» λέγων κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος. ἀλλὰ καὶ εὐλογημένην ἐν γυναιξὶ λέγει καὶ τὸ κυοφορούμενον ἐν αὐτῇ καρπὸν κοιλίας παραδόξως καλεῖ. τί τοῦτο σημαῖνον; ὅτι σπέρματος ἀνδρὸς οὐδαμῶς ἐκοινώνει.

7. Εἶχε μὲν οὖν ἡ τῆς Ἐλισάβετ οἰκία τὴν παρθένον σύνοικον περὶ μῆνας τρεῖς. εἶθ᾽ οὕτως ἡ μὲν παρθένος ἐπάνεισιν οἴκαδε, τῇ δὲ Ἐλισάβετ ὁ τοῦ τεκεῖν χρόνος ἐπλήσθη. τίνος δὲ χάριν ἐπὶ τρεῖς μῆνας καὶ μὴ πλέον ἡ συνοικία; ἢ πάντως, ὡς τίκτειν τότε μελλούσης τῆς Ἐλισάβετ τοῦ ἐνάτου μηνὸς ἐπιστάντος καὶ διὰ τὸ μέλλον ἴσως ἀπαντᾶν πλῆθος εἰς τὸν Ζαχαρίου οἶκον, τόκου μὲν

2 ἐλι|Cάβετ || 8 ἐκεῖ τὲ || 12 συνειληφυῖα || 13 στεῖ^{ρα} || 22 ὦτα μου || 24 μὴδὲ || 28 καθὰ || 33 Τῆσ || 36 ἡ πάντωσ

ὥραν τῆς Ἐλισάβετ ἐχούσης, τῆς παρθενικῆς δὲ ταῦτα μὴ ἀνεχομένης ‖ αἰδοῦς. τοῦ χρόνου οὖν τῇ Ἐλισάβετ πλησθέντος ἔτεκεν *f. 64* υἱόν. καὶ ἐπεὶ κατὰ τὴν ὀγδόην ἐπετίθετο τούτῳ τῷ περιτέμνεσθαι κλῆσις ἡ τοῦ πατρός, ἡ μήτηρ «Οὐχί» φησιν, «ἀλλὰ κληθήσεται Ἰωάννης». καὶ πόθεν ἐπῆλθεν αὐτῇ τὸ Ἰωάννης εἰπεῖν ὄνομα, ξένον αὐτῇ τυγχάνον καὶ τοῦ γένους ἀλλότριον; ἢ πάντως ἐκ πνεύματος ἁγίου καὶ τῆς τοῦ τεχθέντος δυνάμεως, ἐπεὶ οὐκ ἂν ἐκ τοῦ ἀνδρὸς ἡ δήλωσις. πῶς γάρ, ἔτι τῇ ἀφωνίᾳ πεπεδημένου; διὸ καὶ μετὰ τὸ γραφῆναι καὶ δηλῶσαι τοῦτο τὸν Ζαχαρίαν (καὶ γὰρ ἀμήχανον ἦν διὰ νεύματος) ἐθαύμασαν, φησίν, ἅπαντες. ἐπὶ τίνι ἄλλῳ, ἢ ἐπὶ τῇ συμφωνίᾳ τῶν γεννητόρων περὶ τὸ τοῦ παιδὸς ὄνομα; ὁμοῦ τοίνυν γράφων ὠνόμαζε, καὶ τῇ γλώττῃ τὰ δεσμὰ διελύετο καὶ λέγειν ἤρχετο. φόβος ἐπὶ πάντας ἐγένετο τοὺς περιοίκους· διὸ καὶ ἔλεγον· «Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται»; καὶ χεὶρ κυρίου ἦν μετ' αὐτοῦ. | πλὴν ἀλλὰ μηδὲ ταῦθ' ἡμᾶς παραδράμοι, μηδὲ ῥαθυμίαν *col. 2* καταγνωσθῶμεν, ἐν οἷς σπουδὴν μᾶλλον ὀφείλομεν εἰσάγειν. θέα γάρ, ὅπως ἡ Ζαχαρίου γλῶττα, τὰ δεσμὰ τοῦ κωφεύειν ἀποθεμένη, οὐχ ἁπλῶς φθέγγεται, ἀλλὰ προφητεύει περὶ αὐτοῦ δὴ τοῦ παιδός· ἔσεσθαι γὰρ προφήτην ὑψίστου αὐτὸν προλέγει καὶ πρὸ προσώπου αὐτοῦ προπορεύεσθαι, ἑτοιμασίαν δὴ τῶν ὁδῶν αὐτῷ ποιησόμενον.

8. Ἀλλὰ ταῦτα μὲν οὕτως· σὺ δέ, θαυμαστὲ προφῆτα Χριστοῦ, στρατιῶτα, πρόδρομε, βαπτιστὰ καὶ κῆρυξ τῆς μετανοίας, ὡς φωνὴ τοῦ λόγου καὶ τῆς αὐτοῦ μέτοχος δόξης, αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ φιλαγίῳ καὶ τὰ πάντα χρηστῷ, τῆς σῆς ὅλως ἐξεχομένῳ καὶ βοηθείας καὶ ἀντιλήψεως, μῆκος ζωῆς ἀπήμονος καὶ καλῶν ἀφθονίαν, ἰσχὺν ἐκ Θεοῦ κατὰ τῶν ἀντιπάλων, χώρας δικαίων τὴν καλὴν ‖ μετοικίαν, ἀύλων μονῶν τὴν σεμνὴν κληρουχίαν, ἡλίου *f. 64v* φαῦσιν τῆς τριφεγγοῦς οὐσίας, λειμώνων θείων τὴν ἡδυτάτην τέρψιν, πάντων ἀγαθῶν τὴν τερπνὴν μετουσίαν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ [πρέπει] ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

10 διανεύ|ματοσ ‖ 10 ἐπι *et* 11 των *sine acc.* ‖ 12 ὀνόμαζε ‖ 15 μὴ δὲ *bis* ‖ 22 κήρυξ ‖ 24 χρηστῷ: χῶ ‖ 30 πρέπει *inserui* ‖ 31 αἰῶνων

Μηνὶ τῷ αὐτῷ κε΄.

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΦΕΒΡΩΝΙΑΣ.

1. Διοκλητιανὸς ὁ πάντων βασιλέων ἀνοσιώτατος, τὴν Ἑλληνικὴν πλάνην ὡς οὔτις ἄλλος ἐκτόπως φιλῶν καὶ σπουδὴν ὅτι πλείστην ποιούμενος τοὺς πανταχοῦ γῆς χριστιανοὺς τέλεον αὐτῆς ἀπαλεῖψαι καὶ μηδὲ ἴχνος αὐτῶν, τὸ δὴ λεγόμενον, ἐᾶσαι (εἰ καὶ φροῦδον αὐτοῦ καὶ μάταιον γέγονε τὸ ἐγχείρημα), στέλλει τινὰς τῶν ὁμοφρόνων αὐτῷ κἀν τοῖς μέρεσι τῆς ἀνατολῆς, τῆς ἴσης ἔχεσθαι col. 2 τούτῳ σπουδῆς παραγγείλας | [καὶ] πειθομένους μὲν αὐτοὺς τιμῶν τε καὶ δωρεῶν ἀξιοῦν, ἀπειθοῦντας δὲ τιμωρίαις ὑποβάλλειν πικραῖς καὶ οὕτως ἀποστερεῖν καὶ τοῦ ζῆν. Λυσίμαχος ἦν οὗτος καὶ Σέλινος ὁ παράνομος· θεῖος δὲ πρὸς πατρὸς ὁ Σέλινος Λυσιμάχου· καὶ γὰρ ἡ μήτηρ μὲν Λυσιμάχῳ πιστή, δεισιδαίμων δὲ τούτῳ καὶ ἄγριος ὁ πατήρ.

2. Τούτοις οὖν γενομένοις κατὰ τὴν Νίσιβιν (πόλις δὲ αὕτη κατὰ τὴν τῶν Ἀσσυρίων κειμένη χώραν, ὑποτελὴς τῇ Ῥωμαίων) ἀγγέλλεται μονὴν ἐν αὐτῇ τυγχάνειν σεμνῶν γυναικῶν καὶ παρθένων, ὧν ἡγεῖτο Βρυένη τῶν γυναικῶν ἡ καλλίστη, Πλατωνιάδος μαθήτρια γενομένη τῆς διακόνου, καλῶς τὸν ἀσκητικὸν αὐτὰς ἐκπαιδεύουσα βίον· ᾗ δὴ συνῆσαν μετὰ τῶν ἄλλων Πρόκλα καὶ Φεβρωνία, κόραι νέαι καὶ ἁπαλαί, τὸ κάλλος ἀμήχανον ἔχουσαι, ναὶ δὴ καὶ τῆς ψυχῆς μᾶλλον διαπρεπέστερόν τε καὶ ὡραιότερον, πᾶσαν βίβλον γραf. 65 φῆς ὑ||π' αὐτῆς ἐκπονήσασαι καὶ σοφῶς ταῖς ἄλλαις ὑπαγορεύουσαι, ὡς ἐντεῦθεν καὶ τὴν συγκλητικὴν Ἱέρειαν πόθῳ συγκραθῆναι τῇ Φεβρωνίᾳ καὶ σχεδὸν ἀχώριστον εἶναι.

3. Περὶ ταύτης οὖν τῆς μονῆς ὁ δυσσεβὴς Σέλινος ἀναμαθὼν στέλλει στρατιώτας εὐθὺς τοῦ συσχεθῆναι τὰς ἐν αὐτῇ καὶ πρὸς αὐτὸν διαχθῆναι. Λυσίμαχος γὰρ ὁ καλός, τῶν μητρικῶν σπερμάτων ἔχων ἐν ψυχῇ τοὺς καρπούς, Πρίμῳ τῷ κόμητι παρήγγειλε λόγῳ μυστικῷ μηδὲν ἄδικον τοὺς πιστοὺς ὑπομένειν. τῶν

3 φευρω|νίασ || 7 μὴ δὲ — ἐάσαι || 8 Τῶν || 10 καὶ **inserui** || 16 Τούτοισ || 17 ἀσυρίων || 18 ἀγγέλεται || 27 δυσ|βὴσ || 30—31 παρηγγέλη || 31 μὴ δὲν || ibid. Τῶν

τοίνυν στρατιωτῶν κατειληφότων τὸ μοναστήριον, αἱ μὲν ἄλλαι τῶν παρθένων φυγῇ τὴν σωτηρίαν εὕροντο, προαισθόμεναι τῆς ἐφόδου, Φεβρωνία δὲ καὶ Πρόκλα μόναι τῇ Βρυένῃ συνῆσαν σὺν ἅμα Θωμαΐδι τῇ κατὰ τάξιν τῆς Βρυένης δευτέρᾳ· αἵτινες περιστᾶσαι τὴν Φεβρωνίαν «Τέκνον» λέγουσι «ποθεινόν, τέκνον καλῶς τὸν ἀσκητικὸν δρόμον | δραμόν, col. 2 *ἰδοὺ καιρὸς ἀγῶνος μεγάλου, ψυχῆς ἀνδρείας χρῄζοντος· σὺ οὖν ἀλλὰ βλέπε, μή σε συμβουλὴ πείσῃ κακὴ γνώμης τῆς ὀρθῆς ἀποστῆναι· ἴσμεν γάρ, ἴσμεν σαφῶς, ὡς ἡμᾶς ἤδη προβεβηκυίας οὐ λήψεται τουτὶ τὸ στρατιωτικὸν πλῆθος, σὲ δὲ μόνην ὑπολειφθεῖσαν καθέξει, νέαν ἅτε τυγχάνουσαν καὶ κάλλει διαπρεπῆ, καὶ πρὸς τὸν δεινὸν ἄρχοντα τάχος ἀγάγῃ. ἀλλὰ σὺ τοῦ σοῦ νυμφίου μηδαμῶς ἐπιλάθῃ, μηδέ τισι τῶν τοῦ κόσμου τερπνῶν τὸν ὀφθαλμὸν ὑποβάλῃς· μικρὸς γὰρ ὁ ἀγὼν καὶ μεγάλαι πάντως αἱ ἀντιδόσεις· ἔγνως ἀπὸ τῶν γραφῶν, οἷαι καὶ ὅσαι καὶ ὡς τέλος οὐκ ἔχουσαι».*

4. *Ταῦτ' ἔλεγον καὶ δάκρυσι τὸ ὑποκείμενον ἔβρεχον ἔδαφος. ἡ τοίνυν θαυμαστὴ Φεβρωνία «Παράθεσθέ με, μητέρες», εἶπεν, «εὐχαῖς ὑμῶν ὁσίαις Χριστῷ τῷ νυμφίῳ μου· καὶ πέποιθα πρὸς αὐτόν, ὡς οὐ καταισχυνῶ μου || τὴν πίστιν,* f. 65v *ἀλλ' ἐναθλήσω ταύτῃ στερρῶς, τῇ τούτου νευρουμένῃ δυνάμει». ἔφη ταῦτα, καὶ θῆρες ὥσπερ εἰσπηδήσαντες οἱ ἀλάστορες τὴν Βρυένην συνέσχον, ἀνατείναντες ἐπ' αὐτῇ τὰ ξίφη. Πρῖμος ὁ κόμης πεφθακὼς ἤδη τοὺς μὲν τῆς μονῆς ἐξάγει ταῖς Λυσιμάχου παραινέσεσιν, ὡς δεδήλωται, ταῖς δὲ μοναζούσαις διασώζειν ἑαυτὰς ἐπιτρέπει. καὶ πρὸς αὐτὸν ἀναστρέψας, «Ξένον σοί τι» λέγει «παραγγεῖλαι, Λυσίμαχε, βούλομαι· τρεῖς εὗρον ἐν τῇ μονῇ μοναζούσας, δύο μὲν ἤδη προβεβηκυίας καὶ μίαν νεᾶνιν, ἧς τὸ κάλλος οὐκ ἂν ἔχοι λόγος εἰπεῖν· καὶ εἰ μὴ ὅτι πενιχρά ἐστιν, ⟨ἐπεὶ⟩ ἀξία ἦν εἰς γυναῖκα σοὶ τῷ κυρίῳ μου». καὶ ὃς πρὸς αὐτόν· «Εἶπον ἤδη σοι καὶ πάλιν λέγω· μητρικὰς ἐντολὰς οὐ παρόψομαι· λῦσον αὐταῖς πορευθεὶς τὴν φυγήν». καὶ οὗτος μὲν οὕτως· εἷς δὲ τῶν στρατιωτῶν ἀγνοίᾳ τοῦ κόμητος ἀπήγγειλε τῷ Σε|λίνῳ* col. 2 *περὶ τῆς Φεβρωνίας. καὶ ὃς αὐτίκα στέλλει τοὺς ταύτην διάξοντας, ἀλλὰ δὴ καὶ δημοσίαν κηρύττει πρόοδον εἰς τὴν αὔριον.*

5. *Τῶν στρατιωτῶν τοίνυν ⟨καὶ⟩ ἀπαγαγόντων αὐτὴν πρὸς τὸν ἄρχοντα, κοσμικὸν ἡ Θωμαῒς ἔνδυμα περιβαλομένη κατόπιν αὐτῆς ἐπορεύετο, ἰδεῖν ἐθέλουσα, τί τὸ συμβησόμενον τῇ ἁγίᾳ. ναὶ δὴ καὶ ἡ συγκλητικὴ Ἱέρεια τοῦτο μαθοῦσα τὸ στάδιον σὺν πολλῷ κατει-*

4 *περι|στάσαι* || 7 *συμβουλῆ* || 8 *κακὴ* || 12 *μὴ|δαμῶσ — μὴ δέ* || 19 *καταισχύνω* || 22 *πρί|μοσ* || 24 *ἐπὶ τρέπει* || 25 *ξένον σοι τί* || 27 *νεάνιν* || 28 *ἔπεὶ* **delevi** || 30 *λύσον* || 31 *ἀπηγγέλη* || 34 *καὶ* **delevi** || 35 *περιβαλ|λομένη*

λήφει τῷ τάχει. συνδεδραμηκότος οὖν ὄχλου πρὸς τὴν θέαν πολλοῦ καὶ θορύβου μεγάλου γεγενημένου καὶ πάντων, ὡς εἰπεῖν, θερμὰ τῶν ὀμμάτων ἀποσταζόντων δάκρυα, τοῦ κάλλους ὥσπερ οἰκτειρόντων τὴν Φεβρωνίαν, ἐπεὶ παρέστη τῷ βήματι, φησὶν ὁ Σέλινος πρὸς αὐτήν· «Ἐγὼ μέν, ὦ καλὴ νεᾶνις, οὐδαμῶς ἐβουλόμην σε καὶ τῆς τυχούσης ἐρωτήσεως ἀξιῶσαι, θανάτῳ δὲ τὸ τάχος σε πα- f. 66 *ραπέμψαι· ἀλλὰ σοῦ τὸ πρᾶον || καὶ ἐπιεικὲς σὺν τῷ περικαλλεῖ χαρακτῆρι τὸν ὄγκον μοι τῆς μανίας ἐνίκησεν. θέλησον τοίνυν πεισθῆναί μοι, καὶ δοξάσω σε. τόνδε γάρ σοι τὸν περικαλλῆ νεανίαν κατεγγυήσω, ἐμὸν ἀνεψιὸν ὄντα, καὶ πλούτῳ σε κοσμήσω πολυτελεῖ, καὶ βασιλεὺς δέ σοι πλεῖστα παράσχῃ χρήματα, καὶ πᾶσαί σε μακαριοῦσι γυναῖκες, καὶ περίδοξος ἐν κόσμῳ γενήσῃ. λέγε μοι τοίνυν τὸ σοὶ παριστάμενον». καὶ ἡ παρθένος· «Μὴ κάμνε, δικαστά, περὶ τούτων ἀνερωτῶν. ἔστι γάρ μοι νυμφίος ἀθάνατος ἀντὶ θνητοῦ καὶ ἀνώλεθρος. οὔτε γὰρ κολακεύων με πείσεις, οὔτ᾽ ἀπειλῶν ἐκφοβήσεις».*

6. Ἤκουσεν ὁ Σέλινος καὶ δεινῆς ἐμπίπλαται τῆς ὀργῆς καὶ κελεύει διαρρήξαντας αὐτῆς τὰ ἱμάτια ῥάκεσι περιζῶσαι καὶ ἄτιμον ἐπὶ πάντων αὐτὴν παραστῆσαι, εἶτα κατὰ γῆς ἐκ τεσσάρων εἰς ἀέρα ταθῆναι καὶ πῦρ κάτωθεν αὐτῆς ἀναφθῆναι, στρατιώτας τε col. 2 *τέσσαρας ἐπιστῆναι ταύτῃ καὶ ῥάβδοις αὐτῆς καταξαίνειν | τὸ πανέντιμον σῶμα. τυπτομένης οὖν οὕτως ἐπὶ πολλαῖς ταῖς ὥραις τῆς μάρτυρος καὶ πικρῶς τῶν σπλάγχνων αὐτῆς διακαιομένων, ἐλαίῳ τε τῆς φλογὸς σφοδρότερον ὑπαναπτομένης, καὶ τοῦτο μὲν κάτωθεν τῶν σαρκῶν αὐτῆς ὑπορρεουσῶν, τοῦτο δὲ τῶν νώτων ταῖς ῥάβδοις κατακρεουργουμένων καὶ πλήρους τῆς γῆς τῶν αἱμάτων ἐντεῦθεν γενομένης, τὸ πλῆθος ἅπαν «Φεῖσαι τῆς νεάνιδος» ἐπεβόησαν, «δικαστά, φεῖσαι τοῦ κάλλους αὐτῆς, μὴ ἄρδην αὐτὴν ἀπολέσῃς».*

7. Πεισθεὶς οὖν ὁ ἀνόσιος ἀνεθῆναι τῆς βασάνου ταύτην κελεύει καὶ πόρρω που τοῦ πυρὸς ἐκριφῆναι· τεθνηκέναι γὰρ αὐτὴν ὁ παράνομος ᾤετο. ἐπεὶ δὲ καὶ ζῆν ἔμαθε καὶ τισι γνωρίμοις γυναιξὶ συνδιαλέγεσθαι (Θωμαῒς δὲ ἦν αὕτη καὶ ἡ Ἱέρεια, ἃς προλαβὼν ὁ λόγος ἐγνώρισε), παραστῆναι ταύτην αὖθις καὶ ἀπολογεῖσθαι προσ- f. 66v *έταξε, τίνος || χάριν μὴ θύει τοῖς κιβδήλοις θεοῖς μετὰ τηλικαύτην βασάνων ἐπαγωγήν. τῆς δὲ μηδὲν εἶναι τὰς βασάνους ταύτας εἰπούσης καὶ ὡς «Ἀκλινής εἰμι πρὸς αὐτὰς καὶ ἀήττητος», ἐπὶ τοῦ ξύλου ταύτην κρεμασθῆναι κελεύει καὶ ξυστῆρσι τὰς αὐτῆς καταξαίνεσθαι*

5 νέανισ || 7 περικαλεῖ || 9 πεισθῆναιμοι — περικάλλῆ || 11 παράσχει — πᾶσαι σε || 14 περιτούτων || 15 ἀντιθνητοῦ || 20 et 24 τὲ || 21 πανέντιμον || 25 ὑπορεουσῶν — τοῖσ ῥάβδοισ || 32 ἱέρια || 35 μὴ δὲν || 36 ἀκλινὴσ εἰμὶ

πλευράς, πῦρ τε ταύτῃ προσενεχθῆναι καὶ μέχρις αὐτῶν ὀστῶν καὶ μυελῶν ἐμπρησθῆναι. πάσχουσα τοίνυν οὕτω πικρῶς ἡ Φεβρωνία «Ἐλθέ, κύριε», λέγει τὸ ὄμμα πρὸς οὐρανοὺς ἀνατείνασα, «πρὸς τὴν βοήθειάν μου καὶ πρόσσχες μοι». τὴν ἀπάνθρωπον τοίνυν ταύτην τοῦ δικάζοντος γνώμην ὁ ὄχλος ἰδόντες καὶ μὴ οἷοί τε ὄντες φέρειν τὸ πικρὸν τῆς κολάσεως ὑπεχώρησαν. ὁ τοίνυν δικαστὴς ἔτι μετέωρον οὖσαν ἐπηρώτα περὶ ὧν ἐβούλετο. ταύτης δὲ μηδὲν ἀποκρινομένης θυμοῦ γεμισθεὶς ὁ παράφρων πάλῳ ταύτην ἐκεῖθεν λυθεῖσαν ὄρθιον προσδεθῆναι κελεύει | καὶ ἰατρὸν προσκληθῆναι, πρὸς ὃν «Τῷ δικαστηρίῳ ταύτης μὴ βουλομένης» εἶπεν «ἀποκρίνεσθαι, τέμνε τὴν γλῶσσαν αὐτῆς». τῶν συμπαρέδρων οὖν καὶ τοῦ πλήθους τὸ παράλογον τοῦτο μὴ γενέσθαι θερμῶς διακωλυσάντων, τοὺς ὀδόντας αὐτῆς ἐκεῖνος ἐκριζοῦσθαι κελεύει. τούτου δὲ γενομένου καὶ τοῦ αἵματος τὸ ὑποκείμενον φοινίσσοντος ἔδαφος καὶ ποταμοῦ καταρρέοντος δίκην, ὁ ἀνήμερος Σέλινος καὶ μαστούς, φεῦ, ἀποτμηθῆναι ταύτης κελεύει. καὶ τούτου δὲ γενομένου καὶ πῦρ κατὰ τῶν τομῶν ἐπιτεθῆναι προστάττει. col. 2

8. Πολλαῖς οὖν ὥραις καταφλεγομένης αὐτῆς, τὸ πλῆθος «Οὐαί σοι, Διοκλητιανέ, καὶ τοῖς σοῖς θεοῖς» ἀνεβόησεν. ταῦτα δὲ ἡ μεγάλη Βρυένη μαθοῦσα προσγενέσθαι τῇ Φεβρωνίᾳ τὸν Θεὸν ἐλιπάρει, ὥστε μὴ ἀποκαμεῖν αὐτὴν ταῖς τῶν βασάνων ἐπαγωγαῖς, ἀλλ' ἀκλινῆ μεῖναι καὶ ἀπερίτρεπτον ἐν τῇ ὁμολογίᾳ || τῆς πίστεως. f. 67 ὅμως λυθείσης τῶν δεσμῶν ἐκείνων καὶ τῇ γῇ νεκρᾶς ὥσπερ κειμένης, λέγει ὁ Πρῖμος τῷ Λυσιμάχῳ· «Τί ταῦτα, κύριέ μου; μέχρι τίνος τὰ δεινὰ ταῦτα προσέσται τῇ κόρῃ»; ὁ δὲ πιστὸς ὢν καὶ τὰς ἀντιδόσεις εἰδὼς «Ἄφες» ἔφησε, «Πρῖμε· μένει ταύτῃ χάριν τῶν δυσχερῶν ἀδιάδοχος ἀπόλαυσις τῶν καλῶν. μὴ τοίνυν ταῦτα περικόψωμεν. μεγάλη γὰρ ἡ Φεβρωνία, τούτοις τὴν παροῦσαν ζωὴν καταλύουσα».

9. Καὶ οὕτω μὲν οὗτος· ἡ δέ γε Ἱέρεια κατεβόα τοῦ δικαστοῦ, «Παῦσαι» λέγουσα, «τρισκατάρατε· ποῦ γὰρ καὶ γυναικείᾳ φύσει τοσοῦτον ὑπομονῆς, εἰ μὴ Θεὸς ἰσχὺν αὐτῇ παρεῖχε καὶ κράτος; οὐ γυναικὸς καὶ αὐτὸς ἐκγεγένησαι; οὐ θηλῆς ἔψαυσας τῆς αὐτῆς; πῶς οὖν ἀσυμπαθής, ἀνόσιε, τοσοῦτον ἐπὶ τῇ σὲ τεκούσῃ φύσει γεγένησαι; ἴδοι ὁ Θεὸς καὶ κρίναι ἀναμέσον σοῦ καὶ αὐτῆς, ὅτι καὶ θηρίων αὐτῶν ὠμότερος | ὤφθης πρὸς τὴν ὁμοιοπαθῆ φύσιν καὶ ἀπηνέστερος». τότε θυμωθεὶς ὁ δυσσεβὴς καὶ ταύτην ὥρμησε βασάνοις col. 2

1 πῦρ τὲ || 2 ἐμπρισθῆναι || 4 πρόσχεσ || 6 Ὁ τοίνυν || 7 ἐπηρῶτα || 8 μὴ δὲν || 15 σέληνοσ || 23 νεκρᾶσ || 24 πρίμοσ — Τί || 26 πρίμε || 30 Ἡ δέ || 37 δυσσεβεῖσ

ὑποβαλεῖν· ἀλλ' ὁ ὄχλος καὶ οἱ συμπάρεδροι «Μέγα τὸ γένος» εἶπον «τῆς Ἱερείας, καὶ εἴ γε δοκιμάσεις τοιοῦτόν τι ποιῆσαι πρὸς αὐτήν, καὶ σὺ ἄπρακτος μείνοις καὶ πάντες τῷ ἐσταυρωμένῳ προσέλθοιεν». διὸ καὶ τοῦ μὲν ἐγχειρήματος ἐκωλύθη πρὸς αὐτὴν καὶ «Μειζόνων» ἔφη «πρόξενος τῇ Φεβρωνίᾳ κατέστης κολάσεων». καὶ εὐθὺς κελεύει, καὶ τέμνεται, φεῦ, τὰς χεῖρας ἑκατέρας ἡ Φεβρωνία, ναὶ δὴ καὶ πόδα τὸν δεξιόν. ὑποτιθείσης δὲ καὶ τὸν εὐώνυμον, ὁ δικαστὴς θεασάμενος «Ὁρᾶτε» λέγει «τὴν ἀναιδῆ· τέμνετε καὶ τοῦτον εὐτόνως». τέμνεται τοιγάρτοι καὶ τοῦτον ἡ μακαρία. καὶ ὁ Λυσίμαχος «Ἔχεις τι λοιπὸν» πρὸς τὸν Σέλινον ἔφη «καὶ ἕτερον τῇ ἀνθρώπῳ ταύτῃ προσενεγκεῖν; ποίει τάχος τὸ σοὶ παριστάμενον». καὶ ὃς f. 68 *αὐτίκα θυμοῦ ζέσας καὶ || τὴν τιμίαν αὐτῆς κεφαλὴν ἐκκοπῆναι κελεύει. φυλάξας τοίνυν ὁ Λυσίμαχος μετὰ τὴν ἐκτομὴν τὸ λείψανον, ἵνα μή τι παραβλαβῇ, τῇ μονῇ τῆς ἁγίας σῶον κομισθῆναι προστέταχεν.*

10. Καὶ δή σου, καλλίμαρτυς, τὸ μαρτυρικὸν ἐκεῖνο σῶμα σὺν τοῖς ἐκκοπεῖσι μέλεσι τῇ οἰκείᾳ μονῇ κομισθὲν ὡς ἔδει πρεπόντως καὶ φιλοτίμως νόσων ἀπετέθη παντοίων ἴαμα καὶ καλῶν ἀφθονία· πολλοὶ γὰρ τῶν Ἑλλήνων τῇ Χριστοῦ πίστει προσεληλύθασι καὶ βαπτισθέντες ἐσώθησαν. τὰ δὲ τῆς καλῆς Βρυένης χαρμόσυνα πῶς ἄν τις παραστήσειε λόγος, τὸν καρπὸν αὐτῆς οὕτω τρυγῆσαι καταξιωθείσης καλῶς. καὶ γὰρ καὶ θαύματα πολλὰ κατεῖδε τελεσθέντα παρὰ τῆς μάρτυρος. ἔνθεν τοι καὶ δύο χρόνους ἐπιζήσασα τούτοις τὸν βίον ἐν γήρει πίονι καταλύει καλῶς, Θωμαΐδος τὴν προστασίαν col. 2 *κατὰ τάξιν | τῆς μονῆς ἀναδεξαμένης.*

11. Τούτοις οὖν, ὦ καλλιπάρθενε καὶ σεμνὴ Φεβρωνία, διαπρέψασα τοῖς κατὰ Θεὸν ἀγωνίσμασι καὶ παλαίσμασι καὶ τῶν ἐν οὐρανοῖς τὰ νῦν καλῶν ἀπολαύουσα, αἴτησαι δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ σεμνῷ καὶ φιλοθέῳ καὶ φιλομάρτυρι μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος, ἰσχυροὺς κατ' ἐχθρῶν τοὺς βραχίονας, χύμα σοφίας καὶ βάθος φρονήσεως, ἄγειν τὸν τοῦ Θεοῦ λαὸν εὐσεβῶς τε καὶ φιλοθέως, ἡδρασμένον ἐν πᾶσιν ἀγαθοῖς καὶ ἀμετακίνητον, λείας αὐτῷ τὰς πρὸς σωτηρίαν ὁδούς, πάντα τὰ θεῖα αἰτήματα τῆς τούτου καρδίας καὶ τὴν ἀΐδιον τῶν οὐρανῶν βασιλείαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

8 τούτον || 9 τέμνετε — τούτον || 10 τί || 14 προστέταχε || 21 άν *sine spir.* || 23 ἔνθέν|τοι

Μηνὶ τῷ αὐτῷ κϛʹ.

ΒΙΟΣ ΕΝ ΕΠΙΤΟΜΗι ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΔΑΥΙΔ ΤΟΥ ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗι.

1. Ἤνεγκε μὲν σὺν ἄλλοις ὅτι πολλοῖς δικαίοις καὶ μεγά‖λοις f. 68 ἀνδράσι καὶ τὸν καλὸν τοῦτον καὶ μέγιστον ἐν ἁγίοις, Δαυίδ φημι τὸν προφητεπώνυμον, μία τῶν πρὸς τὸν ἀνίσχοντα ἥλιον κώμη. ἔτεκον δὲ πατέρες τά τε περὶ τὴν πίστιν καὶ τὴν τοῦ γένους ἀναφορὰν εὐγενέστατοί τε καὶ βίῳ περίδοξοι. ὧν ὁ μέγας οὗτος ἐκφὺς πολλῷ μείζονας ἐκείνους εἰς ἀρετῆς ἔθετο λόγον καὶ περιφανεστέρους, ὡς ἐκ τοῦ καρποῦ κατανοεῖσθαι τὸ δένδρον. τεχθεὶς οὖν ὅμως καὶ καλῶς ὑπ' αὐτῶν ἀναχθείς, παιδείας τε μετασχὼν ἱκανῶς ἐχούσης γραμμάτων καὶ ἤδη τὴν πρώτην ἡλικίαν ἐπαναβαίνων οὐ πρὸς νέων ἔβλεψεν ὁρμάς, οὐ φαντασίαις βίου καὶ δόξαις τὸ παράπαν τὸν νοῦν ἀπησχόλησεν, οὐ πρός τι τῶν τοῦ κόσμου ἑαυτὸν κἂν ποσῶς ἐπιδέδωκεν, ἀλλ' ὅλος ἀρετῶν γενόμενος ἐργαστήριον ἐκ πρώτης αὐτῆς ἡλικίας τοῖς τοῦ Θεοῦ ναοῖς ἀδιαλείπτως ἐσχόλαζε, νηστείας ἐπεμελεῖτο | καὶ ἀγρυπνίας, τῆς ἀναγνώσεως τῶν θείων col. 2 γραφῶν καὶ τοῦ φιλοσόφου καὶ ἀπράγμονος βίου· ἐφ' οἷς καὶ τὸ ἐλεεῖν ὁσημέραι καὶ δανείζειν Θεῷ ὡς οὔτις ἄλλος ἐπλούτει.

2. Καταρτίσας οὖν οὕτως ἑαυτὸν καὶ πνεύματος οἰκητήριον ὁ σοφὸς ἐργασάμενος περιήει ζητῶν, ⟨καὶ⟩ εἴ πού τις εἴη τῶν ἐν βίῳ καὶ λόγῳ μεγάλων, καὶ τούτων ἀπαρυόμενος τὰ κάλλιστά τε καὶ ὑψηλότατα γέγονε πολὺς καὶ μέγας ἔν τε βίῳ καὶ λόγῳ κἀν τοῖς ἁπάντων ἔκειτο στόμασιν. ἀλλ' ἐπεὶ καὶ μειζόνων ἤρα κατορθωμάτων καὶ τὴν οἰκείαν πατρίδα ἐμποδὼν ὥσπερ ἡγεῖτο πρὸς τοῦτο, φεύγων ὡσανεὶ τὴν δόξαν, ταύτην καταλιπὼν καὶ χώρας ἀμείψας, τὴν Θεσσαλονίκην κατέλαβε καὶ τὰ πέριξ αὐτῆς περιιὼν μοναστήρια, ὡς ἡ σοφὴ μέλισσα τῶν ἀνθέων τὰ κάλλιστα, τὰς τῶν ἱερῶν καὶ μεγάλων ἀνδρῶν ἀρετὰς ‖ φιλοπόνως συνελέξατο. εἶτα τούτων ἐφ' f. 68ᵛ ἑνὶ καὶ ᾧ μάλιστα δεῖν ἔκρινε παραμείνας τὸν καρπὸν εἰργάζετο τὸν τοῦ πνεύματος.

2 πολι|τία ‖ 3 θεσαλονίκη ‖ 5 ἐναγίοισ ‖ 8 τὲ ‖ 21 καὶ *delevi* ‖ ibid. εἴ που τίσ ‖ 22 ἀπαρυόμεν ‖ 23 κἂν

3. Ἔνθεν τοι καὶ τὴν ἀνθρωπίνην φύσιν, ὡς εἰπεῖν, ὑπερβάς, ἄγγελος καθάπερ ἐπὶ γῆς μετὰ σώματος ἐγνωρίζετο· τί οὖν ποιεῖ; φιλονεικῶν ὁ θαυμάσιος ὥσπερ καὶ αὐτῶν ἐν σαρκὶ ψαῦσαι τῶν οὐρανῶν, φυτοῦ τινος ὑπεραναβάς (ἀμυγδάλην τοῦτό φασί τινες), ἐν αὐτῷ τὴν σκηνὴν πήγνυται καὶ πρὸς ὕψος θείων θεωριῶν ἐπανάγεται, τὸ διορᾶν ἐντεῦθεν κτησάμενος καὶ τὰ μέλλοντα προλέγειν ὡς ἐνεστῶτα. πολὺς οὖν εἰς ἀρετῆς λόγον ὁ μέγας γενόμενος πολλὰ διηνέργησε θαύματα. δαίμονας γὰρ ἐξ ἀνθρώπων ἀπήλασε, νόσους αὐτῶν παντοίας ἰάσατο. ἀλλὰ δὴ καὶ βασιλέα τοῦτον πρὸς αὐτὸν
col. 2 ἀπιόντα, χερσὶν ἄνθρακας αἰτησάμενος | καὶ λαβὼν συνθέτῳ ἐθυμίασε θυμιάματι, ὡς ἐκπλαγέντα τοῦτον μεγαλῦναι Θεὸν τὸν μεγάλα διὰ τῶν αὐτοῦ δούλων ποιοῦντα καὶ παράδοξα θαύματα.

4. Ἀλλὰ τίς ἂν κατὰ λεπτὸν παραστῆσαι ταῦτα δυνήσεται, ὅσα τε κἀν τῇ πατρίδι καὶ ὅσα κατ᾽ αὐτὴν δὴ τὴν Θεσσαλονίκην εἰργάσατο; πλήρης ἡ πόλις καὶ ἡ περίοικος, εἰ χρὴ δὲ εἰπεῖν, καὶ τὸ πλεῖστον τῆς οἰκουμένης τῶν τοιούτων ἐστίν· καὶ γὰρ τῷ αὐτουργῷ πάντως ἑνός τε καὶ δύο καὶ τριῶν παραδόξων τεραστίων τοιούτων οὐ μὲν οὖν ἀδύνατον μὴ καὶ πλεῖστα καὶ ὅσα ἄρα καὶ θέλοι διαπράξασθαι θαύματα. πόλις ἐκείνη κηρύττει ταῦτα κατὰ μικρόν.

5. Ἀλλ᾽ ἐπεὶ τὸν μέγαν ἄνθρωπον ὄντα σὲ τῷ κοινῷ ἔδει τέλει λειτουργῆσαι τῆς φύσεως, νοσεῖς μὲν ἐπ᾽ ὀλίγον ὁ μεγαλόφρων,
f. 69 εἶτα καὶ τὸν μακαριστὸν ἀσπάζῃ καὶ δι||καίοις πρέποντα ὕπνον, τίμιον ὡς ἀληθῶς γεγενημένον κυρίου, καὶ πρὸς τὰς ἀύλους καὶ ἀθανάτους σκηνὰς μεταβαίνεις, πλήρης ἡμερῶν γενόμενος τῶν τε λυομένων καὶ τῶν τοῦ πνεύματος. καὶ νῦν ἀύλως τῷ ἀύλῳ θρόνῳ παρεστηκὼς τοῦ παντάνακτος, αἴτησαι δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ ἡσύχῳ καὶ τὰ πάντα καλῷ μονῆς δικαίων τὴν κατοικίαν, ἰσχύος Θεοῦ τὴν ἀνέκφραστον χάριν, χορῶν ἁγίων τὴν καλὴν ξυναυλίαν, ἀύλου δόξης τὴν τερπνὴν μετουσίαν, ἡλίου λάμψιν τῆς τρισαυγοῦς οὐσίας, πάντων ἀγαθῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1 ἐνθέντοι || 2 Τί || 8 διενήργησε || 13 Ἀλλὰ || 14 τὲ κἂν || 17 ἑνὸσ τὲ || 18 οὗμεν οὖν

[Μηνὶ τῷ αὐτῷ κζ΄]. col. 2

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΑΜΨΩΝ ΤΟΥ ΞΕΝΟΔΟΧΟΥ.

1. *Σαμψὼν τοῦ μεγάλου κατὰ Χριστὸν ἀριστέως ἐπαινεῖν τὸν βίον καὶ πρὸς διήγησιν προτιθέναι δίκαιον ἅμα καὶ παρὰ πᾶσι διψώμενον· ἔσται γὰρ πολλοῖς τῆς κατὰ ψυχὴν ὠφελείας πρόξενος, ἅτε καὶ μεγίστων θαυμάτων ἀνάπλεως. μικρὸν οὖν ἄνωθεν χρὴ τὰ περὶ τούτου διαλαβεῖν.*

2. *Ὁ μέγας οὗτος καὶ διαυγὴς κατὰ τοὺς ἀστέρας εἷλκε μὲν τὸ γένος ἐκ τῆς ἐπιφανοῦς καὶ πρεσβυτέρας Ῥώμης, προῆλθε δὲ καὶ γεννητόρων αἵματι φαιδρυνομένων βασιλικῷ καὶ πλούτῳ κομώντων βαθεῖ. ἔνθεν τοι καὶ καλῶς ὑπ' αὐτῶν ἀναχθεὶς πᾶσαν μετῆλθε γραφήν, μηδὲ τῆς ἰατρικῆς αὐτῆς ἀμελήσας, ἀλλὰ καὶ αὐτῇ φιλοπόνως προσενεχθείς. ἄρτι δὲ τῶν || τεκόντων ἀποθεμένων τὸ* f. 69v *ζῆν, τὸν πλοῦτον ἐκεῖνος χερσὶ πενήτων ἐναπετίθει καλῶς, οὐ φειδόμενος οὐδὲ κατὰ στράγγα, τὸ δὴ λεγόμενον, ἀλλὰ χύδην καὶ ἀνειμένως. ναὶ δὴ καὶ τὰς τῶν δούλων ἀγέλας ἐλευθερίας ἠξίου, αὐτάρκεις αὐτοῖς παρέχων καὶ τὰς πρὸς τὸ ζῆν ἀφορμάς.*

3. *Εἶτα τὴν Ῥώμην ἀπολιπὼν ὁ γεννάδας πρὸς τὴν νέαν ταύτην γίνεται, τὴν Κωνσταντίνου φημί, ἑνὶ μὲν χιτῶνι, ἑνὶ δὲ καὶ τῶν οἰκετῶν ἀρκούμενος, καὶ πρός τινα σμικροτάτην οἰκίαν καταλύει καὶ φαύλην. ἣν καὶ ἰατρεῖον ἄμισθον ποιησάμενος, τοὺς νόσῳ πιεζομένους ξενίζων ἦν καὶ φιλαδέλφως ὑποδεχόμενος καὶ μὴ μόνον θεραπείας αὐτοὺς ἀξιῶν, ἀλλὰ καὶ τροφῆς κοινωνῶν καὶ στρωμνῆς. καὶ τοῦτο μὲν τὰ τῆς τέχνης, τοῦτο δὲ τὰ τῆς χάριτος ἐνδεικνύμενος. ποῦ γὰρ τέχνης ἔργον δαίμονας ἀπελαύνειν καὶ πα|θῶν* col. 2 *ἀνιάτων ἴασιν ὁσημέραι παρέχειν;*

4. *Ἔνθεν τοι καὶ κατάδηλος γίνεται τῷ τηνικαῦτα ἀρχιερεῖ — Μηνᾶς οὗτος ἦν ὁ καλός — καὶ χειροτονεῖται παρ' ἐκείνου πρεσβύτερος, τριάκοντα ἤδη γεγονὼς ἔτη καὶ μικρόν τι πρός, εἶτα καὶ τῷ τὴν βασιλείαν διέποντι καθίσταται φανερός. Ἰουστινιανὸς ἦν ὁ*

1 *diei designatio deest in codice* || 12 et 28 *ἔνθέντοι* || 13 *μηδὲ* || 15 *ζὴν* || 16 *καταστράγγα*

κρατῶν· ὃς βαρείᾳ πιεζόμενος νόσῳ, τῶν αἰδοίων αὐτῷ πονηρῶς ἐχόντων καὶ τῆς κύστεως ἕλκει χαλεπῷ κακωθείσης, ἰατροὺς μὲν τίθεται παρ' οὐδέν, τὸ ἀνωφέλητον αὐτῶν καταγνούς, προσφεύγει δὲ μᾶλλον Θεῷ καὶ τὴν ἐκεῖθεν ἐπιζητεῖ βοήθειαν. καὶ ὅρα μοι τοῦ Θεοῦ τὰ θαυμάσια· ὄναρ αὐτῷ δείκνυται ἰατρῶν πλῆθος καί τις εὐνοῦχος χρυσοειδῆ στολὴν περικείμενος πραιποσίτου, ὃς ἕνα τῶν ἰατρῶν ἐκείνων, τὸ πρόσχημα ταπεινόν, τὴν πολιὰν εὐπρεπῆ, ἐπιμε- f. 70 *λέστερον ὑπεδείκνυ τούτῳ || λέγων, ὡς «Οὗ τις ἄλλος εἰ μὴ μόνος οὗτος τοῦ πάθους σοι δοῦναι δυνατὸς τὴν ἀπαλλαγήν». ἀνείθη τῶν ὕπνων ὁ βασιλεύς· πληροῦται χαρᾶς καὶ μετακαλεῖται τοὺς ἰατρούς· καὶ οἱ μὲν συνῆλθον, ὁ δὲ ζητούμενος οὐχ εὑρίσκετο. μόλις οὖν τῶν βασιλικῶν τις ἰατρῶν, συνήθης τῷ μεγάλῳ καὶ γνώριμος καὶ τὰ τῆς ἀρετῆς αὐτοῦ καὶ τῶν θαυμάτων εἰδώς, συμβαλὼν ὡς οὗτός ἐστι καὶ οὐκ ἄλλος, δῆλον εὐθὺς τὸν μέγαν τῷ βασιλεῖ καθίστησι. καὶ ἅμα εἰς ὄψιν ἦλθεν αὐτῷ, καὶ ἀναστὰς ἐκεῖνος ἐξ ἀμέτρου περιχαρείας περιβάλλει τε τοῦτον [καὶ] καταφιλεῖ, «Αὐτὸς εἶ» λέγων, «πάτερ, αὐτὸς ὁ ὄναρ μοι παραδόξως ἐπιφανεὶς καὶ τὸ ἐμὸν ἰάσασθαι πάθος ἐπαγγελθείς». ὁ τοίνυν μετριόφρων ἐκεῖνος καὶ τοῦ Θεοῦ ἄνθρωπος ἀληθῶς χεῖρα ἐπετίθει τῷ πάσχοντι μέρει καὶ τὰ* col. 2 *ἐκ τῆς τέχνης ἐποίει, τούτοις ἐθέλων ἐπιγράφειν τῇ | μετριοφροσύνῃ τὴν ἴασιν.*

5. *Οὐ πολλαὶ παρῆλθον ἡμέραι, καὶ ὁ βασιλεὺς ὅλως ἀπηλλάγη τοῦ πάθους καὶ καθαρᾶς ἀπέλαυσε τῆς ὑγείας· διὸ καὶ δώροις αὐτὸν ἐπειρᾶτο φιλοτιμήσασθαι. ἀλλ' ἐκεῖνος μηδὲν ὢν δι' ἀρετὴν κατεφρόνησεν ἐθελήσας λαβεῖν, οἶκον τοῖς νόσῳ κάμνουσιν ἐπιτήδειον ἀνεγεῖραι τὸν βασιλέα καλῶς ἀξιοῖ. «Τοῦτο γάρ σοι» φησὶ «καὶ ἀοίδιμον ὄνομα θήσει, βασιλεῦ, καὶ προξενήσει μισθὸν ἀναφαίρετον». ἤκουσεν ὁ βασιλεὺς καὶ παραχρῆμα (καὶ γὰρ ἦν τότε καὶ τὸν θεῖον ἐπ' ὀνόματι τῆς τοῦ Θεοῦ σοφίας ναὸν κατασκευαζόμενος) καὶ αὐτὸν προσέταξε συνοικοδομεῖσθαι, κατὰ τὸ ἀρέσκον τῷ μεγάλῳ τῆς οἰκοδομῆς γινομένης. ἐπεὶ δὲ καλῶς ᾠκοδόμητο, τούτῳ τὴν ἐκείνου προστασίαν ἐπέτρεπεν, ἀπόμοιραν οὐκ ὀλίγην ἐξ ὧν ὁ θαυμαστὸς Βελισάριος τῆς Ἀσσυρίων γῆς ἧκε κομίζων ||* f. 70v *ἐκ προνομῆς καθιερώσας αὐτῷ, ἀλλὰ καὶ κτήματα πλεῖστα τῆς αὐτοῦ βασιλείας, ἱκανῶς ἔχοντα πρὸς ἰατρῶν σιτηρέσια καὶ δαπάνας αὐτὰς τῶν καμνόντων καὶ λοιπὰς ἄλλας λειτουργίας τοῦ οἴκου.*

1 *βαρεῖα — πονήρωσ* || 6 *χρυσοείδῆ* || 12 *τισ* || 16 *τὲ* || ibid. *καὶ* **inserui** || 18 *Ἐκεῖνοσ* || 22 *Οὐ* || 23 *ἀπήλαυσε* || 24 *μὴδὲν* || 25 *ἐπιτήδιον* || 26 *φησὶ* || 28 *ἢ|Κουσεν* || 33 *ἀ|συρίων*

6. Ἐπὶ πολλοῖς οὖν τοῖς χρόνοις ἐν ταῖς τῶν καμνόντων ἐπιμελείαις διαρκέσας ὁ μέγας καὶ πατρικῶς πάντων καὶ κηδεμονικῶς προμηθούμενος, ⟨καὶ⟩ ἐπεὶ εἰς βαθὺ γῆρας ἤδη κατήντησε, νοσεῖ μὲν ὀλίγα, θνήσκει δὲ οὐκ ἀθυμῶν οὐδὲ βαρυνόμενος, ἀλλὰ πράως καὶ ἱλαρῶς. ἡ μὲν οὖν ἀξιόθεος ἐκείνη ψυχὴ πρὸς οὐρανίους σκηνὰς μεθίσταται, τὸ ἱερὸν δὲ σῶμα καὶ ἅγιον τῷ μεγίστῳ ναῷ Μωκίου τοῦ μάρτυρος πανσέπτως ἐγκατατίθεται, ἅτε δὴ καὶ συγγένειαν ἔχειν πρὸς αὐτὸν τοῦ μεγάλου φημιζομένου.

7. Ὅσοις δὲ τοῖς θαύμασιν ἐδοξάσθη ὁ τὰ πάντα θαυμασιώτατος οὐ κατὰ τὴν ἐνταῦθα ζωὴν ἁπλῶς, | ἀλλὰ μᾶλλον καὶ μετὰ θά- col. 2 νατον, οὔτε γλῶττα δυνατὴ λέγειν, οὔτ' ἀκοὴ παραδέχεσθαι. ὧν ὀλίγα πρὸς δόξαν Θεοῦ καὶ τὴν τῶν ἀκουόντων ὠφέλειαν τῶν μετὰ τὴν ἐντεῦθεν αὐτοῦ μετάθεσιν δηλαδὴ γενομένων τῷ λόγῳ μεταληπτέον, καὶ πρῶτόν γε τοῦτο, ὃ καὶ γλῶτται πολλαὶ καὶ βίβλοι φέρουσι καὶ πάντες πιστεύουσιν.

8. Πῦρ ποτε πάντολμοι χεῖρες καὶ φιλοκίνδυνοι τοῖς λαμπροῖς τῶν οἴκων καὶ πολυχρύσοις ἀνῆψαν, ὅτε δὴ καὶ κατ' αὐτοῦ Ἰουστινιανοῦ γέγονε τοῦ δήμου φορά. ἄρχεται μὲν οὖν τὸ κακὸν ἀπὸ τοῦ μεγίστου ναοῦ τῆς τοῦ Θεοῦ σοφίας καὶ τὰ κύκλῳ διανεμηθὲν ἅπαντα ἔρχεται καὶ μέχρι τοῦδε τοῦ μεγάλου οἴκου τοῦ θείου Σαμψὼν καὶ τῆς ὀροφῆς ὀξέως ἐπιλαμβάνεται καὶ παντελῆ τῷ οἴκῳ διαπειλεῖ τὴν καταφθοράν. ὁρᾶται τοίνυν ὁ μέγας οἷς ἄξιον ἦν θεωρεῖσθαι κύκλῳ τῆς ὀροφῆς περιτρέχων καὶ τὸ πῦρ || παραδόξως f. 71 ἀναχαιτίζων, τὸ δὲ εἰς τοὐπίσω χωροῦν καὶ ἀνακοπτόμενον. γίνεται οὖν τότε καὶ ὄμβρου φορά, ὡς ἐντεῦθεν σβεσθῆναί τε τὸ πῦρ καὶ τὸν οἶκον διασωθῆναι πλὴν τῆς ὀροφῆς ἀπαθῆ.

9. Καὶ τοῦτο μὲν οὕτως· Θεοδώρητος δὲ ὁ τῷ τῶν σπαθαροκουβικουλαρίων διαπρέπων τάγματι, χρηστὸς ἀνὴρ καὶ τὰ πάντα καλός, ὑπηρέτης ἦν Λέοντός τινος πατρικίου καὶ πραιποσίτου, τὴν τοῦ δρουγγαρίου τῶν πλωΐμων μετιόντος ἀρχὴν καὶ τὴν τοῦ λογοθέτου τοῦ δρόμου, ἐφ' ᾗ καὶ τέθνηκεν. εἶχε δὲ καὶ ἕτερον συνυπηρετούμενον τῷ περιφανεῖ Λέοντι, Λέοντα καὶ τοῦτον καλούμενον, τὴν ἀξίαν πρωτοσπαθάριον. ὃν ὁ δρουγγάριος κατά τινα πρόφασιν χαλεπήνας ἐξ ὄψεως ἔθετο καὶ παρρησίας αὐτὸν ἀπεστέρησε τῆς συνήθους. τοῦτον τοίνυν τὸν Λέοντα μὴ φέρων οὕτω λυπούμενον ὁρᾶν ὁ καλὸς Θεοδώρητος τῷ δεσπό|τῃ προσῆλθεν, «Οἴχεται» λέγων col. 2 «ὁ Λέων, οἴχεται, κύριε· τέτηκε γὰρ ὁ δυστυχὴς ἤδη καὶ δεδαπά-

3 καὶ *delevi* || ibid. γήρασ || 9 Ὅσοισ — ταπάντα || 14 πρῶτονγε || 15 πιστεύουσι || 16 Ποτὲ || 23 ὀρο|φῆσ || 27 *et infra passim* θεοδώριτοσ || 31 σὺν ὑπηρετούμενον

νηται, τὴν σὴν οὐ φέρων ἀποστροφήν, καὶ δέος, μὴ καὶ θανάτου τούτῳ καταστῶμεν αἴτιοι». τοῦτο πολλάκις εἰρηκὼς (συνήλγει γὰρ αὐτῷ καὶ συνέπασχε, νόμοις εἴκων φιλίας) πείθει ποτὲ τὸν δεσπότην καὶ καταλλάττει τούτῳ τὸν Λέοντα. καὶ δὴ καὶ εἰς ὄψιν αὐτὸν ἀγαγεῖν κελευσθείς, ἐκεῖνος ἐκ τῆς ἄγαν περιχαρείας κλίμακα, οὕτω συμβάν, κατιὼν καὶ τῷ τάχει ἐμποδισθεὶς διάστροφος τὴν τοῦ ποδὸς ἁρμογὴν καὶ ἔξεδρος γίνεται, καὶ εὐθὺς ἄφωνος ἦν καὶ ἀκίνητος, καὶ κλίνη τοῦτον εἶχεν ἄσιτόν τε καὶ ἄυπνον.

10. Τρεῖς ἡμέραι παρῆλθον, καὶ ὁρᾷ τὸν ἅγιον (ἐδέετο γὰρ αὐτοῦ) παρὰ τοὺς πρόποδας ἑστηκότα τῆς κλίνης καὶ τοῦ ἀστραγάλου ἐπαφώμενον τοῦ πεπονθότος ποδὸς καὶ «Ἔγειραι» πρὸς
f. 71v αὐτὸν εἰρη||κότα, «κακὸν γὰρ ἔστι σοι τὸ παράπαν οὐδέν». ἅμα τε ἔφη τοῦτο καὶ ἅμα ἐξῄει, καὶ ὁ Θεοδώρητος εἰς ἑαυτὸν ἐπανῆλθε, καὶ κινεῖται καὶ φθέγγεται «Ὁ ἅγιός ἐστι Σαμψών» καὶ αὐτίκα [πρὸς] τὸν ὑπηρετούμενον «Ἀνάστα» ἔφη, «Βασίλειε (οὕτω γὰρ ἐκαλεῖτο), καὶ τὸ ἱμάτιόν μου δὸς ἐνδύσασθαι». καὶ ἅμα τοῦ ποδὸς ἥπτετο καὶ ὑγιᾶ τοῦτον ὁρῶν τῷ ἐξ ἀρχῆς ἀπαθεῖ προσῆγε τὴν δεξιάν· ἐδείκνυ γὰρ αὐτὸν ὥσπερ ἐξεστηκότα τοῦ πράγματος τὸ παράδοξον. ὡς οὖν ἀμφοτέρους ἐρρῶσθαι διέγνω, αὐτίκα πρόθυμος προθύμοις ποσὶ πρὸς τὸν τοῦ θεράποντος ἄπεισι τάφον, ὁμολογεῖ τε τὴν χάριν καὶ τὴν εὐχαριστίαν θεοφιλῶς ἀποδίδωσιν.

11. Ἄλλοτε δὲ τοῦ δηλωθέντος δρουγγαρίου Λέοντος ἱππαζομένου συμβαίνει τὸν ἵππον τοίχῳ προσαράξαντα τὸν ἐκείνου πόδα πλῆξαι χαλεπῶς, καὶ ἐπεὶ πολλαῖς ἐν ἡμέραις πονηρῶς εἶχεν ὁ πούς
col. 2 καὶ πρὸς τομὴν ἐκάλει τοὺς ἰατρούς, | καὶ ἡ ἡμέρα διώριστο (τετρὰς ἦν ἡ τῆς ἑβδομάδος), τρεῖς ἄνδρες ἐπιφαίνονται τῷ Θεοδωρήτῳ Ῥωμαῖοι τὸ σχῆμα καὶ τὴν περιβολήν, «Μὴ δὴ παραδέξῃ» λέγοντες «τὴν τομήν· ἡμεῖς γὰρ ἐλευσόμεθα τῆς Παρασκευῆς καὶ τὸν σὸν κύριον ἐπισκεψόμεθα». τοὺς ἰατροὺς οὖν ἀφιγμένους ὁ Θεοδώρητος εἴργει, τὰ τῆς ὄψεως αὐτοῖς ἀπαγγείλας. καὶ οἱ μὲν ἐπεῖχον, ὡς δὲ καὶ ἡ Παρασκευὴ παρῆν, ὦ, Χριστέ, τῶν σῶν μεγαλείων, ὁ ποὺς ἦν τῷ Λέοντι ὅλος ὑγιεινότατος, οὐ τομῆς ἀλλ' οὐδέ τινος ἄλλης ἐπιμελείας δεόμενος.

12. Ὁ αὐτὸς οὗτος καὶ ἑτέρας ἀπέλαυσε τοῦ μεγάλου θαυματουργίας. νόσῳ γὰρ βαρείᾳ καὶ ὅλον μὲν τὸ σῶμα περισχεθείς, τὰ γόνατα δὲ κατ' ἐξαίρετον, ὡς μήτε κλίμακα δύνασθαι αὐτὸν ἀνελθεῖν, μήτε πρὸς ἀνάντη τόπον ὁδεῦσαι, τοὺς ἰατροὺς ἐν δευτέρῳ

6 συμβᾶν || ibid. εμποδισθεὶσ *sine spir.* || 12 ἅματὲ || 14 ἅ|Γιοσ || 15 πρὸς *inserui* || ibid. ἀναστα *sine acc.* || 21 τὲ || 22 Τοῦ || 23 προσ^α|ρράξαντα || 24 πονήρως || 29 ἐπισκεψώμεθα || 34 ἀπήλαυσε || 35 βαρεῖα || 36 κατεξαίρετον

θέμενος, τῷ τοῦ Σαμψὼν πρόσεισι τάφῳ καὶ τῇ τοῦ ἐκεῖθεν || βλύ- f. 72 ζοντος μύρου προσαλοιφῇ ὑγιής τε γίνεται ὅλος καὶ χαίρων τὸν ἴδιον οἶκον καταλαμβάνει. πλὴν ἐπείπερ ὁ τοῦ μεγάλου θεῖος οὗτος οἶκος καὶ ἱερὸς τῷ χρόνῳ πεπονηκὼς εἰς γόνυ κλίνεσθαι ἔμελλεν, οὗτος ὁ Λέων αἰτεῖται τούτου τὴν προστασίαν καὶ μέντοι δὴ καὶ λαμβάνει παρὰ τοῦ τότε κρατοῦντος — Ἰωάννης ἦν ὁ καλός — καὶ ὅλῃ χειρὶ πλεῖστα κενώσας χρήματα ἀνέστησέ τε τοῦτον καὶ τὴν ἀρχαίαν ἀποδέδωκε στάσιν.

13. Οὐδὲ τοῦτο παραλιπεῖν ἄξιον, ὃ καὶ τὸν αὐτὸν ἔχει παθόντα καὶ τὸν αὐτὸν ἰασάμενον· ὁ μὲν γὰρ ἦν ὁ περιφανὴς οὗτος Λέων, Σαμψὼν δὲ ὁ θεῖος ἰασάμενος· ὑέλωψ τὸ πάθος ἦν, ὀφθαλμοῖς ἀνθρώπων ἐπισυμβαῖνον. ὃ δὴ καὶ τῷ τοῦ Λέοντος ὀφθαλμῷ προσγενόμενον ἐπίεζεν αὐτὸν ἰσχυρῶς καὶ κατέτηκε χαλεπῶς· ἀλλὰ καὶ τοῦτο Σαμψὼν ὁ θεῖος ἰᾶται τῷ αὐτοῦ μύρῳ | ἐπιχριόμενος συνε- col. 2 χέστερον, μικρᾶς μόνης ὑπολειφθείσης ὀπῆς ἐν αὐτῷ, καὶ αὐτῆς κατὰ πρόνοιαν τοῦ ὠφελεῖν ἕνεκα· δι' αὐτῆς γὰρ ὑγρὸν ἀπορρέον τὰ μεγάλα τῷ τε ὀφθαλμῷ καὶ τῇ κεφαλῇ συνέτεινε πρὸς ὠφέλειαν.

14. Προστιθέσθω καὶ [τὸ] τοῦ Γενεσίου ἀξιάκουστον ὂν καὶ θαυμάσιον. Γενέσιος οὗτος κληρικὸς ὢν καὶ τῶν ὑπηρετουμένων τῷ ξενῶνι εἷς, χρόνοις ἐπὶ τριάκοντα ῥαθυμῶν ἐφάνη περὶ τὴν λειτουργίαν. πληγὰς οὖν ἐντείνει τούτῳ κατά τινα τῶν νυκτῶν ὁ μέγας ὡς ἀμελοῦντι, καὶ αἱ πληγαὶ τὰς μελανώσεις δηλοῦσι τῆς αὔριον· ὅθεν δὲ διερωτώμενος, [πῶς] αὐτῷ προσγεγόνασι, φωνὴν οὐκ εἶχεν εἰπεῖν. τρεῖς τὸ μεταξὺ παρῆλθον ἡμέραι, καὶ ὁ δρουγγάριος Λέων πρὸς τὸν ἱερὸν οἶκον τὸ παραυτίκα γίνεται, καὶ ἐπεὶ μὴ εἶχε τὸ συμβὰν γλώττῃ μαθεῖν τῇ τοῦ Γενεσίου, ἄφωνος γὰρ ὁ ἀνὴρ || ἔκειτο, δέεται τοῦ μεγάλου. καὶ πρῶτα μὲν ὑποβατταρίζων ὁ f. 72v Γενέσιος ἦν καὶ διακεκομμένως φθεγγόμενος, εἶτα τῆς γλώττης ἀνεθείσης πάντα διασαφεῖ, προσθείς, ὅτι δεῖ καὶ τὴν τοῦ μεγάλου οἰκίαν, ἣν αὐτὸν οἰκῆσαι φθάσας ὁ λόγος ἐδήλωσεν, εἰς ναὸν μεταποιηθῆναι· ὃ δὴ καὶ γέγονε παρὰ τοῦ Λέοντος εὐσεβῶς ἅμα καὶ φιλοτίμως.

15. Ἀλλ' οὐδὲ τὸ πρὸς τὸν Εὐστράτιον θαῦμα παραλιπεῖν ἄξιον· οὗτος γὰρ περιαλγῆ τὸν ὀφθαλμὸν ἔχων καὶ ὅλως κατώδυνον, τὸν εἰρημένον πρωτοσπαθάριον Λέοντα συνεργὸν πρὸς ὑγείαν εὑρίσκει· «Εἴπερ» γάρ φησι πρὸς αὐτὸν οὗτος «ἔλαιον τῷ ξενῶνι

2 προσα|λειφῆ ὑγιὴσ τὲ || 8 ἀρχέαν || 9 Οὐδε *sine acc.* || 12 ἐπὶ συμβαῖνον — πρόσ γενό|μενον || 19 τὸ *inserui* || 22 ἐν|τείνῃ || 24 πῶς *inserui* || 27 συμβᾶν || 31 οἰκησαι *sine acc.* || 34 Ἀλλ' || 37 εἴπερ — ἔλεον

χορηγήσεις προθύμως (ἐνέλειψε γάρ), ἕξεις ἑτοίμην τὴν σωτηρίαν». καὶ δὴ καὶ γράμμασι τοῦτο διατυποῖ. ἔφθασε τοῦτο ποιήσας, καὶ ὁ ἅγιος ἀπαθῆ τὸν ὀφθαλμὸν τῷ Εὐστρατίῳ παρέσχετο. τέθνηκε δὲ col. 2 *τούτῳ, κατὰ τὸ ᾀδόμενον, | ἡ χάρις· ἀλλ' ὁ μέγας ἐπιφανεὶς νυκτὸς πρὸς αὐτὸν «Ἐμοί» ἔφη «ἐμπαίζεις»; οὗτος δὲ πρωῒ ἅμα στέλλει τὸ ἔλαιον καὶ ἱλεοῦσθαι τούτῳ τὸν μέγαν παρακλήσεις προσάγει τῷ Λέοντι.*

16. Τὸ δὲ περὶ τὸν πρωτοσπαθάριον Βάρδαν γεγονὸς οὐ παραλιπεῖν ἄξιον, Βάρδαν ἐκεῖνόν φημι, ὃς ἐτύγχανεν ἀδελφὸς Ἰωάννου πατρικίου τοῦ Μακεδόνος τοῦ πάνυ, Ῥωμανῷ τῷ ἐπιεικεῖ βασιλεῖ προσῳκειωμένου, ὃς υἱὸς ἦν Κωνσταντίνου τοῦ τὰ πάντα βασιλικωτάτου καὶ θαυμαστοῦ. οὗτος τοίνυν ὁ Βάρδας περιωδυνίαν ἔσχε κατὰ πλευρὰν παντάπασι χαλεπήν· ἄνθρακα τὸ πάθος ἰατρῶν παῖδες καλοῦσιν· ὃς καὶ εἰς πέντε μὲν ὀπὰς διετέτρητο, ὀδύνας δὲ ἀφορήτους ἐδίδου τῷ πάσχοντι, ἀψάμενος ἤδη καὶ τοῦ μαστοῦ, ὡς καὶ τοῖς ἰατροῖς κρεῖττον ἰάσεως εἶναι δόξαι καὶ τούτῳ τὰς τῆς f. 73 *ζωῆς ἐλπίδας ἀπαγορεῦσαι. || κατ' αὐτὴν δὲ τὴν ἑσπέραν τῆς τοῦ ἁγίου μνήμης οἵ τε ἰατροὶ καὶ οἱ χαρτουλάριοι καὶ ἕτεροι πλεῖστοι, ὅσοι μέρος ἦσαν τοῦ οἴκου, τοῦτον καταλιπόντες ἔρημον σωτηρίας, πρὸς τὸν τοῦ μάρτυρος Μωκίου ναὸν κατὰ τὸ σύνηθες ᾤχοντο.*

17. Προσκαλεσάμενος οὖν οὗτος ἕωθεν τὸν ὀστιάριον Μιχαήλ, ὃς δὴ καὶ χαρτουλάριος ἦν, ὅς μοι καὶ διηγήσατο ταῦτα (ξενοδόχος ὁ Βάρδας ἦν τηνικαῦτα ὁ τῷ πάθει τούτῳ κατειλημμένος), ἐπείπερ ἐκεῖνος ἀφίκετο καὶ ὄρθιον εἶδεν αὐτόν, καθαρά τε εἱματισμένον καὶ ὑγιεινῶς διακείμενον, πληροῦται θάμβους καὶ «Οὐαί μοι» λέγει, «τί σοι γέγονε, Βάρδα»; καὶ ὃς «Ἀλλὰ σύ» ἔφη «καταλιπὼν τὸ δόξαν προσάγειν Θεῷ, θρηνεῖς μάλιστα καὶ οἰμώζεις»; πλὴν ὁ Μιχαὴλ καὶ ἔτι πλέον τῷ θαύματι ξενιζόμενος ἠρώτα, τί τὸ γενόμενον. καὶ ὁ Βάρδας «Γέροντά τινα» ἔφη «διαπορούμενος, ἐπεί με col. 2 *κατελίπετε, εἶδον, τοῦ ναοῦ τοῦ οἴκου | μου ἐξεληλυθότα, ὃς ἐφαίνετο καὶ μοναχὸς εἶναι. οὗτος ἀπιδὼν πρός με «Σοὶ λέγω» φησίν, «ἔγειραι». ἐμοῦ δὲ «Πῶς τοῦτο ἔφης»; εἰπόντος, «οὐδὲ γὰρ δύναμαι», ἐκεῖνος καὶ δὶς καὶ τρὶς τὸ «Ἔγειραι» προσετίθει, τελευταῖον δὲ «Ἐγώ σοι λέγω» λέξαντος, «ἔγειραι καὶ πρὸς τὸν τάφον τάχος ἄπελθε τοῦ ὁσίου Σαμψών», εὐθὺς ἐγὼ τῆς κλίνης ἀνέσχον καὶ τοῦτον εἶδον ὅθεν καὶ ἐξῆλθε ἐπανιόντα καὶ τέλος ἀφανῆ γενόμενον, καὶ ἅμα τῆς ὀδύνης ἀπηλλάγην καὶ πνεύματος ᾐσθόμην*

8 *Τὸν* || 9 *ἐκεῖνον φημὶ* || 10 *ἐπιείκεῖ* || 11 *προσωκειωμένω* || ibid. *παντ*[α] *sine acc.* || 17 *καταὐτὴν* || 20 *το sine acc.* || 25 *καθαρὰτὲ*

ἀπὸ τῆς πλευρᾶς αὐτῆς, περισφίγξας τὰς χεῖρας, ἐξέλευσιν. καὶ τὴν σύνοικον ἡδέως φωνήσας, «Δοκῶ μοι» ἔφην, «γύναι, μηδὲν δδυνᾶσθαι· ἀλλὰ σὺ τοὺς ἐπικειμένους δεσμοὺς τῇ πληγῇ λῦσον ἠρέμα». καὶ αὐτὴ οὕτως ἐποίει καὶ ἀηδία ταύτην εἶχε πολλὴ καὶ «Οἴμοι, τίς οὗτος» ἔφη «ὁ ἀμανίτης ὁ τῇ πληγῇ ἐπικείμενος»; τὸ δὲ ἦν διασεσημμένη σάρξ καὶ ἀπόβλητος, τοῖς || δεσμοῖς ἐκείνοις *f. 73v* συνεκσπασθεῖσα. οὕτως ἰαθεὶς ἐγὼ πρὸς τὸν τάφον ἀπελεύσομαι τοῦ μεγάλου». ὃ δὴ καὶ παραχρῆμα ἐποίει καὶ ἦν τοῖς συναντῶσιν ἄπιστόν τι χρῆμα καὶ τὴν ὄψιν ἀμφισβητήσιμον.

18. Συντετάχθω τοῖς προλαβοῦσι καὶ τὸ τοῦ Γεωργίου. ὃς οἰκέτης μὲν ἦν μοναχοῦ τινος Ἐφραὶμ λεγομένου,· τῷ τοῦ ὕδρωπος δὲ πάθει περισχεθεὶς καὶ τῷ οἴκῳ τοῦ μεγάλου ἀνακλιθεὶς καὶ μηδὲν ὑπό τινος ὠφεληθείς, αὖθις εἰς τὸν οἶκον ὑπέστρεψε τοῦ κυρίου αὐτοῦ. ὁ μὲν οὖν δεσπότης συνεβούλευε πάλιν αὐτὸν ἀπελθεῖν εἰς τὸν ἅγιον, καὶ ἐπεὶ μὴ ἔπειθε, «Κἂν γοῦν εἰς τὸν εὐκτήριον ἡμῶν οἶκον εἴσελθε» ἔφη, «τὴν τοῦ ἁγίου προσκυνήσων εἰκόνα καὶ τοῦ ἐλαίου ταύτης λαβὼν καὶ ἀλειψάμενος, τῇ κοίτῃ τῇ σῇ ἀνακλίθητι». ποιεῖ ἐκεῖνος τὸ κελευσθέν, καὶ ἐπείπερ ἡμέρα παρῆν, καὶ ἔτι τὰ ὅμοια ποιεῖν ἐγκελεύεται. ὁ δὲ «Ἀλλ' ἐγὼ» ἔφη «ἐρρωμένος εἰμὶ καὶ τῇ τοῦ ἁγίου | δυνάμει καθαρᾶς ἀπέλαυσα τῆς ὑγείας· ταύτης *col. 2* γὰρ τῆς νυκτὸς ὄναρ ἐφάνη μοι καὶ τῆς κοιλίας μου ἥψατο καὶ 'Ἄπιθι ὑγιαίνων' ἔφη μοι». ἐπεὶ οὖν περιεργασάμενος αὐτὸν ὁ δεσπότης ὑγιαίνοντα εἶδε, δόξαν ἀπεδίδου Θεῷ καὶ τῷ ἁγίῳ.

10. Ἀλλὰ καὶ τὸ τῆς Εἰρήνης πάθος ὁμοίως ἦν ἔχον· ὕδρωψ γὰρ καὶ αὐτό, πάθος τὸ χαλεπώτατον. ταύτῃ, τῶν ὑπηρετουμένων ἑνὸς τῷ οἴκῳ γαμετῇ τυγχανούσῃ, σὺν ἑτέροις δυσὶν ὁ μέγας ἐφίσταται—Κοσμᾶν εἶναι καὶ Δαμιανὸν τούτους τοὺς ἀναργύρους φασί— καὶ ὑποδεικνύειν τὸ πάθος προτρέπεται· κἀκείνης ὑποδειξάσης, ἑνὶ τῶν συνόντων τεμεῖν αὐτὴν κατὰ τοῦ μηροῦ διορίζεται, καὶ ὥσπερ ὀδύνης αἰσθομένης αὐτῆς καὶ τῆς κλίνης ἀνεγερθείσης, ἡ ὑπηρετουμένη προσιοῦσα καὶ οὖρον οἰηθεῖσα κεχύσθαι ταύτης ὑπὸ τὴν κλίνην ὠνείδιζέ τε καὶ ἀπρεπῆ διαπράξασθαι ταύτην ἐπέπληττεν· ἡ δὲ διηρνεῖτο || μηδὲν τοιοῦτον ἐργάσασθαι μηδαμῶς· ἔπειτα τοῦ χι- *f. 74* τῶνος ἀνασταλέντος, τῆς τομῆς τε διαφανείσης καὶ τοῦ ὑγροῦ καταρρέοντος, ὁ μὲν ἰατρὸς δῆλος ἦν, αὐτή τε ὑγιὴς ἐδείκνυτο καὶ οἴκαδε καλῶς ἐπανήρχετο.

20. Ἀρκεῖ τούτοις διὰ γεύματος ὥσπερ τὴν ὅλην ἀποδειχθῆναι

2 ἔφη γῦναι· μὴ δ(ὲν) || 10 Συντετάχθω || 12 μηδὲν || 14 αυτὸν *sine spir.* || 18 παρὴν || 20 ἀπήλαυσ̈ || 24 Καὶ — ἔχων || 32 ὠνίδιζέτε || 33 μηδὲν — χιῶ$^{\tau o}$ν || 34 τομῆστὲ || 35 αὐτήτε || 37 διαγεύματοσ

τοῦ μεγάλου χάριν· ἀλλὰ δὴ καὶ μᾶλλον ἐκ τοῦ θεορρύτου φημὶ νάματος, ὃ προέρχεται τοῦ τάφου πλουσίως, οὐκ ἀεὶ μέν, ἀλλ' ὀλίγαις πρό γε τῆς ἑορτῆς ἡμέραις· ὑποφαίνεται μὲν γὰρ πρότερον οἷά τις νοτίς, εἶτα κατ' ὀλίγον αὔξεται καὶ διαμένει μετὰ τὴν ἑορτὴν μέχρι τινῶν παρελεύσεως ἡμερῶν, καὶ οὕτω παύεται, πλεῖον, οἶμαι, ταύτῃ θαυμαζόμενον καὶ τιμώμενον, ἢ εἰ διηνεκῶς καὶ ἀλήκτως ἔτρεχεν.

21. Ταῦτά σου, μακάριε πάτερ Σαμψών, τὰ τοῦ μεγάλου βίου καὶ τῆς καθαρᾶς πολιτείας γνωρίσματα· αὗται τῶν ὑπερφυῶν ἀρετῶν αἱ ἀμοιβαὶ καὶ τὰ ἔπαθλα. καὶ νῦν, ὡς παριστάμενος τῷ τοῦ col. 2 *παμβασιλέως | θρόνῳ Χριστοῦ, νέμοις ταῖς εἰς αὐτὸν εὐκτικαῖς ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ φιλαγίῳ καὶ ἐλεήμονι μήκιστον τὴν παροῦσαν ζωὴν καὶ ἀπήμονα, ἵλεω τὸν Χριστὸν καὶ συμπαθῆ τῷ κρίνειν καὶ ἥμερον, χώρας αὐτὸν ἀξιοῦντα τῆς τῶν δικαίων, ἀΰλων αὐτῶν σκηνῶν τῆς κατοικίας, ἡλίου φωταυγείας θείας τοῦ νοητοῦ, πάντων ἀγαθῶν τῆς μετοχῆς εἰς ἅπαν καὶ βασιλείας αὐτοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κη'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

1. Τῆς Ἀλεξάνδρου καὶ Κύριλλος ὁ σοφὸς γέννημα, θρέμμα καὶ παίδευμα, λόγῳ πολὺς καὶ τὴν ἀρετὴν περιβόητος, ἀνεψιὸς Θεοφίλου τοῦ πάπα ἐγνωρίζετο. μέγας οὖν ἔν τε συνέσει καὶ σοφίᾳ γενόμενος, ναὶ δὴ καὶ θεωρίᾳ τε καὶ πράξει κοσμούμενος, ψήφῳ τῶν τῆς ἐκκλησίας ἐκκρίτων, μᾶλλον δὲ θείᾳ, τῆς ἐν Ἀλεξαν- f. 74v *δρείᾳ || μεγάλης ἐκκλησίας χειροτονεῖται πρόεδρος. ἔνθεν τοι καὶ τὸ ποίμνιον παιδεύων καλῶς πρὸς νομὰς ἦγε τὰς σωτηρίους καὶ οὕτω ποιῶν πρὸς τὴν ἐνδεχομένην ἀνθρώποις ἔφθασε τελειότητα. διὸ καὶ τῇ τοῦ ἀγαθοῦ πνεύματος χάριτι τὸν νοῦν ἐλλαμφθεὶς περιουσίᾳ γνώσεως καὶ τῇ πρὸς τὸ θεῖον σπουδῇ πάσης θεοπνεύστου γραφῆς ἐξηγητὴς γέγονεν ἀκριβέστατος, τὰ συγκεκαλυμμένα ταύτης καὶ*

5 *Πλεῖον* || 14 *ἥμερον* sine spir. || 24 *τὲ* || 25 *ἐναλεξανδρεία* || 26 *ἔνθέντοι*

ἀσαφῆ καὶ τοῖς πολλοῖς ἄγνωστα πᾶσι διασαφήσας λόγων εὐκρινείᾳ καὶ καθαρότητι κεφαλαιώδεσιν ἐν ἐπιτομαῖς καὶ συγγράμμασι πλείστοις, παντοίαν δι' αὐτῶν αἵρεσιν ἐκτρεπόμενος καὶ τοὺς αἱρεσιάρχας βάλλων τοξεύμασι τοῖς ἐκ μέλανος καὶ καθαιρῶν εἰς ἅπαν εὐστόχοις βολαῖς ταῖς ἐκ γνώσεως.

2. Ἔνθεν τοι καὶ τῆς ἐν Ἐφέσῳ συναθροισθείσης ἁγίας τρίτης συνόδου, ἔτει τῆς Θεοδοσίου βασιλείας τοῦ μικροῦ | τρισκαιδεκάτῳ, col. 2 *αὐτὸς γενόμενος ἔξαρχος τὸν δυσσεβῆ καθεῖλε Νεστόριον, πατριάρχην ὄντα τῆς Κωνσταντίνου, τὴν «Θεοτόκος» φωνὴν ἀνακηρύξας τρανότατα καὶ τῇ μητρὶ τοῦ κυρίου τοῦτο γέρας ἐξαίρετον χαρισάμενος· ὅπερ ἀληθὲς ὄν, ὑπὸ τῶν δυσφήμων διεσπᾶτο γλωσσῶν· ἔφασκον γὰρ οἱ ἀνόσιοι μὴ Θεοτόκον εἶναι τὴν ἁγίαν Μαρίαν, ἀλλὰ Χριστοτόκον, κακῶς καὶ φρονοῦντες καὶ λέγοντες, καὶ δύο υἱοὺς ἐπὶ τοῦ ἑνὸς ἐμυθολόγουν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ δύο ὑποστάσεις, καὶ ἄλλον μὲν εἶναι τὸν Λόγον τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, ἕτερον δὲ τὸν ἐκ Μαρίας τεχθέντα ἄνθρωπον, ἑνωθέντα δὲ τῷ λόγῳ κατὰ σχέσιν καὶ ὁμωνύμως καὶ αὐτὸν υἱὸν λεγόμενον. ἀλλὰ τὸν δυσσεβῆ τοῦτον διδάσκαλον, τὸν Νεστόριον λέγω, προσκληθέντα παρὰ τῆς συνόδου καὶ μὴ ἀπαντῆσαι θελήσαντα ἐκκλησιαστικῶς ὁ μέγας καθεῖλεν, || ἅτε καὶ τὸν τόπον Κελεστίνου τοῦ* f. 75 *πάπα Ῥώμης ἐπέχων, καὶ ἀναθέματι καθυπέβαλεν, μίαν δὲ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν καθ' ἕνωσιν ὑπόστασιν καὶ δύο φύσεις σαφῶς ἐδογμάτισε, τὸν αὐτὸν εἶναι Θεὸν καὶ ἄνθρωπον καὶ τὴν ἁγίαν Μαρίαν κυρίως καὶ ἀληθῶς Θεοτόκον.*

3. Περὶ ὧν Ἰωάννης ὁ τῆς Ἀντιοχείας ἐπίσκοπος μετὰ τὴν Νεστορίου καθαίρεσιν καταλαβὼν μὴ δεῖν ἔφησε χωρὶς αὐτοῦ καθαιρεθῆναι Νεστόριον· διὸ καὶ λυπηθεὶς ὥσπερ τοὺς συνελθόντας αὐτῷ παρέλαβεν ἐπισκόπους, ἐν οἷς καὶ Θεοδώρητος Κύρου καὶ Ἦβας Ἐδέσης, καὶ τοῦ καλοῦ Κυρίλλου καθαίρεσιν καὶ Μέμνονος τοῦ Ἐφέσου, ἅτε παρὰ κανόνας τῆς ἐκκλησίας ποιησαμένων τὴν σύνοδον, ἐψηφίσαντο. οἱ τοίνυν περὶ τὸν Κύριλλον, ὡς ἄθεσμα μεμψάμενοι καὶ ἄτοπα τὰ παρ' ἐκείνων γενόμενα, τῆς Ἐφε|σίων col. 2 *ἀπαναστάντες, ἀλλήλων διέστησαν, οἵ τε τῆς Ἀνατολῆς φημι καὶ οἱ τῆς Αἰγύπτου, ἀλλὰ σπουδῇ τοῦ βασιλέως ἡνώθησαν συμφρονήσαντες τῇ ἐν Ἐφέσῳ πάντες συνόδῳ τῇ καθαιρέσει τοῦ Νεστορίου. ἔνθεν τοι καὶ ἐπιστολὴν ἔγγραφον [ἔπεμψαν] τοῖς Ἀλεξανδρεῦσι διὰ Παύλου τοῦ τῆς Ἐμέσης ἐπισκόπου μονάσι, τὴν ἕνωσιν καὶ τὴν συμφωνίαν ἀριδήλως τρανοῦντες. ὅτε δὴ καὶ Νεστόριος ἐν Ὀάσει γεγένητο.*

6 et 36 *ἔνθέν τοι* || 17 *κατασχέσιν* || 28 *θεοδώριτος* || 33 *φημὶ* || 35 *ἔν|θέντοι* || 36 *ἔπεμψαν* inserui || 37 *μόνασι*

4. Οὕτως οὖν μετὰ τοὺς ἐν Χριστῷ καὶ διὰ Χριστὸν μεγάλους ἀγῶνας καὶ τὰς ἐπὶ πᾶσι νίκας καὶ τρόπαια καλῶς, Κύριλλε θαυμαστέ, τὴν λαχοῦσάν σοι ποιμάνας ἐκκλησίαν καὶ ᾗ προσῆκον ἦν, πρὸς κύριον ἐξεδήμησας. καὶ νῦν τῷ τούτου παριστάμενος θρόνῳ καὶ τὰς ὑπὲρ τῆς ἐκκλησίας αὐτοῦ καὶ τοῦ κόσμου παντὸς πρεσβείας ποιούμενος, αἴτησαι δωρηθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ ||
f. 75v *καὶ φιλοχρίστῳ μέγιστα κατ' ἐναντίων τὰ τρόπαια, ἰσχὺν πανσθενῆ καὶ κράτος ἀπρόσμαχον χειρὸς ἐκ θείας παρεχόμενα τούτῳ, ἀΰλου φωτὸς τὴν μέθεξιν πλουσίως, ἡλίου φαῦσιν τῆς τριλαμποῦς οὐσίας, πάσης ἀγαθότητος Θεοῦ τὴν δόσιν καὶ βασιλείας αὐτοῦ τὴν κληρουχίαν. ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κθ'.

ΥΠΟΜΝΗΜΑ ΕΝ ΕΠΙΤΟΜΗι ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΑΠΟΣΤΟΛΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΕΤΡΟΝ ΚΑΙ ΠΑΥΛΟΝ ΤΟ ΣΚΕΥΟΣ ΤΗΣ ΕΚΛΟΓΗΣ.

1. Ὁ πρωτόθρονος τῶν ἀποστόλων Πέτρος, ὁ πολὺς ἐν θαύμασι καὶ τοῖς ἀγῶσιν, ᾧ τὴν αὐτοῦ Χριστὸς ἐκκλησίαν ἐπῳκοδόμησε, γένους μὲν Ἑβραίων ἐξώρμηται, χώρας δὲ Γαλιλαίας, πατρίδος Βηθσαϊδά, πατρὸς Ἰωνᾶ, Σίμων ὠνομασμένος κἀν τοῖς χρόνοις ὢν Ὑρκανοῦ τοῦ πρὸς Ἀδουὲ μετὰ τῆς βασιλείας καὶ τῶν ὤτων
col. 2 *τὴν ἀφαίρεσιν ὑπο|μείναντος, οὐ μόνος πατρί, ἀλλὰ καὶ Ἀνδρέας υἱός. Πέτρος οὖν οὗτος θυγάτριον ἐσχηκὼς εἰς γυναῖκα Ἀριστοβούλου τοῦ ὁμαίμονος Βαρνάβα τοῦ ἀποστόλου, φύσεως ἑκατέρας ἐντεῦθεν ἐγνωρίσθη πατήρ, ἑνὸς υἱοῦ δηλαδὴ καὶ μιᾶς θυγατέρας. Ἀνδρέας γὰρ τὸν ἄζυγα βίον μετῄει, Ἰωάννῃ τῷ προδρόμῳ μαθητευθείς.*

2. Οὗτος ὁ Πέτρος πρὸς ἀδελφοῦ γνωρίζεται τῷ Χριστῷ καὶ Πέτρος ὑπ' ἐκείνου καλεῖται, τὸ τῆς γνώμης παραδηλοῦντος στερρὸν τῷ ὀνόματι. κλεὶς ὁ Πέτρος οὐρανῶν πιστεύεται βασιλείας καὶ

1 Τοὺσ || 3 λαχοῦσαν σου || 14 ἐπιτομή || 18 ἀγῶσι || 20 βησθαϊσδᾶ || 25 θυγατέρας: *codicis scripturam retinui (pro θυγατρός).*

πεζεύει πέλαγος ἐν Χριστῷ καὶ τῆς μεταμορφώσεως, φρικτοῦ θεάματος, θεατὴς ἀναδείκνυται καὶ πατρικῆς Χριστοῦ φωνῆς ἀκούει τρανῶς, υἱὸν καὶ ἀγαπητὸν μαρτυρούσης αὐτόν, καὶ μέντοι κἂν τοῖς ἁμαρτάνουσιν ὁ Πέτρος ἀνεξικακεῖν ἐκδιδάσκεται καὶ τῆς οἰκουμένης ἁπλῶς ἐγχειρίζεται τὴν διοίκησιν, ὡς ἡ τῶν εὐαγγελίων ἱερὰ φωνὴ περὶ τούτων διέξεισι || τρανῶς. f. 76

3. Ἀλλ' ἄρτι τὴν ὑπὲρ ἡμῶν τοῦ δεσπότου Χριστοῦ πεπληρωκότος οἰκονομίαν καὶ τὰ ἐπὶ γῆς συνηνωκότος τοῖς οὐρανίοις, στόμα Πέτρος τῶν ἀποστόλων μετὰ τὴν τοῦ Πνεύματος καθίσταται κάθοδον καὶ τὸ ἐνδέον τῷ χορῷ τούτων διὰ τοῦ Ματθίου πληροῖ. τί τὸ ἐντεῦθεν; πρὸς πίστιν ἐκκαλεῖται τρισχιλίους τὴν εἰς Χριστόν· τὸν ἐπὶ τῆς ὡραίας πύλης θεραπεύει χωλόν· ἐκδιδάσκει θεὸν ἀληθῆ τὸν Χριστόν, πλείστων θαυμάτων πλήθει τοὺς λόγους πιστῶν καί, τὸ ξένον, Ἀνανίαν καὶ Σάπφειραν τῷ καινῷ νοσφισμῷ τῶν οἰκείων (τοῦτο γὰρ τὸ καινόν) παραδόξως τοῦ ζῆν ἀπεστέρησε· σκιᾷ μόνῃ νόσους ἐξ ἀνθρώπων ἐδίωξε, δαίμονας ἀπήλασε, νεκροὺς ἐξανέστησε, σὺν ἄλλοις καὶ Δορκάδα τὴν φιλόπτωχον ἐν Ἰόππῃ· ἐν Λύδῃ τὸν παράλυτον Αἰνέαν ὑγίωσε· Χριστῷ πανοικὶ Κορνήλιον ἐν Καισαρείᾳ προσῆξε καὶ τοῖς ἔ|θνεσι θύραν διὰ τῆς ὀθόνης μετανοίας col. 2 *ἀνέῳξε· ναὶ δὴ καὶ τῶν Ἡρῴδου λέλυτο δι' ἀγγέλου δεσμῶν, τῶν φυλάκων ἀνώτερος θαυμαστῶς ἐκφανείς.*

4. Τὰ δ' ἑξῆς· τῆς Κοίλης Συρίας πάσας τῷ Σίμωνι προσπαλαίων περιῄει τὰς πόλεις, τὸν λόγον σπείρων γεωργὸς ὡς ἄριστος τῆς ἀληθείας καὶ μέντοι δὴ καὶ ἀμῶν καὶ τῷ τῆς πίστεως ὅπλῳ καθαιρῶν ἐκείνου πάσας τὰς ἑλεπόλεις. τὰ δ' ἄλλα Πόντου καὶ Ἀσίαν χώραν Γαλατικὴν καὶ μέχρι Ῥώμης αὐτῆς περιέρχεται Πέτρος, διδάσκων ὁ κλεινὸς καὶ νουθετῶν καὶ βαπτίζων καὶ τῶν ἑπομένων ἐπισκόπους ταύταις ἐγκαθιστῶν. καὶ τίνες αὗται; Καισάρεια Στράτωνος, Σιδών, Βηρυτός καὶ Βύβλος, Τρίπολις, Ὀρθωσία καὶ ἡ Ἀντάραδος, Πάλτα καὶ Γάβαλα καὶ αὐτὴ Λαοδίκεια, ναὶ μὴν καὶ περικαλλὴς Ἀντιόχεια, ἐν ᾗ κεχειροτονηκὼς ἐπισκόπους Μαρκιανὸν Συρα||κούσης καὶ Ταυρομενείας Παγκράτιον, τὰ Καππαδο- f. 76v *κῶν Τύανα κατειλήφει, ἐξ ὧν ἐν Ἀγκύρᾳ μετέβη τῆς Γαλατίας, ἐν ᾗ νεκρὸν ἀναστήσας καὶ ἄλλα τὰ πλεῖστα διαπραξάμενος θαύματα, ἐπίσκοπόν τε χειροτονήσας, τῆς Σινώπης ἐπιβαίνει τοῦ Πόντου· μεθ' ἣν τὴν Ἀμάσειαν πόλιν Ἑλενοπόντου βλέπει μεσόγαιον. τὴν Γάγγραν ἐκεῖθεν καταλαμβάνει τῆς Παφλαγόνων, Κλαυδιούπολιν Ὀνωριάδος, τὴν Νικομήδειαν καὶ τὴν Νίκαιαν, τὸν λόγον αὐταῖς ὁ πολὺς ἐνσπείρων τῆς ἀληθείας.*

3 *κἂν* || 11 *Πρὸς* || 22 *Κοίλησ συρίασ* || 34 *ἄλλάτα*

5. *Ποτὲ γοῦν δεῆσαν αὐτῷ τῆς τοῦ πάσχα χάριν ἑορτῆς καταλαβεῖν τὰ Ἱεροσόλυμα, διὰ Πισινοῦντος, Καππαδοκίας τε καὶ Συρίας εἰς Ἀντιόχειαν γίνεται, ἀφ' ἧς εἰς Ἱερουσαλὴμ παραγίνεται. ὅπου δὴ καὶ παρὰ Παύλου ἱστόρητο, τρίτου τῆς αὐτοῦ κλήσεως* col. 2 *παρεληλυθότος χρόνου. φησὶ γὰρ | αὐτός, ὅτι «μετὰ τρία ἔτη ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε». τοιγαροῦν ἐκεῖσε κανόνας ἐκτιθέμενοι καὶ διατάξεις ἐκκλησιαστικάς, ὁ μὲν Παῦλος πρὸς ὃ ἐκέκλητο καὶ πεπόρευτο, Πέτρος δ' εἰς Ἀντιόχειαν ὁ καλὸς ἀνθυπέστρεψεν, ᾗ τὸν Εὔοδον ἐπίσκοπον καταστήσας εἰς Σύναδα πόλιν ἔρχεται τῆς Φρυγίας. τὴν Νικομήδειαν ὁρᾷ μετ' αὐτὴν καὶ Πρόχορον ἐπίσκοπον αὐτῆς προστησάμενος πρὸς Ἴλιον βλέπει, πόλιν τῆς Ἑλλησπόντου· ἔνθα τὸν ἑκατόνταρχον Κορνήλιον καταστήσας ἐπίσκοπον αὖθις διώκει τὴν Ἱερουσαλήμ. ἐν ᾗ γενόμενος τὴν ἑσπέραν καταλαβεῖν χρηματίζεται καὶ τὰ τοῦ χρησμοῦ τοῖς ἀδελφοῖς ταύτην πεφθακὼς ἀπαγγέλλει καὶ πάλιν εἰς Ἀντιόχειαν γίνεται. καὶ τί ποιεῖ; ὃ δὴ καὶ πρότερον* f. 77 *κηρύττει || Θεὸν ἀληθῆ τὸν Χριστὸν καὶ Οὐρβανὸν μὲν ἐν Ταρσῷ, τῷ Ἀνδριάκῃ δὲ τῆς Λυκίας τὸν Ἐπαφρόδιτον, τῇ Ἐφέσῳ τὸν Φρύγελλον, ὃν ἐκτραπῆναί φασι τῆς εὐθείας, δοξάσαντα τὰ τοῦ Σίμωνος, ἀλλὰ καὶ τὸν Ἀπελλῆν ἐν Σμύρνῃ, ἀδελφὸν Πολυκάρπου τυγχάνοντα, προβαλόμενος ἐπισκόπους, τὴν Μακεδονίαν καταλαμβάνει καὶ τὸν Ὀλυμπᾶν ἐν Φιλίπποις, ἐν Θεσσαλονίκῃ τε τὸν Ἰάσονα καὶ τὸν Σίλαν ἐν τῇ Κορίνθῳ, εἴς τε Πάτρας τὸν Ἡρωδίωνα καταστησάμενος ἐφόρους εἰς τὴν Ῥώμην ἀνάγεται· ἐν ᾗ καὶ τῷ Σίμωνι προσβαλὼν τὰ τούτου πάντα μαγικὰ διελύσατο· καὶ γὰρ τερατευόμενον αὐτὸν καὶ οἷον ἵπτασθαι πρὸς τὸν αὐτοῦ φληναφοῦντα πατέρα μόνῃ Πέτρος εὐχῇ πρὸς τῶν δαιμόνων ἠρμένον τῇ γῇ καταβαλὼν νεκρὸν ἀποδέδειχε.*

col. 2 6. *Τῷ τοι καὶ τῶν πε|πιστευκότων συναγηοχὼς ἐκκλησίαν καὶ τὸν Λίνον ἐπίσκοπον κεχειροτονηκὼς εἰς Ταρακηνὴν παραγίνεται· ᾗ τὸν Ἐπαφρόδιτον ἐπίσκοπον καταστήσας εἰς τὸ Σίρμιον (πόλις τῆς Ἱσπανίας) ἀπαίρει· ἐν ᾗ τὸν Ἐπαίνετον ἐπίσκοπον τεταχὼς τῇ Καρχηδονίων πόλει τῆς Ἀφρικῆς παραβάλλει κἀν ταύτῃ τὸν Κρίσκεντα χειροτονήσας ἐπίσκοπον εἰς Αἴγυπτον ἔρχεται καὶ ταῖς ἑπτα-*

1 *Ποτὲ* || 2 *τὲ* || 7 *ἐ|Κεῖσε* || 8 *ante Παῦλος* **videtur** *ὁ* **esse erasum** || 9 *ἀνθϋπέστρεψεν* || 15 *ἀπαγγέλει* || 19 *ἐκτραπῆναι φασὶ* || 20 *ἀπελλὴν* || 21 *προβαλλό|μενοσ* || 22 *τὲ* || 23 *ἠρωδίονα* || 29 *τώτοι* || 32 *ἐπαινετὸν* || 33 *καρχιδονίων*

5—7 *μετὰ — δεκαπέντε:* Gal. 1, 18 (ubi plerique codices pro *Πέτρον* habent *Κηφᾶν*).

πύλοις μὲν Θήβαις τὸν Ῥοῦφον, Μάρκον δὲ τῇ Ἀλεξάνδρου τὸν εὐαγγελιστὴν ποιμένας χειροτονήσας, ἐν τῇ τῆς Θεοτόκου κατ' ἀποκάλυψιν ἔρχεται πρὸς Ἱεροσόλυμα σεβαστῇ μεταστάσει. κἀκεῖθεν εἰς Αἴγυπτον διὰ τῆς Ἀφρικῆς ὑποστρέψας εἰς Ῥώμην ἐπάνεισιν· ἐξ ἧς Μεδιόλανα καὶ Φωτικήν, πόλεις Ἠπειρώτιδας, κατειλήφει· αἷς ἐπισκόπους ἐγκαταστήσας εἰς Βρεττανίαν ἀφίκετο· ἐν ᾗ δι' ἀγγέλου τούτῳ || «Πέτρε» λέγει Θεός, «ὁ καιρὸς τῆς σῆς ἐφέστηκεν ἀναλύσεως· f. 77v δεῖ τοίνυν σε τὴν Ῥώμην καταλαβεῖν κἀν ταύτῃ τὸν διὰ σταυροῦ θάνατον ὑπομεῖναι».

7. Ὃ δὴ καὶ γέγονε· δωδεκάτῳ γὰρ ἔτει τῆς τοῦ Νέρωνος βασιλείας εἰς Ῥώμην γενόμενος, ἐπεὶ τὸν Λίνον εὗροι τελειωθέντα, Κλήμεντα χειροτονεῖ τὸν καλόν. τὸ τοίνυν γυναικεῖον ἀνδράποδον ὁ παράφορος Νέρων, τῶν παλλακευομένων ὑπ' αὐτοῦ χάριν δύο γυναικῶν, αἳ διὰ Πέτρου καλῶς ἐνυμφεύθησαν τῷ Χριστῷ, μανίᾳ γεγονὼς κάτοχος, στρατιώτας ἐκπέμπει τὸν Πέτρον ἑπομένοις ἅμα συγκατασχεῖν καὶ διαχειρίσασθαι. οἳ τοῦ Κλήμεντος μὲν ἀπέσχοντο μόνου, συγγενοῦς ἅτε τυγχάνοντος Καίσαρος, Ἡρωδίωνα δὲ καὶ Ὀλυμπᾶν σὺν ἅμα πλήθει λοιπῷ τῇ τοῦ ξίφους ὑπάγουσιν ἐκτομῇ, Πέτρον δὲ τὸν θαυμάσιον, τὸ μέγα κράτος τῆς οἰκουμένης, ἀντιστρόφως Χριστῷ τῷ σταυρῷ καθηλοῦσι καὶ ταῖς ἀιδίοις μοναῖς | παραπέμπουσι. καὶ ταῦτα μὲν εἰς τοσοῦτον τὰ περὶ Πέτρου. col. 2

8. Παῦλος δέ, τὸ τῆς ἐκλογῆς σκεῦος, ὁ τὰ θεῖα σοφὸς καὶ θαυμάσιος, Ἑβραῖος τὸ γένος καὶ αὐτός, τῆς Βενιαμίτιδος ὡρμημένος φυλῆς, φαρισαῖος τὴν αἵρεσιν, Ταρσὸν ἐπιγραφόμενος τῆς Κιλικίας πατρίδα, [παρὰ] τοῖς ποσὶ Γαμαλιήλου τὸν Μωσέως νόμον ἐκπαιδευόμενος, ἐραστὴς διάπυρος τῶν πατρίων ἐθῶν, Σαῦλος ὀνομαζόμενος, διώκτης, ὡς αὐτός φησι, τῆς τοῦ Χριστοῦ ἐκκλησίας· τῷ τοι καὶ τῇ Στεφάνου ἀναιρέσει τοῦ πρωτομάρτυρος ὅλος συνέπνει τοῖς Ἰουδαίοις καὶ ὅπερ ὅλοι τῷ μάρτυρι, τοῦτο μόνος αὐτός, χερσὶν ὡσανεὶ χρώμενος ταῖς αὐτῶν καὶ τὰ τῶν λιθαζόντων διαφυλάττων ἱμάτια.

9. Ἀλλὰ Θεὸς ὁ τοῦτον ἐκ κοιλίας ἀφορίσας μητρός, ὁδοῦ μέσον ἐπιφανεὶς πηροῖ μὲν ὄψεις αὐτοῦ, φωτίζει δὲ τούτῳ νοῦν καὶ Παῦλον ἀντὶ Σαύλου καλέσας ἐν Δαμασκῷ πέμπει πρὸς || Ἀνανίαν, f. 78 ὑφ' οὗ τὴν χάριν δεξάμενος καὶ μυηθεὶς τὰ μυστήρια ὀφθαλμούς τε κατ' ἄμφω βλέποντας ἐσχηκώς, σύμμαχος ἀξιόχρεως ἐκείνῳ τοῦ κηρύγματος γίνεται. ἐξ ἐκείνου γοῦν ἐπιβουλὴν ὑποστὰς τοῦ

1 ῥούφον || 12 Τὸ — γυναικῖον || 13 παλακευομένων || 18 ὀλυμπὰν || 19 κράτος: κλέος? || 21 ταυ^{α} sine acc. || 24 Παῦλοσ || 25 παρὰ inserui || 28 τώτοι || 29 μόνος αὐτὸς [ἦν]? || 34 ἀντισαύλου || 36 ὀφθαλμοὺσ τὲ

τείχους ἐν Σαργάνῃ χαλᾶται καὶ πρὸς τοὺς μαθητὰς ἐν Ἱερουσαλὴμ παραγίνεται· ἐν ᾗ καὶ ἄλλην ἐπιβουλὴν ἐγνωκὼς εἰς Καισάρειαν ἀφικνεῖται, μεθ᾽ ἣν εἰς Ταρσὸν ἔρχεται· ὅπου δὴ καὶ Βαρνάβας αὐτὸν εὑρηκὼς εἰς Ἀντιόχειαν ἤγαγε· καθ᾽ ἣν καὶ πρῶτον τοὺς μαθητὰς χριστιανοὺς ὀνομάσαντες ἐν Ἰουδαίᾳ πορεύονται, τὸν ἐπὶ Κλαυδίου Καίσαρος ἐκκλίνοντες γεγενημένον λιμόν. ἀφ᾽ ἧς εἰς Ἱεροσόλυμα ὑποστρέψαντες, πρὸς τὸ θεοσεβὲς ὑπὸ τοῦ πνεύματος ἀφωρίσθη ἔργον. μεθ᾽ ὃ καὶ τὴν Σελεύκειαν, εἶτα τὴν Κύπρον καὶ τὴν Σαλαμίνην αὐτὴν κατειλήφασι, τὰ τῆς πίστεως αὐταῖς σπέρματα καταβάλλοντες.

col. 2 10. Ταύτην οὖν τὴν νῆσον περιιόντες | κἀν τῇ Πάφῳ τὸν ψευδοπροφήτην εὑρηκότες Βαριησοῦν, πολλοὺς εἰς αὐτὸν διαστρέφοντα, καλῶς ἐκτυφλοῦσιν, ὡς οὐκ ὀλίγον ἐντεῦθεν πλῆθος, ἀλλὰ καὶ αὐτὸν πιστεῦσαι τὸν τῆς νήσου ταύτης ἀνθυπατεύοντα. ἐκ ταύτης εἰς Πέργην ἔρχονται τῆς Παμφυλίας, εἰς τὴν τῆς Πισιδίας Ἀντιόχειαν μετ᾽ αὐτήν. καθ᾽ ἣν καὶ δημηγορῶν πολλοὺς ὁ Παῦλος εἰς τὴν πρὸς Χριστὸν ἐπεσπάσατο πίστιν. διωκόμενοι ταύτης τὸ Ἰκόνιον εἶδον, ἐφ᾽ ᾧπερ ἔργον τῷ Παύλῳ σὺν ἄλλοις καὶ Θέκλα, τὸ τῆς παρθενίας τερπνὸν κάλλος. τὴν Λύστραν ἐκ τούτου καὶ Δέρβην (πόλεις αὗται Λυκαονίας) καταλαμβάνουσι καὶ χωλὸν ἐκ γενετῆς θεραπεύουσι· θεοὶ τοῖς βαρβάροις νομίζονται καὶ θυσίας προσενηνεγμένας αὐτοῖς ἀποστρέφονται.

11. Τί οὖν τὸ ἐντεῦθεν; ἐξ Ἀντιοχείας καὶ Ἰκονίου, λοιδορησαμένων αὐτοῖς Ἰουδαίων, τὸν Παῦλον καταλεύσαντες οἱ κακοὶ τῆς f. 78v χώρας ἀπεληλά||κασιν, ὡς αὐτός φησιν οὗτος, «Οἷά μοι γέγονε» λέγων «ἐν Ἰκονίῳ, ἐν Ἀντιοχείᾳ, ἐν Λύστροις. οἵους διωγμοὺς ὑπέμεινα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κύριος». τὴν Δέρβην τοιγάρτοι κατειληφότες εἰς Λύστραν αὖθις ὑπέστρεψαν, εἴς τε τὸ Ἰκόνιον καὶ τὴν Ἀντιόχειαν· καὶ χειροτονήσαντες ἐν αὐταῖς πρεσβυτέρους, τὴν Πισιδίαν τε διαβάντες καὶ τὴν Πέργην αὐτήν, τὸν λόγον κηρύσσοντες, κατέλαβον τὴν Ἀττάλειαν· ἐκ ταύτης τὴν Ἀντιόχειαν, εἶτα τὴν Φοινίκην τῆς Συρίας καὶ τὴν Σαμάρειαν, ἀλλὰ καὶ αὐτὴν Ἱερουσαλήμ.

12. Αὖθις οὖν ἐπανήκουσιν εἰς Ἀντιόχειαν καὶ μὴ δεῖν κηρύττουσι περιτέμνεσθαι, μὴ αἵματος μεταλαμβάνειν, παντὸς πνικτοῦ ἀπέχεσθαι καὶ εἰδωλοθύτου, τὰ διὰ ταῦτα γράμματα τῶν ἀποστόλων τοῖς ὄχλοις ἀναγινώσκοντες. εἶτα τούτων ἀπάραντες, ὁ Βαρνάβας

13 ἐντευθεν *sine acc.* || 18 συν *sine acc.* || 23 ἐξαντιοχείασ || 25 οἷαμοι || 31 ἀτάλειαν|Ἐκ || 32 σαμάριαν

25—27 οἷα — κύριος: cf. 2 Tim. 3, 11.

μὲν τὴν Κύπρον, Μάρκον παραλαβών, ὁ Παῦλος δὲ τὸν Σίλαν ἐπιλεξά|μενος, τὰ μέρη τῆς Κιλικίας ἀσπάζεται. τὸν Τιμόθεον οὖν col. 2
ἀπὸ Δέρβης καὶ Λύστρας παραλαβὼν λόγῳ τινὶ θειοτέρας οἰκονομίας, ὡς ὁ χρυσοῦς φησιν Ἰωάννης, τὸν νόμον δῆθεν τηρῶν περιτέμνει. καὶ τὴν Φρυγίαν καὶ Γαλατικὴν χώραν ἀκηρυκτὶ διελθὼν εἰς τὴν Βιθυνίαν ὁρμῆσαι κέκρικε, μὴ εὐδοκησάσης [δὲ] τῆς χάριτος τοῦτο εἰς Τρωάδα διὰ Μυσίας κατέβη κἀκεῖθεν ἦλθεν εἰς Σαμοθρᾴκην. εἶτα τὴν Νεάπολιν διελθὼν ἔρχεται εἰς Φιλίππους Μακεδονίας, ὅπου δὴ καὶ τὸ πυθωνικὸν τῆς παιδίσκης ἀπήλασε πνεῦμα, τὸν τῆς πορφυροπώλιδος Λυδίας ἤδη μέλλων οἶκον πιστευσάσης εἰσελθεῖν. τῷ τοι καὶ ῥάβδοις ὑπὸ τῶν στρατηγῶν καταικίζεται, φυλακῇ δίδοται καὶ πεδεῖται ξύλῳ τοὺς πόδας. ὅτε δὴ καὶ σεισμοῦ τι μέγα χρῆμα προσεπενεχθὲν τὴν πόλιν ἐτάραξε, καὶ θύραι φυλακῆς ἠνοίγησαν, δεσμὼ||ται τῶν δεσμῶν ἀνείθησαν καὶ δεσμοφύλαξ f. 79
ἐπίστευσε καὶ βεβάπτιστο πανοικί.

13. Ἀμφίπολιν οὖν ἐκεῖθεν διιὼν καὶ Ἀπολλωνιάδα, τὴν Θεσσαλονίκην κατέλαβεν· ἐν ᾗ τοὺς Ἰουδαίους τῷ διδάσκειν ἐκμήνας, ὅλους εἵλκυσε κατ᾽ αὐτοῦ, τὴν Ἰάσονος κατειληφότας οἰκίαν καὶ τῷ δήμῳ βοῶντας τὸν Παῦλον προσαχθῆναι. ἀλλὰ τούτους ἀποδρὰς σὺν τοῖς ἀδελφοῖς εἰς Βέροιαν παραγίνεται, καὶ Σίλας μὲν καὶ Τιμόθεος αὐτοῦ που μένουσι, Παῦλος δ᾽ ὁ μέγας καὶ τῆς οἰκουμένης διδάσκαλος Ἀθήναζε παραγίνεται. καὶ τῶν ἀναθεωρῶν τὰ σεβάσματα ἐντυγχάνει βωμῷ, ᾧ ἐπεγέγραπτο «Ἀγνώστῳ θεῷ»· οὗπερ ἀφορμῆς δραξάμενος ὁ σοφός, «Τοῦτον» ἔφησεν, «ἄνδρες, ὃν ἀγνοεῖτε θεὸν ὑμῖν ἐγὼ καταγγέλλω». ὅτε δὴ καὶ Διονύσιον τὸν Ἀρεοπαγίτην καὶ Δάμαριν οὕτω καλουμένην γυναῖκα πρὸς τὴν πίστιν σὺν ἄλλοις τισὶν | ἐπεσπάσατο. col. 2

14. Ἔρχεται τοίνυν ἐξ Ἀθηνῶν ὁ Παῦλος εἰς Κόρινθον καὶ πρὸς Ἀκύλαν καὶ Πρίσκιλλαν ὁμοτέχνους κατάγεται, οἷς ἐνιαυτὸν καὶ μῆνας πέντε προσμείνας εἰς Ἔφεσον σὺν αὐτοῖς καὶ Τιμοθέῳ γίνεται. ἐν ᾗ τοὺς ἄλλους καταλιπὼν καὶ μόνον αὐτῷ Τιμόθεον κελεύσας ἀκολουθεῖν εἰς Καισάρειαν ἄπεισιν. εἶτα πρὸς Ἀντιόχειαν ἄνεισι καὶ οὕτω διὰ τῶν ἀνωτερικῶν μερῶν τὴν Γαλατικὴν χώραν καὶ τὴν Φρυγίαν αὐτὴν διελθὼν εἰς Ἔφεσον παραγίνεται καὶ ταύτῃ χρόνον ἐπιμείνας συχνὸν καὶ σιμικινθίοις αὐτοῖς καὶ σουδαρίοις δυνάμεις οὐκ ὀλίγας τετελεκὼς καὶ τὸν Τιμόθεον αὐτῇ χειροτονήσας

4 φησὶν || 5 ἀκηρυκτεὶ | διέλθὼν || 6 εὐδο|κισάσησ || ibid. δὲ inserui || 8 διέλθὼν || 11 τώτοι || 13 θῦραι || 16 θεσαλονίκην || 20 Καὶ || 22 καὶ τῶν [πολιτῶν]? || 26 ἀρεω|παγίτην || 28 τοί|Νυν || 30 πρὸς μείν(ας)

22—25 ἀναθεωρῶν — καταγγέλλω: cf. Act. 17, 23.

ἐπίσκοπον εἰς Μακεδονίαν ὡρμήθη. εἶτα τὴν Ἑλλάδα κατέλαβε καὶ τρεῖς ἐν αὐτῇ μῆνας προσμείνας τῇ Τρωάδι παρέβαλεν, ἐν ᾗ f. 79v τὸν Εὔτυχον ἀπονυστάξαντα || τῇ διδαχῇ καὶ τοῦ τριστέγου κατενεχθέντα τῶν νεκρῶν ἀνέστησεν.

15. Ἐκεῖθεν ὁ Παῦλος εἰς τὴν Ἄσσον ἀνάγεται καὶ τὴν Μιτυλήνην οὕτω καταλαμβάνει· τῇ ἑξῆς ἀντικρὺ Χίου γίνεται καὶ τῇ ἑτέρᾳ τὴν Σαλαμίνην καταλαμβάνει καὶ μείνας ἐν Στρογγύλῃ εἰς Μίλητον ἕωθεν παραγίνεται, εἰς ἣν ἐξ Ἐφέσου μετακαλεῖται τοὺς πρεσβυτέρους καὶ περὶ πίστεως διαλέγεται καὶ ὧν ἔμελλεν ὑπομένειν ἐν Ἱερουσαλήμ· εἶτα τὴν νῆσον, ἣν Κῶν ὀνομάζουσι, πεφθακὼς κἀκ ταύτης τὴν Ῥόδον κατειληφὼς τὰ Πάταρά τε καὶ τὴν Τύρον καταλαβὼν καί τισι τῶν μαθητῶν ἐν ἑπτὰ συναμιλληθεὶς ἡμέραις εἰς Πτολεμαΐδα γίνεται κἀκεῖθεν εἰς Καισάρειαν ἀφικνεῖται καὶ παρὰ Φιλίππῳ τῶν ἑπτὰ διακόνων κατάγεται ἑνὶ καὶ οὕτω πρὸς Ἱερουσαλὴμ παραγίνεται, ἥπερ ἡμέραις ἁγνισθεὶς ἐφ' ἑπτὰ εἰσήει τὸ | col. 2 ἱερόν. καὶ Ἰουδαῖοι χεῖρας ἐπιβαλόντες [ἐπ'] αὐτόν «Βοηθεῖτε» ἔκραζον, «ἄνδρες Ἰσραηλῖται». ἐφ' ᾧ καὶ τὸν ὄχλον εἰς ἀναίρεσιν αὐτοῦ κεκινήκασιν· ἀλλ' ὁ χιλίαρχος ἐξαιρεῖται τοῦτον ἐπιστὰς καὶ πρὸς Καισάρειαν ἐκπέμπει τῷ Φήστῳ (ἐθνάρχης οὗτος ἐτύγχανεν)· ἐπιβοᾶται Παῦλος ἐπὶ βήματος Καίσαρα, πονηρὰν κατ' αὐτοῦ συσκευὴν ὑπιδόμενος, καὶ λοιπὸν πρὸς ἐκεῖνον ἐκπέμπεται.

16. Διελθὼν τοίνυν τὴν Σιδῶνα καὶ τὴν Κύπρον αὐτήν, ναὶ δὴ καὶ τὸ τῆς Κιλικίας καὶ Παμφυλίας πέλαγος, τὰ Μύρα τῆς Λυκίας καταλαμβάνει, ἐκεῖθέν τε τῇ Κνίδῳ παραβαλὼν καὶ τὴν Κρήτην κατὰ Σαλμώνην ἐκπλεύσας, εἰς Καλοὺς οὕτω καλουμένους λιμένας καταίρει καὶ τὴν Κρήτην παραλεγόμενος ἀνέμου βίαις (Εὐροκλύδωνα τοῦτον καλοῦσιν) εἰς Κλαύδην ἔρχεται νῆσον. τῆς νηὸς οὖν f. 80 ἐν τούτῳ || διαλυθείσης Μελίτη νῆσος ἐκδέχεται σεσωσμένους αὐτούς· ἔνθα καὶ φρυγανιζομένῳ τῷ Παύλῳ ἔχις αὐτοῦ καθήψατο τῆς χειρός, ἣ καὶ ἐκτινάσσεται παρ' αὐτοῦ τῷ πυρί. θεὸς ὁ Παῦλος νομίζεται. δυσεντερίας ἀπαλλάξας τὸν Ποπλίου πατέρα, πλοίου ἐπιβὰς τὴν Συράκουσαν, εἶτα τὸ Ῥήγιον, τοὺς Ποτιόλους καὶ τὴν μεγίστην οὕτω Ῥώμην ὁ Παῦλος καταλαμβάνει· οὗ τὴν ἄφιξιν οἱ ἀδελφοὶ ἐγνωκότες τούτου ἐξῄεσαν εἰς ὑπάντησιν ἄχρις Ἀππίου φόρου καὶ Τριῶν Ταβερνῶν. ἔνθα δὴ καὶ διετίαν πεποίηκε φυλαττόμενος ὑπὸ στρατιωτῶν.

17. Καὶ ταῦτα μὲν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν ἱστορεῖ· ἐκεῖσε γὰρ τὸν Παῦλον λιπὼν πρὸς τὰς Θήβας ἀπῆρε τῆς Βοιωτίας. ἀλλ'

2 ἐνῇ || 5 ἄσον || 10 κὼν || 16 ἐπ' *inserui coll. Act. 21, 27* || 21 ὑπειδόμενοσ || 22 σιδόνα || 24 ἐκεῖθεν τὲ || 30 Θδ

Εὐσέβιος ὁ τὴν ἐκκλησιαστικὴν ἱστορίαν συγγεγραφὼς τότε μὲν ἀπολογησάμενον ἐπὶ Νέρωνος λέγει Παῦλον ἀπολυθῆναι καὶ ἔτεσιν ἀδεῶς καὶ ἀνέτως ἐν ὅλοις δέκα τὸν | λόγον κηρῦξαι, ἐν οἷς τὴν Ἱσπα- col. 2 *νίαν, τὴν Ἰταλίαν καὶ τὰς Γαλλίας καταλαβεῖν.*

Ἀλλ' ἄξιον τὸ πρὸς τοῦ ἀποστόλου ταύτῃ πραχθὲν οἷον ἥδυσμά τι τῷ διηγήματι παρενεῖραι. γύναιόν τι τῶν ἐπισήμων, πάλαι γεγονὸς τοῦ Παύλου κατήκοον, ὄψιν ἰδεῖν ἐκείνου, οὗ τῶν λόγων ἀκούσοι, δι' ἐφέσεως εἶχεν· ὃν ἐπεὶ διὰ τῆς ἀγορᾶς ἴδοι βαδίζοντα, τῇ πρὸς ἄνδρα παρακλήσει ξενίζει (Πρόβος οὗτος κατωνομάζετο) καὶ ὁρᾷ, ὢ θαύματος ἐξαισίου, γράμματα τούτου τῷ μετώπῳ κεχαραγμένα χρυσᾶ, «Παῦλος ὁ τοῦ Χριστοῦ κῆρυξ» διαγορεύοντα. ἔνθεν τοι καὶ πιστεύει τούτῳ ⟨καὶ⟩ παρ' εὐθὺ καὶ Ξανθίππη μετονομάζεται· καὶ Πρόβος δὲ βαπτίζεται μετ' αὐτήν, ναὶ δὴ καὶ Φιλόθεος ὕπαρχος καὶ καθ' ἑξῆς ἅπαντες οἱ τῆς χώρας ἐκείνης. ὅτι δὲ ὁ Παῦλος ἐν Ἱσπανίᾳ γέγονεν, αὐτὸς ἐν τῇ πρὸς Ῥωμαίους φησίν· «Ἐπιθυμίαν δὲ ἔχω τοῦ ἐλ||θεῖν πρὸς ὑμᾶς· ὡς ἐὰν εἰς τὴν Ἱσπανίαν ἐλεύσω- f. 80v *μαι, πρὸς ὑμᾶς πορεύσομαι». καὶ ταῦτα μὲν εἰς τοσοῦτον.*

18. Εἰς ἄκρον δὲ μανίας Νέρων ἐληλακὼς καὶ Ἀγριππίναν ἀνεῖλε τὴν τεκοῦσαν αὐτόν, τὴν ἀδελφήν τε τοῦ πατρὸς καὶ Ὀκταουΐαν τὴν αὐτοῦ γαμετήν, ναὶ δὴ καὶ προσήκοντας ἄλλους οὐκ ὀλίγους κατὰ γένος αὐτῷ· εἶτα καθολικὸν ὁ πανώλης κινεῖ κατὰ πιστῶν διωγμόν, ἐφ' ᾧ δὴ καὶ Παῦλος ἑάλω ὁ τὰ πάντα σοφός, τριακοστῷ μὲν καὶ ἕκτῳ ἔτει τοῦ δεσποτικοῦ πάθους Χριστοῦ, τρισκαιδεκάτῳ δὲ τῆς βασιλείας Νέρωνος τοῦ δεινοῦ. καὶ ξίφει τέμνῃ, πανάριστε, τὴν πανέντιμον κεφαλὴν καὶ συνάπτῃ Πέτρῳ τῷ συναγωνιστῇ κἀν ταῖς οὐρανίαις σκηναῖς. αἷς ἐμφιλοχωροῦντες, πανέντιμοι, μέμνησθε καὶ βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ τὰ πάντα καλοῦ, μῆκος ζωῆς ἀγαθῆς χαριζόμενοι τούτῳ ταῖς πρὸς Χριστὸν ἱκεσίαις ὑμῶν, | ἰλύος col. 2 *παθῶν ποιοῦντες ἐλεύθερον, χαλεπῶν πολέμων ἀνώτερον, ἀπηνῶν βαρβάρων ἐπικρατέστερον, ἡδύν, χαρίεντα καὶ ὅλως εὐφρόσυνον, λύμης αἱρετικῶν ἀμέθεκτον, πάντων καλῶν ἀθανάτων μέτοχον καὶ βασιλείας Θεοῦ τῆς μεγάλης ἐπάξιον· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

9 *κατονομά|ζετο* || 11 *χρυσὰ — κήρυξ — ἔνθέν τοι* || 12 *παρευθὺ* || 14 *καθεξῆσ* || 18 *Ἄκρον — γριππίναν* || 21 *καταγέ|νοσ* || 22 *ἑάλωσ* || 23 *τρισκαίδεκάτῳ*

1 *Εὐσέβιος*: cf. Hist. eccles. II, 22, 1—2.

15—17: Rom. 15, 23—24 ita legitur: *ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ ἱκανῶν ἐτῶν, ὡς ἂν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς ὑμᾶς* (ultima tria verba nonnulli tantum codd. habent).

Μηνὶ τῷ αὐτῷ λ'.

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΣΥΝΑΞΙΝ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΩΝ ΙΒ' ΑΠΟΣΤΟΛΩΝ.

1. Τὰς τοῦ καθ' ἕκαστον τῆς δωδεκάδος τῶν ἀποστόλων μνήμας καὶ ἄλλαι μὲν ἔχουσιν ἡμέραι τοῦ ἐνιαυσιαίου κύκλου, καθ' ἃς δὴ καὶ τὰ περὶ τούτων ἡ τῶν φιλοπόνων ἀνδρῶν σπουδὴ συνεγράψατο· ἡ σήμερον δὲ συνηγμένως, ὥσπερ ἔχει, τούτους καὶ λαμπρῶς ἑορτάζει, πατρικῶν ἐκ παραδόσεων τοῦτο παραλαβοῦσα· χρὴ f. 81 *τοίνυν συντετμημένῳ λόγῳ τὴν || ἀνάμνησιν αὐτῶν, ὅπου τε ἕκαστος τὸν λόγον ἐκήρυξε διαλαβεῖν καὶ οἵῳ τέλει καὶ ποῦ ἀπέλιπε τὸν βίον, ἵν' εὐσύνοπτα εἴη διὰ βραχέων ταῦτα καὶ γνώριμα τοῖς πολλοῖς.*

2. Πέτρος ὁ στερρὸς τῆς ἐκκλησίας θεμέλιος ἐν Ἰουδαίᾳ μὲν πρῶτον καταγγέλλει τὸ εὐαγγέλιον, εἶτα κατὰ τὴν Ἀντιόχου καὶ οὕτως ἐν Πόντῳ καὶ Γαλατίᾳ, Καππαδοκίᾳ τε καὶ Ἀσίᾳ καὶ Βιθυνίᾳ, ναὶ δὴ καὶ κατ' αὐτὴν τὴν πρεσβυτέραν Ῥώμην καὶ πρώτην τῶν πόλεων· ἐν ᾗ καὶ παρὰ Νέρωνος τοῦ δυσσεβοῦς σταυρωθεὶς κατὰ κεφαλῆς τὸν βίον ἀπέλιπε καὶ πρὸς τὴν ἀνώλεθρον ζωὴν μεταβέβηκε, τῶν πόνων ἀποληψόμενος τοὺς καρπούς.

3. Ἰάκωβος ὁ κλεινός, ὁ τοῦ Ζεβεδαίου υἱὸς καὶ ἀδελφὸς Ἰωάννου, ἐν ὅλῃ τῇ περιχώρῳ τῆς Ἰουδαίας τὸν Χριστὸν Θεὸν κηρύξας ἀληθινόν, ὑπὸ Ἡρῴδου τοῦ Ἀγρίππα διὰ τὸ εὐπαρρησίαστον col. 2 *αὐτοῦ μαχαίρᾳ | πικρῶς σφαγιάζεται. ναὶ δὴ καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ θεολόγος καὶ τούτου δὴ τοῦ Ἰακώβου αὐτάδελφος γνησιώτατος, ὃς καὶ ἀνέπεσεν ἐν τῷ στήθει κυρίου, ἐν Ἀσίᾳ καὶ οὗτος καταγγείλας τὸν λόγον, ὑπερορίαν ἐν Πάτμῳ τῇ νήσῳ καταδικάζεται, Δομετιανοῦ τοῦ δυσσεβοῦς βασιλέως τοῦτο προστάξαντος· ἐν ᾗ πολλὰ πλήθη διδάξας ἀνδρῶν καὶ βαπτίσας προσήγαγε τῷ Χριστῷ· εἶτα μετὰ τελευτὴν Δομετιανοῦ τῆς ἐξορίας ἐπανιὼν ἐν*

4 *Τὰσ* || 11 *διαβραχέ|ων* || 14 *καταγγέλει* || 15 *τὲ* || 18 *κατακεφαλῆσ* || 25 *ἐνασία* || 29 *μετατελευτὴν — ἐνεφέσω*

Ἐφέσῳ καὶ ἡμερῶν γενόμενος πλήρης τῶν τε λυομένων καὶ τῶν τοῦ πνεύματος καὶ πλεῖστα θαυμάσια τετελεκὼς πρὸς τὰς ἀθανάτους μετέβη σκηνάς.

4. Καὶ ὁ καλὸς Ἀνδρέας ὁ πρωτόκλητος καὶ τοῦ μεγάλου Πέτρου γνησιώτατος ἀδελφός, τὴν παράλιον ἅπασαν Βιθυνίας τε καὶ Πόντου καὶ Ἀρμενίας περιὼν καὶ τὸν λόγον καταγγείλας τῆς χάριτος, ὑπέστρεψε διὰ τοῦ Πόντου καὶ Βυζαντίδος καὶ || τὴν Ἑλλάδα f. 81v κατέλαβε κἀν ταῖς Πάτραις τῆς Ἀχαίας γενόμενος σταυρῷ καὶ αὐτὸς ὑπὸ Αἰγεάτου παραδοθεὶς διαβέβηκε πρὸς τὰς ἄνω μονάς.

5. Φίλιππος ὁ σοφὸς ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας ὁρμώμενος, συμπολίτης ὢν Ἀνδρέου καὶ Πέτρου, καὶ αὐτὸς ἐν Ἀσίᾳ καὶ Ἱεραπόλει σὺν Μαριάμνῃ τῇ ἀδελφῇ αὐτοῦ καὶ τῷ Βαρθολομαίῳ τὸν θεῖον τοῦ εὐαγγελίου σπόρον καταβαλόμενος ὑπὸ τῶν ἀπίστων σταυρωθεὶς τελειοῦται.

6. Θωμᾶς ὁ καὶ Δίδυμος κατονομαζόμενος, τῆς Ἰουδαίας γῆς καὶ οὗτος ὁρμώμενος, Πάρθοις καὶ Μήδοις, Πέρσαις καὶ Ἰνδοῖς τὸν Χριστὸν Θεὸν καταγγείλας λόγχαις ὑπ' αὐτῶν ἀναιρεῖται. καὶ Βαρθολομαῖος δὲ ὁ σεμνὸς ἀπόστολος, Ἰνδοῖς τοῖς καλουμένοις εὐδαίμοσι τὸ Χριστοῦ κηρύξας καλῶς εὐαγγέλιον, σταυρῷ καὶ αὐτὸς ἀναρτᾶται παρ' αὐτῶν ἐν Ἀρβανουπόλει τῆς Ἀραβίας καὶ πρὸς τὰς ἀΰλους μεταβαίνει σκηνάς. |

7. Ὁ εὐαγγελιστὴς Ματθαῖος ὁ καὶ Λευὴς καὶ ἀδελφὸς Ἰακώβου col. 2 τοῦ Ἀλφαίου, ὁ τελώνης καὶ εὐαγγελιστής, ὁ καὶ ποιήσας δοχὴν μεγάλην τῷ Ἰησοῦ, μετὰ τὸ κήρυγμα λίθοις ὑπὸ τῶν Ἰουδαίων βληθεὶς ἐν Ἱεραπόλει τῆς Συρίας πρὸς κύριον ἐξεδήμησε, τὰς τῶν πόνων ἀποληψόμενος ἀμοιβάς.

8. Ἰούδας ὁ ἀδελφὸς Ἰακώβου, υἱὸς δὲ Ἰωσὴφ τοῦ μνηστῆρος, πάσῃ τῇ Μεσοποταμίᾳ κηρύξας τὸν Χριστὸν Θεὸν καὶ ποιητὴν τῶν ἁπάντων καὶ ἐν Ἀραρὰτ τῇ πόλει γενόμενος ὑπὸ τῶν δυσσεβῶν ἀναρτηθεὶς καὶ τοξευθεὶς τὸν βίον ἀπέλιπε καὶ πρὸς τὴν ἀγήρω διέβη μακαριότητα.

9. Σίμων ὁ ἐπικληθεὶς Ἰούδας, ὁ τοῦ Ἰωσὴφ υἱός, δεύτερος ἐπίσκοπος γεγονὼς Ἱεροσολύμων καὶ ζήσας χρόνους εἴκοσι πρὸς τοῖς ἑκατόν, ἐν Ἐλευθερουπόλει τε καὶ Γάζῃ καὶ ἕως Αἰγύπτου κηρύξας τὸ εὐαγγέλιον, σταυρῷ παραδίδοται ὑπὸ Τραιανοῦ || τοῦ f. 82 βασιλέως καὶ θάπτεται ἐν Ὀστρακίνῃ τῆς Αἰγύπτου.

5 τὲ || 7 βῦζαντίδοσ || 8 κἂν || 11 Φίλιπποσ || 12 ἐνασία || 16 Θωμᾶσ || 19 βαρ||θολομαῖοσ || 21 ἐναρβανουπό|λει || 29 πάσῃ || 30 ἐναραρὰτ || 31 ἀγείρω || 33 ὁ *post* Σίμων *bis scriptum* || ibid. του *accentu caret* || 35 τὲ

10. Σίμων ὁ ζηλωτής, ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, πᾶσαν τὴν Μαυριτανίαν καὶ τὴν τῶν Ἄφρων χώραν διελθὼν καὶ κηρύξας τὸ τοῦ Χριστοῦ εὐαγγέλιον καὶ ὑπ᾽ αὐτῶν σταυρωθεὶς ἐκεῖσε θάπτεται.

11. Ματθείας ὁ συγκαταριθμηθεὶς τοῖς ἕνδεκα μαθηταῖς ἀντὶ τοῦ ἐκπτώτου Ἰούδα, ἐν τῇ πρώτῃ Αἰθιοπίᾳ κηρύξας τὸν Χριστὸν Θεὸν ἀληθινὸν καὶ ποιητὴν τῶν ὅλων, πολλαῖς ἐκδοθεὶς ὑπ᾽ αὐτῶν τιμωρίαις τελειοῦται καὶ θάπτεται ἐκεῖσε καὶ πρὸς τὴν ἀνώλεθρον ζωὴν μετατίθεται.

12. Ταῦτα τῆς ὑμῶν κοσμικῆς, ἀπόστολοι, τῆσδε [διαγωγῆς] τὰ καθ᾽ ἕκαστον ὑπομνήματα, λόγῳ συμπεριειλημμένα ἐπιτόμῳ τε καὶ σαφεῖ· ὑμεῖς δὲ ταῖς ἄνω συγχορεύοντες ὁμοῦ στρατιαῖς τῶν ἀγγέλων καὶ τῷ θρόνῳ τοῦ παντάνακτος λαμπρῶς παριστάμενοι, αἰτήσασθε
col. 2 δωρηθῆναι παρ᾽ αὐτοῦ | βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλαγίῳ καὶ πᾶσι διαπρέποντι τοῖς καλοῖς μῆκος ζωῆς εὐτυχοῦς, ἰσχὺν καὶ κράτος κατ᾽ ἐναντίων, χρηστότητα καὶ τρόπων εὐθύτητα, ἄλυπον τὸ βασίλειον, ἡδὺ καὶ πανθαύμαστον, πολλοῖς τροπαίοις κοσμούμενον καὶ χειρὶ Θεοῦ τῇ πανσθενεῖ συντηρούμενον· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τέλος τοῦ Ἰουνίου μηνός.

Μηνὶ Ἰουλίῳ α΄.

ΑΘΛΗΣΙΣ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΩΝ ΑΝΑΡΓΥΡΩΝ ΚΟΣΜΑ ΚΑΙ ΔΑΜΙΑΝΟΥ ΤΩΝ ΕΝ ΡΩΜΗι ΤΕΛΕΙΩΘΕΝΤΩΝ.

1. Σὺν ἄλλοις οὐκ ὀλίγοις ἁγίοις καὶ οἱ καλοὶ οὗτοι καὶ θαυματουργοὶ καὶ μεγάλοι ἀνάργυροι τὴν Ῥώμην ἔσχον τὴν ἐπιφανῆ καὶ μεγάλην καὶ πατρίδα καὶ οἴκησιν. ἐν ταύτῃ γὰρ καὶ γεννηθέντες

3 κακεῖσε || 6 εκπτώτου *spiritu caret* || 10 διαγωγῆς *inserui dubitanter* || 11 τὲ || 12 *post* στρατιαῖς *duodecim fere litterae erasae* || 13 παρίσταμενοσ || 26 οὐκολίγοισ

21 Post verba Τέλος κτλ. in codice eadem manu scripti sunt versus:

+ Ἡ χεὶρ μὲν ἡ γράψασα σήπεται τάφῳ,
γραφὴ δὲ μένει (μείνη cod.) εἰς πληρεστάτους χρόνους.

καὶ τραφέντες καὶ καλῶς ἀναχθέντες || καὶ τῷ ἁγίῳ τελεσθέντες f. 82v βαπτίσματι καὶ τὰς κλήσεις ταύτας ἐπλούτησαν, Κοσμᾶς καὶ Δαμιανὸς θεϊκῆς ἐκ προνοίας ὀνομασθέντες. καὶ μή τις τῇ ὁμωνυμίᾳ τοὺς τῆς Θεοδότης υἱοὺς δόξῃ τούτους· ἄλλοι γὰρ οὗτοι καὶ ἄλλοι ἐκεῖνοι. οὗτοι μὲν γὰρ καὶ ἐκ Ῥώμης, ὡς εἴρηται, καὶ ἐν αὐτῇ τὸν τοῦ μαρτυρίου δίαυλον, ὡς προϊὼν ὁ λόγος παραστήσει τρανῶς, ἠγωνίσαντο καὶ ἐπὶ Καρίνου τοῦ βασιλέως· ἐκεῖνοι δὲ καὶ ἐξ Ἀσίας γεγόνασι καὶ τὸν ἐκ φύσεως ἐκοιμήθησαν θάνατον. πλὴν εἰσὶ καί τινες ἕτεροι τὴν αὐτὴν κλῆσιν αὐτοῖς πεπλουτηκότες καὶ τῆς αὐτῆς αὐτοῖς ἠξιωμένοι καὶ τέχνης καὶ χάριτος, τοὺς ἐξ Ἀραβίας καταγομένους φημὶ καὶ παρὰ Διοκλητιανοῦ τὰς κεφαλὰς ἐκτμηθέντας, μεγάλους καὶ τούτους ἀναργύρους τυγχάνοντας καὶ Κοσμᾶν καὶ Δαμιανὸν καλουμένους. περὶ ὧν νῦν καὶ τῶν τῆς Θεοδότης υἱῶν εἰπεῖν οὐκ ἔστι καιρός, | ἀλλὰ δὴ περὶ τούτων μόνων τῶν ἐκ Ῥώ- col. 2 μης ὡρμημένων κἀνταῦθα τελειωθέντων.

2. Οὗτοι τοιγαροῦν οἱ θαυμάσιοι, καὶ γένους ἐκ περιφανοῦς καταγόμενοι καὶ πλούτῳ κομῶντες πολλῷ, τὴν ἀρετὴν [μᾶλλον] ἠγάπησαν ἢ τὴν δόξαν. διὸ καὶ πᾶσαν μὲν ἄλλην θεόπνευστον γραφὴν φιλοπονησάμενοι καὶ πάντα πλοῦτον ταῖς τῶν πενήτων χερσὶν ἐκκενώσαντες, καὶ ἰατρικῆς ἐπιστήμης τῷ συμπαθεῖ τῆς ψυχῆς ἐπεμέλοντο, καὶ μέντοι δὴ καὶ πρὸς τὸ αὐτῆς ἀκρότατον ἦλθον καὶ θεραπεύοντες ἦσαν καὶ τέχνης μὲν ἐμπειρίᾳ τὰ τῶν ἀνθρώπων, ἀλλὰ δὴ καὶ τῶν ἀλόγων αὐτῶν ἀρρωστήματα, πολλῷ δὲ μᾶλλον εὐσεβείᾳ τῇ πρὸς Θεόν, καθαρότητι βίου καὶ πνεύματος μετοχῇ τοῦ ἁγίου· τοσοῦτον γὰρ ἦν αὐτοῖς τὸ συμπαθὲς καὶ τὸ μέτριον. καὶ μισθὸν τῆς ἰατρείας οὐκ ἄλλον, ἢ μόνον τὴν εἰς Χριστὸν ἀπῄτουν ἐξ ἀνθρώπων ὁμολογίαν καὶ πίστιν· τοῦτο || γὰρ αὐτοῖς ἐσπου- f. 83 δάζετο μᾶλλον, καλῶς ἐκμελετήσασι τὸ «δωρεὰν ἐλάβετε, δωρεὰν δότε».

3. Τοιοῦτοι τοίνυν ὄντες καὶ τοσοῦτοι τὴν ἀρετὴν διαβάλλονται τῷ βασιλεῖ Καρίνῳ, ὡς εἴησαν τοῖς χριστιανῶν προσκείμενοι δόγμασι Κοσμᾶς καὶ Δαμιανὸς οἱ ἰατροὶ καὶ πάντας μαγείαις ὁμοῦ τε θεραπεύουσι καὶ τῷ ὑπ' αὐτῶν προσάγουσι κηρυττομένῳ Χριστῷ, τοῦτον λέγοντες τὴν ῥῶσιν αὐτοῖς τῶν νοσημάτων χαρίζεσθαι, Γαληνὸν δὲ μηδὲν εἶναι τὸ σύνολον, μήτ' αὐτὸν Ἱπποκράτην τοὺς μεγίστους, μηδέ τινα τὸ παράπαν ὄνησιν τοῖς ἀνθρώποις αὐτοὺς ἐμποιεῖν. τούτοις καταβροντήσαντες οἱ ἀσεβεῖς τοῖς λόγοις τὰς

4 Γὰρ || 7 ἐξασίασ || 9 Τινεσ — πεπλουτικότεσ || 13 Νῦν || 15 κἀνταύθη || 17 μᾶλλον *inserui* || 30 Τοιοῦτοι || 32 τὲ || 35 μὴ δὲν

28—29 δωρεὰν — δότε: Matth. 10, 8.

ἀκοὰς τοῦ Καρίνου· τίνες δὲ οὗτοι; οἱ τὴν ἰατρικὴν πάντως φιλο-
πονοῦντες, κενὰ τὰ ἑαυτῶν ἐργαστήρια βλέποντες καὶ ἀπράκτους
ἑαυτοὺς καθημένους· εἰς τί γὰρ καὶ εἶχον οἱ νοσοῦντες αὐτοῖς προσ-
col. 2 ιέναι, καὶ μισθοὺς | ἀπαιτοῦσι καὶ μηδὲν ὠφελοῦσι; διὸ δὴ πάντες
πρὸς τοὺς ἀναργύρους ἔτρεχον, τοὺς ἀναργύρους ἠγάπων, τοὺς
ἀναργύρους ἔβλεπον, τὴν παρὰ τῶν ἀναργύρων ἐλάμβανον ἴασιν
καὶ χαίροντες ἐπανῄεσαν οἴκαδε.

4. Τούτοις, ὡς λέλεκται, παραπληξάντων αὐτῶν τὸν Καρῖνον,
ὀργῆς ἐκεῖνος πληροῦται καὶ πάντας μὲν κελεύει τοὺς τῷ Χριστῷ
πεπιστευκότας διὰ τῶν ἀναργύρων συσχεθῆναί τε καὶ τούτου τῷ
βήματι παραστῆναι, ναὶ δὴ καὶ τούτους αὐτοὺς τοὺς γενναίους.
πολλῶν οὖν συνεχομένων καὶ τιμωρίαις ὑπαγομένων πικραῖς οἱ
ἅγιοι, δι' αὐτοὺς ὡσανεὶ τοῦτο γίνεσθαι δόξαντες, αὐθόρμητοι πρὸς
τὰς κολάσεις ἐχώρησαν καὶ τῷ βήματι τοῦ κρατοῦντος προσῆλθον
καὶ ἑαυτοὺς κατήγγειλαν εἶναι τοὺς ἰατροὺς Κοσμᾶν τε [καὶ] Δα-
μιανόν. ἔνθεν τοι καὶ κρατηθέντες πρὸς ἄρνησιν ἐκκαλοῦνται Χρι-
f. 83v στοῦ. καὶ ἐπεὶ || μηδαμῶς ἐπείθοντο, βασάνοις, φεῦ, ὑπεβάλλοντο
χαλεπαῖς, μάστιξι καὶ καύσεσι καὶ τομαῖς.

5. Ὡς οὖν οὐχ ἥπτοντο τῶν μαρτύρων αἱ βάσανοι, βλασφήμοις
ὁ Καρῖνος ῥήμασιν ἐχρῆτο κατὰ Χριστοῦ· ἀλλ' ἔσχε τῆς ἀνοίας κατὰ
πόδας τὰ ἐπιτίμια· ἐστράφη γὰρ τὸ πρόσωπον αὐτοῦ κατὰ νῶτον,
καὶ ἦν οὕτως ἐκτετραχηλισμένος παρὰ πάντων ὁρώμενος, θέαμα
δεινὸν καὶ ἐλεεινὸν καὶ ψυχὰς φιλανθρώπους εἰς ἔλεον ἐκκαλούμε-
νον· ὃν οἱ ἅγιοι κατοικτείραντες, τοῦ πάθους μεταμελόμενον, ἐφ'
οἷς ἐποίει τε καὶ ἐλάλει, καὶ συγγνώμην αἰτοῦντα καὶ τὴν εἰς τὸ
πρῶτον ἀποκατάστασιν, ὑγιᾶ πεποιήκασιν ὡς τὸ πρότερον.

6. Πολλοὶ οὖν, ἀλλὰ καὶ αὐτὸς σὺν ἅπασι τοῖς αὐτοῦ τῷ Χριστῷ
προσελθόντες καὶ Θεὸν αὐτὸν ὡμολογηκότες καὶ κύριον, τῆς τοῦ
θείου βαπτίσματος ἠξιώθησαν χάριτος. ἔνθεν τοι καὶ ἀπελύθησαν
col. 2 οἱ ἅγιοι ἐντίμως | ἐν τοῖς ἰδίοις. χρόνῳ δὲ ὕστερον, μὴ φέροντος
τοῦ πατρὸς τοῦ φθόνου τὰ μεγαλουργὰ θαύματα τῶν ἁγίων ὁρᾶν,
τινὰς τῶν ἰατρῶν κατ' αὐτῶν ἐξεγείρει, λοιμοὺς ἄνδρας καὶ
ἀπηνεῖς καὶ τῆς κακίας ἐφευρετάς· οἳ καὶ πρὸς συλλογὴν δῆθεν
αὐτοὺς προσκαλεσάμενοι βοτανῶν, ἐπιτίθενται τούτοις κατ' ὄρος
καὶ λίθοις, φεῦ, μαχαιρίσι τισὶ παραπλησίοις αὐτοὺς κατασφάτ-
τουσιν.

7. Οὗτος ὁ τρόπος τῆς ὑμῶν, ὦ πανθαύμαστοι, μαρτυρίας,
οὗτοι οἱ ἀγῶνες, ταῦτα τὰ σκάμματα. ἀλλὰ σκοπεῖτέ μοι καὶ τὰς

4 μὴ δὲν || 7 ἐπανίεσ(αν) || 8 λέλε|Κται || 15 κοσμᾶν τὲ || ibid. καὶ inserui ||
16 ἔνθέν τοι || 20 ἀννοίασ || 23 ἔλαιον || 25 ἐποίει τὲ

ἀντιδόσεις αὐτάς. καὶ τίνες αὗται; ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν οὐκ ἀνέβη ἀνθρώπου. καὶ νῦν τῷ παμβασιλεῖ τῶν ὅλων Χριστῷ παριστάμενοι, πανοαοίδιμοι, νέμοιτε ταῖς πρὸς αὐτὸν ὑμῶν εὐκτικαῖς ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μῆκος ζωῆς καὶ καλῶν ἀφθονίαν, ἰσχὺν τῆς || ψυχῆς καὶ *f. 84* σώματος τὴν ῥῶσιν· χειρὸς αὐτὸν θείας περιζώσατε σθένος, ἀλήκτου δόξης συμμέτοχον δεικνύντες, ἡμέρας υἱὸν τῆς ὄντως ἀνεσπέρου, λαμπροῖς συνηδόμενον χοροῖς ἀγγέλων, πάντων δικαίων τῇ τερπνῇ συναυλίᾳ καὶ βασιλείας οὐρανῶν κληρονόμον εἰς δόξαν πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος, τῆς ἀδιαιρέτου καὶ μιᾶς μοναρχίας, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ β΄.

Η ΕΝ ΒΛΑΧΕΡΝΑΙΣ ΚΑΤΑΘΕΣΙΣ ΤΗΣ ΤΙΜΙΑΣ ΕΣΘΗΤΟΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ.

1. Λέοντος τοῦ μεγάλου καὶ Βηρίνης τῆς ὁμοζύγου τούτῳ τῶν Ῥωμαϊκῶν σκήπτρων τὴν βασίλειον διιθυνόντων ἀρχὴν καὶ πάσης γαλήνης τῆς ὑπὸ Ῥωμαίους ἀπολαυούσης, Γάλβιος καὶ Κάνδιδος οἱ αὐτάδελφοι πατρίκιοι, οὓς καὶ κατὰ γένος προσήκειν Ἀρδουβαρίῳ καὶ Ἄσπαρι λέγεται κἀντεῦθεν μὴ ὑ|γιῶς ἔχειν περὶ τὴν πί- *col. 2* στιν αὐτούς, ἀλλὰ τὰ Ἀρείου νοσεῖν, εἰ καὶ μετὰ ταῦτα τοῦ πνεύματος ἡ χάρις μετήγαγε τούτους πρὸς τὴν ἀλήθειαν, πόθον ἔσχον τοῦ τὰ Ἱεροσόλυμα κατιδεῖν προσκυνήσεως ἕνεκα τῶν ἁγίων ἐκείνων καὶ σεβασμίων τόπων, οἳ τὰς τοῦ ἐμοῦ Χριστοῦ διατριβὰς εἶδον καὶ τὰ παράδοξα θαύματα. ὃ δὴ καὶ γίνεται τούτοις, Λέοντος καὶ Βηρίνης συνευδοκησάντων εἰς τοῦτο, φίλων καὶ οἰκείων πλῆθος ἐπαγομένοις.

2. Ὡς οὖν ὁδοῦ εἴχοντο καὶ ἤδη κατὰ Παλαιστίνην ἐγίνοντο, τὴν εἰς Γαλιλαίαν φέρουσαν προτιμῶσι μᾶλλον τῆς παραλίου, πλείονα λόγον θέμενοι τοῦ καὶ τῆς Ναζαρὲτ θεαταὶ γενέσθαι καὶ τῆς

1 αυται || 2 ανέβη *sine spiritu* || 10 ἀδι|αιρέτου || 11 πάσα || 15 ὑπὲρ ἁγ(ίας) || 19 καταγένοσ || 28 καταπαλαιστίνην

1—2 ἃ ὀφθαλμὸς — ἀνθρώπου: 1 Cor. 2, 9.

Καπερναούμ, ὧν ἡ μὲν ἱερὸν τῆς Θεοτόκου γέγονεν οἰκητήριον (ἐν ταύτῃ γὰρ προελθόντα τὸν Θεὸν λόγον ἐξ αὐτῆς ἐθεάσατο), ἡ δὲ φίλον αὐτοῦ καὶ σύνηθες καταγώγιον. ἐνταῦθα οὖν, ὥσπερ ἔφημεν, [f. 84ᵛ] *γενομένοις || τοῖς πατρικίοις, ἐπείπερ ὁ καιρὸς οὐκ ἐδίδου χωρεῖν περαιτέρω (ἑσπέρα γὰρ ἦν ἤδη καὶ νὺξ ἀφεγγής), κώμη μὲν αὐτοὺς ὑπεδέξατο, καὶ κώμη μικρά, ἥντινα σὺν ἄλλοις καὶ γύναιον ᾤκει ἁγνείᾳ καὶ κοσμιότητι διαπρέπον, γήρᾳ μὲν καὶ τριχῶν λευκότητι τιμωμένη, πολλῷ δὲ μᾶλλον ἀρετῶν κάλλει φαιδρυνομένη.*

3. Παρὰ ταύτῃ γοῦν τῇ γυναικὶ ὁ τῆς ἐσθῆτος οὗτος τῆς πανυμνήτου τεταμίευτο θησαυρός. πῶς δὲ τοιούτου πράγματος φύλαξ ἐκείνη ἦν, εἰ μὴ καὶ ἀρεταῖς καὶ ψυχῆς κεκόσμητο καθαρότητι; καίτοι γε Ἑβραία ἦν ἡ γυνή (φίλη γὰρ ἡ ἀλήθεια)· πλὴν ἀλλὰ τὴν ἐκείνης ψυχὴν χωρίον ἂν εἴπες τὸ μὲν νῦν ἔχον ἀφεγγές, εὔχρηστον δὲ πρὸς ὑποδοχὴν φωτὸς καὶ ἀκριβῶς ἐπιτήδειον· καὶ ἡ οἰκονομία θεία κἂν τούτῳ φανερῶς [ὤφθη], ἵνα καὶ πιστευθῇ πλεῖον τὸ χρῆμα [col. 2] *φανερωθὲν παρ᾿ οὕτως ἐχούσῃ ταμιευόμενον, | ἥτις κρύπτειν ἔσπευδε μᾶλλον ὁπόση δύναμις. καὶ ὅρα τῆς οἰκονομίας τὸ χαριέστατον. παρὰ ταύτῃ γὰρ ἐλθόντες ἐπιξενοῦνται Γάλβιός τε καὶ Κάνδιδος οἱ σοφοί, τῆς θείας χάριτος οὕτω χειραγωγούσης αὐτούς. ἡνίκα δὲ πρὸς δεῖπνον αὐτοὺς ὁ καιρὸς ἐκάλει, κατακλιθέντες ὁρῶσιν ἕτερον ἐνδοτέρω οἴκημα, πολλῷ μὲν φωτὶ λυχνιαίῳ διαλαμπόμενον, πολλοῖς δὲ θυμιάμασί τε καὶ μύροις καταπνεόμενον, ἀλλὰ δὴ καὶ ἀρρωστούντων πλῆθος ἐν αὐτῷ κατακείμενον· ἐξ οὗ θεῖον μέν τι καὶ σεβάσμιον εἶναι τὸ βλεπόμενον ὑπενόουν, οὐ μὴν εἶχον ὅλως θηράσαι τοῦ πράγματος τὴν ἀλήθειαν.*

4. Μετακαλοῦνται τοίνυν σύσσιτον αὐτοῖς γενέσθαι τὸ καλὸν ἐκεῖνο γραΐδιον, γνῶναί τι τοῦ ζητουμένου γλιχόμενοι παρ᾿ αὐτῆς. [f. 85] *ἡ δὲ ἀνένευε πρὸς τοῦτο, τὴν θρη||σκείαν αἰτιωμένη καὶ ὡς οὐ θεμιτὸν Ἑβραίᾳ οὔσῃ τροφῆς χριστιανοῖς συμμετέχειν. οἱ δὲ γνῶναι τὸ πρᾶγμα ζητοῦντες καὶ ἔτι προθύμως ταύτην ἐκάλουν, «Τί» λέγοντες «ἐμποδών ἐστιν, εἰ τὰ συνήθη σου πρὸς βρῶσιν λαβοῦσα ἡμῖν μὲν ὁμιλεῖς, τροφῶν δὲ τῶν σῶν κοινωνεῖς;» πείθεται τούτοις ἡ γυνὴ καὶ συνέρχεται. καὶ ἐπεὶ μετέσχον τροφῆς ἱκανῶς, τί ποτε ἄρα εἶεν τὰ τῷ ἐνδοτέρω οἴκῳ τυγχάνοντα, διηρώτων αὐτήν. ἡ δὲ τὰ μὲν τελούμενα θαύματα λέγει, δι᾿ οὗ δὲ τελοῦνται, οὐδαμῶς ἐκκαλύπτει. «Ὁρᾶτε γάρ, ὦ θειότατοι, τῶν νοσούντων» εἶπε «τὸ πλῆθος. καὶ γὰρ ἐν τῷδε τῷ τόπῳ δαίμονες μὲν ἐξελαύνονται, τυφλοὶ*

10 τοιοῦτον || 15 ὤφθη **inserui dubitanter** || 20 Δεῖπνον || 23 μέν τοῖ || 24 θηρᾶσ$^{\theta\iota}$ || 30 Πρᾶγμα || 31 ἐμποδῶν — ἡ τὰ συνήθει

δὲ τὸ βλέπειν, χωλοὶ τὸ περιπατεῖν καὶ κωφοὶ τὸ ἀκούειν κομίζονται». οἱ δὲ συνετοὶ ὄντες καὶ λογιώτατοι, καὶ πόθεν τὴν ἀρχὴν ὁ τόπος | τοιαῦτα εἴληφεν ἐνεργεῖν ἤροντο. κἀκείνη «Παρ' ἡμῖν» ἔφη col. 2 «τοῖς Ἑβραίοις πατροπαράδοτος ἐπικρατεῖ λόγος τὸν Θεὸν ἐν τῷδε τῷ τόπῳ ὀφθῆναί τινι τῶν πατέρων, ἐξ οὗ φυλαχθῆναι τῷ τόπῳ τὸ χάρισμα». ταῦτα λεγούσης ἐκεῖνοι τὴν καρδίαν συντιθεμένην οὐκ εἶχον, ἀλλ', ὅπερ ἦν, ὑπελάμβανον μὴ ἀληθεύειν τὸ γύναιον. τοιγαροῦν καὶ ἔτι θερμότερον ἠξίουν ἐκκαλύψαι τούτοις τὸ ἀληθές. ἐκείνη δὲ οὐδὲν πλέον ἔλεγεν εἰδέναι, ἢ ὅτι θείας χάριτος ἐμπεπλῆσθαι τὸν τόπον.

5. Ἐπεὶ δὲ οὗτοι καλῶς ἔγνωσαν διαψεύδεσθαι αὐτήν, πάντα λίθον ἐκίνουν, τὸ τοῦ λόγου, ὥστε φανερὸν αὐτοῖς γενέσθαι τὸ πρᾶγμα. διὸ καὶ ὅρκους ἐπῆγον αὐτῇ. στενάξασα γοῦν τι βύθιον καὶ δεδακρυμένον ἐκείνη, «Ὦ ἄνδρες», ἔφη, «οὐδέπω μέχρι καὶ σήμερον τὸ θεῖον τοῦτο μυστήριον ἀνδρὶ δῆλον κατέστη. ὅρκῳ γὰρ || αἱ ἐμοῦ πρόγονοι μιᾷ τοῦτο γυναικὶ παρέδοσαν, καὶ ταύτῃ παρθένῳ, f. 85v τὸ κατὰ γενεὰν τὸ μυστήριον παραδίδοσθαι. ἀλλ' ἐπείπερ ὑμᾶς θεοσεβεῖς ὁρῶ καὶ αἰδεσίμους ἄνδρας, ἄλλως τε δὲ (καὶ τοῦτο γὰρ ὑμῖν γνωριῶ) ἐπεὶ θῆλυ μέρος μετ' ἐμὲ τοῦ γένους οὐκ ἔστι μοι παρθένος, ἥτινι τὴν γνῶσιν τοῦ μυστηρίου παράθωμαι, ὑμῖν ἄρτι τοῦτο ποιῶ φανερόν. οἶμαι γάρ, ὅτι καὶ ὑμεῖς τὸν λόγον φυλάξετε. Μαρίας ἐκείνης τῆς Θεοτόκου ἐσθὴς ἐνταῦθα κεῖται φυλαττομένη».

6. Ἔφριξαν καὶ μόνην οἱ ἄνδρες ἀκούσαντες τοῦ πράγματος τὴν ἀρχήν. ἔπειτα ἡ γυνὴ «Καὶ γὰρ ἡ Θεοτόκος αὕτη» φησὶ «τελευτῶσα τὸν βίον δυσὶ γυναιξὶ παρθένοις ἐσθῆτας δύο αὐτῆς ἐν εὐλογίας μέρει δεδώρηται· ὧν ἡ μία, γένους οὖσα τοῦ ἐμοῦ πρόγονος, κομισαμένη τὸ δωρηθὲν ἐν κιβωτίῳ τε ἔθετο καὶ ταῖς τοῦ γένους ἐνετείλατο παρθένον εἶναι | τὴν κατὰ μίαν αὐτὸ διαδε- col. 2 χομένην. ἔστι τοιγαροῦν τὸ κιβώτιον ἐν ᾧ βλέπετε κεκρυμμένον οἰκήματι, καὶ ἡ ἐνοῦσα τούτῳ ἐσθὴς αὕτη τῶν γινομένων πάντων θαυμάτων αἰτία. οὗτος, ὦ ἄνδρες, ὁ ἀληθὴς λόγος τοῦ ζητουμένου· ἀλλὰ μηδεὶς γνῷ τῶν ἐν Ἱερουσαλήμ». τούτων ἀκούσαντες ἐκεῖνοι μείζονα ἔσχον τὸν φόβον, ἀλλὰ δὴ καὶ τὴν εὐφροσύνην μεγάλην.

7. Τί τοίνυν τὸ μετὰ ταῦτα; εἰς γῆν ἑαυτοὺς ῥιπτοῦσι καὶ τῶν ἐκείνης ποδῶν ἐχόμενοι «Μηδαμῶς» εἶπον, «ὦ δέσποινα (δέσποιναν γὰρ ἤδη σε καλοῦμεν, μυστηρίων τοιούτων ἠξιωμένην), μηδαμῶς

5 ὀφθῆναι τινὶ || 28 κιβωτίω τὲ || 33 μὴ δείσ — Τούτων

ἔστω σοί τις ἀμφιβολία, ὡς γνώριμόν τινι κατὰ τὴν Ἱερουσαλὴμ τὸ λαληθὲν ἡμῖν ἔσται. αὐτήν σοι μάρτυρα τὴν Θεοτόκον προβαλλόμεθα. πλὴν ἓν καὶ ἄλλο δεομένοις ἡμῖν ἐπίνευσον, ὥστε πρὸς τῷ τόπῳ ἡμᾶς, ᾧτινι τὸ θεῖον ἐναπόκειται τοῦτο, διακαθευδῆσαι». f. 86 ἐπιτρέψαντος οὖν τοῦ || γυναίου εἰσήχθησαν αἱ τούτων στρωμναί, καὶ οἱ μὲν εὐχαῖς παρ' ὅλην προσεκαρτέρουν τὴν νύκτα καὶ θερμοῖς τοῖς δάκρυσι χάριν ὡμολόγουν τῇ Θεοτόκῳ ὧν τε ἤκουσαν καὶ ὧν ἐθεάσαντο, ἐπεὶ δὲ καὶ τοὺς νοσοῦντας εἶδον ὕπνῳ κατενεχθέντας βαθεῖ, λαμβάνουσι τὸ μέτρον τοῦ κιβωτίου, αὐτό τε τοῦ ξύλου τὸ εἶδος ἐξακριβοῦνται. τὸ γύναιον κατὰ τὸν ὄρθρον ἀσπάζονται καὶ εἴ τινος δέοι τὸ ἐξ Ἱεροσολύμων ἐπιτρέψαι τούτοις ἐνεγκεῖν αὐτῇ προσειπόντες ᾤχοντο.

8. Γενόμενοι τοιγαροῦν ἐν Ἱεροσολύμοις οἱ ἄνδρες Γάλβιός τε καὶ Κάνδιδος καὶ Θεῷ τὰς εὐχὰς ἀποδόντες, τοῖς πένησι τὸν πλοῦτον ἱλαρῶς διανείμαντες, ἀλλὰ δὴ καὶ τὸ κιβώτιον καθ' ὅπερ ἔλαβον μέτρον καλῶς κατασκευασάμενοι καὶ ἐπίβλημα ποιοῦσι διάχρυσον, ὥστε συγκαλύπτεσθαι τὸ κιβώτιον. καὶ οὕτω πράξαντες τὴν col. 2 σεμνὴν ἐκείνην γυναῖκα κατέλαβον καὶ ταύτην ἀρώμασι δεξι|οῦνται περιχαρῶς, αἰτοῦσί τε, καθ' ἃ δὴ καὶ τὸ πρότερον, εἰς τὸ ἱερὸν διανυκτερεῦσαι οἴκημα καὶ μέντοι δὴ καὶ λαμβάνουσι τὸ αἰτούμενον καὶ εἰσιόντες εὐχαῖς ἐχρῶντο καὶ δάκρυσιν ἐξιλεοῦντο τὴν Θεομήτορα, «Παρθένε» λέγοντες «δέσποινα, οὐκ ἀγνοοῦμεν οἱ δοῦλοί σου, πολλαῖς ἁμαρτίαις ἔνοχοι ὄντες, ἀνάξιοι εἶναι σοῦ μὴ κελευούσης ἅψασθαί σου τῆς τιμίας ταύτης σοροῦ, ᾗ τοιοῦτος ἔνδον ἐναπόκειται θησαυρός· ἐπίνευσον οὖν ἡ ἀγαθὴ τῷ θελήματι τῶν καρδιῶν ἡμῶν· πρὸς γὰρ τὴν πόλιν τὴν σὴν ἡ μετάθεσις, ἣ πασῶν τῶν ἄλλων ἐστὶ βασιλὶς καὶ ἀεὶ τὰ σὰ τιμᾶν ἐπιμελῶς ἔγνωκε· ταύτῃ δῶρον ἡμεῖς τὸ θεῖον τοῦτο διακομίσαι σπεύδομεν εἰς ἀσφάλειαν καὶ δόξαν αὐτῆς μηδέποτε σβεννυμένην».

9. Τοιαῦτα διὰ πάσης λέγοντες τῆς νυκτὸς προσέρχονται τῷ f. 86v κιβωτίῳ χαιρούσῃ ψυχῇ καὶ τρεμούσῃ, καὶ ἐπεὶ || πάντας ὁ ὕπνος εἶχε τοὺς ἐκεῖσε κειμένους — ὢ μακαρίων χειρῶν, ὢ βλέμματος ἀψόγου — λαμβάνουσι τὸ κιβώτιον συνευδοκούσης τῆς Θεοτόκου καὶ ἀντιτιθοῦσιν ὅπερ ἐν Ἱεροσολύμοις ἐποίησαν, ἐπιθέντες αὐτῷ καὶ τὸ ἐπικάλυμμα, ὅπερ ὁ λόγος φθάσας ἐδήλωσεν. ἅμα δὲ φωτὶ τῇ γυναικὶ συνταξάμενοι καὶ ὑποδείξαντες αὐτῇ δακτύλῳ τὸ ἐπικάλυμμα καὶ χρήματα τοῖς πένησι διανείμαντες ἥψαντο τῆς ὁδοῦ.

1 σοι τίσ — γνώριμον τινὶ || 6 τῆι νύκτα || 7 δάκρυσιν — ὧν τὲ || 9 αὐτὸ τὲ || 13 Γενόμενοι || 15 καθόπερ || 18 γυναῖ(κα)κατέλαβō || 19 αἰτοῦσι τὲ καθὰ | 22 δοῦλοι σου || 23 ἀνάξιον

10. Ἐπεὶ δὲ κατέλαβον τὸ Βυζάντιον, οὐ δεῖν ἔκριναν τοῖς βασιλεῦσιν ἢ τῷ πατριάρχῃ κοινώσασθαι τὸ μυστήριον, ἵνα μὴ παρ' ἐκείνων ἀφαιρεθῇ. διὸ καὶ κατὰ τὸν προσόντα τούτοις τόπον πρὸ τοῦ τείχους τοῦ ἄστεος, τὸν πρὸς τὸ ἀκρότατον ἐγγίζοντα τοῦ θαλασσίου κόλπου (ὄνομα τῷ τόπῳ Βλαχέρναι), εὐκτήριον, τῆς Θεοτόκου πάντως κινούσης πρὸς τοῦτο αὐτούς, ἀνε|γείρουσιν οἶκον· πάνυ col. 2 *δὲ φροντίζοντες τοῦ λαθεῖν, Πέτρου τοῦ κορυφαίου καὶ Μάρκου τὸν οἶκον κατονομάζουσι κἂν τούτῳ τὸ ἱερὸν ἐκεῖνο θησαύρισμα καταθέμενοι πᾶσαν ἐποιοῦντο σπουδὴν τοῦ τὸν ναὸν ἀδιαπαύστου μὲν ἀπολαύειν τῆς ὑμνῳδίας, ἀλήκτου δὲ τῆς τῶν φώτων λαμπρότητος καὶ τῆς εὐωδίας τῶν ἀρωμάτων.*

11. Καὶ οὕτω μὲν ἐπὶ πολὺν χρόνον τὸ θεῖον τοῦτο διετέλει μυστήριον. ἐπεὶ δὲ ἡ πάναγνος καὶ ἧς ἦν ἐκεῖνο τὸ περιβόλαιον οὐκ εὐδόκησε τὸ τοσοῦτον ἀγαθὸν ἐπὶ μόνοις κρύπτεσθαι τοῖς δυσί, Γαλβίῳ φημὶ καὶ Κανδίδῳ, ὑποκινεῖ τούτους πρὸς τὴν τούτου φανέρωσιν. καὶ προσιόντες ἀναγγέλλουσι τοῖς τότε κρατοῦσι καὶ φανεροῦσιν, ὅπως αὐτοῖς ἡ τῆς Θεομήτορος μετεκομίσθη ἐσθής. τοὺς δὲ ἀκούσαντας μεγάλη λαμβάνει χαρά, καὶ παραχρῆμα τὸ κεκρυμμένον || δημοσιεύεται, καὶ μακάριοι μὲν ἐν πᾶσι Γάλβιός τε καὶ f. 87 *Κάνδιδος τῆς ὑπηρεσίας ταύτης λογίζονται καὶ δημοσίαις τιμῶνται τιμαῖς· θεῖος δὲ οἶκος περὶ τὸν τόπον βασιλικαῖς δαπάναις τῇ Θεοτόκῳ οἰκοδομεῖται καὶ σορὸς ἐξ ἀργύρου τε καὶ χρυσοῦ κατασκευασθεῖσα τὸν ἱερὸν ἐκεῖνον θησαυρὸν ὑποδέχεται, ἄλλοις τε πλείστοις ἀναθήμασι καὶ δώροις ὁ οἶκος τιμᾶται. Λέων καὶ Βηρίνα ἦσαν οἱ τότε κρατοῦντες, ἐφ' ὧν καὶ τὸ μέγα τοῦτο μυστήριον καὶ φανεροῦται καὶ πρὸς τὴν βασιλίδα πόλιν μετακομίζεται· Γάλβιος δὲ καὶ Κάνδιδος οἱ τὴν θείαν ταύτην διακονίαν χαριέστατα διακονησάμενοι πρὸς τὴν ἀγήρω μετατίθενται λῆξιν.*

12. Ἡμεῖς οὖν τὴν θείαν ταύτην καὶ λίαν ὑπέρτιμον ἐσθῆτα τῆς Θεομήτορος, ἣ οὐ μόνον τὸ ἄχραντόν τε καὶ ἄμωμον περιέβαλλε σῶμα, ἀλλ' ἐν ᾗ, θαρρούντως εἰπεῖν, καὶ νηπιάζων ὁ Θεὸς λόγος ἐνειλήθη | καὶ γεγαλούχητο, ὥστε καὶ σταγόσιν αὐτὴν κατερ- col. 2 *ραντίσθαι τοῦ φρικτοῦ γάλακτος, ᾧπερ ἡ πάντων ὄντως ζωή τε καὶ τροφὴ τέθραπται, ἐξυμνεῖν μὴ δυνάμενοι, ὅτι μηδεὶς εἰς τοῦτο λόγος πρὸς ἀλήθειαν ἐξαρκεῖ, αὐτῇ τῇ Θεοτόκῳ χάριν εὐχαριστοῦντες ὁμολογοῦμεν καὶ τῷ ταύτης Υἱῷ, τῷ κοινῷ σωτῆρι καὶ βασιλεῖ, ὃς πάντα πρὸς ἡμετέραν λυσιτέλειάν τε καὶ σωτηρίαν οἰκονο-*

1 ἐ|Πεὶ || 4 θαλασίου || 8 κατ'ὀνομάζουσῑ || 10 ἀπολάβειν || 12 διὲτέλει || 16 ἀναγγέλουσι || 17 αὐτοῖσ || 22 κατασκεβασθεῖσα || 23 ἄλλοισ τὲ || 29 Ἡμεῖσ || 31 θαῤῥοῦντωσ || 35 ἐξάρκεῖ

μεῖ, δεόμενοι καὶ βασιλεῖ ἡμῶν δοθῆναι τῷ φιλοχρίστῳ καὶ τὰ πάντα καλῷ μακροτάτου βίου εὐμάρειαν, ἰσχὺν κατ' ἐχθρῶν θείαν καὶ συμμαχίαν, χώρας δικαίων τὴν καλὴν κατοικίαν, ἀύλων μονῶν τὴν τερπνὴν κληρουχίαν, ἡμέρας λαμπρᾶς τὴν ἡδυτάτην φαῦσιν, πάντων ἀγαθῶν ἀθανάτων τὴν χάριν καὶ βασιλείας οὐρανῶν μετουσίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 87v *Μηνὶ τῷ αὐτῷ γʹ.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΥΑΚΙΝΘΟΥ ΤΟΥ ΚΟΥΒΙΚΟΥΛΑΡΙΟΥ.

1. Τραιανοῦ τοῦ δυσσεβοῦς τῆς Ῥωμαίων ἄρτι βασιλείας τὰ σκῆπτρα διέποντος καὶ διωγμοῦ μεγάλου κινηθέντος κατὰ χριστιανῶν καὶ πλείσταις αὐτῶν καθυπαγομένων βασάνοις, πολλοὶ μὲν καὶ ἄλλοι τῶν ἔξωθεν διὰ Χριστὸν κατεφρόνουν αὐτῶν, ἀλλὰ δὴ καὶ τῶν τοῦ παλατίου τινὲς καὶ τῶν ὑπηρετουμένων αὐτῷ τούτῳ τῷ βασιλεῖ· ὧν εἷς ἐστι καὶ ὁ νῦν ἡμῖν εἰς διήγησιν προτεθεὶς Ὑάκινθος ὁ καλός, ὁ τῇ διαυγείᾳ τῶν μαρτυρικῶν ἀγώνων καταλάμψας τὴν σύμπασαν.

2. Οὗτος γὰρ ὁ θαυμάσιος Καισαρείας ἐξορμώμενος τῆς Καππαδοκίας καὶ γένος ἔχων εὐγενές τε καὶ τίμιον, τὸν ὀκτωκαιδέκατον ἄρτι τῆς ἡλικίας χρόνον ἀνύων κουβικουλάριός τε τυγχάνων, εἷς col. 2 *ἐγνωρίζετο τῶν ὑπηρετουμένων ἐν τῇ τραπέζῃ | τῷ βασιλεῖ, σεμνότατον κεκτημένος τὸν βίον καὶ παιδείας πλήρη τῆς προσηκούσης· ὅς, ἵνα τἄλλα παραλίπω, καὶ πιστὸς ἦν καὶ νηστείαις προσέκειτο καὶ ἐλεημοσύναις ἐνηδύνετο καὶ πάσαις ταῖς ἄλλαις ἀρεταῖς ἐφαιδρύνετο.*

3. Ἑορτῆς οὖν ἀγομένης τῷ βασιλεῖ τοῖς εἰδώλοις καὶ πάντων εἰς αὐτὴν συντρεχόντων, οὐ μὲν οὖν καὶ Ὑάκινθος, ἀλλ' ἰδιαζόντως Θεῷ τὰς προσευχὰς ἀπεδίδου, τὴν καθαρὰν τῷ ὄντι καὶ σεμνοτάτην λατρείαν. τοῦτο δέ τις γνοὺς τῶν τῇ πλάνῃ δεδουλωμένων, Οὐρβίκιος ὄνομα, ὅλον ἐνδεδυμένος τὸν σατανᾶν, εἰσελθὼν ἀπαγ-

19 *Οὗτοσ* || 24 *τάλλα* || 27 *Ἑορτῆσ* || 29 *όντι* *sine spir.* || 31 *ἀπαγγέλει*

γέλλει τάχος τῷ βασιλεῖ, ὡς Ὑάκινθος οὐ θύει θεοῖς, οὐ τῶν θυσιῶν ἀπογεύεται, οὐ τοῖς σοῖς ὑπείκει προστάγμασιν, ἀλλά τινα Χριστὸν Θεὸν εὐχόμενος ὀνομάζει. τούτων ἀκούσας ὁ βασιλεὺς ἐνεχθῆναι τοῦτον παραχρῆμα κελεύει. καὶ ἐπείπερ ἦν καιρὸς ἑστιάσεως, τῶν μεμο||λυσμένων ἐκείνων τῆς θυσίας κρεῶν ἀπογεύσα- f. 88 σθαι κατηνάγκαζεν, ἰδεῖν ἐθέλων, εἴπερ ἀληθῆ τυγχάνει τὰ κατ' αὐτοῦ λαληθέντα. τότε τοίνυν ὁ καλὸς οὗτος τῆς ἀληθείας ἀγωνιστής, τῷ τύπῳ τοῦ σταυροῦ κατασφραγισάμενος ἑαυτόν, «Μή μοι γένοιτο, βασιλεῦ», ἔφη, «χριστιανὸν ὄντα μιαροφαγῆσαί ποτε· βούλομαι γὰρ καὶ σὲ πάντως, εἴ μοι πείθῃ καλῶς συμβουλεύοντι, τῆς τῶν βδελυκτῶν ἀποστῆναι πλάνης θεῶν καὶ τὰς θυσίας δὲ ταύτας καὶ τὰς τελετὰς ἐχεφρόνως ἀπολιπόντα τῷ μόνῳ Θεῷ προσελθεῖν τῷ Χριστῷ, ὅς σε κοινωνόν, εἴ γε βούλει, καὶ τῆς ἀθανάτου βασιλείας ἐργάσεται καὶ μεγάλων ἀπολαῦσαι ποιήσει τῶν ἀγαθῶν».

4. Τούτων οὕτω ῥηθέντων ὁ βασιλεὺς «Τὸ νέον» ἔφη «τῆς ἡλικίας παρρησιάζεσθαί σε πεποίηκεν, Ὑάκινθε, καὶ ἀλαζονεύεσθαι. πλὴν πῶς ἐτόλμησας, ὦ κακὴ κεφαλή, πεῖραν ὅλως ἐπαγαγεῖν τοῦ ἀποστῆναί με τῶν θεῶν | καὶ Χριστῷ λατρεῦσαι, ὃν οὔθ' ἡμεῖς col. 2 οἴδαμεν, οὔτε οἱ πατέρες ἡμῶν;» καὶ ὁ ἅγιος «Καὶ πόθεν ὑμῖν εἶχε γνωσθῆναι τὸ τοσοῦτον καλόν, ἀνόσιε», λέγει, «πάντῃ τοιαύτης χάριτος ἀναξίοις οὖσιν; οὗτος γάρ ἐστιν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὃν ἐπέγνων ἐγὼ φιλοχρίστων ὑπὸ γονέων ἀνατραφεὶς καὶ προσκυνεῖν δεδίδαγμαι». τότε θυμομαχήσας ὁ τύραννος τοῖς ὑπηρέταις ἐκέλευσε τύπτειν αὐτοῦ τὸ στόμα καὶ μαστίζειν καθ' ὅλου τοῦ σώματος. οἵτινες, ὥσπερ ὑπό τινος καυτῆρος πληγέντες τὰς φρένας, πικρῶς τὸν ἅγιον ἐβασάνιζον λέγοντες· «Οὐκ οἶσθα ἄρα, Ὑάκινθε, ὡς βασιλεῖ παρίστασαι; καὶ πῶς τοιαῦτα λέγειν τολμᾷς»; εἶτα τῇ γῇ προσκαταβαλόντες αὐτὸν ἀφειδῶς τοῖς ποσὶ διελάκτιζον καὶ τὸ πανάγιον ἐκείνου στόμα τοῖς ὄνυξι διασπῶντες τὰ μεμολυσμένα τῶν θυσιῶν ἐνέ||βαλον κρέα. ταῦτα δὲ τοῦ στόματος ἀποπτύοντα τῇ φυλακῇ f. 88v κελεύει παραδοθῆναι καὶ τοὺς πόδας ἐμβληθῆναι τῷ ξύλῳ.

5. Τῇ ἐπαύριον δὲ τῆς τῶν δαιμόνων καὶ αὖθις ἑορτῆς ἀγομένης ἀχθῆναι τὸν Ὑάκινθον ὁ τύραννος διωρίσατο καὶ πᾶν εἶδος κολαστηρίων προτεθῆναι ὀργάνων. τούτου οὖν ἀχθέντος καὶ προτεθέντων αὐτῶν, «Ὁρᾷς» εἶπεν ὁ βασιλεύς, «οἵων σοι κολάσεων πρόξενος γέγονεν ἡ αὐθάδεια; τοίνυν εἰ μή γε θυσίαν τοῖς θεοῖς

3 et 16 Τούτων || 9 μιαροφαγῆσαι ποτὲ || 10 εἴμη || 25 et 35 τύρανοσ || 29 τοιαύτα || 32 ἀπὸπτύοντα || 33 κελεύει [ὁ τύραννος?] || 36 Ἀχθέντοσ

προσαγάγοις, τούτοις ἐξαναλώσω σε (τὰ κολαστήρια δείξας) καὶ οὕτω σοι πικρὸν ἐπάξω τὸν θάνατον». — «Καὶ τούτοις με πείσειν οἴει, βασιλεῦ, τοῖς φοβήτροις;» ὁ ἅγιος εἶπεν· «οὐ μὰ τὸν ἐμὸν Χριστόν, οὐκ ἂν ἴδοις μέ ποτε τοῖς εἰδώλοις θύοντα· χριστιανὸς γὰρ ἐγὼ καὶ δοῦλος Χριστοῦ. ποίει τοίνυν τὸ σοὶ παριστάμενον».

col. 2 *6. Τότε τοίνυν τὴν σύντροφον | ὁ Τραιανὸς ὑπεκκαύσας ὀργὴν μαστίζεσθαι πικρῶς κελεύει τὸν ἅγιον ἐπὶ τοσοῦτον, ὡς περιερράνθαι τοῖς τιμίοις αἵμασι τούτου τοὺς κολαστάς, εἶτα καὶ κρεμασθέντα ξέεσθαι τούτῳ τὰς σάρκας. τῶν ξυστήρων οὖν καὶ αὐτῶν ἀψαμένων τῶν ὀστῶν καὶ μυελῶν, ὁ μάρτυς «Μείζονας» ἔλεγε «κολάσεις ἐπινόει, παράνομε, καὶ πρόσαγε ταύτας, ἵν' εἰδῇς ἐν ἐμοὶ τὴν δύναμιν τοῦ Χριστοῦ». πάντων οὖν ἐκπληττομένων τῇ καρτερίᾳ (μέχρι γὰρ ἑβδόμης ὥρας τὰ δεινὰ παρετάθη τῷ μάρτυρι), δέσμιον πάλιν αὐτὸν ὁ τύραννος τῇ φυλακῇ παραπέμπει, παραγγείλας μὴ βρωτοῦ, μὴ ποτοῦ, μή τινος ἄλλης τροφῆς ποσῶς κοινωνῆσαι αὐτῷ τοὺς φυλάσσοντας, ἢ μόνων τῶν ἠλισγημένων ἐκείνων καὶ μεμολυσμένων θυσιῶν τῶν εἰδώλων. ὧν προτιθεμένων αὐτῷ παρὰ* f. 89 *τῶν δυσσεβῶν, ἐκεῖνος || οὐδαμῶς μετελάμβανεν, ἀλλ' ἦν τρεφόμενος τῇ τοῦ ἀγαθοῦ πνεύματος χάριτι. καί ποτε τοῦ βασιλέως στείλαντος ἰδεῖν, εἰ μεταλαμβάνει τῶν θυσιῶν, εὗρον οἱ σταλέντες σῶα τὰ προτεθέντα καὶ τοῦτον εὐχόμενον, ἀγγέλους τε συνόντας αὐτῷ δύο, τὸν μὲν στέφανον ὥσπερ ἐπιτιθέντα τούτου τῇ κεφαλῇ, θάτερον δὲ σκέπῃ τινὶ διασκέποντα τοῦτον. τὴν ὅρασιν οὖν τῷ Τραιανῷ διαγγειλάντων αὐτῶν, ἐκεῖνος παρήγγειλε πάλιν μηδενὸς αὐτῷ μεταδοῦναι τῶν ἀναγκαίων τοὺς στρατιώτας.*

7. Ἡμέραι παρῆλθον τῆς καθείρξεως τεσσαράκοντα, καὶ ὁ μὲν τὸ πνεῦμα χερσὶν ἀγγέλων παρέθετο· Τραιανὸς δὲ τοῦτο μαθὼν ἐν ὄρει δυσβάτῳ καὶ θηριοτρόφῳ τὸ πάντιμον αὐτοῦ σῶμα ῥιφῆναι προσέταξε, κἂν τούτῳ φθονήσας χριστιανοῖς, ἵνα μὴ τιμήσαιεν col. 2 *εἰκότως αὐτὸ καὶ κατά|θοιντο φιλοτίμως. ἀλλ' ἐσφάλη τῆς ἐπινοίας· ἄγγελος γὰρ Θεοῦ πρεσβυτέρῳ τινὶ Τιμοθέῳ τοὔνομα καὶ συγγενεῖ τοῦ ἁγίου νυκτὸς ἐπιστὰς ἔλαβέ τε τοῦτον καὶ κατ' ἐκεῖνον τὸν τόπον ὡδήγησεν, ἵνα καὶ τὸ μαρτυρικὸν ἔκειτο λείψανον· ὁ δὲ τοῦτο λαβὼν καὶ πάλιν ὑπ' ἐκείνου καλῶς ὁδηγηθεὶς γυναικί τινι χήρᾳ πιστοτάτῃ παρέθετο, ἥτις τὰ εἰκότα τελοῦσα καλῶς ἔκρυπτε τὸν θησαυρόν.*

2 *Καὶ τούτοισ* || 4 *με ποτὲ* || 6 *ὑπεκαύσασ* || 7 *περιεράνθαι* || 9 *τούτῳ]* *τοῦτον?* || 10 *ἀψαμένων* || 12 *Πάντων* || 14 *τύρανοσ* || 20 *Ἰδεῖν* || 21 *τα (post σῶα)* **sine acc.** || ibid. *ἀγγέλουσ τὲ* || 23 *Τὴν* || 24 *μηδενὸσ* || 31 *τούνομα* || 34 *ὑπεκείνου — γυναικὶ τινὶ χήρα πῖστοτάτη*

8. Χρόνου δὲ παρῳχηκότος πολλοῦ τινὶ τῶν συγκλητικῶν πήρωσις ὀφθαλμῶν προσεγένετο, καὶ δὴ καὶ τῆς οὐσίας ὑπὸ τῶν ἰατρῶν μηδὲν ὠφελούντων ἐκκένωσις. τούτῳ ποτὲ νύκτωρ ἐπιστὰς ὁ ἅγιος «Τοῦ πάθους» ἔφη «λύσιν εὑρήσεις, ἄνθρωπε, εἰ τὸ παρὰ τῇ δεῖνι χήρᾳ τεθησαυρισμένον μου σῶμα λαβεῖν ὑπόσχῃ καὶ στεῖλαι πρὸς τὴν πατρίδα μου· ἡ δέ ἐστιν ἡ τῆς Καππαδοκίας Καισάρεια». καὶ ὃς || αὐτὸν «Καὶ τίς εἶ, κύριέ μου;» μετὰ σπουδῆς ἤρετο. *f. 89ᵛ* κἀκεῖνος· «Ὑάκινθος ἐγὼ δοῦλος Χριστοῦ καὶ σὸς ἰατρός». γέγονε τοῦτο, καὶ ἅμα φωτὶ τὸ τῆς χήρας ὁ συγκλητικὸς χειραγωγούμενος κατειλήφει δωμάτιον καὶ τῷ λειψάνῳ τοῦ μάρτυρος προσεγγίσας καὶ τοῦ ἐλαίου τῆς λυχνίας ἐκείνου θερμῶς ἀρυσάμενος καὶ τοὺς ὀφθαλμοὺς περιχρίσας εὐθὺς ἔβλεψε καὶ τὸ φῶς εἶδε καὶ δόξαν ἀπεδίδου Θεῷ καὶ τῷ μάρτυρι.

9. Λαβὼν οὖν τὸν πολύτιμον τοῦτον καὶ λαμπρὸν μαργαρίτην, τὸ τίμιόν φημι, πανοοίδιμε, σῶμά σου, αὐτίκα διὰ τῶν προσηκόντων αὐτῷ στέλλει πρὸς τὴν Καισάρειαν. ἔνθα δὴ καὶ κομισθὲν καὶ κατατεθὲν παρὰ τῇ πύλῃ τῇ οὕτω λεγομένῃ Σεβαστείᾳ πολλαῖς θαυμάτων ἐξαστράπτει ταῖς χάρισιν.

10. Καὶ νῦν, πανόλβιε, ταῖς ἀγγελικαῖς χοροστασίαις συνὼν καὶ τῷ παμβασιλεῖ Χριστῷ παριστάμενος, | χάρισαι ταῖς πρὸς αὐτὸν *col. 2* ἱκεσίαις σου καὶ βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μενόντων καλῶν τὴν ἀπόλαυσιν, ἰσχύος Θεοῦ τὴν βοήθειαν καὶ χειρὸς αὐτοῦ θείας τὴν συμμαχίαν, ἀνωλέθρου ζωῆς τὴν μετάληψιν, ἡδυτάτης ζωῆς τὴν ἀπόλαυσιν, λαμπροτάτης διαγωγῆς τὴν ἐπίτευξιν καὶ βασιλείας Θεοῦ τὴν συγκλήρωσιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

3 μηδὲν || 7 κυριέμου || 11 ἀρρυσάμενοσ || 15 τίμιον φημὶ — σῶμα σου || 16 καισάριαν || 18 χάρισι || 26 ἔισαἰῶνασ

col. 2 *Μηνὶ τῷ αὐτῷ δ΄.*

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΝΔΡΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ ΤΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ.

1. Δαμασκὸς πατρὶς τῷ μεγάλῳ τούτῳ καὶ περιφήμῳ τῆς Κρήτης προέδρῳ, ὡς ὁ τῆς ἱστορίας παρεστήσατο λόγος, Ἀνδρέᾳ φημὶ τῷ Ἱεροσολυμίτῃ κληθέντι, τὴν διαγωγὴν ἐκεῖθεν τοῦ βίου σχεδὸν f. 90 *ἅτε καὶ τὴν κτῆσιν ἔχοντι || τῆς ἀρετῆς. οὗτος γὰρ ὁ μέγας, ἵν' οὕτως εἴπω, τῆς ἐκκλησίας φωστὴρ καὶ διδάσκαλος, γεννήτορας ἐσχηκὼς θεοφιλεῖς καὶ πιστοὺς καὶ πάσαις ἐγκεκοσμημένους ταῖς κατὰ Θεὸν ἀρεταῖς, πρὸς τὴν τῶν γραμμάτων τεχθεὶς ἅμα καὶ μικρὸν ἀναχθεὶς ἐκδίδοται μάθησιν· καὶ τοσοῦτον ἔσχε τῇ σπουδῇ τὴν εὐφυΐαν συντρέχουσαν, ὡς πᾶσαν διελθεῖν αὐτὸν ἐν ὀλίγῳ τὴν γνῶσιν καὶ πάσης ἀνιχνεῦσαι βάθος γραφῆς καὶ πᾶν διεξετάσαι νόημα ταύτης καὶ ὅλον ὄργανον γενέσθαι θεῖον, ὑπὸ τῆς τοῦ ἀγαθοῦ πνεύματος ἐνηχούμενον χάριτος.*

2. Ἔνθεν τοι καὶ παρὰ Θεοδώρου τοῦ τῆς ἁγίας πόλεως προέδρου τῷ λαῷ χειροτονεῖται τὰς θείας βίβλους ἐπὶ τῷ ἀναγινώσκειν καλῶς· εἶτα καὶ ὑπογραφεὺς αὐτῷ καθίσταται καὶ θερμὸς ὑπηρέτης, δοκιμώτατος οὐ [μόνον] ταῖς τῆς ἐκκλησίας φροντίσι γενόμε- col. 2 *νος, ἀλλὰ δὴ καὶ ταῖς τῶν ἀρετῶν | ἀναβάσεσι. τῷ τοι καὶ πάντοθεν συγκραθείς, ὡς εἰπεῖν, τῷ πατριάρχῃ καὶ ὅλος εἰσοικισθεὶς καὶ γνώριμος, ἵν' οὕτως εἴπω, κατά τε γνῶσιν καὶ σύνεσιν γεγονώς, ἄρτι τῆς ἕκτης συγκροτηθείσης συνόδου κατὰ τὴν Κωνσταντίνου κατὰ τῶν ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ σωτῆρος ἡμῶν λεγόντων Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ στέλλεται τοῖς πραχθεῖσι παρὰ τῶν ὀρθοδόξων συνευδοκῆσαι. καὶ δὴ καὶ τοὺς αἱρετικοὺς κατὰ κράτος αἰσχύνας τῷ περιόντι τῆς ἀρετῆς καὶ τῷ τῆς γνώσεως ὑψηλῷ καὶ μεγάλῳ καὶ παρὰ πάντων ἀποδεχθεὶς ψήφῳ τῶν τῆς Βυζαντίδος ἐκκρίτων διάκονος τῆς μεγάλης ἐκκλησίας καθίσταται·*

3 *ἀρχιέπισκόπου — ἱεροσολυμήτου* || 13 *διέλθεῖν* || 14 *διέξετάσαι* || 17 *Ἔνθέι τοι* || 20 *μόνον* **inserui** || 21 *τῶτοι* || 22 *πρῖάρχη*

καὶ μετά τινα χρόνον οὐκ ὀλίγον καὶ ὀρφανοτρόφος ὁ καλὸς ἀποδείκνυται, πρὸς τοσοῦτον ἀρετῆς ἀναβεβηκὼς ὕψος, καὶ Κρήτης χειροτονεῖται πρόεδρος κἀν ταύτῃ γε||νόμενος πολλὰ τῇ ἐκκλησίᾳ f. 90ᵛ *συγγράμματα δίδωσι, μέλους Θεοῦ ἐναρμόνια, πατέρων τε καὶ μαρτύρων καὶ ἄλλων ἁγίων ὑπερφαίνοντα πράξεις. μέγας γὰρ τῷ ὄντι ὁ καλὸς οὗτος Ἀνδρέας γέγονε, φιλάγιος ὡς οὔτις ἄλλος.*

3. *Εἶτα καιροῦ καλοῦντος, τῆς ἀναφυείσης αἱρέσεως τῶν εἰκονομάχων παρρησίας ἐκ δυσσεβοῦς· βασιλέως κακῶς ἐπιλαβομένης, ὁ σοφὸς οὗτος τὴν Κωνσταντίνου καταλαβὼν στηλιτεύει ταύτην μάλα τρανῶς καὶ νικᾷ τοὺς ἀνταγωνιστὰς κατὰ κράτος καὶ μάταιον αὐτῶν ἀπελέγχει τὸ δόγμα καὶ στεφανίτης ἐπάνεισι νικηφόρος.*

4. *Τὴν ἐπάνοδον οὖν διὰ θαλάσσης ποιούμενος τὴν Μυτιλήνην καταλαμβάνει καὶ τῇ Ἐριστῇ (πόλις δὲ μία τῶν ἐν αὐτῇ πόλεων αὕτη) προσβαλὼν νόσῳ περιπίπτει τινί, θάνατον ἀπειλούσῃ τῷ μάκαρι· ὅπου δὴ καὶ τὸ θαυμάσιον λέ|γεται μέλος τῆς μακρᾶς* col. 2 *αὐτὸν ὑμνῳδίας ἐκθεῖναι, πάσης κατανύξεως πλῆρες καὶ παντὸς παραδείγματος μετανοίας ὑπάρχον μεστόν.*

5. *Ἐν ταύτῃ τοίνυν καὶ τὸν βίον ἀπολιπὼν πρὸς τὰς ἀιδίους, παγγέραστε, μετετέθης μονάς, καλῶς ἀνταλλαξάμενος τῶν παρόντων τὰ μέλλοντα καὶ τῶν προσκαίρων τὰ μένοντα. καὶ νῦν τῷ δεσποτικῷ Χριστοῦ παριστάμενος θρόνῳ χάρισαι ταῖς πρὸς αὐτόν σου σωστικαῖς ἱκεσίαις καὶ βασιλεῖ ἡμῶν τῷ φιλαγίῳ καὶ τὰ πάντα καλῷ μετά γε τῆς μακρᾶς ἐντεῦθεν ζωῆς καὶ τὴν αὐτόθι καλλίστην ἀνάπαυσιν, ἰσχὺν καὶ κράτος ὧδε κατ' ἐναντίων, χαρᾶς αὐτόθι θείας τὴν μετουσίαν, ἁπάντων ἐχθρῶν τὴν κατάλυσιν ὧδε, ἥμερον αὐτοῦ τὸν κριτὴν καὶ δεσπότην, λαοῦ τοῦ πιστοῦ τὴν συντήρησιν ὧδε, πάντων αὐτόθι τῶν ἀγαθῶν τὴν δόσιν καὶ βασιλείας Θεοῦ || τὴν κληρουχίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ* f. 91 *τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

4 *συγγράμματα* || 7 *Εἶτα* || 12 *μιτυλίνην* || 17 *παράδείγματοσ* || 9 *ἔἴcαἰῶναo*

Μηνὶ τῷ αὐτῷ ε΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΩΡΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΗΝΗΣ ΤΗΣ ΚΑΤΑ ΛΙΒΥΗΝ.

1. Καὶ τὰ περὶ Θεοδώρου τοῦ κλεινοῦ καὶ τὴν ἀρετὴν ἐπιφανοῦς διαλαβεῖν καὶ γραφῇ παραδοῦναι πολλῶν εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων αὐτῇ δίκαιον ἄρα καὶ φίλον Θεῷ. διά τοι τοῦτο καὶ προθετέον καὶ διηγητέον αὐτὰ κατὰ δύναμιν.

2. Ἄρτι τοῦ παρανόμου Διοκλητιανοῦ τὴν Ῥωμαίων βασιλείαν, ὡς οὐκ ὤφελε, διαζωσαμένου καὶ Διγνιανοῦ τὴν τῆς Κυρήνης ἡγεμονίαν κακῶς ἐγκεχειρισμένου καὶ διώκοντος ὁπόση δύναμις τοὺς πεπιστευκότας εἰς τὸν μόνον ἀληθῆ Θεὸν τὸν Χριστόν, ὁ καλὸς οὗτος Θεόδωρος, ἱερεὺς Χριστοῦ χρηματίζων καὶ τῆς Κυρήνης ἐξορμώμενος, ὅθεν δὴ καὶ Σίμων ἐκεῖνος ὁ Κυρηναῖος, ὃν ἠγγά|*col. 2* ρευσαν, ἵνα ἄρῃ τὸν σταυρὸν τοῦ κυρίου, βίον τε τρέχων σεμνὸν καὶ πᾶσαν ἀρετὴν καλῶς ἐξασκῶν καὶ τὴν εἰς Χριστὸν μᾶλλον τῶν ἄλλων ἀσπαζόμενος πίστιν, καλλιγραφῶν ἐτέλει τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον· ἔρως γάρ· αὐτὸν ἡσυχίας ἐκράτει καὶ τὸ ταῖς θεοπνεύστοις ἐνασχολεῖσθαι γραφαῖς καὶ τὸν ἐγκείμενον αὐταῖς τῆς γνώσεως θησαυρὸν ἀνιχνεύειν μεῖζον ἡγεῖτο, κατὰ τὸν Δαυὶδ εἰπεῖν, χιλιάδων πολλῶν χρυσίου καὶ ἀργυρίου.

3. Οὕτως οὖν ἔχοντος αὐτοῦ καὶ οὕτω βιοῦντος καὶ τοῦτο μὲν πολλοὺς ταῖς αὐτοῦ διδασκαλίαις ὁδηγοῦντος πρὸς τὴν ἀλήθειαν, τοῦτο δὲ καὶ ἃς χερσὶν οἰκείαις ἔγραφεν, ὡς δεδήλωται, βίβλους ταῖς τοῦ Χριστοῦ παρέχοντος ἐκκλησίαις εἰς πολλῶν καὶ ἄλλων ὠφέλειαν καὶ συντήρησιν, ὁ τοῖς καλοῖς εἰωθὼς ἀεὶ βασκαίνειν διάβολος τὸν γνήσιον αὐτῷ υἱόν — οἷά σου, πονηρέ, τὰ τε||*f. 91v* χνάσματα — διεγείρει καὶ πείθει διαβαλεῖν τὸν γεννήτορα πρὸς τὸν ἡγεμόνα, ὡς εἴη βίβλους ὁ πατὴρ διακατέχων τινὰς καὶ πολλοὺς πείθων δι' αὐτῶν τῶν ἀνθρώπων ἀφίστασθαι μὲν τῆς τῶν θεῶν λατρείας, πιστεύειν δὲ καὶ προσέρχεσθαι τῷ ἐσταυρωμένῳ, τὸ σκαιὸν τοῦτο καὶ ἀνελεύθερον γέννημα.

6 αὐτῆι || 21 οὖ|Τωσ || 26 οἷα σου || 27 πείθη

13 ἠγγάρευσαν κτἑ.: cf. Matth. 27, 32 || 19 κατὰ τὸν Δαυίδ: cf. Psalm. 118 (119), 72.

4. Καὶ ὃς εὐθὺς στέλλει τινὰς στρατιώτας τοὺς παραστήσοντας τῷ βήματι τὸν Θεόδωρον. ἤχθη τοίνυν ὁ σοφὸς οὗτος αὐτίκα, πλείστους ἑπομένους ἔχων αὐτῷ τῶν πιστῶν, ἐν οἷς ἦν καὶ Λουκία, τῶν γυναικῶν ἡ καλλίστη, καὶ Ἀρόα, τῶν θηλειῶν ἡ τερπνότης, καὶ Κυπρίλλα, τῶν εὐσεβῶν ἡ βελτίστη. καί φησιν ὁ ἡγεμὼν ἀπιδὼν πρὸς αὐτόν· «Σὺ τίς εἶ καὶ τί σου τὸ ὄνομα καὶ ὅθεν ἄρα καὶ εἴης καὶ τί τὰ κατὰ σοῦ φημιζόμενα»; καὶ ὁ ἅγιος «Χριστιανὸς ἐγὼ καὶ Θεόδωρος» ἔφη «καλοῦμαι καὶ ἐκ ταύτης τῆς πόλεως ὥρμημαι. τίνα δὲ τὰ κα|τ' ἐμοῦ φημιζόμενα, ἀγνοῶ πάντως». καὶ ὁ ἡγεμὼν col. 2 «Ὅτιπερ βίβλους τινὰς φέρεις» ἔφη, «δι' ὧν ἀπατᾷς τοὺς ἀνθρώπους ἀφίστασθαι μὲν τῆς τῶν θεῶν λατρείας, προσέρχεσθαι δὲ τῷ ἐσταυρωμένῳ. ἀλλὰ ποῦ νῦν εἰσι τὰ βιβλία, λέγε τὸ τάχος, ἵνα μὴ κακῶς ἀποθάνῃς· θῦσον δὲ καὶ τοῖς ἀθανάτοις θεοῖς, εἴ γε καὶ βούλει τῶν ἐγκλημάτων ἀπαλλαγῆναι». καὶ ὁ ἅγιος «Οὐδέν σοι συντελεῖ τὰ βιβλία» εἶπεν, «ἀνοσίῳ γε ὄντι καὶ μηδὲν εἰδότι τῶν ἐγκειμένων αὐτοῖς. ἄφες οὖν αὐτὰ παρ' ἐκείνοις, οἳ τὸν καρπὸν αὐτῶν τρυγᾶν καλῶς ἐξεπίστανται». μὴ τοίνυν ἕτερόν τι περὶ τούτων προσθείς· «Ἀλλὰ καὶ ἐμὲ θύοντα τοῖς βεβήλοις σου κιβδήλοις θεοῖς οὐκ ἂν ἴδοις ποτέ· ποίει λοιπὸν τὸ σοὶ παριστάμενον».

5. Τούτων ἀκούσας ὁ ἡγεμὼν καὶ τὸν θυμὸν ἀνεγείρας κελεύει μολιβίσι τὰς αὐτοῦ συνθλάττεσθαι σιαγόνας, εἶτα καὶ ταθέντα || κατὰ γῆς ῥάβδοις ἀνηλεῶς καταξαίνεσθαι. τὸν βωμὸν οὖν ἐκεῖσέ f. 92 που τῶν θεῶν ἱδρυμένον τῷ τύπτεσθαι διαλακτίσας ὁ μάρτυς κατέστρεψεν, εἰς ὀργὴν μείζονα πάντως ἐρεθίζων τὸν δικαστήν· ὃ δὴ καὶ γέγονε· ἀναρτηθῆναι γὰρ εὐθὺς ἐκέλευσε τοῦτον καὶ ξυστῆρσι καθ' ὅλου τοῦ σώματος καταξαίνεσθαι. τάχος οὖν τῆς πικρᾶς βασάνου ταύτης προσενεχθείσης, αἱμάτων ῥύακες τῶν ἁγίων ἐκείνων σαρκῶν τὸ ὑποκείμενον ἐφοίνισσον ἔδαφος. ὁ δικαστὴς δὲ μὴ ἀρκεσθεὶς τῷ ὑπερβάλλοντι τοῦ δεινοῦ, καὶ ἅλας προσέταττεν ὄξει συγκραθέντας τοῖς τραύμασιν ἐπιπάττεσθαι καὶ τριχίνοις ὑφάσμασι τὰς πληγὰς ἀνατρίβεσθαι. γίνεται τοῦτο. καὶ ξυρῷ τὴν γλῶτταν ὁ καλλίνικος ἀποτέμνεται καὶ τῇ φυλακῇ παραδίδοται· ἔνθα καὶ τὴν ἐκτμηθεῖσαν γλῶτταν ὑπὸ τῶν || μνημονευθεισῶν ὁσίων ἐκείνων col. 2 γυναικῶν ἐπὶ χεῖρας λαβὼν εἶχεν. ἄγγελος δὲ κυρίου καταπτὰς ὑγίωσε ταύτην, τῷ λοιπῷ μέρει συναρμοσάμενος, καὶ πρὸς οὐρανούς, ἀσπασάμενος τὸν Θεόδωρον, ἀνεχώρησεν· ὅπερ θεασάμενος τῶν εἰδωλολατρῶν ὁ ἔξαρχος (Λούκιος ἦν ὁ χρηστός) ἐπίστευσεν αὐτίκα

5 καὶ φησὶν || 6 σὺ Τίσ || 9 φιμΐζόμενα || 14 Οὐδὲν || 15 μὴδὲν || 17 ἐξἐπίσταναι || 22 ἐκεῖσε που || 26 Τῆς || 29 ἅλλασ || 30 τρυχίνοισ || 34 εἶχε

Χριστῷ, πλεῖστα διδαχθεὶς ὑπὸ τοῦ μάρτυρος, καὶ κῆρυξ τοῦ παραδόξου γεγένητο. οὐ πολὺς διῆλθε καιρός, καὶ τὴν ψυχὴν ὁ ἅγιος χερσὶ τοῦ πλάσαντος ἐναπέθετο.

6. Μανθάνει ὁ ἡγεμὼν ταῦτα διὰ τῶν ὑπηρετουμένων καὶ ὅτι Λούκιος γέγονε χριστιανὸς καὶ εὐθὺς τὰς δσίας γυναῖκας ἀναιρεθῆναι κελεύει, Λουκίαν φημὶ καὶ Ἀρόαν καὶ τὴν καλλίστην Κυπρίλλαν, ναὶ δὴ καί τινας ἄλλους τῶν πιστευσάντων. Λούκιος οὖν ὁ καλός, τῷ θείῳ τελεσθεὶς τοῦ βαπτίσματος χρίσματι, πολλοὺς ὡδήγει εἰς τὴν ἀλήθειαν, ἀλλὰ καὶ αὐτὸν τὸν ἡγεμόνα Διγνιανὸν f. 92v *σοφῶς || ὑπελθὼν (φίλος γὰρ ἦν ἐς τὰ μάλιστα τούτῳ) πείθει τὴν Ἑλλήνων πλάνην ἀπώμοτον θέσθαι καὶ πιστεῦσαι Χριστῷ, καὶ τοσοῦτον, ὥστε καὶ τὴν Κυρήνην ἄμφω καταλιπόντας τὴν Κύπρον καταλαβεῖν κἀν ταύτῃ τὸν λόγον κηρύττειν τῆς χάριτος.*

7. Διωγμοῦ δὲ κἀκεῖσε τῶν χριστιανῶν γινομένου καὶ πλείστων διὰ Χριστὸν μαρτυρούντων, ὁ θαυμάσιος Λούκιος τὸν Διγνιανὸν ὥσπερ λαβὼν τῷ ἄρχοντι τὰς τῶν ἁγίων ἐξετάσεις ποιοῦντι προσῆλθε καὶ παρρησιασάμενος στηλιτεύει μὲν αὐτοῦ τὴν ἀπόνοιαν, ἀνατρέπει δὲ καὶ τὸν βωμὸν καί, ὅλως εἰπεῖν, παράδοξος ἐφάνη τοῖς θεαταῖς. αὐτίκα γοῦν, ὦ καλὲ μάρτυς Λούκιε, συσχεθεὶς ὑπ' αὐτῶν ξίφει τὴν κεφαλὴν ἀποτέμνῃ καὶ θάπτῃ παρὰ τοῦ φίλου Διγνιανοῦ φιλοτίμως καὶ προστίθεσαι τῷ καλῷ διδασκάλῳ μάρτυς ἀπαράγραπτος καὶ δοῦλος Χριστοῦ γνησιώτατος.

col. 2 *8. Καὶ νῦν, ὦ | πανθαύμαστοι, τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ, βασιλεῖ ἡμῶν αἰτήσασθε τῷ πιστῷ δωρηθῆναι μέγιστα κατὰ τῶν ἀντιπάλων τὰ τρόπαια, ἰσχυρὰ καὶ ἀκαταγώνιστα, χαλινοὺς ἐχθρῶν κατασείοντά τε καὶ καταθραύοντα, Ἀγαρηνῶν νομάδων πλήθη διασκεδάζοντα, ἤρεμον καὶ ἥσυχον τὴν πολιτείαν Ῥωμαίων ἀπεργαζόμενα, λύσιν ἐπὶ τούτοις ἡμαρτημένων αὐτῷ χαρισθῆναι, πάντων ἀθανάτων καλῶν τὴν ἀπόλαυσιν καὶ βασιλείας Θεοῦ τὴν ἐπίτευξιν, ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

1 *κήρυξ* || 4 *Μανθάνει* || 18 *ἀνατρέπη — ὅλοσ* || 19 *γοῦν* || 26 *κατασιόντά τε ̓ς καταθρ(ά)βοντα*

Μηνὶ τῷ αὐτῷ ς'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΚΟΙΝΤΟΥ.

1. Αὐρηλιανοῦ τοῦ ἀσεβεστάτου τῶν Ῥωμαϊκῶν σκήπτρων τὴν ἀρχὴν ἔχοντος καὶ Ῥούφου τοῦ δυσσεβοῦς τὴν τῆς Φρυγίας ἡγεμονίαν διέποντος ὁ μακάριος || οὗτος Κόϊντος, ἐξ αὐτῆς ὡρμημένος, f. 93 εὐσεβὴς ἅπασιν ἐγνωρίζετο, καὶ παιδείας ἱκανῶς ἔχων καὶ βίου σεμνοῦ, τὴν τῶν γεννητόρων πάντως δηλῶν ἀρετήν, εἴπερ ἐκ τοῦ καρποῦ τὸ δένδρον κατανοεῖν μεμαθήκαμεν.

2. Τοιοῦτος οὖν ὁ γεννάδας τυγχάνων καὶ οὕτως ἁπάσῃ τῇ χώρᾳ γνωριζόμενος δίκαιος καὶ ἀρετῶν κατακοσμούμενος ἤθεσιν, ὧν τε ἐποίει καὶ ὧν ἐκεκόσμητο, καταλαμβάνει καὶ τὴν Αἰολίδα (κώμη δὲ αὕτη προσεχὴς τῇ Ἀσίᾳ), ἐν ᾗ καὶ τὸν ἔλεον ὅση δύναμις ἐπαρκέσας τοῖς δεομένοις καὶ τὸν λόγον τῆς ἀληθείας ταῖς κεχερσωμέναις ψυχαῖς ἐγκατασπείρας, καὶ τὰς ὑπὸ πνευμάτων ἀκαθάρτων ἐνοχουμένας ἰάσατο καὶ νόσους πολλὰς ἐθεράπευσε καὶ ποικίλων παθῶν τοὺς ἀνθρώπους ἀπήλλαξεν.

4. Οὐκ ἠγνόησε ταῦτα Ῥοῦφος ἡγεμών, ὁ τῆς ἀληθείας ἐχθρός, ὑπὸ τῶν τῇ πλά|νῃ δεδουλωμένων πάντα μεμαθηκώς, καὶ παρ- col. 2 αυτίκα τῷ βήματι τοῦτον παραστησάμενος, «Λέγε μοι» ἔφη, «σύ, πῶς τὰ βασιλέως δόγματα τιθέμενος παρ' οὐδὲν Θεὸν τὸν ἐσταυρωμένον κηρύττεις καὶ πολλοὺς ἀπατᾷς μαγείαις κἀντεῦθεν αὐτοὺς τῶν θεῶν ἀποσπῶν ἐκείνῳ προσάγειν ἐπιχειρεῖς; ὅμως ταῦτα πάντα σοι τῇ τοῦ κρατοῦντος καὶ ἡμῶν εὐμενείᾳ συγχωρηθήσεται, εἴ γε καλῶς ποιῶν προσέλθοις τοῖς θεοῖς καὶ τούτοις μεταμελούμενος ἀπονείμαις τὸ σέβας». ἤκουσεν ὁ ἅγιος καί φησι πρὸς αὐτόν· «Μὴ δὴ τοῦτο εἴποις, ὡς ἐγώ, ἵνα τἄλλα παρῶ, τοῖς σοῖς ἀπονείμω σέβας θεοῖς· οὐδεὶς γὰρ νοῦν ἔχων ἄνθρωπος, Θεὸν ἐγκαταλιπών, οὐρανοῦ καὶ γῆς ποιητήν, λίθοις ἀνέξοιτο καὶ ξύλοις, ἔργοις ἀνθρωπίνων χειρῶν, σέβας ἀπονεῖμαί ποτε».

4 σκήπρῶ || 6 ὁρμημένοσ || 22 ἀπατᾶσ || 23 ἀπόσπῶν || 25 προσέλθ[ς] || 26 ἀπονείμοισ — καὶ φησί || 27 τᾶλλα || 30 ἀπονεῖμαι ποτέ

f. 93v 4. Ταῦτα εἶπε, καὶ ὁ παράφορος δικαστὴς || ὕβρεσι καὶ βλασφημίαις Ἰουδαϊκαῖς τὸν δεσπότην ἡμῶν καθυπέβαλλε καὶ σωτῆρα, ἐσταυρωμένον αὐτὸν λέγων εἶναι καὶ κατάκριτον ἄνθρωπον· καὶ ἅμα δαίμονι βάλλεται χαλεπῷ καὶ δεινῶς ἐξετάζεται καὶ οὕτως ἔχων τῷ οἴκῳ κομίζεται. μετακαλεῖται Κόϊντος μετὰ τοῦτο, καὶ μηδὲ πλησιάσαι τῷ Ῥούφῳ τοῦτον ἀνασχόμενον τὸ δαιμόνιον, οἷα φλεγόμενον πάντως ὑπὸ τῆς ἐνοικούσης αὐτῷ τοῦ πνεύματος χάριτος, τὴν φυγαδείαν ἠσπάσατο, τὸν ἄνδρα καταλιπόν. ἀλλὰ τούτου δὴ γενομένου δέος εἰσῆλθεν ἅπαντας, καὶ τὴν εὐσέβειαν ἀπεθαύμαζον τοῦ Κοΐντου καὶ τὴν πίστιν, οἷα, καὶ πῶς τοὺς δαίμονας μακρόθεν διώκει.

5. Τῆς ἰάσεως οὖν ὁ Ῥοῦφος οὕτω ταχείας τυχὼν ἀφῆκε τῆς δῆθεν εὐθύνης τὸν ἅγιον, καὶ πάλιν ἐκεῖνος τὰ συνήθη τελῶν ἦν col. 2 καὶ πάλιν ἅπαντας ταῖς τῶν θαυμάτων ἐργασίαις καὶ ταῖς | τῶν λόγων διδαχαῖς ἐνῆγε πρὸς τὴν ἐπίγνωσιν. ἀλλ' οὐκ ἠνέσχοντο τούτων οὕτω γινομένων οἱ ἀσεβεῖς· ὅθεν καὶ κατασχόντες αὐτὸν ἄγουσι βιαίως ἐπὶ τὸ τῶν εἰδώλων τέμενος, ἐν ᾧ στήσαντες βωμὸν οἱ κατάρατοι θύειν αὐτὸν τοῖς ἀψύχοις ἠνάγκαζον, πυγμαῖς βάλλοντες, πληγαῖς κόπτοντες καὶ πᾶσαν ἄλλην αὐτῷ προσάγοντες κάκωσιν. τούτου δὲ πάντα γενναίως ὑπομένοντος τὰ δεινά, σεισμὸς ἐξαίφνης γίνεται μέγας καὶ ταράσσει τὴν γῆν ἐμφανῶς, τὴν οὐρανόθεν κατὰ τῶν δυσσεβῶν ὀργὴν ὑπεμφαίνων· οἱ δὲ παχεῖς ὄντες καὶ ἄλλως ἀσύνετοι, ποσὶ τὴν αὐτῶν σωτηρίαν ἔθεντο, φυγάδες γεγενημένοι, μόνου τοῦ μάρτυρος ὑπολειφθέντος ἐκεῖσε καὶ ποιουμένου τὰς ὑπὲρ ἁπάντων εὐχάς. εἶτα καὶ θείου ἀγγέλου συγκαταβάσει τῶν ἐκεῖθεν ὁ καλὸς Κόϊντος μεταβὰς εἴχετο πάλιν τῆς προ- f. 94 τέρας δι||δασκαλίας καὶ τῶν αὐτῶν θαυμασίων ἐργάτης ἐφαίνετο δόκιμος.

6. Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καί τις ἐφίσταται παρὰ βασιλέως σταλείς, Κλέαρχος τοὔνομα, σκολιὸς ἀνὴρ καὶ τὰ πάντα δεινός· ὃς τὰ τοῦ δικαίου Κοΐντου πυθόμενος κατορθώματα (γνώριμον γὰρ αὐτὸν τοῦτον ἡ φήμη κατέστησεν), ἐπεὶ τῷ βήματι τοῦτον παρέστησε καὶ θύειν τοῖς ξοάνοις ἠνάγκαζε καὶ μηδαμῶς ἔπειθε, συνθλασθῆναι τούτου τὰ σκέλη προσέταξεν, ἵν' ἐντεῦθεν αὐτὸν τῆς ζωῆς ἀποστήσῃ. διήμαρτε δὲ τοῦ σκοποῦ. δέκατον γὰρ ἔτος αὐτὸν ὁ τῶν οἰκείων δούλων προϊστάμενος Χριστὸς διεφύλαξε, πλεῖστα διενεργοῦντα θαύματα καὶ πολλοὺς ἐπανάγοντα πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν.

6 μηδὲ πλησιᾶσαι — Ῥουφίνῳ || 9 Τούτου — ἅπαντασ || 29 παραβασιλέ(ως) || 37 ἐπανάγων

7. *Ἀλλ᾽ οὕτω μὲν βιούς, οὕτω δὲ διαθλήσας, παναοίδιμε Κόϊντε, τὸν δικαίοις πρέποντα κεκοίμησαι ὕπνον· καὶ νῦν στρα|τιαῖς* col. 2 *ἀγγέλων συγχορεύων δμοῦ καὶ συνευφραινόμενος, μέμνησο βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ τὰ πάντα καλοῦ, ἰσχὺν αὐτῷ δωρούμενος ἐκ Θεοῦ καὶ κράτος ἀπρόσμαχον, χεῖρα τούτῳ κρατύνων κατ᾽ ἐχθρῶν ἀντιπάλων, ἀνώτερον αὐτὸν συντηρῶν ἐπιβουλῶν καὶ κακώσεων, ἤρεμον ὡς ἂν τὸ βασίλειον σχοίη, λαμπρόν, γαληνόν, εὐφρόσυνον εἰς ἅπαν καὶ πάσης ἔμπλεω θυμηδίας ἐνθέου καὶ βασιλείας Θεοῦ ἠξιωμένον· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ζ΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΝΑΤΟΛΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. *Ἤνεγκε μὲν τὸ καλὸν τοῦτο φυτὸν ἡ Ἀλεξάνδρου, πεφυτευμένον οὐ παρὰ ψάμμον, παρὰ τὰς τῶν ὑδάτων δὲ διεξόδους, ὡς εἰπεῖν κατὰ τὸν Δαυίδ. ἤνεγκε δὲ μάλα πως εὐγενῶς καὶ κοσμίως καρποῖς βρίθοντα θείοις || καὶ τῶν ἄλλων καλῶν ταῖς ἰδέαις. καὶ* f. 94v *γὰρ ἐκ πρώτης αὐτῆς τριχός, τὸ τοῦ λόγου, οἷα κάτοπτρον τὰς μορφάς, οὕτως ὁ μέγας ὑπεδήλου τὰς ἀρετάς, μαθημάτων εὐφυῶς καὶ σπουδαίως ἐχόμενος, νοημάτων αὐτῶν μεγαλοπρεπῶς ἐπιλαμβανόμενος καὶ φράσεως αὐτῶν καὶ κάλλους εἰς ἅπαν ἐπιμελόμενος, σὺν τούτοις νηστείαις ἐνευφραινόμενος καὶ προσευχαῖς καλλυνόμενος, ἀγρυπνίαις τε καὶ ψαλμῳδίαις καὶ τῇ ταπεινώσει μᾶλλον ἐνσεμνυνόμενος· οἷς δῆτα καὶ μέγαν τῷ ὄντι καὶ περίφημον γεγονότα τῆς ἐκκλησίας ὁ προεστὼς τηνικαῦτα μετὰ τοὺς λοιποὺς ἄλλους βαθμοὺς καὶ πρεσβύτερον πρεπόντως ταύτης χειροτονεῖ καὶ πᾶσαν αὐτῷ τὴν πρόνοιαν αὐτῆς ἐγχειρίζει. καὶ ἦν οὕτως οἷάπερ ἀστὴρ διαυγέστατος τὴν Ἀλεξάνδρου καταφαιδρύνων.*

2. *Ἄρτι δὲ χρείας | καλεσάσης τινὸς ἀναγκαίας στέλλεται πρὸς* col. 2 *τὸν τηνικαῦτα κρατοῦντα· Θεοδόσιος δὲ ἦν ὁ μικρός· καὶ δῆτα*

2 *κεκοίμησε* || 15 *ψάμιον* || 16 *μάλα πῶσ* || 22 *ἐνεὐφραινόμενοσ* || 28 *οἷαπερ — διαὐγέστατοσ* || 29 *ἄρτη*

16 *κατὰ τὸν Δαυίδ:* cf. Psalm. 1, 3.

θαυμασθεὶς ὑπὸ πάντων, ἵνα τὰ ἐν μέσῳ παρῶ, ἐπειδήπερ Φλαβιανὸς κατεβιβάσθη τοῦ θρόνου τῆς Κωνσταντίνου, καθὰ ὁ λόγος προϊὼν δηλώσει, χειροτονεῖται ψήφῳ τῶν ἐκκρίτων τοῦ βήματος ὁ καλὸς οὗτος Ἀνατόλιος ἀντ' ἐκείνου, συμψηφισαμένου καὶ Διοσκόρου τοῦ τῆς Ἀλεξανδρείας προέδρου, σύμφρονα πάντως ἐλπίσαντος σχεῖν αὐτὸν τῆς οἰκείας κακοδοξίας· εἰ καὶ μηδὲν τῆς κακουργίας ἀπώνατο· ἄρτι γὰρ τῆς τετάρτης ἐν Χαλκηδόνι συγκροτηθείσης συνόδου τῶν ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων κατὰ Εὐτυχοῦς ἀρχιμανδρίτου γεγονότος τοῦ δυστυχοῦς καὶ Διοσκόρου τούτου f. 95 κατὰ τοὺς χρόνους Μαρκιανοῦ, ληρω||δούντων τῶν καταράτων μὴ εἶναι τὴν σάρκα τοῦ κυρίου ὁμοούσιον ἡμῖν, ἀλλ' ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν γενέσθαι, μίαν δὲ φύσιν ἀποτελεσθῆναι μετὰ τὴν ἕνωσιν καὶ ὡς ἐν φαντασίᾳ αὐτὸν σάρκα φορέσαι τὸν κύριον μυθολογούντων καὶ τῇ θεότητι προσνεμόντων τὰ πάθη, ὁ σοφὸς Ἀνατόλιος τῆς συνόδου ταύτης ἐξάρχων αὐτοὺς μὲν ὡς βλασφήμους καθεῖλε καὶ ἀναθέματι καθυπέβαλεν, ἐξεφώνησε δὲ τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον ἐν δύο φύσεσιν ἀσυγχύτως [καὶ] ἀδιαιρέτως τὸν κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, δύο δὲ εἴρηκε φύσεις τῷ λόγῳ τῆς διαφορᾶς, οὐ τῷ λόγῳ τῆς διαιρέσεως. τήν τε τοῦ Ῥώμης πάπα Λέοντος ἐπιστολὴν πρὸς Φλαβιανὸν γραφεῖσαν ὡς στήλην ὀρθοδοξίας ἐδέξατο, ἐπικυρώσας καὶ τοῦ Νεστορίου τὴν καθαίρεσιν, δεξάμενός τε καὶ Ἥβαν καὶ Θεοδώρητον, ὡς ἀναθεμα- col. 2 τίσαντας τὸν Νεστόριον· ἀλλὰ δὴ καὶ τὸ τοῦ | μακαρίου ὄνομα Φλαβιανοῦ, τοῦ πρὸ αὐτοῦ τὸν τῆς πατριαρχίας θρόνον κοσμήσαντος, ὃν ὁ σκαιὸς Διόσκορος ἐν τῇ λῃστρικῇ κατ' Ἔφεσον δευτέρᾳ συνόδῳ τοῦ θρόνου καθεῖλε κακῶς ψηφισάμενος, τοῖς διπτύχοις τῶν ὀρθοδόξων ἐνέταξε καὶ τὸ τίμιον αὐτοῦ λείψανον ἀνενεχθῆναι ποιήσας ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων κατέθηκε καὶ ἐγκυκλίοις ἐπιστολαῖς πρὸς τοὺς κατὰ τόπον ἐπισκόπους τὴν ὀρθόδοξον πίστιν ἐξέθετο, προτρεπόμενος αὐτοὺς ἀναθεματίσαι τοὺς τῆς αἱρέσεως προεξάρχοντας Νεστόριον, Εὐτυχέα καὶ τὸν Διόσκορον, πρὸς δὲ καὶ πάντας τοὺς ἄλλους, οἳ σύγχυσιν ἢ παρατροπὴν κατὰ τῆς θείας ἐδογμάτισαν φύσεως.

4. Ταῦτα διδάξας καὶ ταῦτα πράξας, ὦ θαυμάσιε καὶ κάλλιστε f. 95v καλῶς Ἀνατόλιε, καὶ ἐπὶ χρόνοις ὀκτὼ καὶ μησὶ τοσούτοις τὴν τοῦ Χριστοῦ θεοφιλῶς καὶ ὀρ||θοδόξως ἐκκλησίαν ποιμάνας ἐν εἰρήνῃ καταλύεις τὸν βίον, τὸν ἄριστον Γεννάδιον μετὰ σὲ ποιμενάρχην καὶ διδάσκαλον καταλείψας. καὶ νῦν συγχορεύων ἀγγέλοις, απο-

5 συμφρονα *sine acc.* || 8 εὐτυχοὺσ || 12 μετα *sine acc.* || 17 καὶ *inserui* || 19 φύσισ || 22 θεοδώριτον || 30 ἀναθεματισαι *sine acc.* || 34 ταύτα

στόλοις, προφήταις καὶ πατριάρχαις καὶ τῷ δεσποτικῷ σὺν αὐτοῖς παριστάμενος θρόνῳ αἴτησαι ταῖς εἰς Θεόν σου πρεσβείαις καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ πάσαις κεκοσμημένῳ ταῖς ἀρεταῖς μῆκος δοθῆναι ζωῆς καὶ σθένος κατ' ἐναντίων, ἰσχὺν καὶ κράτος κατὰ τῶν ἀντιπάλων, χώρας τὴν κατάλυσιν αὐτῶν εἰς ἅπαν, ἀλλὰ καὶ θείας ζωῆς τὴν μετουσίαν, ἡλίου λάμψιν τῆς τριττῆς θεαρχίας, πάσης ἀλήκτου χαρᾶς τὴν εὐκληρίαν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ η'. col. 2

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΠΡΟΚΟΠΙΟΥ.

1. Ὁ κλεινὸς ἐν μάρτυσι καὶ μέγας Προκόπιος, οὗ τὸ κλέος πᾶσαν ὡς εἰπεῖν διέλαβε τὴν ὑφήλιον, ἐν τοῖς χρόνοις ἤκμαζε τῶν δυσσεβῶν βασιλέων Διοκλητιανοῦ φημι καὶ Μαξιμιανοῦ τῶν ἐχθίστων, περιφανῆ πόλιν κεκτημένος πατρίδα τὰ Ἱεροσόλυμα, ἥτις δὴ καὶ Σιὼν ἐκαλεῖτο, μετὰ μέντοι τὴν ἅλωσιν, ἣν διὰ τὴν εἰς Χριστὸν τόλμαν ὑπέστη, Ἁδριανοῦ ἤδη τῶν βασιλικῶν σκήπτρων ἐπειλημμένου, Αἰλία κέκλητο ἀφ' ἑαυτοῦ. ναὶ δὴ καὶ μητέρα συγκλητικὴν ὁ Προκόπιος εἶχε καὶ πρωτεύουσαν τότε τῆς πόλεως, χηρεύουσαν οὐκ ἀνδρὸς μόνον, ἀλλὰ καὶ τῆς κατὰ τὸν ἄνδρα θεοσεβείας· χριστιανὸς μὲν γὰρ ὁ Χριστοφόρος (οὕτω γὰρ ὁ πατὴρ ἐκαλεῖτο τῷ μάρτυρι) καὶ τὸ σέβας ἔχων ὑποδηλούμενον τῷ ὀνόματι, ἡ δὲ τὰ Ἑλλήνων σέβουσα μέχρι τινὸς ἐτύγχανεν.

2. Οὗτος τοι||γαροῦν ὁ καλὸς Νεανίας (τοῦτο γὰρ πρότερον ἡ κλῆσις αὐτῷ) τῇ μητρικῇ συνείπετο δυσσεβείᾳ τὸ πρῶτον, οὐ γάλακτος μόνον αὐτῆς, ἀλλὰ καὶ σεβάσματος ἐκπιών, ἕως ὁμοίαν Παύλῳ καὶ οὕτως τὴν ἄνωθεν κλῆσιν ἐδέξατο καὶ τὴν μεταβολὴν ἐπεδείξατο· δηλώσει δὲ ταῦτα μετ' ὀλίγον ὁ λόγος. τοῦτον ἡ μήτηρ ἐπὶ συχνοῖς χρήμασι πρὸς Διοκλητιανὸν ἦγεν εἰς Ἀντιόχειαν δόξης f. 96

3 πάσαι || 6 τριτῆσ || 8 πρέπη || 13 *in.* Ὁ *littera piscis formam habet* || 14 ὑφ' ἥλιον — ἤγμαζε || 15 φημὶ || 19 ἀφ' ἑαυτοῦ: *sic cod. pro* ὑπ' αὐτοῦ || 21 χηρέβουσαν || 26 δυὓεβεια *(sine acc.)* || 30 χρήμασιν

τε καὶ ζώνης τῆς παρ' ἐκείνου τευξόμενον. προσελθοῦσα τοιγαροῦν ἐδεῖτο. καὶ ὃς προσήκατο μὲν χρήματα, προσήκατο δὲ καὶ πίστιν αὐτῆς συμφρονοῦσαν ἀναμαθών, καὶ δοῦκα ζώννυσι τὸν Νεανίαν τῆς 'Αλεξάνδρου, κοινολογησάμενος αὐτῷ πρότερον καὶ μαθών, ὅτι πρὸς ἀλήθειαν τῆς μητρός ἐστιν, ὡς ὁ λόγος φησί, τὸ παιδίον καὶ ὅτι καὶ παιδείας 'Ελληνικῆς οὐκ ἄκρῳ δακτύλῳ γευσάμενος, ἀλλ' εἰς κόρον αὐτῆς μετασχών.

3. Πέμπων οὖν ἐκεῖσε τοῦτον ἐντέλλεται, ὅσους ἂν εὕροι χρι- col. 2 *στιανοὺς | ἑαυτοὺς ὀνομάζοντας, ἀποστερεῖν μὲν τῶν προσόντων καὶ τῷ δημοσίῳ κοινοῦσθαι, αὐτοὺς δὲ μετὰ [τὸ] πολλαῖς ὑποβαλεῖν τιμωρίαις ἐπιμένοντας τῇ ἰδίᾳ πίστει προσαφαιρεῖσθαι καὶ τὴν ζωήν, παρασχόμενος αὐτῷ καὶ δύο νούμερα στρατιωτῶν κατὰ τῶν ὡς εἰκὸς ἀπειθούντων. ἔξεισι τοίνυν ὁ Νεανίας, κεφαλὴν κινῶν, τὸ τῆς θείας φάναι γραφῆς, καὶ βαρὺ πνέων κατὰ χριστιανῶν ὁ μέγα χριστιανοῖς κλέος μετ' ὀλίγον ἐσόμενος. ἐπεὶ δὲ νυκτοπορῶν (τοῦτο γὰρ ἐποίει τὸ φλογῶδες τῆς ἡμέρας ἐκκλίνων) τὴν τῆς Συρίας 'Απάμειαν κατελάμβανε, πᾶσα μὲν ἡ πόλις, οἷα σύνηθές ἐστι γίνεσθαι, ἄρτι τῆς ἡμέρας ὑπολαμπούσης ὑπήντων αὐτῷ πρὸ τοῦ ἄστεος. εἶθ' οὕτως ἐκεῖθεν ἐξελθόντος καὶ αὖθις ὁδεύσαντος οὐ πλείους ἢ τριάκοντα σταδίους, σεισμοῦ γίνεται κλόνος* f. 96v *ἰσχυρός· τρίτη ἦν ἤδη τῆς νυκτὸς ὥρα· || καὶ κεραυνὸς οἷα φοβερὸς ἐξάλλεται, φωνή τε ἄνωθεν ἐξηχεῖτο, «Νεανία», λέγουσα, «ποῦ πορεύῃ; κατὰ τίνος δέ σοι καὶ ἡ ὁρμὴ φέρεται»; καὶ ὅς, γνώμης ὢν ἐλευθέρας, ὡς εἶχε πάντα διασαφεῖ κατὰ μέρος, ὅπως τε καὶ οἷα προσταγείη παρὰ τοῦ βασιλέως. αὖθις δὲ ἤκουε· «Τί δέ, ὦ Νεανία, κατ' ἐμοῦ λοιπὸν καὶ αὐτὸς ἥκεις»; καὶ οὗτος· «Σὺ δέ, ὦ κύριε, τίς ποτε εἶ; οὐκ ἔχω γὰρ συμβαλεῖν».*

4. Οὕτως εἰπόντι σταυρὸς αὐτῷ παραχρῆμα κρυστάλλῳ παρόμοιος ἐπιφαίνεται, φωνή τε τοῦ σταυροῦ προήει, «'Εγώ εἰμι» λέγουσα «'Ιησοῦς ὁ ἐσταυρωμένος, ὁ τοῦ Θεοῦ υἱός». καὶ ὁ Νεανίας «Καὶ εἰ ταῖς ἀληθείαις Θεοῦ υἱὸς εἶ» ἔφη, «τίνος χάριν οἱ 'Ιουδαῖοί σε θανάτῳ κατέκριναν; πῶς δὲ καὶ αὐτὸς ἠνέσχου ξύλῳ τε προσπαγῆναι καὶ ὄξος προσέσθαι χολῇ μεμιγμένον»; καὶ ἡ φωνὴ αὖθις «Νεανία» λέγει, «ἐπεὶ μέλλεις καὶ αὐτὸς ἐκλογῆς ἔσεσθαί μοι | col. 2 *σκεῦος, δεῖ πάντως καὶ τὰ τῆς οἰκονομίας τῆς ἐμῆς, ὅπως ἔχει, δῆλά σοι γενέσθαι. ἴσθι τοίνυν, ὡς τῆς τῶν ἀνθρώπων ἕνεκα σω-*

1 δόξησ τὲ || 10 τὸ *inserui* || 13 "Εξεισι || 22 φωνὴ τὲ — ἐξι|χεῖτο || 24 καταμέροσ ὅπωσ τὲ || 28 κρυστάλῳ || 29 φωνὴ [ἐ] — ἐγὼ εἰμὶ || 31 οἱουδαῖοισε || 32 ξύλω τὲ || 33 μεμηγ[ε]ῦ|νον || 34 ἔσεσθέ[οι]μι || 36 δῆλασοι

14 τὸ — γραφῆς: cf. ex. c. Ps. 21 (22), 7; Is. 37, 22; Ier. 18, 16 etc.

τηρίας ἑκὼν ἠνεσχόμην ταῦτα· καὶ εἰ μὴ αὐτὸς οὕτω πέπονθα, οὐκ ἂν ἐκεῖνοι τοῦ κακῶς πάσχειν ἀπηλλάττοντο». τοιαῦτα δὴ ὁ φανεὶς εἴρηκε καὶ χαρᾶς θείας τὴν τοῦ Νεανίου πληρώσας ψυχὴν εἰς οὐρανοὺς αὖθις ἀνήει, «Ἐν τούτῳ» εἰρηκὼς «τῷ ὀφθέντι σοι τύπῳ νικῶν ἔσο τοὺς πολεμίους, εἰρήνη τε ἀεὶ ἡ ἐμὴ μετὰ σοῦ ἔσται».

5. Πληροῦται χαρᾶς καὶ θάρσους οὕτως ἀκούσας ἐκεῖνος καὶ εὐθὺς αὐτῆς ὥρας αὐτοῖς ἅμα τοῖς στρατιώταις εὐθὺ Σκυθοπόλεως ἐπανήει καί τινι τῶν ἀργυροκόπων — Μάρκος ἦν ὁ τῶν ἄλλων διαφορώτατος — κοινολογεῖται κρυφῇ καὶ «Εἴ μοι ποιήσεις» φησὶν «ὅπως ἂν ἐγὼ ἐπιτάξω σοι, ἔσῃ τε κεχαρισμένος ἐμοὶ καὶ μισθῶν ἀπολαύσεις μεγάλων». || τοῦ δὲ συνθεμένου, σταυρικὸν ἐκεῖνος ση- f. 97 μεῖον δακτύλοις ὑποτυπώσας, χρυσοῦ τε καὶ ἀργύρου τοῦτο κατασκευασθῆναι κελεύει, ὅρκοις αὐτὸν δεδιότα εἰς τοῦτο κατοχυρώσας, ὡς ἐν ἀδήλῳ κείσεται τὰ τοῦ πράγματος. οὕτω γοῦν ὁ Μάρκος μόλις πεισθεὶς ἐργάζεται τὸν σταυρὸν ἐγκλεισάμενος. ἐπεὶ δὲ καὶ εἰς τέλος ἰέναι ἔμελλεν, ἐξανατέλλουσί πως ἐν αὐτῷ τρεῖς εἰκόνες, ἑβραΐδος γλώττης ὑποδηλούμεναι γράμμασιν, ἄνω μὲν «Ἐμμανουήλ», ἐν δὲ ταῖς ἑκατέρωθεν ἀρχαῖς «Μιχαὴλ» οὕτω καὶ «Γαβριὴλ» ἔχουσαι· ἃς ἀπαλείψειν βουληθέντι τῷ Μάρκῳ ἄπρακτος ἡ χεὶρ ἔμεινε καὶ ἀκίνητος.

6. Τοῦτον τοιγάρτοι τὸν σταυρὸν νυκτὸς ὁ Νεανίας ἀπιὼν εἰς τὸν τοῦ Μάρκου οἶκον ἐπὶ τῷ λαβεῖν προσκυνεῖ, εἶτα καὶ περὶ τῶν ἐπιφαινομένων εἰκόνων αὐτῷ καὶ τῶν ἐπιγραφῶν ἐρωτᾷ. | τὴν col. 2 παράδοξον ἐκεῖνος αὐτῶν ἐξηγεῖται γραφήν· καὶ ὁ Νεανίας, ἀγχίνους ὢν καὶ συνεὶς δύναμιν εἶναί τινα θειοτέραν ἐν τῷ σταυρῷ, αὖθις σὺν αἰδοῖ προσκυνεῖ καὶ τὸ ἑξῆς πολυτίμῳ τινὶ πορφύρᾳ περιειλήσας, ἀλλὰ καὶ τῷ Μάρκῳ τοὺς μισθοὺς φιλοτίμως καὶ πρεπόντως ἀριθμησάμενος, ὁδοῦ τε εἴχετο καὶ σὺν ἅμα τοῖς δυσὶ νουμέροις τὴν αὐτοῦ πόλιν κατελάμβανε. καὶ ἐπεὶ μάθοι τοὺς τῆς Ἄγαρ τὰς τῶν πολιτῶν θυγατέρας νόμῳ χειρῶν εἰς γύναικας λαμβάνειν, εἰς ἔλεον τὴν συμφορὰν θέμενος ταύτην, ἅμα τῷ σταυρῷ καὶ στρατιώταις αὐτοῖς ἔξεισι κατ' αὐτῶν, τὴν ἁρπαγὴν ἀθροισθέντων ποιῆσαι, καὶ χόρτον ὡσπερεὶ τούτους κατατεμὼν τῇ γῇ προσρίπτει. καὶ θνήσκουσι τῶν Ἀγαρηνῶν οὐκ ἐλάττους ἢ χιλιάδες ἕξ, οὐδενὸς τῶν ἐκείνου οὐδὲ πληγὴν μικρὰν εἰληφότος, ἀλλὰ τὸν ἄδακρυν, ὃ λέγεται, || πόλεμον ἀκριβῶς ἀγωνισαμένων. f. 97v

2 Τοιαῦτα || 5 εἰρήνη τὲ || 11 *inter* ὅπως *et* ἂν *sex fere litterae erasae* || ibid. ἔση τὲ || 13 χρυσοῦ τὲ — κατασκεβασθῆναι || 15 γοῦν || 17 ἐξανατέλ^λ^ο͂υ|σι || 22 τοῦ|Τον || 26 εἶναι τινὰ || 29 ὁδοῦ τὲ || 31 ἄγαρ || 33 ἔξισι

7. Τούτου δὴ τοῦ μεγάλου τροπαίου ῥώμῃ τοῦ θείου σταυροῦ διαφανέστατα γενομένου, ὁ Νεανίας τῇ μητρὶ μηνύει τὰ εὐαγγέλια. αὐτίκα γοῦν ὑπαντᾷ φιλοφρόνως ἐκείνη, χαρᾶς ἐπὶ τῇ νίκῃ πληροῦται, τὸν υἱὸν κατασπάζεται, «Τοῖς θεοῖς» λέγει, «τέκνον, προσῆκον ὁμολογεῖν χάριτας· πολλὰ γὰρ κατὰ τῶν ἐχθρῶν ἐπιόντος σου ἐδεήθην αὐτῶν». ὁ δὲ πρὸς αὐτὴν «Καλῶς μὲν αὐτή, μῆτερ», ἔφη, «παιδὸς ὑπεραλγοῦσα ἐποίεις· ἐγὼ δὲ θερμῆς ἀπέλαυσα τῆς παρὰ τοῦ ἐμοῦ Θεοῦ βοηθείας»· κἀκείνη «Μὴ λέγε οὕτως, ὦ τέκνον», φησί, «μηδὲ θεῷ ἑνὶ τὴν χάριν ἀνομολόγει, μὴ καὶ χαλεπήναντες οἱ ἄλλοι διάθωνταί σε κακῶς». καὶ ὁ Νεανίας, οἷα παρανοίγων μητρὶ τὴν εὐσέβειαν, «Ἐπιγνῶναί σε χρή, μῆτερ», ἔφη, «τίς ἡ τῆς ἀληθείας ὁδός, καὶ ταύτην πορευθῆναι· ὡς νῦν γε ἀπάτη σε col. 2 ἰσχυρὰ κατέχει, παχεῖαν ἀχλὺν τῶν | ὀφθαλμῶν καταχέασα, καὶ ὅπως, αὐτὸ» φησὶ «δείξει». ἔφη, καὶ παραλαβὼν τὴν μητέρα εἰς τὸν κοιτῶνα ταύτης εἰσῄει, προσσχών τε τοῖς εἰδώλοις, ἃ ἐκεῖσε ὄντα ὑπ' αὐτῆς ἐλατρεύετο, «Ὑμῖν λέγω τοῖς θεοῖς» ἔφη, «τίς ἄρα ἐστὶν ὁ ἐν τῷ πολέμῳ μοι βοηθήσας»; οὕτως ὁ μὲν ἤρετο, οἱ δὲ τὸ ἑαυτῶν ἐποίουν καὶ λίθοι ὄντες ἐκώφευον. ἐκεῖνος πρὸς τὴν μητέρα «Οὐχ ὁρᾷς» εἶπεν, «ὅπως οὐδὲ λέγουσι πρὸς τὸ λεχθὲν οἱ θεοί»; κἀκείνη «Ἐπεγγελῶν» ἔφη «προσῆλθες αὐτοῖς, καὶ διὰ τοῦτο τὴν ἀπόκρισιν ἀνεβάλλοντο». καὶ ὅς· «Ἀλλ' αὐτὴ πρόσελθε, καὶ ἕξεις αὐτοὺς ἀποκρινομένους». κἀκείνη θερμῶς οὕτως πως δεομένη αὐτῶν εἶπε· «Θεοὶ οὐράνιοι, Ζεῦ ὕπατε, Ἥρα βασίλεια καὶ αὐτὸς ὁ θαλάσσης δεσπόζων Πόσειδον καὶ μέντοι καὶ Ἥλιε καὶ πολιοῦχε f. 98 Παλλὰς καὶ ὅσοι ἄλλοι θεοί, οὐχ ὑμεῖς ἐστὲ διαδήλως, || οἳ τῷ ἐμῷ μὲν υἱῷ, ὑμῶν δὲ οἰκέτῃ βεβοηθήκατε»; καὶ ἐπίσης ἄφωνα ἦν τὰ ἄφωνα, μᾶλλον δέ, τὸ τῆς θείας φάναι γραφῆς, οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις.

8. Αὐτίκα τοίνυν ὁ Νεανίας ἠρέμα μὲν διωθεῖ τὴν μητέρα, λὰξ δὲ τοῖς εἰδώλοις νεανικώτερον ἐμβαλὼν εἰς ἔδαφος εὐθὺς κατασπᾷ, εἶτα καὶ εἰς λεπτὰ διελών, καὶ γὰρ ἦσαν οὐκ ὀλίγα χρυσοῦ καὶ ἀργύρου πεποιημένα, πένησι διανέμει, τῇ μητρί τέ φησιν· «Ἐμοὶ παρὰ τοῦ ἐσταυρωμένου ἡ βοήθεια· τὰ δὲ οἰμωζέτω κακὰ κακῶς ἀπολλύμενα». τοῦτο ἐκείνη θεασαμένη παραχρῆμα τὰ μέλη λύεται, κλόνῳ βάλλεται, θυμοῦ πληροῦται, παντοία γίνεται, μικροῦ καὶ

3 αυτικα (sine acc.) γοῦν ὑπαντὰ || 6 Αὐτὴν || 7 ὑπεραλγοῦ^{σ} || 9 ἀνοομολόγει || 11 ἐπιγνῶ^{α}νισε — μήτερ || 13 παχείαν || 14 μ^{η}|τέραν || 15 προσχὼν^{ε} || 17 Ὅυτωσ || 22 πῶσ || 24 ̔ς μεντι (sine acc.) || 25 παλὰσ || 32 μ͂ρὶ τε φὴ(σι) || 34 Τοῦτο

27 οὐκ ἦν φωνὴ κτλ.: Reg. III, 18, 26; IV, 4, 31.

ἀποπήγνυται τῷ θεάματι, ἔπειτα καὶ ὁδοῦ μῆκος καὶ φύσιν ἅμα καὶ σπλάγχνα τὰ μητρικὰ θεμένη παρ᾽ οὐδέν, πρὸς Διοκλητιανὸν ἄπεισι καὶ «Ὦ βασιλεῦ», ἔφη, «μεγάλῃ, φεῦ, ὁ ἐμὸς υἱὸς περιπέσοι μανίᾳ· πεπίστευκε γὰρ τῷ ἐσταυρωμένῳ· καὶ γὰρ τοὺς | θεούς, οὓς col. 2 εἶχον ἐν τῷ κοιτῶνι, κατήρραξε καὶ εἰς λεπτὰ [διεῖλε] καὶ τὸ μηδὲν εἶναι πεποίηκε». καὶ ὃς πρὸς αὐτήν, θυμοῦ μεστὸς γεγονώς, «Σὺ μέν», φησίν, «ὦ γύναι, ἄλυπος ἔσο· οὐδὲ γὰρ ἀνέλπιστος ἡ τοῦ σοῦ παιδὸς μεταμέλεια. εἰ δὲ καὶ ἀνίατος ὀφθῇ, ἀλλ᾽ ὃν ἂν ἴδοις τῆς συγκλήτου καλόν τε τὴν ὄρασιν καὶ μᾶλλον κατὰ γνώμην ὄντα τὴν σήν, εἰς υἱὸν ἑλοῦ, αὐτὸν δὲ πολλαῖς βασάνοις ἀπολέσθαι κακῶς ἔασον».

9. Καὶ παραυτίκα Οὐλκίωνι τῷ τῆς Παλαιστίνης ἄρχοντι, ἀνδρὶ σκολιῷ καὶ τὴν γνώμην ἀπηνεστάτῳ, γράφει Διοκλητιανὸς οὕτως· «Τῶν πέριξ πόλεων τοὺς ἐπισημοτάτους λαβών, πρὸς Νεανίαν ἄπιθι δοῦκα, τὸν τῆς Θεοδοσίας υἱόν· ἀκηκόαμεν γὰρ παρ᾽ αὐτῆς, ὡς εἴη τῷ ἐσταυρωμένῳ πεπιστευκώς. καὶ τοῦτον εἰ μὲν ἴδοις τὴν πλάνην ἀποτιθέμενον, σῶζε, εἰ δ᾽ ἀπειθοῦντα καὶ μὴ μετα||τιθέ- f. 98ᵛ μενον, κόλαζε». ταύτην Οὐλκίων δεξάμενος τὴν ἐπιστολήν, πορεύεται πρὸς αὐτόν· ἀσπάζεται τοῦτον· τὴν ἐπιστολὴν αὐτῷ δίδωσιν, ὀκνῶν ἀπὸ στόματος αὐστηροτέραν ἐξενεγκεῖν ἀγγελίαν. ῥήγνυσι ταύτην ἐκεῖνος ἀναγνούς, τοῖς κατὰ Χριστὸν βλασφήμοις [λόγοις] δηχθεὶς τὴν ψυχήν· χριστιανὸν ἑαυτὸν ἀριδήλως ὁμολογεῖ καὶ τὴν ζώνην λύσας ἐπαφίησιν αὐτοῦ τῷ προσώπῳ.

10. Ἤλγησεν ἐπὶ τούτῳ τὴν ψυχὴν ὁ Οὐλκίων· τοῦτον συλληφθῆναι κελεύει καὶ τὴν ἐπὶ Καισάρειαν ἄγεσθαι, ἣν δὴ Φιλίππου καλοῦσιν, ἣ καὶ Στράτωνος ὀνομάζεται πύργος, ἀλλὰ δὴ καὶ παρὰ Φοίνιξι Πανεάς· ἀφ᾽ ἧς καὶ τὴν παρὰ τοῦ ἐμοῦ Χριστοῦ ἰαθεῖσαν αἱμόρρουν ὁρμᾶσθαί φασι· μαρτύριον τοῦ λόγου οἶκος αὐτῆς ἐκεῖσε καθιδρυμένος, σύμβολον τῆς θεοσημείας γυναικὸς ἐκτύπωμα πρὸς ταῖς πύλαις τοῦ οἴκου, χαλκοῦ πεποιημένον, ἑστὸς εἰς γόνυ | κεκλι- col. 2 μένον καὶ τεταμέναις χερσὶ τῇ δεομένῃ προσεοικός. τούτου δ᾽ ἀντικρὺ τῆς αὐτῆς ἐξειργασμένος ὕλης ἀνδριὰς ἐσταλμένος εὐπρεπῶς διπλοΐδα καὶ χεῖρα προτείνων φιλανθρώπως τῇ γυναικί· τὸν Χριστὸν εἶναι λέγουσι τοῦτον· οὗ παρὰ πόδας ξένον τι εἶδος βοτάνης τῆς γῆς ἀναδίδοται, μέχρι τοῦ κρασπέδου τῆς διπλοΐδος ἀνιόν, νοσήματος παντὸς θεραπευτικόν. ἀλλὰ περὶ μὲν τούτων οὕτως· ἐχέσθω δὲ ὁ λόγος ἤδη τῶν ἀκολούθων.

5 κατέρραξεν || ibid. διεῖλε *inserui coll. p. 148 v. 31* || 7 γῦναι || 9 καλὸν τὲ || 17 εἰδαπειθοῦντα || 19 δίδωσι || 20 ἀποστόματοσ — Ῥήγνυσι || 21 λόγοις *inserui* || 26 στράτονοσ || 28 αἱμόρουν ὁρμᾶσθαι φασὶ || 34 παραπόδ(ας) ξένόντι

μετακαλεῖται καὶ ἣν ἔχων ἡλίῳ τὸ πρόσωπον ἐοικός. ἔκπληξιν οὖν ἐνῆκε τοῦτο τοῖς παρεστῶσιν, ἀλλ' οὐχὶ καὶ Οὐλκίωνι· διὸ καὶ πρὸς θυσίαν τοῦτον ἐκάλει, καὶ πρὸς τὸν ναὸν ὁ μάρτυς ἀπῄει. διεδόθη τῇ πόλει λόγος, ὡς ὁ τερπνὸς Νεανίας πρόσεισι τοῖς θεοῖς· καὶ ἡ εἴσοδος ἡτοιμάζετο, σινδόσι τὸ ἔδαφος κατεστρώννυτο, πανδημεὶ πάντες συνέτρεχον. καὶ τέλος εὐχῇ Προκόπιος καὶ σφραγῖδι σταυροῦ οὐκ ἔλαττον ἢ τριάκοντα ξόανα τῷ ἐδάφει προσήρραξεν.

14. Ἐξέπληξε τοῦτο τοὺς στρατιώτας καὶ «Μέγας ὁ Θεὸς» ἐβόησαν «τῶν χριστιανῶν». ὁ τοίνυν Οὐλκίων|ἀμηχανίᾳ ληφθεὶς col. 2 τὸν μὲν ἅγιον τῇ φυλακῇ παραδίδωσι, τοὺς δέ γε πεπιστευκότας στρατιώτας ἐσκέπτετο πῶς ἀπροόπτως ἀνέλοι· καὶ γὰρ ἐδεδίει, μή πως ὑπὸ τοῦ πλήθους τῶν δύο νουμέρων καταστασιασθεὶς εὐχερῶς παραπόλοιτο· οἱ δέ, ἐπεὶ καὶ νὺξ ἦν, εἶχον δὲ καὶ τοὺς δύο νουμέρους ἰσόφρονας, τὸ δεσμωτήριον τάχος κατέλαβον καὶ τὸν ἅγιον ἐπιμελῶς ἠξίουν τυχεῖν τοῦ βαπτίσματος· διὸ σὺν τούτοις τοῦ δεσμοφύλακος δεηθείς (καὶ γὰρ ἦν, ὡς προείρηται, φιλίως πρὸς αὐτὸν ἔχων), ἔτι νυκτὸς οὔσης πρὸς τὸν τῆς πόλεως ἐπίσκοπον (Λεόντιος οὗτος ἦν) ἀφικνεῖται καὶ βαπτισθῆναι τούτους ἀξιοῖ· ὁ δὲ κατηχήσας βαπτίζει καὶ τῶν ἀχράντων αὐτοῖς μεταδίδωσι μυστηρίων· καὶ οὕτως αὐτοὺς πάλιν ὁ μάρτυς παραλαβὼν ὑπέστρεψεν εἰς τὸ δεσμωτήριον καὶ τὰ τῆς εὐσεβείας||ἐδίδασκεν, ὑπὸ τῆς f. 100 θείας χάριτος αὐτὸς διδασκόμενος· ἦν γὰρ τὸν λόγον ἡδὺς καὶ τὴν ὄψιν ἐπιτερπὴς καὶ τὴν διδαχὴν πιθανώτατος.

15. Ὁ τοίνυν Οὐλκίων τόν τε ἅγιον καὶ τοὺς στρατιώτας παραστησάμενος καὶ πλεῖστα προσονειδίσας, ὡς «Ὑπὸ τοῦ καταράτου τούτου» φησὶ «πάντως τὰ τῆς ἀπάτης ὑμῖν προσεγένετο», ὑπεμφαίνων αὐτόν, «ἀλλὰ μεταμεληθέντες θύσατε τοῖς θεοῖς», ἐπεὶ μὴ πειθομένους εἶχεν, ἀλλὰ μᾶλλον κωφὰ καὶ ἀναίσθητα τὰ εἴδωλα τούτου μετὰ παρρησίας ἀποκαλοῦντας, κελεύει σπεκουλατόρων ἀρχὰς ἐννέα γενέσθαι, συνεπομένης αὐτοῖς πάσης τῆς ὑπ' αὐτοὺς στρατιᾶς, εἶτα περιλαβόντας οὐδενὶ οἴκτῳ σφαγιάζειν αὐτούς, τὸν μάρτυρα δὲ θεατὴν παρεῖναι, σιδήροις πολλοῖς βαρυνόμενον, φοβεῖν αὐτὸν ἐκ τῆς θέας ὑπολαβὼν ὁ παράφορος. ὁ δὲ τοσοῦτον οὐδὲν ἐπτόητο, ὅτι μὴ καὶ μᾶλλον ἀξι|ωθῆναι τοῦ καταλόγου τῶν col. 2 μαρτύρων ηὔχετο. καὶ δὴ καὶ φωνῆς ἤκουσεν οὐρανόθεν τοῦτο δηλούσης αὐτῷ. πάντων οὖν σὺν ἅμα τοῖς δυσὶ τριβούνοις Νικοστράτῳ καὶ Ἀντιόχῳ τὰς ἱερὰς κεφαλὰς ἐκτμηθέντων, εἰκάδα

2 παρ̣ε̣στῶσιν || 5 κατεστρόννυτο || 6 εὐχὴ — σφραγίδι || 13 παραπώλοιτο || 14 et 21 δεσμοτήριον || 18 οὕτοσ || 25 προσονειδήσασ || 30 σὺνἐπομένησ || 33 Ὁ δὲ

πρώτην τοῦ Μαΐου μηνὸς ἄγοντος, Εὐλάλιός τις τῶν ἐπιφανῶν καὶ πιστῶν, νυκτὸς ἐκεῖσε γενόμενος, ἐν ἐπιτηδείῳ τόπῳ τὰ μαρτυρικὰ τούτων συνέστειλε λείψανα.

16. Ὁ δὲ τοῦ Χριστοῦ μάρτυς Προκόπιος, τῷ βάρει τῶν σιδήρων, ὥσπερ εἴρηται, πιεζόμενος, ἔτι καὶ τὴν φυλακὴν κατακρίνεται. καὶ ἦν οὕτω διὰ παντὸς προσευχόμενος. γυναῖκες οὖν τινες συγκλητικαί, τὸν ἀριθμὸν δυοκαίδεκα, τὴν εἰς Χριστὸν πίστιν ὁμολογοῦσαι καὶ παρὰ τῷ μάρτυρι συνεχῶς ἀφικόμεναι, συλλαμβάνονται παραχρῆμα καὶ τούτῳ συγκατακλείονται· ἃς δὴ σκυθρωπαζούσας τοῖς f. 100v *παραινετικοῖς οὗτος || ἀνελάμβανε λόγοις, «Μητέρες» λέγων «καὶ ἀδελφαί, οὐ μικροψυχεῖν ὑμᾶς δεῖ, δεήσεις δὲ μᾶλλον τῷ ἀγαθῷ προσάγειν Θεῷ, τὸ ἀσθενὲς ὑμῶν τῆς σαρκὸς ἐπιρρῶσαι καὶ τῇ ψυχῇ θάρσος ἐμπνεῦσαι».*

17. Τοιαῦτα τοῦ μάρτυρος ταῖς γυναιξὶ παραινοῦντος παραστῆναι ταύτας ὁ Οὐλκίων ἐκέλευσεν· ὃ δὴ Θεοδοσία μαθοῦσα, ἣν ὁ λόγος ἐγνώρισε τοῦ ἁγίου μητέρα, παραγίνεται καὶ αὐτή, τί τὸ ταύταις ἀποβησόμενον μαθεῖν βουλομένη. παραστᾶσαι τοιγαροῦν καὶ πρὸς θυσίαν ἐκκαλούμεναι παρ' αὐτοῦ, ἐπεὶ μὴ ἐπείθοντο, ἀλλὰ Χριστὸν Θεὸν ὡμολόγουν, δαίμονας δὲ τοὺς αὐτοῦ θεοὺς ἀπεκάλουν, ῥάβδοις αἰκίζονται, ξύλῳ, φεῦ, ἀναρτῶνται, πλευρὰς καὶ μασχάλας πυρὶ καταφλέγονται, θηλὰς ἀπανθρώπως ἐκκόπτονται, σφαίραις πεπυρακτωμέναις τὰς μασχάλας ἐκκαίονται. ὀφθαλμοῖς | col. 2 *οὖν οἰκείοις ἡ τοῦ μάρτυρος μήτηρ ταῦτα παραλαβοῦσα τὴν μακαρίαν λέγει σὺν ἐκείναις φωνήν· «Δούλη κἀγώ εἰμι τοῦ ἐσταυρωμένου». ταύτην ὁ ἡγεμὼν θεασάμενος «Κυρία» λέγει «Θεοδοσία, πῶς οὕτως ἠλλοίωσαι; πῶς ἠπάτησαι παραδόξως»; ἡ δὲ «Οὐ νῦν ἠπάτημαι» ἔφη, «μᾶλλον οὖν ἠπατούμην τὸ πρότερον, Θεοῦ μὲν ὑπεριδοῦσα τοῦ πάντων δημιουργοῦ, ἔργα δὲ σέβουσα χειρῶν ἀνθρωπίνων, τὸ θεοὺς καλεῖσθαι κατεψευσμένα».*

18. Πολλῶν ἐν τῷ μέσῳ λόγων λεχθέντων, ἐπεὶ μὴ ἔπειθε ταύτην ὁ ἡγεμών, τὴν φυλακὴν αὐτῆς κατακρίνει. ἡ δὲ τὰς ἱερὰς ἐκείνας γυναῖκας περιιοῦσα ἐπῄνει τῆς καρτερίας, ἐμακάριζε τῶν βασάνων, ἐφίλει τὰς πληγάς, ὀθόναις ἀπέματτε πολυτίμοις, ἐπέπαττε f. 101 *ταύταις ἀλεξίκακα φάρμακα, ἐπεὶ καὶ τέχνης ἦν ἰατρικῆς || οὐκ ἀπαίδευτος. ταύτην ἐπεὶ εἶδεν ὁ θεῖος αὐτῆς υἱὸς ἔνδον τῆς φυλακῆς οὖσαν καὶ ὡς πιστὴν κατάδικον γενομένην, ἡδονῆς πολλῆς εὐθὺς εἶχε τὴν καρδίαν μεστὴν καὶ «Μακαρία εἶ τῆς συνέσεως, ὦ μῆτερ», ἔφη, «καὶ τῆς εἰς Χριστὸν οἰκειώσεως». οὕτως εἰπὼν τῷ*

6 *διαπαντὸσ — τινὲσ* || 12 *ἡμῶν* || 13 *ψυχὴ* || 25 *Ταύτην* || 33 *ἐπέπατε* || 34—35 *οὐκαπαίδευτοσ* || 37 *Μακαρία*

θείῳ διὰ τοῦ ἐπισκόπου τελειοῖ καὶ ταύτην βαπτίσματι καὶ πρὸς τοὺς ἀγῶνας σὺν αὐτῇ καὶ τὰς ἄλλας διήγειρεν.

19. Εἶθ᾽ οὕτως πέμψας ὁ ἡγεμὼν παρέστησε πάσας τῷ βήματι· πρὸς μέντοι τὴν Θεοδοσίαν ἀποβλέψας «Ἐπιστράφηθι», ἔφη, «γύναι, καὶ τοὺς θεοὺς ἐξιλέωσαι καὶ τύχης αὐτῶν εὐμενῶν ἢ τὸ πρότερον, εἰ μή γε βούλει κακῶς ἀπολέσθαι». ἀπειθήσασα τοίνυν ἐκείνη πρὸς τὰ κεκελευσμένα τύπτεται μὲν πρῶτα τὸ στόμα, εἶτα τείνεται, μαστίζεται καὶ ξέεται τὰς πλευράς. συμπαθὲς ἐπὶ τούτοις αἱ γυναῖκες ἐπέσταξαν δά|κρυον· μολιβίσι διὰ τοῦτο σιαγόνας συν- col. 2 θλῶνται, τέλος ἁλύσει δεσμοῦνται καὶ τὰς κεφαλὰς ἀποτέμνονται, ἐνάτην ἐπὶ εἰκάδι τοῦ Μαΐου μηνὸς ἄγοντος.

20. Οὐ πολλαὶ παρῆλθον ἡμέραι, καὶ τοῦ ἡγεμόνος προκαθίσαντος τοῦ βήματος, τῆς φυλακῆς ὁ μάρτυς ἐξάγεται· ἀπωλείας ψυχῶν τῶν πιστευσάντων δηλαδὴ κατακρίνεται· θῦσαι τοῖς βδελυκτοῖς ἀναγκάζεται· οὐ πείθεται καὶ σιδηροῖς ὄνυξι ξαίνεται· αἵμασι τὸ ἔδαφος τοῖς ἐκείνου φοινίσσεται· μολιβίσι καὶ οὗτος τὸν αὐχένα συντρίβεται καὶ πάλιν δίδοται φυλακῇ.

21. Ἔκπληξις εἶχε τὸν Οὐλκίωνα διὰ ταῦτα, εἶχε δὲ καὶ λάβρος αὐτὸν πυρετός, μάστιξ αὕτη παρὰ κυρίου· ἀπέρρηξεν ἐν κακοῖς ὁ κακὸς τὴν ψυχήν, καὶ τὴν ἀρχὴν αὐτοῦ Φλαβιανὸς διαδέχεται, Ἰταλὸς καὶ οὗτος ἀνήρ, οὐδὲν ἧττων εἰς‖κακίαν Οὐλκίωνος· τῇ f. 101ᵛ Καισαρείᾳ προσβάλλει· μανθάνει καὶ οὗτος τὸ γενναῖον τοῦ μάρτυρος· παρίστησι τοῦτον· ἐρωτᾷ· χριστιανὸν ἄντικρυ αὐτὸν ἐκδιδάσκεται παρ᾽ αὐτοῦ καὶ Χριστοῦ δοῦλον, καλεῖσθαι δὲ καὶ Προκόπιον. πειρᾶται μεταβαλεῖν αὐτὸν τοῦ σκοποῦ ὁ ἀνόσιος καὶ «Τί ποτε ἄρα» λέγει, «Προκόπιε,· ἥκων πρὸς τοῦτο ἡλικίας ἔτι τὰ παιδίων φρονεῖν οὐκ αἰδῇ; τὸ γὰρ Θεὸν ἐκ γυναικὸς γεγενῆσθαι λέγειν, εἶτα καὶ παρὰ ἀνθρώπων οἷα δὴ καὶ ἄνθρωπον ἐσταυρῶσθαι καὶ αὐτὸν δὴ τοῦτον, ὦ ἥλιε, προσκυνεῖν ὡς Θεὸν πῶς οὐκ ἀνοίας μόνον, ἀλλὰ καὶ μανίας ἐχόμενον; πείσθητι οὖν μοι καὶ τῆς θρησκείας ταύτης ἀπόστηθι· εἰ δ᾽ οὖν, ἀλλὰ καὶ τάχος...» τὸν λόγον ὁ μάρτυς ἐκκόψας· «Ἔδει σε, τύραννε, τὸν δημιουργὸν ὅστις ἐστὶν οὐρανοῦ καὶ γῆς εἰδέναι καὶ τοῦτον ἀληθῆ Θεὸν εἶναι πιστεύειν, παρ᾽ ἡμῶν διδασκόμενον· ἐπεὶ [δὲ] τυφλώττεις πρὸς τὴν ἀλήθειαν καὶ μὴ βούλει|μαθεῖν τὸ συμφέρον, ἀλλὰ θεοὺς τοὺς δαίμονας col. 2 ὀνομάζεις, ποίει τὸ σοὶ παριστάμενον».

22. Τούτων οὕτω ῥηθέντων Φλαβιανὸς ὄνος ἦν, τὸ ᾀδόμενον, λύρας ἀκούων· ἀμέλει καὶ πρὸς τὸν ἅγιον «Καλὸς ἡμῖν ὤφθης»

5 ἦ ‖ 9 διατοῦτο ‖ 10 ἁλύσι ‖ 18 Εἶχε τὸν — λαῦρο(ς) ‖ 21 ἰτταλὸσ ‖ 22 προσβάλει — οὕτο ‖ 32 τύρανε ‖ 34 δὲ *inserui*

φησὶ «τῶν περὶ Θεοῦ τε καὶ θείων ἐξηγητής, ἅτε δὴ καὶ ἄνωθεν ἥκων καὶ τὰς οὐρανίους κλεῖς αὐτὸς ἐγκεχειρισμένος· πλὴν ἀλλὰ συμβουλεύω σοι, πείσθητι καὶ θῦσον τοῖς θεοῖς· εἰ δ' οὖν, ἀλλὰ πολλαί σοι βάσανοι προσαχθήσονται». καὶ ὁ ἅγιος «Ἐπειδὴ» εἶπε «τὸν ἀληθῆ Θεὸν εἰδέναι οὐ βούλει, σὺ μὲν σφάττε καὶ κρεούργει καὶ μαγείρευε ἀνθρώπων σάρκας, ἐγὼ δὲ οὐ λίθοις, οὐ ξύλοις, ἀλλὰ τῷ Θεῷ μου θύσω θυσίαν αἰνέσεως».

23. Ταῦτα τοῦ μάρτυρος εἰπόντος ὁ κάκιστος ἄρχων Ἀρχελάῳ τινὶ προστάττει τὸ ξίφος σπασάμενον διαχειρίσ[ασ]θαι τὸν γεννάδα. f. 102 καὶ ὁ μὲν ἐχώρει πρὸς τὴν σφαγήν· ἡ δίκη δὲ τὸ σύνολον || οὐκ ἠμέλει· ἡ χεὶρ γὰρ αὐτῷ παραχρῆμα λέλυτο, αὐτὸς εἰς γῆν ἐβάλλετο καὶ τοῦ ζῆν ἀπηλλάττετο. ἐξέπληξε ταῦτα Φλαβιανόν, ἀλλὰ δὴ καὶ ἐξέμηνε· κελεύει τοιγαροῦν χεῖρας καὶ πόδας τὸν ἅγιον πεδηθέντα σιδήροις οὕτως οἰκῆσαι τὴν φυλακήν. ηὔχετο τοιγαροῦν καίπερ οὕτως ἔχων ὁ μάρτυς ἀγαγεῖν εἰς πέρας τὸν δρόμον καὶ φωνῆς ἤκουεν ἀνακτωμένης αὐτόν.

24. Ἕκτη διεγένετο ἡμέρα, καὶ Φλαβιανὸς αὖθις μετακαλεῖται τὸν ἅγιον καὶ τοῖς αὐτοῦ λόγοις πεισθῆναι κελεύει· καὶ ὁ μάρτυς, ἐπεὶ μὴ ἐπείθετο, τείνεται κατὰ γῆς ἐν μετεώρῳ λεπτοῖς ἐκ τεσσάρων ἱμᾶσι, καταξαίνεται, φεῦ, νεύροις τὰς σάρκας, ἀνθράκων ζεόντων τὰ νῶτα πληροῦται, ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι γε καταφρονεῖ τῶν βασάνων, ἐκάλει τοῦτον οὗτος ἀνομίας υἱόν. νιφάδας ἐκεῖνος col. 2 αὐτῷ βασάνων ἐπῆγε, πῦρ ἐπὶ πυρὶ | καὶ κακόν, ὡς ὁ λόγος, ἐπὶ κακῷ. ὀβελίσκοι γοῦν ἐξηνθρακωμένοι τοῖς προλαβοῦσι τραύμασιν ἐπιτίθενται, εἶτα καὶ ἅλες ταῖς πληγαῖς ἐπιβάλλονται, πρὸς δὲ καὶ ὀβελίσκοις αὖθις κατακεντεῖται, καὶ τὸ καινότερον, βωμὸς ὑποτίθεται βδελυρός, χεὶρ ἐν ἐκείνῳ τούτου τείνεται, ἀνθράκων αὕτη πληροῦται, λιβανωτὸς αὐτοῖς ἐπιτίθεται, ἵν' ὁ μάρτυς ὀδύναις οὕτως βαλλόμενος καταχέοι τοῦ βωμοῦ τὸν λιβανωτὸν καὶ θῦσαι νομισθῇ τοῖς εἰδώλοις, ὡς αὐτοῖς τὸ ἐνθύμημα.

25. Τί οὖν γίνεται; χεὶρ ἐξερρύη τοῦ μάρτυρος τῇ καύσει καὶ διατέτρητο· πᾶς ὁ παρὼν ἐξεπλήττετο· τὰ τῆς πλάνης διεσαλεύετο· καὶ στεναγμὸν ὁ μάρτυς ἠφίει καὶ δάκρυον ἡδύ, πρὸς οὐρανὸν ἀφορῶν, οὐ μικροψυχίας, εὐχαριστίας δέ, ἧς ἐποιεῖτο πρὸς τὸν Θεόν, «Ἐκράτησας» λέγων «τῆς χειρὸς τῆς δεξιᾶς μου, κύριε, καὶ ἔθου f. 102v τόξον χαλκοῦν τοὺς βραχίονάς μου, || ἔδωκάς μοι ὑπερασπισμὸν

1 θ̄ὺ τὲ || 2 $\overset{λά}{ά}$ || 3 θύσον || 4 Καὶ ὁ || 6 ξίλοισ || 9 διαχειρίσθαι || 12 Ταῦτα || 20 νεῦροισ || 24 γοῦν || 31 τίουνγί|Νεται—ἐξερύη || 32 διεσαλέβετο || 34 ἐποιῆτο

35 ἐκράτησας — δεξιᾶς μου: Psalm. 72 (73), 24 || 35 sqq. ἔθου — ἀντελάβετό μου: Psalm. 17 (18), 35—36.

σωτηρίας, καὶ ἡ δεξιά σου ἀντελάβετό μου». καὶ ὁ τύραννος «Ἐπεὶ λέγεις» ἔφη «κρείττων εἶναι βασάνων, πόθεν οἱ στεναγμοὶ καὶ τὰ δάκρυα, Προκόπιε»; καὶ ὁ ἅγιος· «Οὐχ οὕτως ἀγεννὴς ἐγώ, οὐδὲ Θεοῦ ἄγευστος βοηθείας· ἀλλ' ἐπεὶ τοῦτο τὸ σῶμα πηλός, ὁ δὲ πηλὸς θέρμῃ περιτυχὼν ὕδωρ πέφυκεν ἀπορρεῖν, ἔχει τι κἀντεῦθεν ἡ τῶν δακρύων ἐπιρροή· τὸ δὲ πλέον, ὅτι τὴν σὴν δακρύω ψυχήν».

26. Εἶπεν οὕτως καὶ τῇ τοῦ δικάζοντος ἀπείρῳ μανίᾳ τῶν χειρῶν ἐξαρτᾶται, λίθοι δύο μέγιστοι τῶν αὐτοῦ ποδῶν ἐξαρτῶνται, ὥστε τῇ βαρύτητι τούτων πάσας αὐτῷ κατασπασθῆναι τὰς ἁρμονίας· ἀλλ' ἐπεὶ τὸν ἅγιον οὐκ ἐπέλιπεν ἐξ ἁγίου βοήθεια, οὔτε τὸν δικαστὴν ἐκ δαιμόνων κακοτεχνία, προσανάπτεται κλίβανος κἀν τούτῳ ῥιφῆναι κελεύεται. ἡ φλὸξ Θεοῦ νεύμασιν ἐσκεδάννυτο καὶ τοὺς ὑπουργοὺς κύ|κλῳ περιλαβοῦσα τὰ ἑαυτῆς ἐπεδείκνυτο. ἐξέπληττε col. 2 *ταῦτα τοὺς θεωμένους καὶ «Ἀρθήτω» ἔλεγον «ἀφ' ἡμῶν, ἀρθήτω, μὴ κινδυνεύσῃ τάχος ταῖς αὐτοῦ γοητείαις ἡ πόλις». διὸ καὶ τὸν ἀθλητὴν εἰς τὸ πραιτώριον αὖθις ὁ ἀσεβὴς παραπέμπει.*

27. Ἐπεὶ δέ τινες ἡμέραι παρῆλθον, τὸν διὰ ξίφους θάνατον κατακρίνῃ, τρισόλβιε καὶ καλὲ Προκόπιε· τὸν τόπον καταλαμβάνεις τῆς τελειώσεως· εὐχῆς αἰτεῖς καιρὸν καὶ λαμβάνεις, εὐχῇ βλέψας πρὸς οὐρανὸν σὺν ἄλλοις πλείστοις καὶ βίου ἀσφάλειαν τοῖς τὸ ἱερόν σου τελοῦσι μνημόσυνον καὶ φωνῆς ἀκούεις τελεσιουργοῦ τῶν αἰτήσεων· τὸν αὐχένα προτείνεις καὶ ξίφει τέμνῃ τὴν κεφαλήν, ὀγδόην τότε τοῦ Ἰουλίου μηνὸς ἀναβαίνοντος. μύροις καὶ ἀρώμασιν ἐν φιλοθέῳ τόπῳ τὸ πανέντιμον κατατίθεται σῶμά σου. καὶ νῦν οἰκῶν || τὰς οὐρανίους μονὰς μέμνησο τοῦ βασιλέως ἡμῶν τοῦ f. 103 *πιστοῦ καὶ φιλομάρτυρος καὶ τὰ πάντα καλοῦ, μακρότητα ζωῆς χαριζόμενος αὐτῷ καὶ καλῆς περιόδους, ἰσχυρὰ κατὰ τῶν ἀντιπάλων καὶ μεγάλα τὰ τρόπαια, χρηστὰ τὰ κατὰ τούτων ἐνθυμήματα καὶ διανοήματα, ἀγαθὰ τὰ ἀποτελέσματα καὶ τὰ κατορθώματα, ἥμερον ὡς ἂν τὸ βασίλειον ἔξοι, λαμπρὸν ταῖς νίκαις καὶ ταῖς καλῶν ἰδέαις· πάντων αὐτὸν ποίησον μενόντων [ἀγαθῶν] κληρονόμον καὶ βασιλείας Θεοῦ τῆς ἀιδίου· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

1 *τύρανοσ* || 5 *ἔχει τί* || 7 *Καὶ* || 10 *οὐκεπέλιπεν ἐξαγίσ* || 13 *ἐξέπλητε* || 17 *ἐ|Πεὶ—ἡμέραισ* || 20 *ἀσφάλι(αν)* || 24 *σῶμασου* || 26 *μακρᾶς ζωῆς — καὶ καλῆς περιόδους?* || 31 *ἀγαθῶν* **inserui**

Μηνὶ τῷ αὐτῷ θ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΠΑΓΚΡΑΤΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΤΑΥΡΟΜΕΝΙΟΥ.

1. Ἄρτι τοῦ τῶν ἀποστόλων ἐκκρίτου Πέτρου φημὶ τοῦ μεγάλου τὸν λόγον τῆς πίστεως ἀνὰ πᾶσαν σχεδὸν τὴν ὑπ' οὐρανὸν (col. 2) καταγγέλλοντος καὶ πολ|λοὺς εἰς Χριστὸν διὰ τοῦ βαπτίσματος ἐπανάγοντος, εἷς αὐτῶν καὶ ὁ καλὸς Παγκράτιος ἐγνωρίζετο, ὃς ἐξ Ἀντιοχείας ἕλκων τὸ γένος τῆς ἐπιφανοῦς καὶ μεγάλης ἐπιφανέστερος γέγονε πολλῷ ταῖς τοῦ Πέτρου διδαχαῖς τε καὶ παραινέσεσιν· εἰς τοσοῦτον γὰρ ὁ ἀνὴρ ἀρετῆς ἦλθε καὶ πρὸς τοσοῦτον ὕψος ἀνέδραμε γνώσεως, ὡς ἄξιος κριθῆναι καὶ λαὸν ποιμᾶναι κυρίῳ καὶ μεγάλης ἐκκλησίας ποιμενάρχης γενέσθαι. καὶ γὰρ καιροῦ καλέσαντος ἐπίσκοπος ὑπὸ τοῦ πρωτοθρόνου Πέτρου χειροτονεῖται Ταυρομενίου καὶ πρὸς τοῦτο στέλλεται· πόλις δὲ τὸ Ταυρομένιον Σικελίας.

2. Ἐν ταύτῃ δὴ τὴν ὁρμὴν ποιούμενος ἐντυγχάνει πρότερον Ῥωμύλῳ καὶ Λυκανίδῃ πλοίων ἀρχηγοῖς κατὰ θάλατταν καὶ τούτους προσαγορεύσας καὶ χάριν εἰληφὼς παρ' αὐτῶν συνδιάγει τε (f. 103v) πρὸς || μικρὸν ποιουμένοις τὸν ἔκπλουν, καὶ ὅστις εἴη διερωτήσασι καὶ ὅτου χάριν τὴν Σικελίαν ζητεῖ, προσαγγέλλει, ὡς εἴη τε Πέτρου μαθητὴς τοῦ τὸν λόγον τῆς ἀληθείας κηρύττοντος Χριστοῦ τοῦ μεγάλου Θεοῦ, ὡς χειροτονηθείη παρὰ τούτου καὶ ἀποσταλείη ἐπίσκοπος Ταυρομενίου, ὡς μέλλει τὰ αὐτὰ τῷ Πέτρῳ κηρῦξαι τῇ πόλει καὶ τῆς πλάνης τῶν εἰδώλων τοὺς πολλοὺς ἀποστῆσαι καὶ πρὸς αὐτὸ τὸ φῶς χειραγωγῆσαι τῆς ἀληθείας. τούτων ἀκούσαντες ἐκεῖνοι διὰ θαύματος ἐποιοῦντο τοὺς λόγους καὶ κατ' ὀλίγον ἀνιχνεύοντες ὡσανεὶ τούτους καὶ καλῶς ἐν ταῖς ψυχαῖς δεχόμενοι (ἦσαν γὰρ πάντως εὔγειος χώρα καὶ δεκτὴ σπόρου θεογνωσίας) χειραγωγοῦνται πρὸς τὴν ἀλήθειαν καὶ πάσης εἰδωλικῆς πλάνης ἀχλὺν ἀποτιναξάμενοι προσέρχονται τῷ Χριστῷ καὶ βαπτίζονται καὶ δοῦ- (col. 2) λοι τούτου γνησιώτατοι | γίνονται.

3 ταυρομενείου || 6 καταγγέλοντοσ || 11 ποιμάναι || 13 ἐπισκόπου || 14—15 ταυρομένειō|σικελλίασ || 18 τὲ || 20 σικελλίαν || 23 ταυρομενεῖσ

3. Καὶ τοῦτο μὲν ἔργον πρῶτον τῷ Παγκρατίῳ παρόδιον, καλῶς ἔχον καὶ λίαν ἐπαινετῶς. ἐπεὶ δὲ καὶ τῆς νήσου εὐφόρως ὁ ἀρχιερεὺς καὶ εὐπλόως ἐπέβη, γενναίως ἐκστρατεύει κατὰ τῶν πολεμίων καὶ μισοκάλων δαιμόνων καὶ πρῶτα μὲν διώκει τούτους καὶ φυγάδας ἀποτελεῖ, εἶτα δὲ καὶ τὰ ἰνδάλματα τούτων καὶ τοὺς ναοὺς κατασπᾷ καὶ τῇ γῇ παραδίδωσι, πολλούς τε τὸν λόγον διδάσκει τῆς χάριτος καὶ πολλοὺς ἐπιστρέφει πρὸς τὴν ἐπίγνωσιν, θαύματα τελῶν ὁσημέραι πλεῖστα καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

4. Τί οὖν γίνεται; τῷ ἡγεμόνι τοῦτον Βονιφατίῳ συσχόντες οἱ τῶν εἰδώλων θεραπευταὶ παριστῶσι διεγκαλοῦντες, οἷά τε ποιήσοι τοῖς ναοῖς τῶν θεῶν καὶ οἷα διδάσκων τὸν ὄχλον ἐξαπατᾷ. καὶ ὃς αὐτίκα τοῦτον δεσμεῖ καὶ πρὸς ἄρνησιν ἐκκαλεῖται τοῦ Χριστοῦ καὶ θυσίαν ἀπαιτεῖ || τοῖς εἰδώλοις προσνεῖμαι· ἐπεὶ δὲ μὴ ἔπειθε, καὶ *f. 104* βασάνοις αὐτὸν ὑποβάλλει δειναῖς. ἀλλ' ὁ καλὸς Παγκράτιος τῷ μελιρρύτῳ τῶν λόγων τὸν Βονιφάτιον ὑπελθὼν καὶ τὴν οἰκονομίαν ἐκθέμενος ἅπασαν, ὅτι τε Θεὸς ὁ Χριστὸς προαιώνιος καὶ ὅτι δι' ἡμᾶς τοὺς δούλους καὶ τὴν ἡμῶν σωτηρίαν τῶν χρόνων ἐπ' ἐσχάτων ἄνθρωπος γενέσθαι εὐδόκησε, μὴ ἐκστὰς τῆς αὐτοῦ θεότητος, καὶ ὅτι πολλὰ θαύματα τελέσοι κατὰ γῆν διατρίβων καὶ καθεξῆς τὸν φθόνον, τὸν σταυρόν, τὴν ταφήν, τὴν ἀνάστασιν, τὴν εἰς οὐρανοὺς ἀνάληψιν καὶ τὴν τοῦ παναγάθου πνεύματος κάθοδον, πάντα κατὰ λεπτὸν διεξιών, ἕλκει τὸν ἡγεμόνα πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν καὶ υἱὸν αὐτὸν φωτὸς ἀπεργάζεται, βαπτίσας καὶ προσαγαγὼν τῷ Χριστῷ, οὐ μὴν ἀλλὰ καὶ πλῆθος πολὺ ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων.

5. Ἔνθεν τοι καὶ ναὸν ἀνεγείρει τῇ πόλει | περικαλλῆ καὶ θαυ- *col. 2* μάσιον, συναιρόμενον ἔχων εἰς τοῦτο καὶ Βονιφάτιον, καὶ τούτῳ τοὺς πιστοὺς ἐκκλησιάζων ἐδίδασκε καὶ προσετίθει ἀνθρώπων πολὺ ὁσημέραι τῷ κυρίῳ. τούτων δὲ οὕτως ἐχόντων καὶ τῆς τοῦ Χριστοῦ ποίμνης αὐξομένης, οὐκ ἦν πάντως ἠρεμεῖν τὸν ἐξ ἀρχῆς τοῖς καλοῖς φθονοῦντα διάβολον· οὔκουν οὐδὲ ἠρέμει. διεγείρας γὰρ τῶν μοντανῶν τὸ πλῆθος, ἄγριον ὂν καὶ ἀπάνθρωπον καὶ τῇ πλάνῃ κάτοχον τῶν δαιμόνων, καὶ λαλήσας ἐν ταῖς καρδίαις αὐτῶν οἷα σύνηθες τούτῳ, τοῦ Βονιφατίου κατά τινας ἀπολιμπανομένου φροντίδας, ἐπιτίθενταί σοι, πανάριστε καὶ ἀρχιερεῦ καὶ μάρτυς Παγκράτιε, καὶ πικρῶς ἀναιροῦσι καὶ διαβῆναί σε παρασκευάζουσι

6 πολλοὺσ τὲ || 10 Οὖν — τȣ̃τον || 11 οἷα τὲ || ibid. ποιήσαι? || 12 Καὶ ὃσ || 14 Ἐπεὶ || 16 μελλιρρύτω || 17 δη' ἡμᾶσ || 20 τελέσαι? || 23 διεξιὼν — ἡγεμῶνα || 27 ἔνθέντοι || 28 συνερόμενον || ibid. κἀν τούτῳ?

τάχος πρὸς τὰς ἀθανάτους σκηνάς. οἱ φιλευσεβεῖς δέ σου τὸ λεί- f. 104v ψανον καλῶς περιστείλαντες φιλοτίμως || ἔθαψαν.

6. Καὶ νῦν παριστάμενος τῷ Χριστῷ καὶ τὰς ὑπὲρ τοῦ ποιμνίου ἐντεύξεις ποιούμενος μέμνησο καὶ βασιλέως ἡμῶν τοῦ πιστοῦ, ἰσχὺν αὐτῷ χαριζόμενος ταῖς πρεσβείαις σου κατὰ βαρβάρων ἐθνῶν, χώρας αὐτῶν ὑποσπόνδους τιθέμενος, ἀρχηγοὺς αὐτῶν τοῖς αὐτοῦ ποσὶν ὑποτάσσων, ἤρεμον ὡς ἂν τὸ βασίλειον ἕξοι, λαμπρὸν τροπαίοις καὶ νίκαις ἐστεμμένον, πάσαις καλλυνόμενον ἀρεταῖς θείαις, καὶ βασιλείας Θεοῦ κληρονομήσοι· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ι΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΕ΄ ΜΑΡΤΥΡΩΝ ΤΩΝ ΕΝ ΝΙΚΟΠΟΛΕΙ.

1. Βασιλεύοντος τοῦ δυσσεβοῦς Λικινίου, τοῦ κακῶς τὰ τῆς βασιλείας ἐμπιστευθέντος σκῆπτρα καὶ ὡς μὴ ὤφελε, διωγμὸς μέγας col. 2 ἐκινήθη κατὰ χριστιανῶν | καὶ πάντες ἄνθρωποι ζήλῳ τῷ πρὸς ἀλλήλους φερόμενοι πᾶσαν ἐτίθεντο σπουδὴν θεραπεύειν τοὺς δαίμονας, μάλιστα τῶν βασιλικῶν διαταγμάτων καταπεμπομένων ἀνὰ πᾶσαν τὴν ὑποτελῆ Ῥωμαίων καὶ παρακελευομένων θυσίας τοῖς εἰδώλοις τελεῖσθαι, τοὺς δέ γε μὴ πειθομένους θύειν πολλαῖς ὑποβάλλεσθαι βασάνων ἰδέαις καὶ οὕτω τῆς ζωῆς ἀπαλλάττεσθαι.

2. Τότε δὴ οὖν, τότε καὶ Λυσίᾳ τῷ ἡγεμόνι τὴν Νικοπολιτῶν διὰ ταῦτα καταλαβόντι καὶ τὰ ἐχθρὰ Θεῷ καὶ φίλα δαίμοσι πράττοντι καὶ δίκην θηρὸς ἀγρίου λυττῶντι κατὰ χριστιανῶν καὶ τούτους βιβρώσκοντι Λεόντιος καὶ Μαυρήλιος καὶ Δανιὴλ οἱ γενναῖοι, ἄνδρες ἐπίσημοι καὶ τὰ πρῶτα τῆς πόλεως φέροντες σὺν ἑτέροις f. 105 τεσσαράκοντα καὶ δυσὶ προκαθημένῳ αὐθόρμητοι προσῆλθον || Λυσίᾳ, λέγοντες· «Χριστιανοί ἐσμεν καὶ ἡμεῖς. ποίει λοιπὸν τὸ σοὶ παριστάμενον». αὐτίκα γοῦν τὸ πεπαρρησιασμένον αὐτῶν ἐκπλαγεὶς ἐκεῖνος συσχεθῆναι τούτους ἐκέλευσε καὶ τῷ βήματι παραστῆναι.

23 τό|Τε δή || 24 διαταῦτα || 26 ap. *Metaphr.* Μαυρίκιος || 30 γοῦν

καὶ ἐπεὶ γέγονε, «Τίνες καὶ ὅθεν ἐστέ» διηρώτα «καὶ τίς ὁ πείσας ὑμᾶς μὴ εὐσεβεῖν εἰς θεούς;» καὶ ὁ Λεόντιος (οὗτος γὰρ ὁ τοῦ καλοῦ τούτου χοροῦ προεστώς) «Τῆςδε τῆς πόλεως, ἡγεμών, ἄνδρες ἐσμέν, οὐχὶ πάντες, τινὲς γὰρ ἡμῶν καὶ τῶν πέριξ εἰσί, καὶ χριστιανοὶ καὶ ὑπὸ Χριστοῦ διδαχθέντες μὴ λατρεύειν εἰδώλοις» ἔφη. καὶ ὁ Λυσίας· «Πρὸ πολλοῦ γέγονεν, ὡς μανθάνομεν, ὁ Χριστὸς καί που ἄρα καὶ ἐστὶ σταυρωθεὶς καὶ ταφείς». — «Ναί» φησιν ὁ ἅγιος, «οὕτως ἔχει, δικαστά· πρόσθες δέ, ὅτι καὶ ἐγερθεὶς σύνεστι τῷ πατρὶ καὶ Θεῷ, ἅτε Θεὸς καὶ Θεοῦ υἱὸς ἀληθὴς καὶ ἑκὼν πεπονθὼς διὰ τὴν ἡμῶν, τῶν δούλων αὐτοῦ, σωτηρίαν». | καὶ ὁ Λυσίας col. 2 «Ἀφέμενοι τῶν λόγων τούτων» ἔφη, «προσιόντες θύσατε τοῖς θεοῖς, ἵνα μὴ κακῶς τὸ ζῆν ἀπολέσητε». — «Οὐ θύσομεν» εἶπον οὗτοι «ποτὲ λίθοις καὶ ξύλοις· ἔργα χειρῶν ἀνθρωπίνων ἀναίσθητα καθ' ἡμᾶς καὶ κωφά».

3. Θυμωθεὶς οὖν ὁ Λυσίας λίθοις τὰ στόματα τούτων ἐκέλευσε τύπτεσθαι. οἱ δὲ ἅγιοι τυπτόμενοι καὶ συντριβόμενοι τοὺς ὀδόντας «Τύπτειν σε μέλλει ὁ Θεὸς» εἶπον, «ἀνόσιε, ὅτι μὴ τὴν ἀλήθειαν μανθάνειν ἐθέλεις». καὶ ὁ τύραννος, τὸ ἀπηγριωμένον ἐκεῖνο τρόπῳ τινὶ κολακείας μεταβαλών, «Θύσατε» λέγει, «καλοὶ στρατιῶται, καὶ δοθήσονται ὑμῖν τιμαὶ παρὰ βασιλέως μεγάλαι καὶ πλοῦτος πολύς, καὶ ἔσεσθε τιμώμενοι παρὰ πάντων· καὶ μὴ θελήσητε κακῶς τὸ ἡδὺ τοῦτο φῶς ἀπολέσαι· εἰ δ' οὖν, ἀλλὰ κόραξιν ὑμῶν τὰ μέλη παρα||θήσω βορὰν καὶ οὐδὲν πάντως ὑμᾶς ἡ ἄκαιρος ἔνστασις f. 104v ὠφελήσει». τῶν μαρτύρων οὖν «Μὴ κάμνε» φησάντων, «Λυσία, μηδὲ τὸν καιρὸν τρίβε· οὐκ ἴδοι γὰρ ἡμᾶς ἥλιος, οὐκ ἴδοι νὺξ τοῦτο ποιοῦντάς ποτε. οὐδὲ γὰρ Ἀπόλλωνι θύσομεν τῷ τῆς ἀπωλείας υἱῷ, οὐ Διὶ τῷ πόρναις συνωμιληκότι γυναιξίν, οὐκ Ἄρει τῷ πολεμικῷ καὶ τερπομένῳ ταῖς ἐκχύσεσι τῶν αἱμάτων. ποίει τοίνυν, ὡς προλαβόντες εἴπομεν, τὸ σοὶ παριστάμενον», τότε θυμωθεὶς ὁ Λυσίας, τῶν ὀφθαλμῶν ἐναίμων αὐτῷ γενομένων καὶ πυρὸς ὡσεὶ βολὰς ἀφιέντων, ἐκέλευσε σιδήροις πάντοθεν αὐτοὺς περιληφθέντας παραδοθῆναι τῇ φυλακῇ, τοῖς φύλαξι παραγγείλας μὴ ἄρτου, μὴ ὕδατος, μή τινος ἑτέρου πρὸς τὸ ζῆν εὐαρμόστου μεταδοῦναι τούτοις τὸ σύνολον.

4. Εἰσελθόντες οὖν τὴν φυλακὴν | οἱ μακάριοι «Εὐλογοῦμέν σε, κύριε», εἶπον, «καὶ δοξάζομέν σου τὸ πανάγιον ὄνομα, ὅτι κατη- col. 2

1 τί|Νεσ — διηρῶτα || 3 χωροῦ — ἡγεμῶν || 5 εἰδόλοισ || 6 Πρὸ πολῦ (λ supra) — καὶ ποῦ || 7 Ναί || 10 αὐτου *sine acc.* || 13 ξύλισ (ο supra) || 14 καθ' ὑμᾶς || 18 τύρανοσ || 19 τινι *sine acc.* || 20 παραβ|σιλέωσ (α supra) || 21 ἔσεσθαι || 25 μὴδὲ || 26 ποιοῦντασ ποτὲ || 27 συνομιληκότι || 29 Θυμωθεὶσ || 30 ἐνέμων

ξίωσας ἡμᾶς ἁμαρτωλοὺς ὄντας ἐναθλῆσαι ὑπὲρ τῆς εἰς σὲ πίστεως. μὴ δὴ οὖν χωρίσῃς, φιλάνθρωπε, τῆς σῆς δόξης ἡμᾶς, ἀλλ' εἰς τέλος εὐδόκησον τὴν ὁμολογίαν ταύτην συντηρῆσαι καλῶς. σὺ γὰρ εἶ Θεὸς μέγας καὶ πλὴν σοῦ ἕτερος οὐκ ἔστιν». οὕτως αὐτῶν κοινῶς εὐξαμένων ὁ καλὸς Λεόντιος λόγων ἐκοινώνει τούτοις θεοφιλῶν, τὰς τῶν ἁγίων ἀπ' αἰῶνος ἀναμιμνήσκων ἀθλήσεις καὶ τὰ παλαίσματα, ναὶ δὴ καὶ τὰς ἀπείρους θλίψεις καὶ κακουχίας, κρατύνων αὐτῶν τὸ στερρὸν τῆς ψυχῆς διὰ τούτων καὶ προθύμους περὶ τοὺς ἀγῶνας ποιῶν, ὡς εἰπεῖν αὐτοὺς μιᾷ τῇ φωνῇ· «Τὸ θέλημα τοῦ κυρίου γενέσθω».

5. Θέρους οὖν οὔσης ἀκμῆς τότε καὶ δεινὸν φλέγοντος τοῦ ἡλίου
f. 106 καὶ τῇ δίψῃ ἐκλυομένων τῶν μαρτύρων || (οὐδὲ γὰρ μετεδίδουν αὐτοῖς κἂν ποσῶς ὕδατος οἱ πικροὶ δορυφόροι), γυνή τις θεοσεβής, Βασίλλα λεγομένη, τῷ ὠμοφορίῳ ταύτης ἄγγος ὕδατος κρύπτουσα σοφῶς εἰσῄει τὴν φυλακήν, ἐπισκέψεως δῆθεν [ἕνεκα] τῶν ἐν αὐτῇ καὶ τοῖς ἁγίοις ἐχορήγει τὴν πόσιν. οἱ δὲ ἦσαν ἀγαλλόμενοι καὶ τῷ κυρίῳ τὰς εὐχὰς ἐκτελοῦντες καὶ τὴν παρὰ τούτου βοήθειαν ἐκδεχόμενοι.

6. Ὁ δοὺξ οὖν, γενόμενος ἐν φροντίδι, οἵῳ τέλει παραδῷ τοὺς ἁγίους σκέπτεται, ταῖς ὑποβολαῖς τοῦ παρεδρεύοντος αὐτῷ σατανᾶ, καὶ ἅμα πρωῒ καθίσας ἐπὶ τοῦ βήματος ἄγει τούτους εἰς τὴν ἐξέτασιν καὶ ἐπεὶ μὴ πειθομένους εἶχε τοῖς αὐτοῦ λόγοις, ἀλλὰ μᾶλλον τοὺς αὐτοῦ θεοὺς στηλιτεύοντας, πρῶτα μὲν ἀναρτήσας ξέει πικρῶς καθ' ὅλου τοῦ σώματος, ὡς περιλιμνασθῆναι τῷ αἵματι τούτων
col. 2 τὸ ἔδαφος, εἶτα καὶ ὀ|στράκοις ἀνατρίβει δεινῶς. καὶ ἦσαν οὕτω ταῖς τιμωρίαις ἐγκαρτεροῦντες ἄχρις ὥρας ἕκτης τῆς ἡμέρας οἱ μάρτυρες. κατενεχθέντες οὖν ὅμως παρατίθενται τῇ φυλακῇ, δοξάζοντες ἐπὶ πᾶσιν οἷς ἐνεκαρτέρουν τὸν κύριον. ἡ τοίνυν Βασίλλα διεκόμιζε τούτοις ὃν εἴρηται τρόπον τὸ ὕδωρ καὶ τῶν εὐχῶν αὐτῶν οὐκ ἠμοίρει.

7. Κατ' ἐκείνην δὲ τὴν νύκτα φωτὸς ἄγγελος αὐτοῖς ἐπιστὰς «Χαίρετε» λέγει, «ἐγγὺς ὑμῶν ἡ τελείωσις· ἐγράφη γὰρ τὰ ὀνόματα ὑμῶν ἐν τοῖς οὐρανοῖς». ταῦτα εἰπὼν ἀπῆλθεν ἀπ' αὐτῶν, καὶ αὐτοὶ προσκυνήσαντες εὐχαρίστουν Θεῷ. οἱ τοίνυν φύλακες Μενέας καὶ Βιριλάδης, καὶ τὸ φῶς ἐκεῖνο θεασάμενοι τοῦ ἀγγέλου καὶ τῆς φωνῆς ἀκούσαντες καὶ καταγνόντες ἑαυτῶν τῆς ματαίας τῶν εἰδώλων ἀπάτης, διελέγοντο πρὸς ἀλλήλους, ὡς ἄρα μεγάλου Θεοῦ εἰσὶν
f. 106v οἱ ἄνδρες οὗτοι || θεράποντες· εἰ μὴ γὰρ ᾔδεσαν, ὡς μεγάλων τεύ-

5 Ἀυτῶν || 15 ἕνεκα *inserui* || 20 σκοπτεται *(sine acc.)* || 31 κατεκείνην || 33 Εἰπὼν

ξονται παρ' ἐκείνου τῶν ἀμοιβῶν, οὐκ ἂν ὑπὲρ αὐτοῦ παρεδίδουν ἑαυτοὺς εἰς θάνατον. καὶ ἀναδραμόντες τοῖς ἁγίοις προσέπεσον, «Εὔξασθε ὑπὲρ ἡμῶν» λέγοντες, «ἅγιοι, ἵνα μὴ ἐγκληθῶμεν ὡς ἐνβραδύναντες. ἰδοὺ γὰρ πιστεύομεν εἰς Χριστόν». χαρᾶς οὖν ἐπὶ τούτοις πληρωθέντες οἱ ἅγιοι ἠσπάσαντό τε τούτους ὡς ἀδελφοὺς καὶ τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐλθόντας, κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν, εἰς παράδειγμα προύθηκαν, «Μὴ δειλιάσητε» φήσαντες, «ἴσους γὰρ ἡμῖν λήψεσθε τοὺς μισθούς».

8. Πρωΐας δὲ γενομένης ἀναφέρεται καὶ περὶ αὐτῶν τῷ δουκί, καὶ ἅμα βρύξας ὡς λέων ἐκάθισεν εἰς ἐξέτασιν καὶ προσαχθῆναι τοὺς ἁγίους ἐκέλευσεν. ἰδὼν δὲ τὸν Μενέαν καὶ τὸν Βηριλάδην μέσον αὐτῶν ἑστηκότας, λέγει πρὸς Ἀ|ππιανὸν τὸν πρίγκιπα· «Θεωρεῖς, col. 2 Ἀππιανέ, πῶς ἠγάπησαν οἱ κατάρατοι ⟨καὶ⟩ οὗτοι τοὺς ὁμοίους αὐτοῖς καὶ τὸν θάνατον τῆς ἡδείας ζωῆς προέθεσαν; μὰ τοὺς θεούς, οὐ φείσομαι τούτων». καὶ ἅμα κελεύει, καὶ συνθλῶνται μὲν οἱ καλλίνικοι τὰ σκέλη πελέκει, ἔπειτα καὶ πυρὶ παραπέμπονται καί, ὢ τῆς μανίας, ⟨καὶ⟩ τῷ τοῦ Λύκου ποταμοῦ παραδιδοῦνται βυθῷ.

9. Δεξάμενος οὖν ἐκεῖνος τὰ μαρτυρικὰ ὑμῶν σώματα, πανοαοίδιμοι, καὶ συναγαγὼν ὁμοῦ παρακαταθήκην τινὰ τῆς δυναστείας σου, Χριστὲ βασιλεῦ, διεφύλαττεν. ἄνδρες δέ τινες εὐλαβεῖς, σπουδὴν θέμενοι περὶ ταῦτα πολλήν, εὑρίσκουσι πεφυλαγμένα κατά τινα τόπον, ὡς εὔκαιρον λέγειν τὸ τοῦ Δαυὶδ «Φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν», καὶ ἀνελόμενοι φιλοτίμως κατέθεντο, νόσων ἴαμα, δαιμόνων δίωξιν, πάντων || τῶν λυπούντων ἀπαλλαγήν. f. 107 καὶ νῦν παριστάμενοι τῷ Χριστῷ νέμοιτε ταῖς εἰς αὐτὸν πρεσβείαις ὑμῶν βασιλεῖ ἡμῶν τῷ φιλομάρτυρι καὶ τὰ πάντα καλῷ μενόντων ἀγαθῶν τὴν μέθεξιν, ἰσχὺν ἐκ Θεοῦ καὶ κράτος ἀπρόσμαχον, χρηστότητα τρόπων καὶ ἠθῶν εὐκοσμίαν, ἀνωλέθρου ζωῆς τὴν ἐπίτευξιν, ἡλίου θείου τὴν ἔλλαμψιν, πάντων καλῶν τὴν μετάληψιν καὶ βασιλείας οὐρανῶν τὴν ἀπόλαυσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

9 Πρωΐασ || 12 αὐτὸν || 13 et 17 καὶ delevi || 13 οὗτοι || 14 ματοὺσ || 19 παρακαταθήκην τινὰ καὶ συναγαγὼν ὁμοῦ cod. || 28 τρόπον

6 κατὰ τὴν τοῦ Ε. φωνήν: cf. Matth. 20, 9 || 22 φυλάσσει — αὐτῶν: cf. Psalm. 33 (34), 20.

Μηνὶ τῷ αὐτῷ ια΄.

Η ΔΙΑ ΤΟΥ ΤΕΛΕΣΘΕΝΤΟΣ ΘΑΥΜΑΤΟΣ ΤΟΥ ΤΟΜΟΥ ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΕΥΦΗΜΙΑΣ.

1. Μαρκιανὸς ὅτε καὶ Πουλχερία τῶν τῆς βασιλείας σκήπτρων ἦσαν ἐπειλημμένοι, ἡ ἐν Χαλκηδόνι τῶν ἑξακοσίων καὶ τριάκοντα col. 2 πατέρων κατὰ Εὐτύχους ἀρχιμανδρίτου καὶ Διοσκόρου τοῦ | Ἀλεξανδρείας πατριάρχου σύνοδος συνηθροίσθη καὶ τούτους ἄτοπα λέγοντας, ναὶ δὴ καὶ τοὺς ὁμόφρονας αὐτῶν καὶ συμπράκτορας (μίαν γὰρ φύσιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ ἐβλασφήμουν) καθελόντες καλῶς ἀναθέματι καθυπέβαλον καὶ τὸν τῆς ὀρθοδοξίας ὅρον ἐξέθεντο· ὅτε δὴ καὶ Ἀνατόλιος τῆς Κωνσταντίνου πρόεδρος ἐγνωρίζετο. ἐπεὶ δὲ τὸ κακὸν ἀναιδὲς καὶ τὸ πονηρὸν πολύμαχον, στάσιν οἱ τῆς κακῆς μοίρας ἐποίουν μὴ καλῶς ὑποστῆναι τὴν δίκην.

2. Τί οὖν οἱ τῆς ἀγαθῆς μερίδος καὶ τοῦ ἀληθινοῦ Χριστοῦ μαθηταί; περιουσίᾳ δικαίου καὶ τοῦ καλῶς ἔχοντος τὴν νικῶσαν ἐθέλοντες ἔχειν (ἐπτέρου γὰρ αὐτοὺς ἡ τοῦ πνεύματος χάρις καὶ ἀγαθὰ ποιεῖν καὶ εὐέλπιστα διανίστα), τὸν ὅρον, ᾧ τὴν μέλαιναν οἱ αἱρετικοὶ καλῶς ἀπηνέγκαντο, γράφουσι προφανῶς, τὸ οἰκεῖον δόγμα
f. 107ᵛ διαλαμβάνοντα, ναὶ δὴ καὶ τοῖς κακόφροσι || τὸ ἴδιον γράφειν προτρέπονται καὶ τούτους δὴ τοὺς ἑκατέρων τόμους χερσὶν ἐμπιστεῦσαι τῆς πανευφήμου [Εὐφημίας] λόγους καὶ συνθήκας ποιοῦνται, ὡς οὗ ἂν ἐπιλάβοιτο δραστικώτατα χερσὶν ἡ μάρτυς, τούτου τὸ δόγμα κρατεῖν, ὃν δὲ διαπέμψοιτο καὶ πόρρω θείη, τούτου διαπτύεσθαι καὶ καταπαίζεσθαι τὴν ἰσχύν.

3. Καλῶς οὖν ἔχειν ἔδοξεν ἐν τούτοις ἑκάτερα τὰ μέρη καὶ συνηρέσθησαν πρὸς τὴν ἔκβασιν· ναὶ δὴ καὶ γέγονεν οὕτω· καὶ τὴν σορὸν τῆς μάρτυρος ἀνοίξαντες, τῷ στήθει ταύτης ἑκάτεροι τοὺς ἑαυτῶν σφραγίσαντες ἐναπέθεντο τόμους, ἐπιθέντες καὶ ταύτῃ δὴ τῇ σορῷ τὰ τῆς ἀκριβείας σήμαντρα. μετά τινας οὖν ἡμέρας ἀφικόμενοι κοινῶς ἑκάτεροι καὶ ἐπὶ μάρτυσιν αὐτοῖς τὴν σορὸν ἀνοίξαντες, ἐφ᾽ ᾧ ἴδοιεν, τί τὸ γεγονὸς καὶ τίς ἡ τοῦ πράγματος ἔκβα-
col. 2 σις, πρότερον τὰς ἁρμοζούσας εὐχὰς ποιησά|μενοι, — τίς οὐ θαυμάσει, Χριστέ μου, τὸ ὑπερβάλλον τῆς δυνάμεώς σου καὶ τῆς κρί-

10 *καθυπέβαλλο* || 14 *Ἀγαθῆσ* || 16 *αὐτοῖσ* || 21 *Εὐφημίας* **inserui**

σεως; — τὸν μὲν τόμον τῶν αἱρετικῶν οἱ πρὸς βασιλέως ἀπεσταλμένοι κάτω που περὶ τοὺς πόδας εὑρίσκουσι κείμενον τῆς μάρτυρος, τὸν δὲ τῶν ὀρθοδόξων ταῖς τιμίαις ἐκείνης χερσὶ κατεχόμενον οὕτως, ὡς ἂν εἴποις πειρᾶσθαι ταύτην καὶ στέρνων ἔνδοθεν αὐτὸν προσλαβεῖν.

4. Τί τούτου παραδοξότερον ἢ μεγαλοπρεπέστερον; διὸ καὶ «Αἰσχυνέσθωσαν οἱ ἀσεβεῖς, γλωσσαλγείτωσαν οἱ κακόφρονες», ἐπεβόα τὸ πλῆθος, «ἀγαλλιάσθω τὸ ὀρθόδοξον σύστημα καὶ εὐφραινέσθω ἡ Χριστοῦ ἐκκλησία, τὸ παράδοξον θεωμένη τοῦ πράγματος». τοῦτο πολλῆς ἐνέπλησεν αἰσχύνης τὰ πρόσωπα τῶν αἱρετικῶν, τοῦτο τὴν ἀναιδῆ τούτων ψυχὴν κατέστειλε καὶ σχεδὸν ἀφώνους εἰργάσατο, ναὶ δὴ καὶ χαρᾶς τοῦτο τοῖς ὀρθοδόξοις οὐκ ἔστιν εἰπεῖν ὅσης || γέ- *f. 108* γονεν αἴτιον. ἦν γὰρ ἰδεῖν αὐτοὺς σκιρτῶντας, χορεύοντας, ᾄδοντας ἐπινίκια. ἡ Κωνσταντίνου ἐκκλησία· εὐφραίνετο· ἡ κατὰ πᾶσαν χώραν καὶ πόλιν τῶν ὀρθοδόξων ἠγάλλετο· κοσμική τις ἦν εὐφροσύνη καὶ ἀγαλλίασις, καὶ ἡ μάρτυς καὶ τὸ θαῦμα τοῖς ἁπάντων ἔκειτο στόμασιν· ἐδοξάζετο Θεός, εὐχαριστεῖτο Θεός, ἐμεγαλύνετο Θεός· τῷ παραδόξῳ τοῦ πράγματος ἡ πίστις ηὐξάνετο, τὰ βασίλεια φαιδρῶς ἐλαμπρύνετο, καὶ πᾶς τις ἔλεγε «Δόξα».

5. Καὶ ταῦτα μὲν τοῦτον εἶχε τὸν τρόπον. τίς δὲ λόγος ἐξαρκέσει τὰς ἀμυθήτους τῆς μάρτυρος θαυματουργίας εἰπεῖν; αὗται τὸ μέγα τῆς αὐτῆς ἐν Θεῷ παρρησίας ἐδήλουν· τῶν αἱμάτων ἡ βρύσις τὴν κοινὴν ἐξανάστασιν διεπίστου· ζῶσα γὰρ ὥσπερ εἶχε καὶ μετὰ τοσοῦτον χρόνον τὰ αἵματα βλύζοντα. μεγάλα σου, κύριε, τὰ θαυμάσια καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον αὐτῶν. ὅθεν οἱ κακό|φρονες μειζόνως ᾐσχύνοντο καὶ τὰ τούτων πρόσωπα αἰσχύνης *col. 2* ἐπληροῦτο σαφοῦς.

6. Σὺ δέ, ὦ μεγαλόμαρτυς Εὐφημία καὶ πανθαύμαστε καὶ πανεύφημε, τῷ δεσποτικῷ παρισταμένη θρόνῳ τὰ νῦν καὶ τὰς ὑπὲρ τοῦ κόσμου ποιουμένη πρεσβείας, αἴτησαι δοθῆναι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι μακρὰν τὴν ζωὴν καὶ ἀπήμονα, γενναῖα καὶ ἰσχυρὰ κατὰ τῶν ἐναντίων τὰ τρόπαια, χειρὸς ἐκ θείας παρεχόμενα τούτῳ, ἄνοιξον αὐτῷ τὴν πηγὴν τοῦ ἐλέους, ἡμέρας υἱὸν ποίησον ἀνεσπέρου, λύσιν αὐτῷ βράβευσον ἡμαρτημένων, πάσης χάριτος κοινωνὸν αὐτὸν δεῖξον καὶ βασιλείας οὐρανῶν κληρονόμον· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

3 τῶν δὲ τῶν || 4 εἴποισ || 7 γλωσσαλγήτωσαν || 20 Τοῦτον || 23 διεπίςs || 36 πρέπη

f. 108v *Μηνὶ τῷ αὐτῷ ιβ΄.*

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΠΡΟΚΛΟΥ ΚΑΙ ΙΛΑΡΙΟΥ.

1. Πολλῇ τῇ λύσσῃ κατὰ χριστιανῶν Τραιανὸς ὁ δυσσεβὴς βασιλεὺς κεχρημένος καὶ κόρον οὐδένα τῆς αὐτῶν λαμβάνων ὁσημέραι σφαγῆς, Μάξιμον τὸν κατάρατον ἡγεμόνα τῆς Ἀγκυρανῶν προχειρίζεται χώρας, δεινὸν ἄνδρα καὶ λοιμὸν καὶ πάσης κακουργίας μεστόν, ἐντολὰς αὐτῷ θέμενος τοῦ πᾶσαν ποιεῖσθαι σπουδὴν τοὺς χριστιανοὺς μὴ πειθομένους θύειν εἰδώλοις ἀπαλείφειν ἐκ γῆς, πολλῶν αὐτοῖς πρότερον βασάνων προσαγομένων.

2. Τῆς χώρας οὖν τοῦ ἀνοσίου τούτου ἐπιβάντος καὶ πάντα λίθον, τὸ τοῦ λόγου, κινοῦντος εἰς τὸ συλλαμβάνεσθαι τοὺς πιστοὺς καὶ τῷ βήματι τούτου προσάγεσθαι, τῶν ὑπηρετῶν οἱ τεταγμένοι πρὸς τοῦτο πανταχοῦ περιιόντες κυσὶ παρομοίως ἐρινηλάτουν, εἴ col. 2 *που χριστιανὸν ἐφεύροιεν καὶ τῷ | δυσσεβεῖ παραστήσαιεν. τὴν πόλιν οὖν Ἀγκύρας καταλαβόντες τὸν καλὸν εὑρίσκουσι Πρόκλον, τὰ χριστιανῶν μετιόντα, καὶ τοῦτον συσχόντες τῷ Μαξίμῳ προσάγουσιν, ἄρτι θυσίας εἰδώλοις προσφέροντι. καὶ ὃς αὐτίκα φυλακῇ τοῦτον παραδοθῆναι κελεύει, μεθ' ὃ δὲ τὰς βδελυρὰς ἐκείνας τοῖς εἰδώλοις προσενήνοχε κνίσας, ἄγει τοῦτον ἐπὶ τὸ βῆμα καὶ ὅθεν εἴη καὶ πῶς καλοῖτο καὶ τί τὸ σέβας αὐτῷ διηρώτα. τοῦ ἁγίου τοίνυν τῆς γείτονος Ἀγκύρας κώμης τῶν Καλύπτων εἰπόντος ὁρμᾶσθαι καὶ Πρόκλος καλεῖσθαι καὶ χριστιανὸς εἶναι καὶ Χριστοῦ δοῦλος, ὁ ἡγεμὼν εὐθὺς αὐτὸν πρὸς θυσίαν ἐκάλει· καὶ ὁ ἅγιος «Μή μοι γένοιτο» ἔφη, «Χριστὲ βασιλεῦ, ἵν' ἐγώ σε καταλιπὼν θυσίαν εἰδώλοις προσοίσω». καὶ ἅμα πρὸς τὸν ἄρχοντα βλέψας* f. 109 *«Οὐκ ἴδοις» εἶπεν, «ἡγεμών, τοῦτό ποτε· ποίει τοίνυν τὸ σοὶ || παριστάμενον. Πρόκλος γὰρ καὶ χριστιανὸς καὶ Χριστοῦ δοῦλός ἐστι καὶ δαίμοσι θύειν οὐκ ἔγνω». ἔφη ταῦτα καὶ «Τὰ διαβήματά μου» ἔψαλλε «κατεύθυνον, κύριε, κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία».*

4 λύσ^ε^ῃ || 11 Τοῦ || 15 Τὴν || 19 βδελυρᾶσ || 21 διηρῶτ^α^ || 25 ἐγωσε **sine acc.** || 27 τοῦτο ποτὲ || 28 δοῦλοσ ἐστι || 30 κατὰκυριευσάτω

29—31 Τὰ διαβήματα — ἀνομία: Psalm. 118 (119), 133.

3. Καὶ ὁ Μάξιμος πρὸς αὐτὸν «Λοιπὸν οὐκ ἔγνως» ἔφησε, «Πρόκλε, τὰς προστάξεις τοῦ βασιλέως, ὡς πικραῖς τοὺς οὕτως ἔχοντας κατὰ σὲ κολάσεσι κελεύουσιν ὑποβάλλεσθαι, εἶτα καὶ θανάτῳ καθυπάγεσθαι τελευταῖον». καὶ ὁ ἅγιος «Ἔγνων» εἶπεν, «ἀλλ' οὐδὲν ἥγημαι ταύτας. κύριος γὰρ ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;»—«Οὐ φοβῇ τοίνυν» ἔφη «τὰς βασάνους, ἀνόσιε; ἢ οὐχ ὁρᾷς τοὺς βασανιστὰς ἕνεκα σοῦ παρεστῶτας καὶ ταῦτα δὴ προκείμενα τὰ κολαστήρια ὄργανα;» καὶ ὁ ἅγιος «Εἰ ὑμεῖς, ἡγεμών», ἔφη, «τὰς προσκαίρους ἁμαρτάνοντες κολάσεις φοβεῖσθε, πῶς ἡμεῖς τοῦ πλάσαντος ἡμᾶς Θεοῦ καταφρονῆσαι πεισθείημεν | καὶ δαίμοσι προστεθῆναι, αἰωνίαν τὴν τιμωρίαν ἐπάγοντος τοῖς col. 2 *ἀρνουμένοις αὐτόν; δαίμονες γὰρ ὑμῶν οἱ θεοί».*

4. Τότε θυμωθεὶς ὁ Μάξιμος κρεμασθῆναι τοῦτον κελεύει καὶ πικρῶς τὰς σάρκας αὐτοῦ καταξαίνεσθαι. ἦν οὖν ἰδεῖν τῇ γῇ ταύτας ἐμπιπτούσας καὶ τῷ αἵματι τὸ ἔδαφος φοινισσόμενον. ἐφ' οἷς οὐ λόγος, οὐ στεναγμὸς ἐξεπέμπετο τούτου. τὴν ὑπερφυᾶ τοίνυν ταύτην τοῦ μάρτυρος καρτερίαν ὁ παράνομος ἐκπλαγεὶς βαρυκάρδιον αὐτὸν ἀπεκάλει καὶ «Μὴ νομίσῃς» ἔφησε, «Πρόκλε, τῷδε σὲ τῷ τόπῳ μόνον τιμωρηθῆναι· κατ' αὐτὴν γὰρ σὲ τὴν πόλιν ἀγάγω γυμνὸν καὶ δειναῖς πρότερον παραδοὺς τιμωρίαις οὕτω καὶ πικροτάτῳ παραπέμψω σε τέλει».

5. Ἔφη καὶ ἅμα τὴν πόλιν εἰσήλαυνε καὶ τὸν ἅγιον ἀκολουθεῖν ἐκέλευε δέσμιον· ἠκολούθει τοίνυν ὁ χριστό||μαρτυς γυμνὸς f. 109ᵛ *τοῖς ἀπάγουσιν αὐτὸν δημίοις, προτρέχων τῶν ἵππων ὁδευόντων ὀξέως. τὴν πόλιν οὖν Ἀγκύρας καταλαβόντων αὐτῶν εὐθὺς ὁ ἡγεμὼν ἄγει τοῦτον πρὸς τὴν ἐξέτασιν καὶ «Μέχρι τίνος [» λέγει «] οὐ πείθῃ μου τοῖς λόγοις, ταλαίπωρε, καὶ θυσίαν προσφέρεις τοῖς θεοῖς;» τοῦ δὲ «Μὴ ἔλπιζε» εἰπόντος, «ἡγεμών, ὀφθαλμοῖς ἰδεῖν ποτε τοῦτο τοῖς σοῖς», ἐκεῖνος λαμπάδας πυρὸς προσενεχθῆναι τούτῳ κελεύει καὶ τήν τε κοιλίαν καὶ τὰς πλευρὰς αὐτοῦ καταφλέγεσθαι. καὶ δὴ καὶ προσηνέχθησαν αὐτῷ καὶ τοσοῦτον κατέκαυσαν, ὡς δίκην κηροῦ τὰς πανιέρους αὐτοῦ σάρκας τήκεσθαι τῷ πυρί. εἶτα καὶ κρεμασθῆναι τοῦτον προστάττει καὶ λίθον ὅτι βαρύτατον τῶν ποδῶν ἐκδεθῆναι. γίνεται καὶ τοῦτο, καὶ ὅλος ἔξαρθρος ὁ μάρτυς γεγένητο, διασπασθέντων μὲν νεύρων, διεκβάσης δὲ τῆς ἁρμογῆς τῶν γλουτῶν.|*

6. Ἀλλὰ καὶ τούτου γενομένου καὶ τοῖς δεινοῖς ἐγκαρτεροῦντος col. 2 *τοῦ μάκαρος ὁ ἀπηνὴς ἡγεμὼν τοξευθῆναι τοῦτον καταδικάζει*

3 *ὑποβάλεσθαι* || 13 *τἔτον* || 18 *νομήσησ — τῶδεσε* || 26 *λέγει* **inserui** || 28 *Τοῦδὲ — ποτὲ* || 32 *τίκεσθαι* || 34 *ἔξαρθρσ* || 35 *διέκβάσεισ*

καὶ οὕτω τὴν ζωὴν ἀποθέσθαι. εἷλκον οὖν αὐτὸν ἐπὶ τὸν ὡρισμένον τόπον λαβόντες οἱ στρατιῶται. καὶ δὴ συναντᾷ τις αὐτῷ τῶν γνωρίμων· Ἱλάριος ἦν ὁ καλός, ὃς καὶ ἀνεψιὸς αὐτοῦ ἐλέγετο εἶναι· καὶ λίαν αὐτὸν τιμητικῶς προσκυνεῖ καὶ θερμῶς ἀσπάζεται καὶ δάκρυον ἐκπέμπει τῶν ὀφθαλμῶν. ὃν αὐτίκα συλλαβόντες οἱ ἀσεβεῖς παραπέμπουσι τῇ φυλακῇ· τὸν δὲ ἅγιον ἐπὶ τὴν τιμωρίαν ἄγουσι καὶ δὴ ξύλῳ προσαναρτήσαντες βέλεσιν αὐτὸν ἔβαλον συχνοῖς καὶ φρικτοῖς ἐπὶ τοσοῦτον, ἕως οὗ τὴν ψυχὴν χερσὶ τοῦ πλάστου παρέθετο. φιλόχριστοι δέ τινες τὸ σῶμα τούτου ἀνελόντες τῇ γῇ κατακρύπτουσιν.

7. Ὑποστρέψαντες οὖν οἱ στρατιῶται τῷ ἡγεμόνι τὸν Ἱλάριον f. 110 *καταγγέλλουσιν, ὡς εἴη καὶ οὗτος || χριστιανός. καὶ ὃς αὐτίκα τῇ ἐξετάσει τοῦτον παρίστησι καὶ «Λέγε μοι» φάσκει, «πόθεν εἶ καὶ τίς καλῇ καὶ τί σου τὸ σέβας;» καὶ ὁ ἅγιος «Χριστιανὸς» ἔφη «καὶ τῆς αὐτῆς ἐξώρμημαι πόλεως καὶ Ἱλάριος κέκλημαι». καὶ ὁ ἡγεμών· «Θύεις προσιὼν τοῖς θεοῖς, ἢ βούλει καὶ αὐτὸς ἐν κακῷ τὸ ζῆν ἀπορρῆξαι;» — «Οὐ θύω» φησὶν ἐκεῖνος, «ἀνόσιε· οὐχ οὕτω μικρόψυχος ἐγώ· ποίει τοίνυν τὸ σοὶ παριστάμενον. τίς γὰρ λογισμοῦ κύριος λίθους καὶ ξύλα καὶ ἄλλην ὕλην ἄψυχον καὶ κωφὴν ἀνάσχοιτο προσκυνῆσαί ποτε;»*

8. Τότε θυμοῦ γεμισθεὶς ὁ παράνομος ἔξω τῆς πόλεως αὐτὸν ὡς ἀπὸ σταδίων τριῶν ἀποκεφαλισθῆναι κελεύει. ἤχθης οὖν, ὦ καλὲ Ἱλάριε, τάχιστα πρὸς τὴν ἐκτομήν· προθύμως προτείνεις σου τὸν αὐχένα, δέχῃ τὴν τομὴν καὶ Θεῷ τὸ πνεῦμα παρατίθῃς. ἄνδρες δέ τινες θεοφιλεῖς τὴν τιμίαν σου κεφαλὴν ἀνελόμενοι καὶ τῷ λοιπῷ | col. 2 *σώματι προσαρμόσαντες ἐντίμως σε καὶ πρεπόντως κατέθεντο. καὶ νῦν σύναμα τῷ θείῳ καὶ θαυμασίῳ Πρόκλῳ τὰς οὐρανίους σκηνὰς κατοικῶν αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ τὰ πάντα καλῷ, φιλοθέῳ τε καὶ φιλομάρτυρι ζωῆς μακρότητα καὶ εὐμάρειαν βίου, ἰσχὺν καὶ κράτος κατὰ τῶν ἀντιπάλων, πάσης ἔμπλεων θυμηδίας γενέσθαι καὶ βασιλείας οὐρανῶν κληρονόμον· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

8 *ἕωσοῦ* || 20 *προσκυνῆσαι ποτέ* || 23 *προτείνησ* || 32 *πρέπη*

Μηνὶ τῷ αὐτῷ ιγ΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΓΟΛΙΝΔΟΥΧ ΤΗΣ ΜΕΤΟΝΟΜΑΣΘΕΙΣΗΣ ΜΑΡΙΑΣ.

1. Ἡνίκα Μαυρίκιος τῆς Ῥωμαίων βασιλείας διεῖπε τὰ σκῆπτρα καὶ Χοσρόης τῆς Περσῶν ἀρχῆς εἶχε τὴν ἐπικράτειαν, τότε καὶ Γολινδοὺχ τῶν γυναικῶν ἡ καλλίστη, τῆς Περσικῆς καὶ αὐτὴ χώρας ἐξορμωμένη, τὸν τῆς μαρτυρίας ἆθλον ἐν ταύτῃ διηγωνί||σατο, καὶ (f. 110ᵛ) ὅπως, ὁ λόγος δηλώσει. νόμῳ γάμου παρὰ τῶν τεκόντων ἡ Γολινδοὺχ (ἐπιφανεῖς δὲ οὗτοι κατὰ Πέρσας καὶ πρῶτοι τῶν ἐπιδόξων) συνάπτεται μάγῳ τινὶ τὰ Περσῶν φρονοῦντι, τὰ Περσῶν ἀγαπῶντι, θύοντι ἡλίῳ καὶ πυρί. τούτου τὴν συνοίκησιν θείας ἐκ προνοίας μυσαττομένη τὴν χριστιανῶν ἠγάπα πίστιν κατὰ ψυχὴν καὶ ἁγνεύειν ἤθελε καὶ μολυσμάτων ἀπηλλάχθαι· ἧκε γάρ τις μακρόθεν εἰς αὐτήν, καθάπερ ἔσχατον διηγήσατο, λόγος, ὡς εἴη Θεὸς ἀληθὴς ὁ Χριστός, ποιητὴς ἡλίου καὶ τοῦ πυρός, ἁγνείας φίλος καὶ καθαρότητος. ποθούσης οὖν αὐτῷ προσελθεῖν καὶ μάλα διψώσης, Θεὸς ὁ χρῄζων τῆς ἡμῶν σωτηρίας, φόβῳ κιρνῶν εὐφροσύνην, ὄψιν αὐτῇ στέλλει τινά—οἷα τὰ κρίματα τῆς σοφίας αὐτοῦ,—καὶ ἡ ὄψις τοιαύτη. ἄγγελον ἔδοξεν ἰδεῖν ἀπαγαγόντα αὐτὴν εἴς | (col. 2) τινα τόπον ζόφου πεπληρωμένον, ἐν ᾧ τινες ἄνθρωποι διάγοντες ἦσαν, καὶ τούτους ἀκοῦσαι παρ' αὐτοῦ τοὺς τῇ Περσῶν δεδουλωμένους πλάνῃ εἶναι· διὸ καὶ στενάξασαν αὖθις πρός τινα τόπον

Hanc Passionem edidit A. Papadopulus-Kerameus (v. praef.), tribus codicibus usus: a) cod. S. Sepulcri 17 (quem signavit littera *A*, nos signamus litt. *H*), b) cod. *Συλλογῆς Σταυροῦ* 16, ff. 156β—159 *(B)*, c) cod. Athoo *μονῆς Διονυσίου* 166, ff. 282β—285α *(Γ)*. Nos textum a Papadopulo editum cum imaginibus photographicis codicis *H* contulimus, codicum vero *B* et *Γ* lectiones variantes e Papadopuli editione excerpimus, inspectis emendationibus, quas proposuit *Ἀναλ.* v. V p. 408.

5 *τῆς τῶν Περσῶν Γ* || 6 *ἡ Γολινδοὺχ Γ* || ibid. *περσικῆς ΑΓ, περσῶν Β* || 7 *ἄθλον Η* || 8—10 *ἡ γολ. δίδωτε τινὶ τῶν ἐπιδόξων μάγω, τὰ Περσῶν φρονοῦντι κτλ. Β* || 10 *μάγω ΒΓ, μάγον Η* || ibid. *τὰ Περσῶν ἀγαπῶντι* om. *Β* || 11 *τῶ πυρὶ Γ* || ibid. *Τούτου Η* || 13 *καὶ μολυσμάτων ἀπηλλάχθαι* om. *Β* || 14 *λόγον Γ* || 15 *ἀληθὴς* om. *P.-K.* || 16 *προελθεῖν Β* || 16—17 *καὶ μάλα διψώσης* om. *Β* || 16 *μάλα Η, μάλιστα Γ* || 17 *χρίζων Η* || 18—19 *οἷα κατάκριμα τοῦ τῆς σοφίας Β* || 20 *πεπληρωμένον Η, πεπλησμένον P.-K.* || ibid. *ἐνῶ τινὲσ Η* || 21 *οὗτους Β* || ibid. *τοὺς τῶν Β, τῇ περσῶν ΗΓ* || 22 *πλάνην ΗΒ* || ibid. *στενάξασαν ΗΓ, στεναγμοῖς Β*

φωτεινὸν ἀχθῆναι καὶ τοὺς ἐν αὐτῷ διατρίβοντας ἐνωτίσασθαι τοὺς τῇ πίστει Χριστοῦ προσκειμένους τυγχάνειν. οὕτως εἶπεν, ὡς ἔφη.

2. Καὶ ἐπείπερ γέγονεν εἰς ἑαυτὴν καὶ συνῆκε τὰ ὁραθέντα, σοφῶς λανθάνει καὶ φρονίμως τὸν σύνοικον· διαμάχην γάρ τινα πρὸς αὐτὴν συσκευάσασα καὶ τὴν εἰς τεκόντας ἄφιξιν προφασισαμένη, πνευματικοῖς ἀνδράσι προσέρχεται καὶ τοῦ θείου ἀξιοῦται βαπτίσματος καὶ Μαρία μετονομάζεται· καὶ τῶν νενομισμένων παρελθουσῶν ἡμερῶν ἐπάνεισι πρὸς τὸν ἄνδρα, τὸν πολύτιμον φέρουσα μαργαρίτην. ὡς οὖν αὐτὴ μὲν ἐβούλετο πρός τι κοινωνεῖν
f. 111 *αὐτῷ μηδαμῶς, || οὗτος δὲ τὸ ὃν οἷς ἐποίει Γολινδοὺχ ὑπενόει, καὶ ἤδη καταφανὲς αὐτῷ καὶ δῆλον ἐγένετο, θρηνεῖ τὸν χωρισμόν, δακρύει τὴν συμφοράν, παντοῖος γίνεται τῆς τοῦ Χριστοῦ ταύτην ἀποστῆσαι λατρείας. καὶ ἐπεὶ μηδὲν ἤνυε, καταφεύγει εἰς βασιλέα καὶ τὸ πρᾶγμα γνωρίζει· καὶ ὃς πείθειν ἐπιχειρεῖ ταύτην διά τινος τῶν ὑπ' αὐτόν, ὡς «Εἴ μοι, Γολινδούχ», δηλώσας αὐτῇ, «πεισθῆναι θελήσεις καὶ τὴν νεοφανῆ σοι ταύτην ἀπώμοτον ποιήσεις θρησκείαν, πολλῶν σε καὶ μεγάλων τῶν καλῶν ἀξιώσω, ναὶ δὴ καὶ γυναῖκά σε λήψομαι καὶ δέσποιναν ὀνομάσω». τὸν δόλον οὖν ἡ μεγαλόφρων συνεῖσα φησὶ πρὸς τὸν ἀπεσταλμένον· «Ἐγὼ μέν, ὦ οὗτος, ἀθανάτῳ τὰ νῦν ἡρμοσάμην ἐμαυτὴν νυμφίῳ, σὺ δὲ θνητοῦ γάμους εὐαγγελίζῃ· καὶ οὐ δίκαιον πάντως ἀνταλλάξασθαι τοῦτον ἐκείνου. ἄπιθι*
col. 2 *τοιγαροῦν, ἄπιθι πρὸς τὸν πεπομφότα σε, | ταῦτα τούτῳ διασαφῶν».*

3. Μανθάνει τὰ λαληθέντα πάντα Χοσρόης καὶ τῇ φυλακῇ ταύτην, ἥτις Λήθη κατωνομάζετο, παραπέμπει· ἐν ᾗ καὶ χρόνους ὀκτὼ πρὸς τοῖς δέκα δεσμὰ καθ'ὅλου περικειμένη τοῦ σώματος διετέλεσεν. ἄρτι δὲ τοῦ δυσσεβοῦς αὐτοῦ τελευτήσαντος, ὁ τῆς μεγαλοπρεποῦς μνήμης Ἀριστόβουλος ἀπελθὼν εἰς πρεσβείαν καὶ τὰ περὶ ταύτης ἐν Περσίδι μαθὼν τὴν φυλακὴν εἰσῆλθε καὶ χρύσεια χαλκείων συνετῶς ἀντηλλάξατο· ἑτέρων γὰρ δεσμῶν ἀντιλαβὼν

2 *τοὺς τοῦ χριστοῦ πίστει προκειμένους* B || ibid. *οὕτως — ἔφη* om. B || 4 *τὸν* Γ, *τὸ̃* (= *τὸν*) H, *τὸ* B || 5 *αὐτὴν* libri, *αὐτὸν* P.-K. || 8 *τὸν* ante *πολύτιμον* om. Γ || 9 *ἐβούλετο μηδαμῶς αὐτῷ κοινωνεῖν* B || 11 *καὶ δῆλον* om. B || ibid. *τον* sine acc. H || 12 *δακρύει τὴν συμφορὰν* om. B || 13 *μήδὲν* H || ibid. *εἰς* HB. *πρὸς* Γ || 14 *ἐπιχειρὶ* H || 15 *ὑπ' αὐτῶν* B || ibid. *γολιrδοὺχ* H || 16 *ἀπόμοτον* H. *ἀπότομον* ΒΓ, quod recepit P.-K, sed reiecit *Ἀναλ.* V, 408 || 17 *καὶ μεγάλων τῶν* om. B, *τῶν* om. Γ || ibid. *καὶ δὴ* B || *Δόλον* H || 20 *τὰ νῦν* H, *ταν͂ῦν* P.-K. || ibid. *θνητοῦ* H, *θνητοὺς* P.-K. | 21 *καὶ οὐ δίκαιον—ἐκείνου* om. B || ibid. *ἐκείνου* H. *ἐκείνῳ* P.-K. || 22 *πεπομφότα σε* H, *σε* om. P.-K. || 24 *ἥτις Λήθη κατωνομάζετο* om. B. *λίθη* H || 25 *δεσμὰ — σώματος* om. B || ibid. *καθόλου* P.-K. invito H || 28 *περσίδη μαθῶν* H || 28—29 *χρύσεια χαλκῖῶ* | *συνετῶσ ἀντιλλάξατο* H (non *χρυσείῳ χαλκίῳ*, ut scripsit P.-K).

τὰ τῆς μάρτυρος, ὄλβον εἶχεν ἑαυτῷ πολύτιμον καὶ πλείστων αὐτὰ νοσημάτων ἀπάλειψιν. Ὁρμίσδας δὲ ὁ υἱὸς Χοσρόου, τὴν βασιλείαν παραλαβὼν καὶ πυθόμενος τὰ περὶ τούτων, πολλαῖς αὐτὴν ἐκβαλὼν βασάνοις ὑπέβαλε, κακοῦ κόρακος κακὸν τυγχάνων ᾠόν· καὶ γὰρ μάστιξιν αὐτῆς κατὰ || νώτων καὶ στέρνων τυπτομένης f. 111v ποτὲ τὸν μαστὸν αὐτῆς συνέβη μέσον διαρραγῆναι τῇ τῶν μαστίγων δεινότητι καὶ θέαμα ἐλεεινὸν καὶ δακρύων ἄξιον τοῖς παροῦσι γενέσθαι. ἀλλ᾽ ὁ τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους Θεὸς συνάπτει τὰ διεστῶτα καὶ ὑγιᾶ κατ᾽ ἐκείνην τὴν νύκτα δείκνυσι τὴν θηλήν. ὁ κακοῦργος τοίνυν ἅμα πρωὶ θεασάμενος τὸ παράδοξον οὐ πρὸς ἔκπληξιν ἦλθε, πρὸς μανίαν δέ, καὶ κελεύει θύλακον πλησθῆναι καμινιαίας αἰθάλης καὶ τὴν πάντιμον τῆς μάρτυρος κεφαλὴν ἐν αὐτῷ βληθῆναι καὶ δεσμευθῆναι. τί σκοπῶν ὁ κατάρατος; ἢ πάντως τῷ συνεχεῖ τοῦ ἄσθματος ἀνιμωμένην τὴν ἁγίαν διὰ τῶν ῥινῶν τὴν αἰθάλην τῷ ἐγκεφάλῳ διαπέμψασθαι καὶ πικρῷ τέλει τὴν ζωὴν καταλῦσαι. ἀλλ᾽ ὁ τῶν θαυμασίων Θεὸς διεσώσατο ταύτην καὶ ἀβλαβῆ διετήρησεν.

4. Καὶ ὅ|ρα μοι τὸ ὑπερβάλλον τῆς κακίας τοῦ σατανᾶ καὶ οἵῳ col. 2 δεινῷ διενοήθησαν οἱ τούτου θεραπευταὶ ταύτην ὑποβαλεῖν. δράκων ἐκεῖσέ που λάκκῳ τινὶ — θέαμα φρικτόν — ἐνεφώλευε. τούτῳ καθιᾶσιν αὐτήν, ἵν᾽ ἐξανάλωμα γένοιτο τοῦ θηρός· ἀλλ᾽ ἠγνόησαν τὴν ἄνωθεν βοήθειαν τοῦ Χριστοῦ, καίπερ πλεῖστα δι᾽ αὐτῆς παιδευθέντες. ὅμως ἐκείνη σταυροτύπως ἐκτείνασα τὰς χεῖρας, τούτου μὲν ἐνέφραξε τὸ στόμα, μέγα χανόντος, ἐξενεύρισε δὲ τοῦ νοητοῦ τὴν ἰσχύν, καὶ οὕτω τὸ ζῷον διέθηκε ταῖς εὐχαῖς, ὡς ἐπὶ ποσὶ ταύτης κλίνειν τὴν κεφαλὴν καὶ συνήθη ταύτην σύνοικον ἔχειν.

1—2 καὶ πλείστων — ἀπάλειψιν **om. ΒΓ**, νομισμάτων ἀπάλειψιν Η. **Pro** ἀπάλειψιν **P.-K coniecit** ἀντίληψιν **aut** διάληψιν, **sed** Ἀναλ. V, 408 **proposuit** νοσημάτων ἀπάλειψιν, **quae scriptura nobis unice vera esse videtur** || 2—3 ὁρμίσδα δὲ τοῦ υἱοῦ—παραλαβόντος ΗΓ || 3 πυθομένου **libri, emend. P.-K.** || 4 βασάνοις καὶ μάστιξιν **B** || ibid. ὑπεβάλετο Γ || ibid. τυγχάνον Η, ὑπάρχων Γ. **De toto hoc loco** (v. 2—4) **cf. P.-K.** Ἀναλ. V, 408 || 4—5 κακοῦ—στέρνων **om. B** || 6 ποτὲ] οὖν Β || ibid. διαρραγῆναι ΗΓ, κοπῆναι **B** || 6—8 τῇ τῶν — γενέσθαι **om. B** || 7 καὶ **(in H scriptum** ϛ) **ante** δακρύων **om. P.-K.** || 8—9 **B habet:** ὁ τῶν οἰκτιρμῶν πατὴρ ὑγιᾶ κατέστησε || 10 ἅμα πρωῒ **om. B** || 10—11 οὐ πρὸς — μανίαν δὲ] ἐμάνη **B** || 11 προσμανίῳ **esse in H falso dixit P.-K.** || 12 πάντιμον **om. B** || 13—15 καὶ δεσμευθῆναι — διαπέμψασθαι **om. B** || 13 ἢ **P.-K.** || 14 αἵματος **pro** ἄσθματος **P.-K., falso adnotans ita legi in H** || ibid. ἀνιμωμένη Γ || 15 **in H legitur** αἰθάλη̄ (= αἰθάλην), **non** αἰθάλα, **ut dixit P.-K.** || 17 καὶ — διετήρησεν **om. B** || 18—19 Καὶ — ὑποβαλεῖν **om. B** || 19 διενοήθησαν δεινῷ Γ || 19—21 δράκων — θηρός] Εἶτα δράκοντι τοινὶ φοβερῷ καθήασιν ἵνα ἐξανάλωμα γένητε **B** || 21 καθιᾶσιν, ἵνα γένηται τοῦ θηρὸς ἐξανάλωμα Γ || 22 καὶ περὶ **legi pro** καίπερ **in H falso dixit P.-K.** || 24—26 μέγα χανόντος — σύνοικον ἔχειν **om. B.**

*

χρόνος οὐκ ὀλίγος τὴν συνοίκησιν εἶχε, καὶ χεὶρ ἀγγέλου διέτρεφε τὴν πανθαύμαστον. ὡς οὖν εἶδον οἱ δυσσεβεῖς μηδὲν αὐτὴν παραβλαβεῖσαν τὸ σύνολον ὑπὸ τοῦ θηρός, ἀνιμῶνται τοῦ λάκκου καὶ f. 112 *αἰσχρουργοῖς αὐτὴν ἐκδι||δόασι, χαμαιτυπείῳ τινὶ κατακλείσαντες. εἰσῄεσαν οὖν κατ' αὐτῆς οἱ ὀργῶντες καὶ μή τινα βλέποντες — οὕτω γὰρ αὐτοὺς ἡ θεία χάρις ἐποίει — κενοὶ τῶν ἐπινοημάτων ἐξῄεσαν καὶ μή τινα τὸ σύνολον εὑρηκέναι [ἐν] τῷ οἰκίσκῳ διεβεβαίουν. ἐξάγουσιν αὐτὴν κἀκεῖθεν καὶ στέλλουσιν εἰς ὑπερορίαν.*

5. Λύει ταύτην ἄγγελος τῶν δεσμῶν καὶ ἀφίησιν ὑπάγειν, τὴν ἐπὶ τοῦ τραχήλου λύσας ἀοράτως σφραγῖδα καὶ τῷ ἀπάγοντι παρασχὼν εἰς ἀσφάλειαν. στυγνὸν ἐπεῖδεν ἡ μάρτυς διὰ ταῦτα τὸν ἥλιον, ὅτι μὴ ξίφει τὴν κεφαλὴν ἀφῄρητο, ὅτι τὸ μαρτύριον μὴ τετελείωκε. καὶ ἰδοὺ ἄγγελος κυρίου τάχος ἐπιστὰς φησὶ πρὸς αὐτήν· «Εἰ βούλει τὴν διὰ ξίφους ὑπομεῖναι πλῆξιν, ἰδού σοι ταύτην ἐπάγω», καὶ ἅμα ἔδοξε τὸ ξίφος ἐπενεγκεῖν τῷ τραχήλῳ, ὡς καὶ col. 2 *πληγὴν ἐνσεσημάνθαι τούτῳ καὶ αἵμασι τοῖς ἐκ ταύτης | τὰ ἱμάτια μεμολῦνθαι. θαῦμα τὴν μάρτυρα κατειλήφει, καὶ τὸν Θεὸν δοξάζειν οὐκ ἔληγε. καὶ μή σοι ξένον, ἀκροατά, νομισθῇ τὸ ῥηθέν· τὸ Βασιλέως γὰρ Ἀμασείας μαρτύριον ἐπιὼν εὑρήσεις, πῶς τμηθείσης τῆς αὐτοῦ κεφαλῆς ἡ συνέλευσις αὐτῆς τῷ λοιπῷ γέγονε σώματι καὶ πῶς ἡ τομὴ σπαρτίον καθαπερεὶ τῷ τραχήλῳ πεφοινιγμένον διέκειτο.*

6. Τοίνυν ἀπολυθεῖσα τῶν δεσμῶν καὶ τῆς ὑπερορίας, ὡς εἴρηται, τὴν Νίσιβιν (τόπος δὲ αὕτη) καταλαμβάνει καὶ κηρύττει τὸν λόγον, ὡς ἄλλη Θέκλα, τῆς πίστεως. εἶτα κατέλαβε τὰ Ἱεροσόλυμα, καὶ τοὺς ἁγίους τόπους προσκυνήσασα καὶ παρά τινος γέροντος, ἀνδρὸς πνευματικοῦ καὶ τὰ θεῖα σοφοῦ, τὴν ὀρθόδοξον πίστιν ἀκριβωσαμένη καλῶς καὶ τὰς αἱρέσεις τῶν κακοδόξων διαγνοῦσα f. 112v *καί τισι μοναστηρίοις παραβαλοῦσα,||ἐν οἷς ἡ τοῦ δυσσεβοῦς Σευήρου ἐπολιτεύετο αἵρεσις, αἰτεῖ πρὸς Θεοῦ, τίνος μέρους προσέλθοι τῇ κοινωνίᾳ· καὶ ὁρᾷ κατ' ὄναρ ἄγγελον θεῖον δύο κρατῆρας ἐπιφε-*

1 2 *χρόνος — πανθαύμαστον]* *ποιήσας οὖν χρόνους ἱκανοὺς ἐν τῷ λάκκῳ ἄγγελος κυρίου διέτρεφε ταύτην· ὡς οὖν εἶδον αὐτὴν μὴ βλαβῆσαν ὑπὸ κτλ.* **B** || 2 *μηδὲν* *H* || 6 *τῶν ἐπινοημάτων* **et mox** *καὶ μή τινα — διεβεβαίουν* **om. B** || 7 *ἐν* **inseruit** ***P.-K.*** || 8 *εἶτα ἐξάγουσιν* **B** || ib. *κἀκεῖθεν* **om. B** || ib. *καὶ ὑπερ. στέλλουσι* **B** || 9 *ἄγγελος δὲ κυρίου λύει τῶν δεσμῶν* **B** || 10 *ἀοράτως* **om. B** || ib. *σφραγίδα* *H* || 12 *ἀφῄρηται* ***P.-K.*** || 13 *ταχὺς* ***P.-K.*** *e* **B** || 14 *πλῆξιν* *HΓ*, *πληγὴν* **B** || 16 *ἐνσημάνθαι* *H***B** || 17 *μεμολύνθαι* *H* || 18 *σοι*, **quod optime legitur in** *H*, **om. *P.-K.*** || 19 *Ἀμασείας* *e* **cod.** *Γ* **recepit** ***P.-K.*** || 21 *τῷ τραχήλῳ σπαρτίον καθαπερεὶ* *Γ* || 22 *Τοίνυν* *H* || ibid. *ὡς εἴρηται* **om. B** || 23 *τόπος δὲ αὕτη* **om. B** || 24 *τὸν λόγον τῆς πίστεως, ὡς* *Γ* || ib. *κατέλαβε* **om. B** || 26 *καὶ — σοφοῦ* **om. B**; *θεία* *H* || 27 *ἀκριβ. καλῶς]* *μαθοῦσα* **B** || 30 *Καὶ* *H*

ρόμενον, ἕνα μὲν ἐζοφωμένον καὶ σκοτεινόν, θάτερον δὲ φωτεινόν τε καὶ διαυγῆ, καὶ λέγοντα τῆς καθολικῆς ἐκκλησίας εἶναι τὸν τοῦ φωτός, τὸν δὲ τοῦ σκότους τῶν αἱρετικῶν. ταῦτα θεασαμένη κοινωνεῖ τοῖς ὀρθοδόξοις τῶν ἁγιασμάτων καλῶς καὶ τὴν πίστιν ἐντεῦθεν σχοῦσα βεβαίαν, μεταξὺ Νισίβεως καὶ τοῦ Δαρᾶ ἀφιγμένη καὶ νόσῳ τινὶ περιπεσοῦσα βραχείᾳ, εὐξαμένη τε ὑπὲρ βασιλέων τῶν ὀρθοδόξων καὶ τῆς ἐκκλησίας αὐτῆς, πρὸς κύριον ἐξεδήμησεν.

7. Καὶ νῦν, ὦ καλλίμαρτυς Γολινδοὺχ καὶ σεβασμία τῷ ὄντι καὶ ὑπερθαύμαστε, ταῖς ἀκηράτοις ἐμφιλοχωροῦσα μοναῖς αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ ὀρ|θοδόξῳ καὶ φιλομάρτυρι μῆκος ἐτῶν col. 2 *ζωῆς ἀκυμάντου καὶ εἰρηναίας, ἰσχυρότατον κατ' ἐχθρῶν τὸ βασίλειον, χώρας βαρβάρων ὑποσπόνδους τιθέμενον, πάντας θραῦον τοὺς ἀντιτεταγμένους δυνάμει Χριστοῦ· ᾧ δὴ πρέπει πᾶσα τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ιδ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΜΥΡΩΠΗΣ.

1. Ἡ μυρεπώνυμος αὕτη καὶ μεγάλη Μυρώπη, ἥτις τοῖς μεγίστοις θαύμασι καὶ τῷ τοῦ μαρτυρίου καλῷ πᾶσαν ὡς εἰπεῖν διέδραμε τὴν ὑφήλιον, πατρίδα μὲν ἔσχε μίαν τῶν Κυκλάδων οὕτω καλουμένων νήσων τὴν Χίον, γεννήτορας δὲ πιστοὺς καὶ τιμίους καὶ τοῖς ἄλλοις καλοῖς διαπρέποντας. ὑπ' αὐτῶν οὖν καλῶς ἀναχθεῖσα καὶ παιδευθεῖσα θεῖον ἐνδιαίτημα τοῦ παναγάθου γέγονε πνεύματος, ἐκ μητρικῶν αὐτῶν, ὡς εἰπεῖν, ἀγκαλῶν || τὴν ἐς ὕστε- f. 113 *ρον ἐν αὐτῇ γενέσθαι μέλλουσαν δηλοῦσα μακαριότητα. καὶ γὰρ εἰς τοσοῦτον ἀρετῶν ὕψος ὁ καλὸς οὗτος ἀνήχθη βλαστός, ὡς καὶ τῶν τῆς μαρτυρίας μὴ ἀπολειφθῆναι στεφάνων. περιιοῦσα γὰρ νύκτωρ καὶ μεθ' ἡμέραν πᾶσαν ἐκείνην τὴν γῆν καὶ τὰς φυλακὰς εἰσιοῦσα τῶν μαρτυρούντων ἁγίων καὶ διὰ Θεὸν καθειργμένων τῶν*

1—2 *θάτερον δὲ δι' αὐτῇ καὶ φωτεινὸν B* || 3 *ταῦ|Τα H* || ib. *θεασαμένοις B* || 4 *καὶ* om. *B* || 5 *σχοῦσα HΓ, ἔχουσα B* || 6 *βραχείᾳ* om. *B. βραχεῖα H* || 6 sqq. *epilogus in B: εὐξαμένη πρὸς κύριον ἐξεδήμησεν, ἀπολαβοῦσα τῶν πόνων τὰς ἀμοιβὰς ἐν οὐρανοῖς εἰς δόξαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.* || 13 *πρέπη H*
23 *εσ sine spir.* || 26 *περὶ|Ιοῦσα*

μὲν τοὺς ἰχῶρας τῶν τραυμάτων ἀπέματτε, τῶν δὲ τὰ τραύματα ἐξεκάθαιρε καλῶς, ἄλλων τοὺς πόδας ἔνιπτε καὶ κοινῶς αὐτοῖς τροφὰς ἐχορήγει, κατεφίλει τούτους καὶ μακαρίους ἡγεῖτο, ἐπῄνει τε τῆς προθέσεως καὶ πρὸς τοὺς ἀγῶνας ἤλειφε καὶ τῶν ἀποκειμένων αὐτοῖς καλῶν ἀνεμίμνησκε καὶ δήλη ἦν ἐντεῦθεν, ὡς ἐδίψα καὶ αὐτὴ τοῦ μαρτυρικοῦ τέλους καὶ τὴν ψυχὴν ὅλην εἶχεν ἐν τούτῳ καὶ κατὰ νοῦν ἔτρεφεν.

col. 2 2. *Ἔνθεν τοι καὶ τοῦ σκοποῦ | οὐ διήμαρτεν· ἄρτι γὰρ τοῦ μάρτυρος Ἰσιδώρου τὸν μαρτυρικὸν ἐν ταύτῃ δὴ τῇ νήσῳ τετελεκότος ἀγῶνα, Νουμεριανοῦ τοῦ δυσσεβοῦς ὑπὸ Δεκίου τὴν ἡγεμονίαν ἐγκεχειρισμένου τότε τῆς νήσου καὶ τούτῳ τὰς κολάσεις ἐπαγαγόντος καὶ τοῦ μαρτυρικοῦ σώματος εἰς βορὰν θηρσὶ προκειμένου, ἡ χριστόμαρτυς αὕτη μηδὲν ὑποπτήξασα, εἰ καὶ φωραθείη, κλέπτει τοῦτον νυκτός, κλοπὴν ἐπαινετὴν ποιήσασα καὶ ἀρίστην καὶ παντὸς κέρδους ὑψηλοτέραν καὶ δώρου, καὶ κρύπτει καλῶς καὶ τιμᾷ φιλοφρόνως καὶ κάλλιστα πάντα τὰ εἰκότα τελεῖ καὶ ἦν οὕτω τοῦτο θεραπεύουσα καὶ διὰ τούτου τὴν ἱερὰν τοῦ μάρτυρος καὶ παναγίαν ψυχὴν ἢ μᾶλλον εἰπεῖν καὶ Χριστόν, δι᾽ ὃν ὁ μάρτυς καλῶς τὸ αἷμα καὶ προθύμως ἐκένωσεν.*

3. *Ἀλλ᾽ ἐπείπερ ἐν τούτῳ πολλὴν ἀνῆψε τὴν ὀργὴν Νουμεριανὸς*
f. 113v *|| καὶ τὸν κεκλοφότα ζητῶν οὐκ ἀνίει καὶ πολλοὺς διὰ ταῦτα συνεῖχέ τε καὶ συνέθλιβε καὶ μυρίοις κακοῖς καθυπέβαλλε, μὴ δίκαιον κρίνασα ἡ φιλόμαρτυς ἀναιτίως τοὺς ἀναιτίους τιμωρίαις σφοδραῖς καθυπάγεσθαι, αὐθόρμητος ἐπὶ τοῦτον χωρεῖ καὶ ἑαυτὴν εἶναι λέγει τὴν τὸ μαρτυρικὸν ἐκεῖνο σῶμα λαβοῦσαν καὶ μηδένα ἕτερον, «Ἄφες» λέγουσα, «δικαστά, μὴ τιμώρει τοὺς ἀναιτίους. ἐγώ σοι τῆς αἰτίας αἰτία, ἐγὼ τῆς τόλμης ποιήτρια· λοιπὸν ὃ βούλει πρᾶττε κατ᾽ ἐμοῦ». οὕτως εἰποῦσαν συσχεθῆναι Νουμεριανὸς ἐκέλευσε καὶ τῷ βήματι προσαχθῆναι καί φησι πρὸς αὐτήν· «Λέγε μοι σύ, κατάρατε, τίς εἶ καὶ πῶς εἰς ἀναιδείας ἦλθες τοσοῦτον, ὡς κατορχήσασθαι μὲν διαταγμάτων βασιλικῶν, ἐξορχήσασθαι δὲ καὶ θυμὸν ἀρχόντων καὶ βασάνων ἀλογῆσαι τοσούτων ἠπειλημένων; |*
col. 2 *εἴπερ οὖν συγχωρηθῆναί σοι βούλει τὸ τόλμημα, θῦσον τοῖς θεοῖς. εἰ δ᾽ οὖν, ἀλλὰ κολάσεις σε χαλεπαὶ διαδέξονται». καὶ ἡ ἁγία· «Οὐδέν, ἡγεμών, τούτων πτοεῖ τὸ παράπαν τοὺς εἰς Χριστὸν πεποιθότας· γέγραπται γὰρ ἐν τοῖς Εὐαγγελίοις· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·*

6 δ|λιν || 8 *ἔνθέν τοι* || 13 *μὴδὲν* || 20 *ἐπεί|Περ — ὀργῆν* || 22 *συνεῖχε τὲ* || 28 *πράττε*

36 *ἐν τοῖς Εὐαγγελίοις:* Matth. 10, 28 (*ubi legitur* *μὴ φοβεῖσθε*); Luc. 12, 4.

φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. ποίει τοίνυν ὃ βούλει, δικαστά».

4. Ἔφη, καὶ αὐτίκα τὸ τοῦ δαίμονος ἐργαστήριον ὁ παράνομος ἄρχων ῥάβδοις κελεύει ταύτην καθ' ὅλου τοῦ σώματος δεινῶς καταξαίνεσθαι. καὶ ἦν ἰδεῖν συντριβὴν παντὸς αὐτῆς γενομένην ὀστῶν, ἁρμονιῶν καὶ λοιπῶν ἄλλων μελῶν, ὡς ἀνόσιον ἡγήσασθαι τοῦτο τοὺς παρεστῶτας καὶ συμπαθὲς ἐπ' αὐτῇ κινῆσαι τὸ δάκρυον. πάντῃ δὲ κατεργασάμενοι τὸ καλὸν ἐκεῖνο σῶμα τῆς || μάρτυρος, *f. 114* νεκρὸν ὥσπερ ἄραντες οἱ ἀσεβεῖς προσριπτοῦσι τῇ φυλακῇ· καὶ ὅρα μοι τὸ τοῦ μάρτυρος Ἰσιδώρου συμπαθές· ἐπιφαίνεται ταύτῃ καὶ τῶν ἀθανάτων καλῶν ἐπαγγέλλεται τὴν ἀπόλαυσιν. ζήσασα τοίνυν ἐπὶ μικρὸν τὴν καλλίνικον ψυχὴν χερσὶ τοῦ πλάσαντος ἐναπέθετο. τετάρτην καὶ δεκάτην ὁ Ἰούλιος ἔτρεχε τὴν ἡμέραν.

5. Τούτοις καλῶς, ὦ πανθαύμαστε μάρτυς, τὸν μαρτυρικὸν τελέσασα δρόμον, στεφανηφόρος νῦν παρίστασαι τῷ Χριστῷ. χάρισαι τοίνυν ταῖς εἰς αὐτόν σου πρεσβείαις βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μέτρον ζωῆς διαρκές, ἰσχὺν θείαν ἐνδεδυμένῳ, χαρᾶς ἀνεκφράστου πεπληρωμένῳ, ἡμέρας τε τῆς ἀνεσπέρου τὴν λάμψιν, πάντων ἀγαθῶν τὴν μέθεξιν, λειμώνων ἀκηράτων τὴν τέρψιν καὶ βασιλείας Θεοῦ τὴν ἀπόλαυσιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιε΄. *col. 2*

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ ΚΗΡΥΚΟΥ ΚΑΙ ΙΟΥΛΙΤΤΗΣ.

1. Διοκλητιανοῦ τοῦ τυράννου δυσσεβῶς τὰ τῆς Ῥωμαϊκῆς ἀρχῆς σκῆπτρα ἕποντος διωγμὸς κατὰ χριστιανῶν κεκίνητο μέγας, αὐτοῦ τοῦ ἀνοσίου δόγμα παράνομον ἐκθεμένου τοῦ πάντας, ὅσοι τὰ τούτων φρονοῦντές εἰσι, βασάνων πολυτρόπων ἐπιφοραῖς ὑποβαλλομένους οὕτω καὶ τὴν τελευταίαν ὑπομένειν πληγήν, ἀλλὰ δὴ καὶ ἄρχοντας κατὰ πᾶσαν τὴν ὑποτελῆ Ῥωμαίοις γῆν πεπομφότος

9 πρόσρι|πτοῦσι || 11 ἐπαγγέλεται || 18 ἡμέρας τὲ || 25 τυράν̆ || 26 ἕποντος: διέποντος? || 28 φρονοῦντες εἰσὶ || 29 ὑπομένην

τοῦ πᾶσαν σπουδὴν εἰς τοῦτο ποιεῖν καὶ παντὶ τρόπῳ θεραπεύειν αὐτόν.

2. *Ἔνθεν τοι Δομετιανόν τινα κόμητα τῆς Λυκαόνων χώρας ἡγεμόνα προβάλλεται ὁ παράνομος, σκαιὸν ἄνδρα καὶ ἀπηνῆ καὶ πάσης μανίας ἔμπλεω καὶ παραφορᾶς· ὃς ἐπιστὰς τῇ ἀρχῇ τί μὲν ||* [f. 114v] *οὐκ ἔπραττε τῶν βδελυκτῶν, θυσίας ἐν κνίσαις τοῖς εἰδώλοις προσάγων, τί δ' οὐκ ἐποίει τῶν φευκτῶν, αἱμάτων ὡς εἰπεῖν ἀνθρωπίνων ἀπογευόμενος.*

3. *Τότε τοίνυν ἡ καλλίνικος Ἰουλίττα, τὸ τῶν γυναικῶν σεμνολόγημα, τῆς Ἰκονιέων πρώτη κατά τε γένους ἀναφορὰν (αἵματος γάρ φασιν αὐτὴν ἀπὸ βασιλικοῦ κατάγεσθαι), κατά τε βίου λαμπρότητα καὶ πλούτου περιουσίαν τυγχάνουσα, ἐπεὶ τὸ ἄθεον τοῦτο δόγμα μεμάθηκεν ἀγγελθέν, τὸν καλὸν Κήρυκον τὸ γλυκύτατον τέκνον ἐν ἀγκάλαις λαβοῦσα καὶ ταύτην δὴ τὴν ἐνεγκαμένην διὰ τὸν τοῦ τυράννου φόβον ἀπολιποῦσα, ναὶ δὴ καὶ περιουσίαν ἅπασαν, τὴν Σελεύκειαν κατειλήφει, νόμους καλῶς μαρτυρίας ἐπισταμένη, τοὺς μήτε ἐθέλοντας ἐπὶ τὰς βασάνους διορίζομένους χωρεῖν, μήτε δὲ πάλιν ἀπαγορεύειν ἐμπίπτον|*[col. 2]*τας. ἀλλ' ἐπειδὴ κἀν ταύτῃ μείζων ὁ διωγμὸς ἐκράτει καὶ χαλεπώτερος, Ἀλεξάνδρου τινὸς ἄρχοντος ἐν αὐτῇ καταστάντος πανούργου καὶ σκολιοῦ καὶ τἆλλα δεινοῦ, δέει τῶν ἠπειλημένων ἢ μᾶλλον εἰπεῖν πραττομένων κολάσεων ἀπαναστᾶσα καὶ ταύτης τὴν Ταρσὸν κατέλαβε, δύο μόνον θεραπαινίδων συνουσῶν αὐτῇ καὶ τοῦ φιλτάτου παιδὸς Κηρύκου, τριετοῦς ὄντος καὶ ἤδη ψελλίζοντος τὰ φίλα μητρί. καὶ γὰρ ἦν, ὥς φασιν, ἀστεῖος ὁ παῖς καὶ ὥρᾳ σώματος σεμνυνόμενος.*

4. *Ὁ τοίνυν Ἀλέξανδρος, ἐκ περιόδου καὶ οὗτος τὴν Ταρσὸν εἰσελθών, τὰ ἔχθιστα Θεῷ καὶ φίλα δαίμοσι διεπράττετο, εἶτα καὶ συλλαμβάνεσθαι τοὺς χριστιανοὺς διωρίζετο καὶ τῷ βήματι τούτου προσάγεσθαι. τῶν κακίστων οὖν ὑπηρετῶν σπουδὴν ἐπὶ τοῦτο τιθεμένων ὅτι πολλήν, ἐμπίπτει ταῖς αὐτῶν πάγαις ἡ χριστόμαρτυς, ||* [f. 115] *οὕτω πάντως εὐδοκήσαντος τοῦ Θεοῦ, τὸν φίλτατον υἱὸν ἐν ἀγκάλαις κατέχουσα. καὶ ἐπεὶ συσχεθεῖσα δεσμοῖς ὑποβέβλητο, λιποῦσαι ταύτην αἱ θεράπαιναι τὴν φυγαδείαν ἠσπάσαντο.*

5. *Ἄγεται τοίνυν ἡ καλλίνικος πρὸς Ἀλέξανδρον· βλέπει ταύτην ἐκεῖνος ἠγκαλισμένην τὸν Κήρυκον· ἐρωτᾷ κλῆσιν, ἐρωτᾷ τύχην, ἐρωτᾷ καὶ πατρίδα. καὶ ἡ καλλίμαρτυς, πάντων ἀφεμένη τῶν ἄλλων, χριστιανὴν ἑαυτὴν ἀνεκήρυττε μεγαλοφωνότατα. τότε δὴ οὖν,*

3 *ἐνθέν | τοι δομετιανὸν τινὰ* || 9 *Τοίνυν* || 11 *αὐτὴν* **in margine additum** || 15 *τυράνου* || 20 *τᾶλλα* || 23 *θεραπενίδων* || 28 *συλλαβάνεσθαι* || 29 *τούτο* || 32 *Ἐπεὶ* || 35 *ἐρωτὰ τύχην, ἐρωτὰ* || 36 *Καὶ ἡ* || 37 *χρ|σιανὴν*

τότε τῶν χειρῶν ἀφαιρεθεῖσα τὸν παῖδα τείνεται δεινῶς κατὰ γῆς καὶ τύπτεται νεύροις ὠμοῖς ἀφειδῶς. ἐπεὶ δὲ τὸν Κήρυκον ἔτυχεν Ἀλέξανδρος, οἷα δὴ κάλλει διαπρεπῆ, φέρων ἐπὶ γονάτων, πρὸς τὴν μητέρα τὸ ὄμμα τείνοντα καὶ δακρύοντα καὶ οἷα δὴ ψελλίζοντα τὸ «Χριστιανός εἰμι», ἀπέψα μὲν αὐτοῦ τῶν ὀμμάτων τὸ δάκρυον | καὶ φιλεῖν αὐτὸν ἐπεχείρει καὶ κολακείαις ὑπέκλεπτεν. ἀλλ' οὗτος col. 2 *ὁ μέγας ἐν μικρῷ τῷ σώματι μάρτυς, μὴ προσιέμενος αὐτοῦ τὰ φιλήματα, μισῶν δὲ μᾶλλον ὡς βάρβαρον, ἀφίστα μὲν αὐτοῦ τὴν κεφαλὴν τῶν κόλπων ἐκείνου, ἔτεινε δὲ καὶ χεῖρας κατὰ προσώπου τούτῳ καὶ ξέειν ἐπεχείρει, «Τὴν μητέρα» λέγων, «τὴν μητέρα μου θέλω». μὴ ἐνδιδοῦντος δὲ τοῦ τυράννου, ἀλλ' ἐχομένου τοῦ παιδὸς στερρότερον, ἐκεῖνος λὰξ τοῖς ποσὶ κατὰ πλευρᾶς βάλλει τὸν ἔχθιστον καὶ περιωδυνίαν ἐμποιεῖ τούτῳ πολλήν. μαίνεται τούτου πραχθέντος ὁ παράφορος ἄρχων καὶ βάλλει τοῦτον ἀφ' ὑψηλοῦ κατὰ τῶν βαθμίδων τοῦ βήματος, καὶ ἅμα πέτρᾳ τινὶ προσραγείσης τῆς αὐτοῦ κεφαλῆς καὶ τοῦ ὑλώδους, φεῦ, κενωθέντος τοῦ ἐγκεφάλου, παρέδωκε τὸ πνεῦμα Θεῷ. ψυχαὶ γὰρ δικαίων ἐν χειρὶ Θεοῦ, φησὶν ἡ γραφή. ||*

6. *Ἡ τοίνυν μεγαλόψυχος μήτηρ οὐ πρὸς δάκρυα, οὐ πρὸς πα-* f. 115ᵛ *ρειῶν ξέσεις, οὐ πρὸς ἄλλο τι τοιοῦτον, ἃ τῶν ἀγε[νν]ῶν μητέρων εἰσίν, ἀπέβλεψεν ὅλως, πρὸς εὐχαριστίαν δέ, πρὸς χαράν, πρὸς εὐθυμίαν καὶ ἀγαλλίασιν, ὅτι τε μάρτυρος γέγονε μήτηρ καὶ ὅτιπερ ὀφθαλμοῖς αὐτοῖς ἐθεάσατο τὸ μαρτύριον. ἀλλὰ καὶ πρὸς τοῦτο μανεὶς ὁ κατάρατος ἄρχων ἀναρτηθῆναι ταύτην κελεύει καὶ ξέεσθαι χαλεπώτατα, πίσσης τε βραζούσης φρικτὸν καταχέεσθαι τῶν ποδῶν αὐτῆς. γέγονε τοῦτο· καὶ τοῦ κήρυκος «Θῦσον» λέγοντος, «Ἰουλίττα, καὶ ἀπαλλάττου τῶν κολαζόντων σε», ἡ μάρτυς «Οὐκ ἀρνήσομαί σε» φησί, «Χριστὲ βασιλεῦ, οὐ θύσω ξοάνοις· ἥλιος οὐκ ἴδοι με τοῦτο διαπραττομένην· ποίει, ἀνόσιε, τοίνυν τὸ σοὶ παριστάμενον».*

7. *Τότε δίδωσιν Ἀλέξανδρος τὴν κατ' αὐτῆς ἀπόφασιν, οὕτως εἰπών· «Ἰουλίτταν μὴ βουληθεῖσαν θυσίαν προσαγα|γεῖν τοῖς θεοῖς* col. 2 *ξίφει τὴν κεφαλὴν ἐκκοπῆναι κελεύω, τὸ σῶμα δὲ ταύτης καὶ τοῦ παιδὸς τῷ τόπῳ ῥιφῆναι τῶν καταδίκων». ἀπαχθείσης οὖν αὐτῆς κατὰ τὸν τόπον τῆς τελειώσεως καὶ πρὸς Θεὸν εὐξαμένης ὁ σπεκουλάτωρ παραθήξας τὸ ξίφος, οἷα δὴ ταύτην φοβῶν, ἀποτέμνει τὴν μαρτυρικὴν αὐτῆς κεφαλήν. πεντεκαιδεκάτην ἦγεν ὁ Ἰούλιος μήν. αἱ θεράπαιναι γοῦν ταύτης, ταῦτα πάντα κατὰ τὸ λεληθὸς*

4 *γελίζοντα* || 6 *οὗτοσ* || 19 *π̊|ρειῶν* || 20 *ἄλλότι — ἀγεῶν* || 22 *ὅτι τὲ* || 26 *Γεγονε* **sine acc.** — *θύσον* || 36 *πεντεςδεκατῆ* || 37 *γοῦν*

18 *ἡ γραφή:* cf. Sap. Sol. 3, 1.

διορῶσαι, τῇ ἑξῆς κλέπτουσί τε νυκτὸς τὰ τίμια τούτων λείψανα καὶ κρύπτουσιν ἐν τῇ γῇ.

8. Κατὰ γοῦν τοὺς χρόνους Κωνσταντίνου τοῦ ἀοιδίμου καὶ μεγάλου βασιλέως, τοῦ τῆς ἁγίας Ἑλένης υἱοῦ, ὅτε δὴ καὶ ἡ ἀλήθεια ἔλαμψε καὶ γαλήνης ἐπληρώθη τὰ πάντα, μία τῶν θεραπαινίδων τῆς μάρτυρος, ἔτι περιοῦσα τῷ βίῳ, δείκνυσι τὸν τόπον, ἐν ᾧπερ f. 116 *ἔκειτο τὰ μαρτυρικὰ λείψανα· οἷς ἐντυχόντες || οἱ φιλομάρτυρες ναὸν ἀνήγειραν εἰς δόξαν κυρίου καὶ αἴνεσιν ἔγγιστα τῇ κατὰ Ταρσὸν Πομπηίου.*

9. Ταῦτα, πανθαύμαστοι μάρτυρες, τὰ διὰ Χριστὸν ὑμῶν ἀγωνίσματα καὶ παλαίσματα. καὶ νῦν τὰς ἄνω σκηνὰς οἰκοῦντες καὶ τῷ θρόνῳ παριστάμενοι τούτου, χαρίσασθε ταῖς πρὸς αὐτὸν ὑμῶν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μαρτυρικῶν σκηνωμάτων τὴν κατοικίαν, ἰσχὺν κατ' ἐχθρῶν καὶ τρόπαια καὶ νίκας, χώρας ὑποτάσσοντες αὐτῷ καὶ πόλεις, ἀρχηγοὺς αὐτῶν καὶ πάντας ἡγεμόνας, ἡμέρας θείας υἱὸν αὐτὸν ἀπεργάσασθε καὶ κληρονόμον, λαμπρὸν ἀρεταῖς καὶ καλῶν εὐποιΐαις, πᾶσαν νέμοιτε τούτῳ καλῶν τὴν δόσιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

col. 2 *Μηνὶ τῷ αὐτῷ ις΄.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΑΘΗΝΟΓΕΝΟΥΣ ΚΑΙ ΤΩΝ ΔΕΚΑ ΑΥΤΟΥ ΜΑΘΗΤΩΝ.

1. Τοῦ κακόφρονος καὶ δυσσεβεστάτου Διοκλητιανοῦ βασιλεύοντος ἡ σύμπασα σχεδὸν ἐκλονεῖτο καὶ ἐκυμαίνετο· πολλῇ γὰρ ἐκέχρητο κατὰ χριστιανῶν τῇ μανίᾳ καὶ ποικίλος ἦν εἰς ἐξαπάτην τῶν ἀνθρώπων ὁ κάκιστος, τοῦτο μὲν ἀπειλῶν, τοῦτο δὲ κολάζων καὶ τοῦτο μὲν δώροις, τοῦτο δὲ καὶ τιμαῖς τοὺς πειθομένους αὐτῷ δεξιούμενος. ἔνθεν τοι καὶ παρεδίδου πατὴρ τέκνον καὶ πατέρα υἱὸς πρὸς σφαγὴν καὶ φίλος φίλον καὶ ἀδελφὸς τὸν ὁμαίμονα, καὶ

4 *ἐλλένησ* || 29 *ἔνθέν τοι* || 30 *προσσφαγὴν*

ἦν οὕτω δεινή τις σύγχυσις καὶ σκοτόμαινα, πάντων σχεδὸν τοῖς εἰδώλοις προστετηκότων· ἄρχοντες γὰρ ἀνὰ πᾶσαν τὴν γῆν ἐξεπέμποντο ὁμόφρονες τῷ τυράννῳ καὶ ὁμογνώμονες. ὧν εἷς ἦν καὶ ὁ κατὰ Σεβάστειαν πεμφθεὶς ἡγεμών, ἀνὴρ ἀσεβὴς καὶ μέγα || βρέμων f. 116v κατὰ χριστιανῶν καὶ ἀπειλῶν αὐτοῖς τὰ δεινότατα. Φιλήμαχος ἐπωνύμως ὄνομα τούτῳ.

2. Τὴν πόλιν οὖν ταύτην εἰσιὼν ἐν αὐλοῖς καὶ κυμβάλοις εἶχε καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων στέμματα φοροῦντας καὶ συνεπομένους αὐτῷ καὶ κατὰ πάντα τόπον τῆς πόλεως θυσίας ἀναφέροντας τοῖς εἰδώλοις. μετὰ γοῦν τὰς μυσαρὰς τελετὰς ἐκείνας προκαθίσας ἐπὶ τοῦ βήματος τὸ βασιλέως πρόσταγμα πάντων εἰς ἐπήκοον ἀνεγίνωσκεν. ὡς οὖν ἦλθε λέγων καὶ θυσίας τοῖς εἰδώλοις προσάγειν καὶ τελετάς, μιᾷ φωνῇ τὸ συνειλεγμένον ἐκεῖνο πλῆθος «Χριστιανοί ἐσμεν» ἐβόησαν, «ἡγεμών, καὶ θύειν εἰδώλοις οὐκ ἀνεχόμεθα». τότε προσέταξε, καὶ συνελήφθησαν πλεῖστοι καὶ τῷ διὰ ξίφους καθυπήχθησαν τέλει, τὸ βραβεῖον τῆς νίκης ἀπειληφότες. |

3. Νικόλαος δέ τις κορνικουλάριος τῷ τυράννῳ τούτῳ προσιὼν col. 2 «Ἔστι τις» εἶπε, «κύριε, χωρεπίσκοπος ὧδέ που πλησίον διατρίβων κατὰ τὴν Πηδαχθόην, Ἀθηνογένης τοὔνομα, πολλοὺς πλανῶν τῶν ἀνθρώπων καὶ τῆς τῶν θεῶν ἀφιστῶν θεραπείας. τοῦτον εἴ γε συλληφθῆναι προστάξεις, οὐκέτι πλάνην ὑποστήσονται ἄνθρωποι». εὐθὺς οὖν ἐκεῖνος ὁ τοῦ δαίμονος ὑπηρέτης στέλλει τινὰς στρατιώτας τοὺς συλληψομένους αὐτόν· οἳ δὴ καὶ πορευθέντες καὶ μὴ εὑρηκότες αὐτόν, ἅτε κατὰ τύχην ἀπόντα, τοὺς αὐτοῦ φοιτητὰς (δέκα δὲ ἦσαν τὸν ἀριθμὸν) συλλαμβάνονται καὶ προσάγουσι τούτῳ, κατ' αὐτὴν ἔτι τὴν Σεβάστειαν διατρίβοντι. τοῦ ἁγίου δὲ καταλαβόντος τὸ μοναστήριον καὶ τοὺς μαθητὰς μηδαμοῦ κατιδόντος καὶ διαποροῦντος, τί καὶ γέγονεν (οὐδὲ γὰρ ᾔδει τὸ συμβεβηκός), ἐπιστάς τις ἀνήγγειλε τούτῳ || τὸ πεπραγμένον, ὅτι ὁ ἄρχων στρατιώτας f. 117 ἐκπέμψας δεσμίους σου τοὺς μαθητὰς ἀνελάβετο.

4. Τούτων ἀκούσας ὁ δίκαιος χαίρει χαρὰν ἀνεκλάλητον καὶ ἅμα τὴν πρὸς αὐτοὺς ἐποιεῖτο πορείαν. ἐξιὼν δὲ τῇ ἐλάφῳ προσυπαντᾷ, ἣν αὐτὸς κατὰ τὴν μονὴν ἀνεθρέψατο, καὶ εὐλογήσας αὐτὴν καὶ ἐπευξάμενος, ὡς ἂν ἄληπτος μείνοι τὸν τῆς ζωῆς αὐτῆς χρόνον καὶ ἑκάστου ἔτους μόσχον κομίζοι τοῖς τῆς μονῆς, ἥψατο τῆς ὁδοῦ καὶ καταλαβὼν τὴν Σεβάστειαν, ἀντικρύ τε τοῦ πραιτωρίου στὰς καὶ τῶν πραττομένων θεατὴς γεγονώς, «Τί μου, τύραννε», λέγει

2 ἀναπᾶσαν — γὴν || 3 τυράνω || βρέμ(ων) in laevo margine || 9 κα|ταπάντα || 10 γοῦν || 11 ἐ|πίκοον || 12 ωσ sine spir. || 13 φωνη et ἐκεινο sine acc. || 14 χριστιανοὶ ἐσμὲν || 18 τίσ || 29 ἐπιστὰσ τίσ—ἀνηγγέλει || 31 ἀκού|Cασ || 36 ἀντικρὺ τὲ

«τοὺς μαθητὰς δεσμοῖς περιβαλὼν εἵλκυσας μηδὲν ἀδικήσαντας; οὐκ ἴδῃς ὅπερ ἐλπίζεις· οὐ συλήσεις αὐτῶν τὰς εἰς Χριστὸν ἐλπίδας, ἀλλὰ καταισχυνθήσῃ καὶ καλύψεις τὸ πρόσωπον ἐντροπῇ καὶ πυρὶ col. 2 τῷ ἀσβέστῳ μετὰ | [τὸ] τέλος δοθήσῃ».

5. Τῶν παρισταμένων οὖν τινες τὸν ἄνδρα γνωρίσαντες, «Οὗτός ἐστιν, ἡγεμών», εἶπον «Ἀθηνογένης, οὗτος ὁ παρὰ σοῦ ζητούμενος». καὶ ἅμα θυμῷ ληφθεὶς ὁ παράνομος συσχεθῆναι τοῦτον καὶ τῇ φυλακῇ δοθῆναι κελεύει. ταύτῃ τοίνυν τοὺς μαθητὰς εὑρηκὼς καθειργμένους ὁ ποιμὴν ὁ καλὸς κατασπάζεται, καταφιλεῖ, νουθετεῖ, διδάσκει, παιδεύει, «Στῆτε» λέγων, «τέκνα, γενναίως πρὸς τοὺς ἀγῶνας μικρὸν ὅσον, καὶ στεφανώσει ὑμᾶς ὁ κύριος ἀμαραντίνοις στεφάνοις καὶ ἔσεσθε χορεύοντες μετὰ τῶν ἀγγέλων αὐτοῦ». ταῦτα εἶπε καὶ ἦν σὺν αὐτοῖς εὐφραινόμενος.

6. Τῇ ἑξῆς οὖν προκαθίσας ὁ τύραννος ἐπὶ βήματος ἄγεσθαι τοὺς ἁγίους ἐκέλευσε καί φησι πρὸς αὐτούς· «Τοῦ βασιλέως οἶδα μὴ ἀγνοεῖν ὑμᾶς τὰ προστάγματα. θύσατε τοίνυν τοῖς θεοῖς, ἵνα μὴ f. 117v κακῶς ἀποθάνητε». || καὶ ὁ Ἀθηνογένης «Οἴδαμεν, ὅ τι καὶ βασιλεὺς ἡμῶν ὁ μέγας» ἔφησε «διορίζεται· διὸ καὶ τούτου φυλάττειν σπεύδομεν τὰ προστάγματα· τοῦ γὰρ σοῦ βασιλέως μηδὲν ὄντος οὐδέν εἰσι· τῷ τοι καὶ καταφρονοῦμεν αὐτῶν καὶ παρὰ φαῦλον αὐτὰ τιθέμεθα καὶ οὐ θύσομεν τοῖς βδελύγμασι». καὶ ὁ ἄρχων «Μή με πρὸς ὀργήν, Ἀθηνόγενες, κίνει, ἀλλὰ τάχος σὺν μαθηταῖς προσελθὼν θῦσον τοῖς θεοῖς. εἰ δ' οὖν, ἀλλά...» καὶ ἅμα τὸν λόγον ὑπολαβὼν ὁ ἅγιος «Οὐ θύσομεν» εἶπεν, «ἀνόητε· ποίει λοιπὸν τὸ σοὶ παριστάμενον».

7. Αὐτίκα γοῦν ἐκέλευσεν ὁ παράνομος, καὶ ἀναρτῶνται τὰ κάλλιστα τοῦ Ἀθηνογένους θρέμματα, οἱ καλοὶ μαθηταί, καὶ ξέονται δεινῶς τὰς πλευράς, εἶτα καὶ ξίφει τὰς κεφαλὰς ἀποτέμνονται καὶ πορεύονται πρὸς ὃν ἐπόθησαν κύριον. ὁ δὲ κάκιστος ἄρχων τὸν col. 2 Ἀθηνογένην αὖθις παραστησάμενος, «Ποῦ ἐστιν, | Ἀθηνόγενες», φησίν, «ὁ Θεός σου; πῶς οὐκ ἐρρύσατό σου τοὺς μαθητὰς τῶν χειρῶν μου; ἀλλὰ πάντως οὐδὲ σὲ ῥύσεται». καὶ εὐθὺς ἀναρτηθῆναι καὶ τοῦτον κελεύει καὶ πικρότατα ξέεσθαι. γέγονε τοῦτο· καὶ κατενεχθέντα τοῦ ξύλου τύπτεσθαι ὁ ἀνόσιος κατὰ τῶν πληγῶν προσέταττεν· ὁ δὲ μάρτυς ἦν εὐχαριστῶν τῷ Θεῷ καὶ λέγων· «Ἐπὶ σοί, κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα». γίνεται οὖν οὐρα-

4 τὸ *inserui* || 5 τινὲς — οὔτοσ | ἔστιν || 13 εἶπεν || 14 Τῆ || 15 `ς φησὶ—οἶδα || 17 οἶδαμὲν || 19 μὴ δὲν || 20 οὐδέν εἰσί· τῶτοι—παδ|φαῦλον || 26 ἐκέλευσεν *in laevo margine* || ibid. γοῦν || 29 προσὸν || 34 πληγῶν: πλευρῶν?

35—36 Ἐπὶ σοὶ — αἰῶνα: Psalm. 30 (31), 1.

νόθεν φωνὴ πρὸς αὐτόν, «Μὴ φοβοῦ, Ἀθηνόγενες», λέγουσα, «ἐγὼ γάρ εἰμι μετὰ σοῦ». ταύτης ἀκούσαντες τῆς φωνῆς οἵ τε ἄλλοι καὶ Φίλιππος ὁ συγκάθεδρος τοῦ ἡγεμόνος ἔστησαν ἐννεοί, μεγάλῳ συσχεθέντες τῷ φόβῳ.

8. Τότε δίδωσι τὴν ἀπόφασιν ὁ κακότεχνος, ξίφει κελεύσας καὶ τὴν ἐκείνου κεφαλὴν ἐκτμηθῆναι. ὁ δὲ μακάριος κατὰ τὴν αὐτοῦ μονὴν αἰτεῖ τὸν ἡγεμόνα τοῦτο γενέσθαι || f. 118 καὶ μέντοι δὴ καὶ λαμβάνει. κἀν ταύτῃ τοῦτον ἀγαγόντες οἱ στρατιῶται, ψάλλοντα κατὰ τὴν ὁδὸν τῷ κυρίῳ, ἰδοὺ καὶ ἡ ἔλαφος αὖθις αὐτῷ συναντᾷ. ἣν καὶ πάλιν ὡς τὸ πρότερον εὐλογήσας καὶ τὰ αὐτὰ εἰπὼν ἀπέλυσε. καὶ οὕτω στὰς εἰς προσευχὴν ὁ ἀοίδιμος σωτηρίαν ἐπηύξατο τοῖς τὴν αὐτῶν μνήμην προθυμουμένοις ποιεῖν καὶ βίου εὐμάρειαν καὶ τῶν ἄλλων καλῶν. ἔνθεν τοι καὶ φωνῆς ἀκούει, «Θάρσει» λεγούσης, «Ἀθηνόγενες· πάντα σοι κατὰ τὴν εὐχὴν γενήσεται». καὶ οὕτω τὴν μακαρίαν ἀποτέμνεται κεφαλήν, ἓξ καὶ δεκάτην ἐπαναβαίνοντος τοῦ Ἰουλίου μηνός.

9. Ἀλλ', ὦ μακάριε πάτερ καὶ μάρτυς καὶ τῆς τριάδος προσκυνητά, χάρισαι ταῖς εἰς αὐτὴν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ τὰ πάντα πιστῷ μονῶν ἀιδίων τὴν καλὴν κατοικίαν, ἵλεω τὸ θεῖον καὶ εὐμενές, | col. 2 χορῶν ἁγίων τὴν συνδιαγωγήν, ἀπόλαυσιν τῶν ἐν τούτοις τερπνῶν, ἥμερον πρό γε τούτων καὶ συμπαθῆ τὸν κριτήν, λύσιν χαριζόμενον τῶν ἐπταισμένων, πάντων διδοῦντα καλῶν τὴν μετουσίαν καὶ τῶν ἀγαθῶν τὴν ἀείμονον χάριν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιζ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΜΑΡΙΝΗΣ.

1. Ὀλύβριος ὁ δεινὸς καὶ τῆς εἰδωλικῆς μανίας διάπυρος ἐραστής, ἄρτι τὰ τῆς ἀνατολῆς μέρη λαχὼν διέπειν (ἔπαρχος γὰρ ἐν τούτοις κεχειροτόνητο), πολλοὺς τῶν χριστιανῶν βασάνων πολυτρόπων ὑποβάλλων ἰδέαις τῆς ζωῆς ἀπεστέρει· κατ' ἐκεῖνο τοίνυν καιροῦ καὶ ἡ καλὴ παρθένος Μαρῖνα ταῖς κατὰ Θεὸν ἀρεταῖς λελαμπρυσμένον

2 εἰμὴ — Ταυτηα || 6 Ὁ || 11 προσ|ευχὴν || 13 ἔν|θέν τοι || 15 ἐξ sine acc. || 16 ἠού|λίου || 20 σύνδιαγω|γὴν

f. 118v ἔχειν τὸν βίον ἐγνωρίζετό τε καὶ ἐφημίζετο· ‖ δι' ἃ δὴ καὶ τοῖς ἁπάντων ἔκειτο στόμασι καὶ μέγα καλὸν προσεδοκᾶτο φανήσεσθαι.

2. Γέγονε μὲν Ἐδεσίου τινὸς ἱερέως τῶν εἰδώλων θυγάτηρ μονογενής, ἐτράφη δὲ κατά τινα κώμην ἐγγίζουσαν τῇ Πισιδίᾳ, προσήκουσιν ὑπ' ἐκείνου παραδοθεῖσά τισι. τῆς μητρὸς οὖν αὐτῆς ἤδη τὸν βίον ἀπολιπούσης καὶ ταύτης τὸν δωδέκατον ἄρτι χρόνον τρεχούσης καὶ τὴν εἰς Χριστὸν πίστιν ἀσπαζομένης (πεπαίδευτο γὰρ ἐν ἐκείνῃ τῇ κώμῃ τὰ περὶ ταύτης, μὴ ὄντος κατὰ πρόσωπον τοῦ ταύτην ἀπείργοντος), ὁ πατὴρ μισῶν ἦν αὐτήν, ἅτε παιδείας χριστιανῶν ἀμέτοχος ὢν καὶ ἀποστρεφόμενος. μικρὸν δὲ ἢ οὐδὲν ἐκείνη τοῦτο λογιζομένη τοῦ σκοποῦ καλῶς εἴχετο καὶ τῇ πίστει προέκοπτεν. ἄρτι δὲ τὸν πεντεκαιδέκατον τῆς ἡλικίας τρέχουσα col. 2 χρόνον καὶ τὰ τῆς ἀθλήσεως τῶν μαρτύρων ἀναμαν|θάνουσα καὶ ὅτιπερ πολλὰ διὰ τούτων ὁσημέραι γίνεται θαύματα, τὸν τῆς μαρτυρίας καὶ αὐτὴ συνέλαβε πόθον, εἶτα καὶ τεκεῖν αὐτὸν ἔσπευδε καὶ εἰς φῶς ἐνεγκεῖν.

3. Μιᾷ δὲ τῶν ἡμερῶν ἐξ Ἀσίας τοῦ Ὀλυβρίου πρὸς τὴν Ἀντιόχειαν ἀπιόντος, σὺν ἄλλαις γυναιξὶν ἡ Μαρίνα πορευομένη κατὰ τὴν κώμην ἐμπίπτει τοῖς τούτου πονηροῖς ὀφθαλμοῖς καὶ τῷ κάλλει καταπλήξασα τοῦτον εὐθὺς συλλαμβάνεται, αὐτοῦ τοῦτο προστάξαντος (ἐνέσταξε γὰρ ἔρωτα τῇ τούτου ψυχῇ), καὶ παραδίδοται τέως εἰς τήρησιν. εὐχομένης οὖν αὐτῆς οἱ φύλακες ἀκροώμενοι καὶ τὰ ῥήματα χριστιανῶν εἶναι λόγους γνωρίσαντες (εἶχον γὰρ ὀνομαζόμενον τὸν Χριστόν), προσελθόντες τῷ ἡγεμόνι χριστιανὴν αὐτῷ γνωρίζουσι ταύτην, «Χριστὸν» εἰπόντες «ὀνομάζει Θεὸν ἰσχυρὸν ἡ f. 119 νεᾶνις». αὐτίκα ‖ γοῦν ἐνεχθῆναι τούτῳ ταύτην κελεύει καί, ἐπεὶ παρήχθη, φησὶ πρὸς αὐτήν· «Λέγε μοι, κόρη, τὸ τάχος, τίς εἶ καὶ ὅθεν καὶ τί σου τὸ ὄνομα;» ἡ δὲ πρὸς αὐτόν· «Χριστιανή εἰμι καὶ τῆς Πισιδίας, ἡγεμών, ὥρμημαι καὶ Μαρίνα καλοῦμαι».

4. Τότε τοίνυν τηρεῖσθαι ταύτην καὶ πάλιν προσέταξε, καὶ ἐπεὶ τὴν πόλιν εἰσέλθοι καὶ θυσίας τοῖς εἰδώλοις προσάγοι, ἐκέλευσεν αὐτὴν παραστῆναι τῷ βήματι καὶ «Ἵνα τί», φησίν, «ὦ καλὴ νεᾶνις, τοιαῦτα λέγειν προῄρησαι; θῦσον, εἴ μοι πείθῃ, τοῖς θεοῖς, καὶ πολλῶν ἀξιώσω σε τῶν καλῶν». καὶ ἡ Μαρίνα «Θύσω» ἔφη, «ἀλλὰ τῷ Θεῷ μου θυσίαν αἰνέσεως· κωφοῖς δὲ καὶ ἀναισθήτοις εἰδώλοις οὐμενοῦν ἐγὼ θύσω ποτέ». καὶ ὁ ἡγεμών· «Ἐγὼ μέν, ὦ καλὴ

2 στόμασιν — προσεδοκάτο ‖ 4 πισσιδί' ‖ 5 παραδοθεῖσα τισί ‖ 8 ὄντας ‖ 12 Ἄρτι—πεντες'δεκατὸ ‖ 14 διατούτων ‖ 15 αὐτῆ ‖ 17 ἐξασίασ ‖ 22 Εὐχομένησ ‖ 26 νεάνισ — γοῦν ‖ 28 χριστιανὴ εἰμὶ ‖ 29 πισσιδίασ ‖ 32 Καὶ — νεάνισ ‖ 33 τοιαύτα ‖ 36 οὐμενοῦν — Καὶ

νεᾶνις, φείδομαί σου τοῦ κάλλους καὶ οὐ βούλομαι τοῦτο βασάνοις ἐξαναλῶσαι. διὸ καὶ συμβουλεύω καλῶς εἶξαι τοῖς βασι|λέως θελή- col. 2 μασι καὶ ποιῆσαι τὸ κελευόμενον. ἤδη γὰρ πρὸ ὀφθαλμῶν σου κεῖται τὰ κολαστήρια». — «Μὴ νόμιζε τούτοις με φοβεῖν, ἡγεμών», ἡ ἁγία πρὸς αὐτὸν ἔφη· «τοῦτο γάρ, ὅπερ ὁρᾷς, κάλλος φθαρήσεταί ποτε πάντως. χρὴ οὖν διὰ Χριστὸν προέσθαι τοῦτο εἰς πολλῶν καλῶν ἀμοιβήν· τούτου γὰρ ταῖς βασάνοις σου φθειρομένου ἡ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ, καὶ τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, κύριε, τίς ὅμοιός σοι; ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ καὶ ἀπὸ τῶν διαρπαζόντων· δυνατὸς γάρ ἐστι ῥύσασθαί με τῶν χειρῶν σου, δικαστά».

5. Τούτων ἀκούσας ἐκεῖνος ταθῆναι ταύτην αὐτίκα προσέταξε καὶ ῥάβδοις ἀπηνῶς καταξαίνεσθαι. τούτου δὲ γινομένου ἦν ἰδεῖν σάρκας ἐκείνης τὰς ἱερὰς σὺν αἵμασι || καταπιπτούσας ἐν γῇ, αὐτὴν f. 119v δὲ τῇ εὐχῇ προσκειμένην καὶ τὸν Χριστὸν εἰς βοήθειαν ἐκκαλουμένην θερμῶς, «Κύριε» λέγουσαν, «ἐφ᾽ ᾧ πέποιθεν ἡ ψυχή μου, πρὸς τὸ βοηθῆσαί μοι σπεῦσον». τινὲς οὖν τῶν παρισταμένων «Θῦσον» ἔλεγον αὐτῇ «τοῖς θεοῖς καὶ μὴ θελήσῃς τοιοῦτον κάλλος ἀπολέσθαι κακῶς δι᾽ ἀπείθειαν». ἡ δὲ πρὸς αὐτοὺς «Ἀπόστητε» φησὶν «ἀπ᾽ ἐμοῦ, ἐργάται τῆς ἀνομίας, ἀπόστητε· οὐδὲ γὰρ ἐγκαταλείψω μού ποτε τὸν Χριστὸν καὶ θεοῖς ἀψύχοις ἀπονείμω τὸ σέβας».

6. Τότε θυμοῦ πλησθεὶς ὁ παράνομος ἀναρτηθῆναι ταύτην κελεύει καὶ σιδηροῖς ξυστῆρσι τὸ καλὸν ἐκεῖνο καταξέεσθαι σῶμα· ξεομένης οὖν αὐτῆς καὶ κατακρεουργουμένης δεινῶς, ἡ εὐχὴ καὶ πάλιν ἐπὶ στόματος ἦν· ἔλεγε γάρ· «Ἐπίβλεψον ἐπ᾽ ἐμέ, κύριε, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων σου τὸ ἔνδοξον ὄνομα». πολλαῖς οὖν ἐν ὥραις οὕτω | πασχούσης τῆς μάρτυρος, μόλις ὁ δικα- col. 2 στὴς ἀνεθῆναι ταύτην ἐκέλευσε καὶ δοθῆναι τῇ φυλακῇ. καὶ ἦν οὕτως ἡ μάρτυς εὐχαῖς καὶ δεήσεσι κεχρημένη πρὸς τὸν Θεόν, «Μὴ ἐγκαταλίπῃς με» λέγουσα, «κύριε, καὶ μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ἀλλὰ φύλαξον ἀπαρασάλευτον ἐν τῇ ὁμολογίᾳ τῆς εἰς σὲ πίστεως, μή ποτε εἴπῃ ὁ ἐχθρός· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῆς; μή ποτε εἴπῃ ὁ δόλιος· Ἴσχυσα πρὸς αὐτήν».

7. Τοιαῦτα καὶ ἕτερα πλεῖστα προσευχομένης αὐτῆς γίνεται

1 νεάνισ — τούτο || 5 φθαρήσεται ποτ' || 8 inter ἐπὶ et τῷ σ̣ρ̣ίῳ tres litterae erasae || 12 Τούτων || 14 καταπιπτούσαισ || 16 λέγουσα || 17 Οὖν || 20 ἐργᾶται || 21 μου ποτὲ || 27 κρίμα

7—11 ἡ ψυχὴ—διαρπαζόντων: cf. Psalm. 34 (35), 9—10. || 32—34 μή ποτε — αὐτήν: cf. Psalm. 12, 5.

σεισμὸς μέγας, ὥστε σαλευθῆναι τὸ δεσμωτήριον, καί ποθεν δράκων ἑρπύσας, δεινὸς μὲν ἰδεῖν, δεινὸς δὲ τὴν ὁλκὴν ἐν τῷ ἕρπειν, περιέτρεχε ταύτην, κύκλῳ αὐτῆς παρεμβάλλων· περιδεὴς οὖν καὶ κατάφοβος γενομένη καὶ ὅλως, ὡς εἰπεῖν, ἔντρομος αὖθις ἐκέχρητο τῇ εὐχῇ, «Θεέ» λέγουσα «ποιητὰ τῶν ἁπάντων, ὃν φρίττει καὶ τρέ- f. 120 μει τὰ σύμπαντα, || ὁ ταπεινώσας τὸν ἀποστάτην σατανᾶν καὶ τῶν οὐρανίων αὐτὸν ἀπορρίψας ἀψίδων εἰς χάος ᾅδου καὶ ζόφον, ὁ τοὺς ἐν αὐτῷ δεσμώτας ἀπ᾽ αἰῶνος ἐλευθερώσας τῇ ἀρρήτῳ καθόδῳ σου, ἔπιδε ἐπ᾽ ἐμέ, τὴν διὰ σὲ τὴν φυλακὴν ταύτην κατακριθεῖσαν, καὶ σῶαν ἀπὸ τούτου δὴ συντήρησον τοῦ θηρός, ναὶ δὴ καὶ ἀπὸ τοῦ νοητοῦ καὶ φιλοκάκου δαίμονος. σὺ γὰρ εἶ Θεὸς μόνος ὕψιστος καὶ εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀμήν».

8. Οὕτως αὐτῆς προσευξαμένης ὁ πολύμορφος δράκων, ὁ μέγα κυρτούμενος ἐκεῖνος καὶ τὴν ὁλκὴν τῷ φέρεσθαι φοβερὰν ἐργαζόμενος, μέλας ἀποδείκνυται κύων δυσειδής, ὀδυρομένῳ προσεοικώς, «Μή με καταφλέξῃς» λέγων, «Μαρίνα, ταῖς συνεχέσιν εἰς Χριστὸν προσευχαῖς· ἰδοὺ γάρ μου τὴν ἰσχὺν ἐξενεύρισας· φεῖσαι τοίνυν μου καὶ μὴ παραδῷς με πρὸ καιροῦ τῷ ἡτοιμασμένῳ πυρί».| col. 2 ταῦτα τοῦ δαίμονος οὕτως εἰπόντος πρὸς εὐχὰς καὶ πάλιν ἡ μάρτυς ἐτρέπετο, «Εὐχαριστῶ σοι» λέγουσα, «δέσποτα, ὅτι με τοῦ νοητοῦ τούτου δράκοντος καταπαῖξαι πεποίηκας. νῦν μοι σημεῖον ἀγαθόν, ὅτι τοῦτον εἰς τέλος καταπατήσασα τὸν τοῦ μαρτυρίου δρόμον δραμοῦμαι καὶ τῆς νίκης ἀπολήψομαι τοὺς στεφάνους».

9. Ἔφη, καὶ ἅμα θάρσους ὑποπλησθεῖσα τῶν τριχῶν τοῦ δαίμονος δράττεται. καὶ ξένον οὐδέν· τί γὰρ τῇ παντοδυνάμῳ χειρὶ οὐκ ἐφικτὸν καὶ ἧς οἱ τρόποι τῆς οἰκονομίας ἄρρητοι καὶ ἀνέκφραστοι; καί που σφῦραν εὑροῦσα τετυφέναι τοῦτον ἐπιχειρεῖ κατά τε τῆς κεφαλῆς καὶ τῶν νώτων, ἐπὶ τραχήλου πρότερον αὐτὸν τῷ ὡραίῳ ταύτης πεπατηκυῖα ποδί. καὶ ἅμα φῶς ἔλαμψεν ἐν τῇ φυ- f. 120v λακῇ μέγα καὶ σταυρὸς ὡρᾶτο σὺν τῷ φωτὶ καὶ φωνὴ ἐκεῖθεν ἐ||γένετο, «Χαίροις, Μαρίνα», λέγουσα, «ὅτι τὸν τοῦ σκότους ἐταπείνωσας ἄρχοντα· ὅτι σοι ὁ τῆς δικαιοσύνης ἡτοίμασται στέφανος. σπεῦδε τοίνυν εἰς τὸν προκείμενόν σοι τῆς ἀθλήσεως ἀγῶνα· ἀναπαύσῃ γὰρ ἐν ταῖς ἀθανάτοις σκηναῖς». ταύτης ἀκούσασα τῆς φωνῆς ἡ παρθένος δόξαν ἀπεδίδου Θεῷ, τῷ τοιαῦτα ἐνεργοῦντι μεγάλα καὶ παράδοξα θαύματα.

1 δεσμοτήριον || 3 περιέτρεχε || 6 σατᾶν || 9 διασὲ || 13 Οὕτωσ || 18 προκαιρ || 19 Ταῦτα || 25 Τίγαρ || 26 ἀνέφρ(ασ)τοι || 27 σφύραν || 28 ἐπιτραχήλου || 29 Ἔλαμψεν || 33 σπεύδε || 34 Ταύτησ

10. Πρωΐας δὲ γενομένης ἄγει ταύτην ὁ ἡγεμὼν πρὸς ἐξέτασιν καὶ θύειν ἀναγκάζει τοῖς δαίμοσιν. ἡ δὲ «Μή μοι γένοιτο» ἔφη «τὸν ἐμὸν ἀρνήσασθαι Θεὸν καὶ δεσπότην, ὅς με τῷ φωτὶ τούτου τῷ ἁγίῳ κατηύγασεν, ὃς τὸν ἄρχοντα τοῦ σκότους ὑπὸ τοῖς ἐμοῖς ποσὶ τέθεικε παίγνιον, καὶ δαίμοσί ποτε θυσίαν προσαγαγεῖν». ταῦτα μετὰ θάρσους εἰποῦσαν γυμνωθῆναι ταύτην ἐκεῖνος κελεύει καὶ λαμπάδας | αὐτῇ προσενεχθῆναι πυρός. καταφλεχθεῖσαν οὖν ἐφ' col. 2 ἱκανὸν καὶ ἐν ὕδατι βληθῆναι ταύτην προστάττει δεδεμένην χεῖρας καὶ πόδας. βληθείσης οὖν ἐν αὐτῷ περιστερὰ κάτεισιν οὐρανόθεν, στέφος ἐπὶ στόματος φέρουσα, καὶ τοῦτο πάντων δρώντων ἐπιτίθησι ταύτης τῇ κεφαλῇ. καὶ εὐθὺς λύεται μὲν τῶν δεσμῶν ἡ μάρτυς, ἀνάγεται δὲ τοῦ ὕδατος παραδόξως. καὶ φωνὴ τῆς περιστερᾶς ἐξηκούσθη, «Δεῦρο, Μαρίνα», λέγουσα, «πρὸς τὴν ἡτοιμασμένην τοῖς δικαίοις ἀνάπαυσιν». ὧν θεαταὶ πολλοὶ καὶ ἀκουσταὶ γεγονότες ἐπίστευσαν εἰς Χριστὸν καὶ τῇ μάρτυρι προσιόντες τὸν τῆς πίστεως λόγον ὑπ' αὐτῆς ἐδιδάσκοντο.

11. Διά τοι τοῦτο καὶ προσέταξεν ὁ δικάζων ξίφει πάντας ἀναιρεθῆναι, ἀλλὰ δὴ καὶ αὐτὴν τὴν μάρτυρα σὺν αὐτοῖς. τὸν τόπον τοίνυν καταλαβοῦσα || τῆς τελειώσεως αἰτεῖ τοὺς ἀπάγοντας εἰς f. 121 προσευχὴν αὐτῇ δοθῆναι καιρὸν καὶ μέντοι δὴ καὶ λαμβάνει. καὶ στᾶσα κατὰ ἀνατολὰς «Κύριε ὁ Θεός», εἰς ἐπήκοον εἶπεν, «ἐπάκουσόν μου τῆς δούλης σου καὶ χάρισαι τοῖς ἐπικαλουμένοις τὸ ὄνομά σου τὸ ἅγιον δι' ἐμοῦ ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος καὶ παντὸς ἄλλου παραλυποῦντος ἀπαλλαγήν· σὺ γὰρ εἶ ὁ Θεὸς εὔσπλαγχνος καὶ μακρόθυμος καὶ πλὴν σοῦ οὐκ ἔστιν ἕτερος, καὶ σοὶ πρέπει αἶνος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν».

12. Ταῦτα ηὔξατο καὶ τῷ σπεκουλάτορι ποιῆσαι τὸ προστεταγμένον ἐπέτρεψεν· ὁ δὲ φόβον αἰδοῖ συγκεράσας «Μή μοι τοῦτο γένοιτο, κυρία», φησίν, «ἵν' ἐγώ σου τὴν τιμίαν ἀποτέμοιμι κεφαλήν· πιστεύω γὰρ εἰς Χριστόν, ὅτι οὗτός ἐστιν ὁ τῶν ὅλων δημιουργὸς καὶ Θεὸς ἀληθής». πρὸς ὃν ἡ ἁγία· «Εὖ γέ σοι τῆς πί|στεως, col. 2 ἀδελφέ, εὖ γέ σοι τῆς πρὸς Χριστὸν οἰκειώσεως· πλὴν πρόσιθι, τέλεσον τὸ κεκελευσμένον». τούτου δὲ τρόμῳ τὴν ἀπαγόρευσιν ποιουμένου, πρὸς αὐτὸν ἡ ἁγία· «Οὐκ ἔσται σοι μέρος μετ' ἐμοῦ, τὸ προστεταγμένον ὑπερτιθεμένῳ ποιῆσαι». τότε δὴ φόβῳ μεγάλῳ καὶ τρόμῳ τὴν μακαρίαν ταύτης ἀπέτεμε κεφαλήν. ἑπτακαιδεκάτην ὁ Ἰούλιος ἦγε. Θεότιμος δέ τις, ἀνὴρ πιστὸς καὶ τὰ πάντα καλῶς

4 ὑπο **sine acc.** || 5 δαίμοσι ποτὲ || 7 ἐφι|κανὸν || 12 περιστερὰσ || 17 προσεταξεν et 18 συν **sine acc.** || 21 στάσα — Κε̄' || 26 αἶνοσ || 27 Ταῦτα || 31 et 32 εὔγεσοι || 36 ἑπτα|καίδεκάτην

ἔχων, ὃς ἐν τῇ φυλακῇ τῇ μάρτυρι λεληθότως ἄρτον παρεῖχε καὶ ὕδωρ, τὸ τίμιον αὐτῆς σὺν ἄλλοις τισὶ τῶν πιστῶν ἀνελόμενος σῶμα φιλοτίμως ἔθαψαν εἰς δόξαν Χριστοῦ καὶ αἴνεσιν, ᾧ πρέπει πᾶσα δόξα καὶ κράτος σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 121v *Μηνὶ τῷ αὐτῷ ιη΄.*

ΜΑΡΤΥΡΙΟΝ [ΤΟΥ ΑΓΙΟΥ] ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ ΑΙΜΙΛΙΑΝΟΥ.

1. Τοῦ δυσσεβοῦς Ἰουλιανοῦ τοῦ παραβάτου καὶ μισοχρίστου τῶν Ῥωμαϊκῶν σκήπτρων κακῶς ἐπιλαβομένου καὶ πάντας, ὅσοι τὴν χριστιανῶν ἠσπάζοντο πίστιν, κακοῖς περιβάλλοντος ἀνηκέστοις, [Καπετωλῖνος] ὁ τῆς Δοροστηνῶν πόλεως (μία δὲ αὕτη τῶν τῆς Συρίας) κληρωθεὶς ὑπατεύειν ἅμα τῷ ταύτην καταλαβεῖν πρὸς θυσίας καὶ τελετὰς τῶν δαιμόνων ἐχώρει καὶ δὴ καὶ ταύτας τετελεκὼς καὶ μηδένα τῶν ἐν τῇ πόλει μεμαθηκὼς εἶναι, ὃς μὴ τοῖς θεοῖς ἀπονέμει τὸ σέβας, χαρᾶς πληρωθεὶς πρὸς τράπεζαν τοὺς μεγιστᾶνας ἀνέκλινεν.

2. Τούτων ἀνακειμένων καὶ τοῦ πότου καὶ τῆς τρυφῆς ἐκείνης ἀπολαυόντων ὁ καλὸς Αἰμιλιανός, εἷς ὢν τῶν τῆς πόλεως, ἀνὴρ col. 2 *σεμνὸς καὶ τὰ πάντα καλὸς καὶ τῆς ἀγαθῆς μερίδος τῶν χριστι|ανῶν ὑπάρχων, ζήλῳ θείῳ φερόμενος καὶ πρὸς Χριστὸν τὴν πεποίθησιν θέμενος, καιρὸν κρίνας ἐκεῖνον παρρησίας εἶναι καὶ γενναιότητος, σφῦραν λαβὼν καὶ τὸν ναὸν εἰσελθὼν τῶν εἰδώλων, συντρίβει ταῦτα κατὰ λεπτὸν καὶ τῇ γῇ παραδίδωσι τὰ γῆς καὶ σκότους ἄξια, λύχνα τε τούτων σβέννυσι καὶ βωμοὺς ἀνατρέπει καὶ τοὺς ἀριστέας καὶ τρισυπάτους θεοὺς οὕτω καλῶς διαθέμενος καταλαμβάνει τὰ οἶκοι.*

3. Τῶν ὑπηρετῶν τις Καπετωλίνου τοῦτό πως (εἰπεῖν οὐκ οἶδα καλῶς) φωράσας ἀπαγγέλλει τούτῳ δραμών, ὡς τάδε πάθοιεν οἱ θεοὶ καὶ ὡς τῇ γῇ βλέποιντο κείμενοι, κατὰ λεπτὸν τετμημένοι, ὑπὸ τοῦ δέ, μὴ ἔχειν εἰδέναι. τούτων ἀκούσας ἐκεῖνος «Τὸν ταῦτα δεδρακότα» φησὶ «διαλαθεῖν οὐ καλόν· διὸ παντὶ σθένει σπεύσατε,

8 *τοῦ ἁγίου* **inserui** || 10 *δυσσεβοῦσ* || 12 *ἀνικέστοισ* || 13 *Καπετωλῖνος* **inserui** || 14 *Συρίας: Σκυθίας?* || 16 *μὴδένα* || 18 *μεγιστά|νασ ἀνέκλινε* || 19 *τρυφῦσ* || 20 *ἀπολαβόντων* || 24 *σφύραν* || 26 *τὲ* || 28 *τοῦτο πῶσ* || 29 *φορράσασ* || 31 *ὑπόδ*^τ — *τοῦ|Των — ἐκείνοσ* || ibid. *τὸν* ***bis scriptum***

φίλοι», πρὸς τοὺς ὁμοδιαίτους λέγει «ἐντὸς ὑμῶν αὐτὸν || γενέσθαι τῆς ἄγρας». τὰς ὁδοὺς οὖν αὐτίκα προκαταλαβόντες οἱ ὑπηρέται, ἐφ' ᾧ τοῦτον θηράσαιεν, γηπόνον τοῦ ἀγροῦ πρὸς ἑσπέραν ἐπανιόντα κρατήσαντες λόγοις ἤταζον καὶ πρὸς τὸ πραιτώριον εἷλκον, εἶτα καὶ βασάνοις ὑπέβαλλον. f. 122

4. Ὅπερ γνοὺς ὁ τῆς ἀληθείας ἀληθέστατος λάτρις καὶ μὴ δεῖν ⟨εἶναι⟩ κρίνας ἀθῷον ἄνδρα καὶ ἀγνῶτα τοῦ πεπραγμένου κολάσεις ὑπομένειν ἐφ' οἷς οὐκ ᾔδει καὶ τιμωρίας, εἰς τὸ μέσον ἑαυτὸν καταστήσας, «Ἄνδρες» ἔφη «καὶ φίλοι, μὴ δὴ τὸν ἄνδρα τοῦτον, ἀναίτιον ὄντα, κολάσεσιν ὑποβάλλετε· καὶ γὰρ ἀθῷος οὗτος τῆς δι' ἣν αἰτίας ὑπομένει τὰς μάστιγας. ἐγὼ γὰρ ὁ τοὺς θεοὺς ὑμῶν συντρίψας καὶ τῇ γῇ παραδούς, ἐγὼ ὁ ἀναστρέψας τοὺς βωμοὺς αὐτῶν καὶ σβέσας τὰ λύχνα· ἐγὼ τὸν περὶ τούτων ὑπόσχω λόγον».

5. Αὐτίκα γοῦν συσχόντες αὐτὸν τῷ Καπετω|λίνῳ προσάγουσιν, col. 2 «Οὗτός ἐστι» λέγοντες «ὁ τὸ ἀνόσιον εἰς θεοὺς πεπραχώς». ἐκεῖνος δὲ θυμοῦ γεμισθεὶς εὐθὺς εἰς ἐξέτασιν προεκάθισε καὶ «Λέγε μοι» φησὶν ἀπιδὼν πρὸς τὸν μάρτυρα, «ὅθεν ἄρα καὶ εἴης καὶ τί σου τὸ ὄνομα καὶ τίς σε πρὸς τὴν τοσαύτην ὕβριν τῶν θεῶν ἔπεισεν ἐφορμῆσαι»; καὶ ὁ Αἰμιλιανός· «Ὁ Χριστός με πρὸς τοῦτο διήγειρεν, ἵνα καταπτύσω τῆς τῶν θεῶν σου ταλαιπωρίας, ἀνόσιε, καὶ γνῷς καὶ αὐτός, οἵων θεῶν τυγχάνεις θεραπευτής, μὴ ὅτι γε σοί, ἀλλὰ μήτε ἑαυτοῖς βοηθῆσαι δεδυνημένων. λίθοι γάρ εἰσιν ἄλαλοι, κωφοὶ καὶ ἀναίσθητοι. τῆς αὐτῆς δὲ πόλεως ὥρμημαι καὶ Αἰμιλιανὸς ὀνομάζομαι». καὶ ὁ ἄρχων· «Καὶ σὺ εἶ ὁ τοὺς βωμοὺς καταλύσας; σὺ ὁ παροινήσας εἰς τοὺς θεούς»; — «Ἐγώ», φησὶν ὁ μάρτυς, «ἐγώ».

6. Τότε γυμνωθῆναι τοῦτον κελεύει καὶ νεύροις ἀφειδῶς καταξαίνεσθαι, || τοῦτο μόνον τὸ τέως ἀπαιτῶν, τὸ πρὸς τίνος ὑποβληθεὶς ἐξύβρισε τοὺς θεούς. ἐπεὶ δὲ τὴν ὁρμὴν ἰδίαν ἔλεγεν Αἰμιλιανὸς εἶναι κατὰ τῶν ἐκείνου θεῶν, ὁ Καπετωλῖνος καὶ κατὰ γαστρὸς αὐτὸν ἐκέλευσε τύπτεσθαι, εἶτα καὶ διηρώτα· «Δοῦλος ἄρα σύ, ἢ ἐλεύθερος»; — «Καὶ δοῦλος» ἐκεῖνος εἶπεν «εἰμὶ καὶ ἐλεύθερος· δοῦλος μὲν Χριστοῦ τοῦ ὄντος ἀληθινοῦ Θεοῦ, ἐλεύθερος δὲ τῆς τῶν εἰδώλων λατρείας». — «Πῶς οὖν ἐτόλμησας τοιοῦτον ἄθεσμον εἰς τοὺς θεοὺς διαπράξασθαι»; — «Ὅτι μηδὲν αὐτοὺς ἥγημαι, βλάψαι με τὸ παράπαν μὴ δυναμένους. ἢ γὰρ ἄν, ἰσχὺν ἔχοντες, καὶ ἠδίκησάν με συνθλώμενοι». f. 122v

7. Τότε τὴν κατ' αὐτοῦ ψῆφον ὁ Καπετωλῖνος ἐξήνεγκεν, «Αἰμιλιανὸν» εἰπὼν «μὴ θῦσαι θελήσαντα τοῖς θεοῖς, ἀλλ' εἰς

1 γενῆσθαι || 7 εἶναι *delevi* || 14 προσάγουσι || 16 *Καὶ* || 27 τῶ τέωσ || 30 διερῶτα || 33 Οὖν || 34 μήδὲν || 35 ἢ γὰρ

col. 2 αὐτοὺς μᾶλλον ἐξυβρικότα πυρὶ κελεύω παραδο|θῆναι». ἐξάγεται τοίνυν πρὸς τὴν καῦσιν ὁ μάρτυς κατ' αὐτὰς δὴ τὰς ὄχθας τοῦ Ἴστρου· αἰτεῖ καιρὸν εἰς προσευχὴν καὶ λαμβάνει· εὔχεται καὶ οὕτω δεσμεῖται καὶ πρὸς τὴν πυρὰν ἐμβάλλεται· οὐχ ἅπτεται τούτου τὸ πῦρ· καὶ πάλιν εὔχεται, «Δέσποτα κύριε», φήσας, «δέξαι μετ' εἰρήνης τὸ πνεῦμά μου». καὶ οὕτως εἰπὼν τὸν μακάριον ὕπνον καὶ πρέποντα δικαίοις κεκοίμητο. ὀκτωκαιδεκάτην ἦγεν ὁ Ἰούλιος μήν. ἡ τοίνυν τοῦ Καπετωλίνου γαμετὴ τὴν εἰς Χριστὸν ἔχουσα πίστιν, τοῖς χριστιανοῖς τὸ τούτου σῶμα χαρίζεται, οἳ καὶ φιλοτίμως τοῦτο ταφῇ παραδόντες ἔξω τῆς Δοροστόλου πόλεως πᾶσι τοῖς κακῶς ἔχουσιν ἰατρεῖον ἄμισθον ἐχαρίσαντο εἰς δόξαν πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος, τῆς μιᾶς θεότητός τε καὶ βασιλείας, ᾗ πρέπει πᾶσα δόξα τε καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

f. 123 *Μηνὶ τῷ αὐτῷ ιθ'.*

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΟΣΙΟΜΑΡΤΥΡΟΣ ΘΕΟΔΟΣΙΑΣ.

1. Ἡμεδαπὴ καὶ ἐγχώριος, τῆς Κωνσταντίνου φημὶ τῆς ἐπιφανοῦς ταύτης ἡ καλλίστη Θεοδοσία γέννημα, θρέμμα καὶ παίδευμα. ἔφυ μὲν γὰρ γονέων ἐξ εὐγενῶν καὶ πιστῶν καὶ βίον πολυτάλαντον κεκτημένων, ἤνθησε δὲ ἐπὶ τῶν Κωνσταντίνου χρόνων τοῦ Κοπρωνύμου, τοῦ κατὰ τῶν ἱερῶν λυττήσαντος εἰκόνων αὐτοῦ δὴ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν καὶ τῆς ἀσπόρως αὐτὸν κατὰ τὸ ἀνθρώπινον τεκούσης Θεοτόκου Μαρίας καὶ τῶν ἁγίων αὐτοῦ.

2. Καθ' οὓς χρόνους τοῦ Κοπρωνύμου τῶν γεννητόρων αὐτῆς τὸν βίον λιπόντων, αὐτὴ κειραμένη τὴν τρίχα καὶ τὸ μοναδικὸν σχῆμα καλῶς περιβαλομένη τὸν ἀπράγμονα ζῇ καὶ θεάρεστον βίον, πλοῦτον μέν, ὅσος ἐκ πατέρων ἦλθεν αὐτῇ, χερσὶ πενήτων κενώ- col. 2 σασα, τὸν δὲ τῆς ψυχῆς ἐν|τεῦθεν αὐξήσασα καὶ τοῦ παναγίου πνεύματος ἄξιον οἰκητήριον ἑαυτὴν καταστήσασα. τοῦτον οὖν οὕτω

13 δοξα τὲ || 27 περιβαλλομένη || 30 οἰκιτ|ριον (ή supra) — Τοῦτον

βιούσης τὸν τρόπον καὶ περιφήμου τοῖς πᾶσι γεγενημένης καὶ τῇ ἀσκήσει τὰς ἄλλας σεμνὰς γυναῖκας ὑπερελασάσης τῷ περιόντι τῆς ἀρετῆς, ἐπεὶ καιρὸς ἐκάλει καὶ ἀξία ἐκρίθη καὶ τὸν τοῦ μαρτυρίου στέφανον ἀναδήσασθαι, τῆς προνοίας οὕτω τὰ περὶ τούτων οἰκονομούσης, τί γίνεται;

3. Τὸν πατριάρχην Γερμανὸν ἴστε πάντες τὸν ἅγιον οἵαις τὸ γυναικεῖον ἀνδράποδον, ὁ Κωνσταντῖνός φημι, διὰ τὴν τῶν θείων εἰκόνων προσκύνησιν κακώσεσι καθυπέβαλε καὶ πῶς αὐτὸν ἀπήλασε τῆς ἐκκλησίας καὶ πῶς ὁ δυσσεβὴς καὶ τὴν τῆς δεσποτικῆς εἰκόνος ἐν τῇ λεγομένῃ Χαλκῇ καθαίρεσιν ποιῆσαι τετόλμηκεν, ὅτε δὴ καὶ θείῳ ζήλῳ ῥωσθεῖσαι θεῖαι γυναῖκες τῆς τεθείσης ἐπὶ τοῦτο κλίμακος || πεποιθότως ἐδράξαντο καὶ τὸν ἀνιόντα σπαθάριον, ὅς τὴν f. 123ᵛ *καθαίρεσιν τῆς θεανδρικῆς εἰκόνος ποιῆσαι προστέτακτο, τῇ γῇ προσκατέβαλον καὶ τῷ θανάτῳ τὸν ζωῆς ἀνάξιον καθυπήγαγον.*

4. Τότε δὴ οὖν, τότε ταῖς θεοσεβέσιν ἐκείναις γυναιξὶν, αἳ καὶ ξίφει τὸν τῆς μαρτυρίας στέφανον ἀνεδήσαντο, καὶ ἡ καλλίνικος αὕτη παρθένος καὶ μάρτυς, ἡ Θεοδοσία φημί, συνηρίθμητο καὶ αὐτὴ τοῦ κατὰ Θεὸν ζήλου ταῖς ἄλλαις ὑποθήκη γέγονε καὶ πρώτη πρὸς τὴν τόλμαν ἐφώρμησε, τῷ πόθῳ τετρωμένη τοῦ κτίσαντος. ὅτε καὶ τὸν δυσσεβῆ Ἀναστάσιον, τὸν τότε φημὶ πατριάρχην, ἀραῖς καὶ ἀναθέματι καθυπέβαλον. ἀλλ' ἐκεῖναι μὲν οὕτως, ὥσπερ εἴρηται, μαρτυρικῷ τέλει τὸν βίον ἀπέλιπον καὶ πρὸς τὰς ἀθανάτους μονὰς ἐνδόξως ἀνέδραμον· ἡ δέ γε μακαρία Θεοδοσία παρά τινων | στρατιωτῶν συσχεθεῖσα καὶ βιαίως ὁδὸν ἐπ' οὐκ ὀλίγην ἑλκυσθεῖσα col. 2 *καὶ ἀπηνῶς, ἐπεὶ τὸν τοῦ Βοὸς τόπον ἔφθασε τυπτομένη, σπαραττομένη, κατὰ γῆς ἑλκομένη θυμῷ τῶν ἑλκόντων διὰ τὸν τοῦ σπαθαρίου θάνατον οἰδαινόντων καὶ τοὺς ὀδόντας τριζόντων καὶ μεγάλοις τισὶ κακοῖς ὡς ἀρχηγὸν τῆς συμμορίας ἐκείνης ὑποβαλεῖν ὁρμωμένων, κέρατι κριοῦ παρά τινος τούτων, ἀπηνοῦς καὶ τὸν λογισμὸν παραφόρου, πληγεῖσα κατὰ τὸ μεσαίτατον τοῦ αὐχένος τὸν θάνατον εὐθὺς ἀπηνέγκατο, ὃς καὶ διαβιβάσας αὐτὴν πρὸς τὸν ποθούμενον ἐραστὴν Χριστὸν καὶ νυμφίον ἔνδοξον ἀπετέλεσε καὶ θεόνυμφον μάρτυρα.*

5. Τὸ πανάμωμον τοίνυν αὐτῆς καὶ καθαρώτατον σῶμα φιλοθέων ἀνελόμεναι χεῖρες ἔγγιστά που τῶν Δεξιοκράτους κατέθεντο, δαιμόνων πληγὴν καὶ φυγήν, νοσημάτων ἴασιν καὶ ἀπαλλαγήν, ἄλλου παντὸς λυπηροῦ παραμύθιον μέγιστον καὶ || θαυμάτων πολ- f. 124 *λῶν αὐτουργόν, ὧν ἡ σύμπασα πλήρης. ἃ γραφῇ δοῦναι περιττὸν*

7 *κωνςαντίνοσ φημὶ* || 8 *καθυπέβαλλε* || 14 *προσκατέβαλλον* || 15 *Ταῖσ* || 18 *αὐτῇ* || 21 *καθυπέβαλλον ἀλλ' αἰκεῖναι* || 34 *Τὸ* || 38 *αὐτουργόσ*

οἶμαι τῷ μὴ ἐξαρκεῖν εἰς τοῦτο τὰ γραφόμενα βιβλία κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν· ἄλλως τε δὲ καὶ τὸ δεδοξασμένον τῆς μάρτυρος οὐμενοῦν ἐκ τούτων δόξαν ἑτέραν δέξοιτο προσθήκην· οὐδὲ γὰρ δεδόξασται τὸ δεδοξασμένον.

6. Καὶ ταῦτα μὲν κατ' ἐπιτομὴν εἰς τοσοῦτον. σὺ δέ μοι, πανθαύμαστε μάρτυς Θεοδοσία, τὸ παρθένων σεμνολόγημα καὶ καλλώπισμα, ζῶσα καὶ μετὰ θάνατον τὴν ἀληθῆ ζωὴν καὶ ἀθάνατον καὶ ἧς μάρτυς τὸ σὸν τίμιον λείψανον, ἑκάστου ἔτους ἐγειρόμενόν τε κατὰ τὴν μνήμην τῆς μαρτυρίας καὶ οἱονεὶ ζῶν τοῖς πᾶσιν δρώμενον, αἴτησαι Χριστὸν τὸν Θεὸν ἡμῶν καὶ δεσπότην, τὸν ὑπὲρ οὗ τὸ σὸν ἐξέχεας αἷμα, βασιλεῖ ἡμῶν δοθῆναι τῷ φιλοχρίστῳ καὶ φιλομάρτυρι μῆκος ζωῆς εὐτυχοῦς, ἰσχὺν καὶ κράτος κατ' ἐναντίων, col. 2 *χρηστότητα | καὶ τρόπων εὐθύτητα, ἄλυπον τὸ βασίλειον, ἡδὺ καὶ παγγάληνον, λαμπρὸν καὶ πανθαύμαστον, πλῆρες εὐφροσύνης ἐνθέου καὶ θυμηδίας καὶ χειρὶ Θεοῦ τῇ παναλκεῖ φυλαττόμενον· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κ'.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΜΕΓΙΣΤΟΝ ΕΝ ΠΡΟΦΗΤΑΙΣ ΚΑΙ ΑΓΙΟΝ ΗΛΙΑΝ.

1. Ὁ μέγας ἐν προφήταις καὶ θαυμαστὸς Ἠλίας, ὃς ἐκ Θεσβῶν ὥρμητο κώμης τῆς Γαλαὰδ χώρας τῆς Ἀραβίας, ἐξ οὗ δὴ καὶ Θεσβίτης ὠνόμαστο, ξένον ἐν τῷ τίκτεσθαι πρᾶγμα καὶ παράδοξον ἔδειξε· πῦρ γὰρ σιτιζόμενος καὶ φλογὶ σπαργανούμενος ὁ πυρίπνους ἐφαίνετο· τί τούτου παραδηλοῦντος; τὸ μέλλειν αὐτὸν πάντως πυρὶ τὸν ἀπειθῆ καταγωνίσασθαι Ἰσραήλ, ναὶ δὴ καὶ τὸ πυρίνοις ἵπποις|| f. 124v *τὸν αἰθέρα τεμεῖν· ὃς καὶ σαρκὶ ζῆν εἰσέτι πιστεύεται καὶ νίκας βασιλεῦσιν ἡμῶν τοῖς πιστοῖς χορηγεῖ.*

2. Ὁ καλὸς τοίνυν οὗτος προφήτης τὸν Ἀχαάβ, βασιλέα ὄντα κατὰ τὴν Σαμάρειαν Ἰσραήλ, τῇ τῆς γαμετῆς αὐτοῦ πλάνῃ (Ἰεζά-

3 *οὐμενοῦν* || 9 *πᾶσι*

S. Eliae vita excerpta est e Reg. III et IV (*R*), e quibus passim correxi.

23 *πράγμα* || 27 *εἰσέτι* || 29 *Τοίνυν*

1 *κατὰ τὴν τοῦ Ε. φωνήν:* Io. 21, 25.

βελ ἦν αὕτη, βασιλέως Σιδωνίων θυγάτηρ) καθυπαχθέντα μετὰ τῶν ὑπ' αὐτὸν ἰδὼν καὶ τῷ Βάαλ, Σιδωνίων ὄντι θεῷ, προσκυνοῦντα, ζήλῳ τὴν ψυχὴν πίμπραται θείῳ· καὶ τί φησι; «Ζῇ κύριος ὁ Θεὸς τῶν δυνάμεων (καλὸν γὰρ τῶν αὐτοῦ ῥημάτων ἐπιμνησθῆναι), εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετός, ὅτι εἰ μὴ διὰ στόματος λόγου μου». τί οὖν; κυροῖ Θεὸς τὴν ἀπόφασιν· καὶ οὐκ ἔβρεξεν ἐπὶ ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. εἶτα τί; χειμάρρουν κατὰ πρόσωπον κείμενον Ἰορδάνου τὸν προφήτην κελεύει καταλαβεῖν κἀν τούτῳ κεκρυμμένον ὑπὸ κοράκων σιτίζεσθαι καὶ πίνειν πο|τὸν ἐκ col. 2 *χειμάρρου. γίνεται τοῦτο, καὶ κόρακες αὐτῷ ἑστίατορες, πρωῒ μὲν ἄρτους, δείλῃ δὲ κρέα κομίζοντες, καὶ χείμαρρος ποτοῦ χορηγός.*

3. Ξηραίνεται ὁ χείμαρρος· ὁ προφήτης εἰς Σαρεπτὰ πέμπεται τῆς Σιδῶνος· «Ἐντελοῦμαι γάρ» φησὶν ὁ Θεὸς «ἐκεῖ γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε». ἀφικνεῖται πρὸς αὐτήν· εὑρίσκει ξύλα συλλέγουσαν. ὀπίσω ταύτης βοᾷ, «Λάβε δή μοι» λέγων «ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι· λήψῃ μοι καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου». κἀκείνης «Ζῇ κύριος, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ» εἰπούσης «ἀλεύρου ἐν τῇ ὑδρίᾳ καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ, ἅπερ ἐγώ τε καὶ τέκνα τραφέντες ἀποθανοῦμεν», ὁ Ἠλίας «Ἐμοὶ πρῶτον» εἶπεν, «εἶτα σαυτῇ καὶ τοῖς τέκνοις σου· οὐκ ἐκλείψει γὰρ ἡ τοῦ ἀλεύρου ὑδρία, οὔτε μὴν ὁ τοῦ ἐλαίου καμψάκης ἐλαττονήσει». γέγονεν οὕτως· || μετέσχον τροφῆς· οὐδὲν ἐνέλιπε τούτοις· f. 125 *καὶ Θεὸς ἐδοξάζετο. ὁ παῖς τῆς χήρας νοσεῖ· αἰτιᾶται πρὸς αὐτῆς ὁ προφήτης· λαμβάνει τοῦτον· τρισὶν ἐμφυσήμασι ζῶντα δίδωσι τῇ μητρί, καὶ ἄνθρωπος αὐτῇ τότε γινώσκεται τοῦ Θεοῦ.*

4. Ῥῆμα κυρίου γίνεται ἐντυχεῖν τῷ Ἀχαὰβ τὸν Ἠλίαν καὶ τηνικαῦτα δώσειν τῇ γῇ ὑετόν. λιμὸς ἐκράτει πολὺς τὴν Σαμάρειαν. ἐνέτυχεν Ἠλίας πορευόμενος Ἀβδιοὺ τῷ Ἀχαὰβ οἰκονόμῳ, ὃς ἑκατὸν ἄνδρας προφήτας ἐκ χειρὸς ῥυσάμενος Ἰεζάβελ ἀνὰ πεντήκοντα δυσὶν ἐν σπηλαίοις διέσωσεν, ἄρτῳ τούτους διατρέφων καὶ ὕδατι. ἔπεσεν ἐπὶ πρόσωπον οὗτος, «Εἰ σὺ» εἰπὼν «εἶ ὁ κύριός μου Ἠλίας;» ἤκουσεν «Ἐγὼ» παρὰ τοῦ προφήτου· «πορεύου, λέγε τῷ κυρίῳ σου· ἰδοὺ Ἠλιού». καὶ ὁ Ἀβδιοὺ «Καὶ τί ἡμάρτηκα» φησίν, «ὅτι δίδως Ἀχαὰβ εἰς χεῖρας τὸν δοῦ|λόν σου, ἵνα θανατώσῃ με; col. 2 *ζῇ κύριος ὁ Θεός σου, εἰ ἔστιν ἔθνος ἢ βασιλεία, οὗ οὐκ ἀπέστειλε ζητῶν σε, καὶ εἶπον· Οὐκ ἔστι. καὶ ἐνέπρησε τὴν βασιλείαν καὶ τὰς χώρας αὐτῆς, ὅτι οὐχ εὕρισκέ σε. καὶ λέγεις· Πορεύου, ἀνάγγειλον*

11 χείμαροσ || 12 εἰσάρεπτ *cod., correxi e R.* III, 17, 9 || 13 Ἐντελοῦμαι] ἐντέταλμαι *R.* l. c. || 19 ἐγὼ τὲ || 20 σαυτὴν || 28 sqq. Ἀβδιοῦ *cod.* || 29 ἀναπεντήκοντα || 33 sqq. Ἠλιοῦ *cod.* || 34 δοῦ|λον σου || 37 εὗρηκε *R.* III, 18, 10.

τῷ κυρίῳ σου· ἰδοὺ Ἠλιού. καὶ ἔσται, ἐὰν ἐγὼ ἀπέλθω, καὶ πνεῦμα κυρίου ἄρῃ σε εἰς γῆν, ἣν οὐκ οἶδα, καὶ ἀποκτενεῖ με. καὶ ὁ δοῦλός σου φοβούμενός ἐστι τὸν κύριον ἐκ νεότητος. ἢ οὐκ ἀπηγγέλη σοι, οἷα πεποίηκα ἐν τῷ ἀποκτείνειν Ἰεζάβελ τοὺς προφήτας κυρίου»; καὶ ὁ Ἠλίας· «Ζῇ κύριος· ὅτι σήμερον ὀφθήσομαι τούτῳ».

5. Ἐπορεύθη Ἀβδιού· ἀπήγγειλε τῷ Ἀχαάβ· ἐξέδραμεν εἰς συνάντησιν καὶ «Σὺ εἶ» φησὶν πρὸς τὸν Ἠλίαν «ὁ διαστρέφων τὸν Ἰσραήλ»; — «Οὐκ ἐγώ», εἶπεν Ἠλίας, «ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου, καταλιπόντες κύριον τὸν Θεὸν καὶ ὀπίσω πορευθέντες f. 125v τοῦ Βάαλ· καὶ νῦν συνάγαγε πάντα Ἰσραὴλ πρὸς μὲ || εἰς τὸ ὄρος τὸ Καρμήλιον καὶ τοὺς τετρακοσίους καὶ πεντήκοντα τῆς αἰσχύνης προφήτας καὶ τοὺς τετρακοσίους τῶν ἀλσῶν, ἐσθίοντας τράπεζαν Ἰεζάβελ».

6. Γέγονε τοῦτο, καὶ συνήχθησαν καὶ «Ἕως πότε» πρὸς αὐτοὺς ὁ προφήτης «χωλανεῖτε» εἶπεν «ἐπ᾽ ἀμφοτέραις [ταῖς] ἰγνύαις; εἰ ἔστι κύριος ὁ Θεός, ὀπίσω τούτου πορεύεσθε· εἰ δ᾽ ὁ Βάαλ αὐτὸς ἡμῖν θεός, ὀπίσω τούτου πορεύεσθε». οὐκ ἀπεκρίθη τούτῳ ὁ λαός· καί φησιν· «Οἱ προφῆται τοῦ Βάαλ καὶ οἱ προφῆται τῶν ἀλσῶν ἐκ δύο βοῶν τὸν ἕνα ἐπιλεξάσθωσαν καὶ μελισάτωσαν καὶ ξύλοις αὐτὸν ἐπιθέτωσαν, πῦρ δὲ μηδαμῶς· κἀγώ, φησί, τὸν ἄλλον ὡσαύτως· καὶ βοήσονται πρὸς θεοὺς αὐτῶν οὗτοι κἀγὼ πρὸς τὸν ὕψιστον· καὶ ὃς ἐὰν ἐν πυρὶ ἐπακούσῃ, οὗτος θεὸς ἀληθής». ἤρεσε τὸ ῥῆμα· ἐποίησαν ὡς ἤκουσαν· τὸν Βάαλ ἄχρι μεσημβρίας πρωΐθεν ἐπεκα- col. 2 λοῦντο· οὐκ ἦν φωνὴ καὶ | οὐκ ἦν ἀκρόασις. ὁ προφήτης «Μέγα βοᾶτε» πρὸς αὐτοὺς μυκτηρίζων εἶπε, «μή πως καθεύδει Βάαλ». ἐβόων οὗτοι, μαχαίραις ἑαυτοὺς καὶ σειρομάσταις, ὡς ἔθος, κατέξαινον, αἵματος αὐτῶν ἐπλήρουν τὴν γῆν· ἔνθεν τοι καὶ μετέστησαν. λίθους Ἠλίας ἔβαλε δώδεκα κατὰ ἀριθμὸν φυλῶν Ἰσραήλ, ᾠκοδόμησεν ἐν κυρίου τούτους ὀνόματι, θάλασσαν ἐποίησε δύο χωροῦσαν μετρητάς; ἐστοίβασε τὰς σχίδακας, τὸν μόσχον ἐμέλισε, τοῖς ξύλοις ἐπέθηκε, τέσσαρας ὑδρίας ὑδάτων ἐπιχέειν εἶπεν ἐπὶ τὸ ὁλοκαύτωμα καὶ τὰς σχίδακας· ἐδευτέρωσαν, ὡς ὁ λόγος, ἐτρίσσωσαν· ἐπλήρουν τὴν θάλασσαν τὸ ὕδωρ. ὁ Ἠλίας ηὔξατο, καὶ πῦρ οὐρανόθεν κατενεχθὲν κατέφαγε τὰ ὁλοκαυτώματα, τὰς σχίδακας, τοὺς λίθους, τὸν χοῦν, καὶ τῆς θαλάσσης τὸ ὕδωρ ἐξέλιπεν. ὁ λαὸς ἐξεπλάγη, ἔπεσεν

2 δοῦλοσ σου || 4 ἀποκτέν'' || 10 πρόσμε || 14 Συνήχθησαν || 15 χωλανεῖται || ibid. ταῖς *inserui e R.* III, 18, 21 || 17 ὁ λαός: λόγος cod., ὁ λαὸς λόγον R. l. c. || 20 ὡσ αὔτοσ || 22 ἤρε|Ϲε || 25 πρὸς *bis scriptum* || 27 ἔνθέν τοι || 29 *et* 33 θαλᾶν, 35 θαλᾶσ *cod.*, *correxi e R.* III, 18, 32 sq. || 29 ἐποίησεν || 30 *et* 32 χίδακασ *cod.*, *correxi e R. l. c.* || 34 τοὺσ σχίδακασ || 35 ἐξέλιπεν *cod.*, ἐξέλειξεν R. III, 18, 38.

ἐπὶ πρόσωπον καὶ «Κύριος || ὁ Θεὸς ἀληθῶς οὗτός ἐστιν» εἶπε «Θεός». f. 126

7. Συλληφθῆναι τοὺς προφήτας ὁ προφήτης κελεύει ὁ ἀληθὴς τοὺς ψευδεῖς· κατάγει τούτους εἰς χειμάρρουν Κισσῶν· σφάττει ἐκεῖ τούτους καὶ πρὸς τὸν Ἀχαὰβ «Ἀνάβηθι, φάγε καὶ πίε, ὅτι φωνὴ ποδῶν ὑετοῦ». τὴν Κάρμηλον ὁ προφήτης ἀνέβη, ἔκλινε πρὸς γῆν ἑαυτόν, ἐνέβαλε τοῖς γόνασι μέσοις τὴν κεφαλὴν καὶ πρὸς τὸ παιδάριον, ὅπερ ἦν ὑπηρετούμενον αὐτῷ, «Ἐπίβλεψον» εἶπεν «ὁδὸν θαλάσσης».—«Οὐκ ἔστιν οὐθέν» εἶπεν ἐκεῖνο. — «Βλέψον, ἐπίστρεψον ἑπτάκις» ἔφησεν ὁ προφήτης. γέγονε, καὶ ἐν τῷ ἑβδόμῳ μικρά τις ἰδοὺ νεφέλη, ἴχνος ὡς ἀνδρός, θαλάσσης ὕδωρ ἀνάγουσα. καί φησιν· «Εἶπον τῷ Ἀχαάβ· ζεῦξον τὸ ἅρμα σου καὶ κατάβηθι, μή σε καταλάβῃ ὑετός». καὶ ἅμα ἐσκότασεν ὁ οὐρανὸς καὶ ὑετὸς ἐκέχυτο μέγας, καὶ Ἀχαὰβ κλαίων ἦν πορευόμενος· | συνέσφιγξε τὴν ὀσφὺν col. 2 Ἠλίας καὶ προηγεῖτο.

8. Ἀπήγγειλεν Ἀχαὰβ πάντα τῇ γυναικὶ καὶ ὡς ἀπέκτεινε τοὺς προφήτας Ἠλίας. στέλλει πρὸς αὐτὸν ἄγγελον Ἰεζάβελ, «Τάδε» λέγουσα «ποιήσαισάν μοι οἱ θεοὶ καὶ τάδε προσθείησαν, εἰ μὴ αὔριον θήσομαι τὴν ψυχήν σου ἀπὸ σοῦ, καθὼς ψυχὴν ἑνὸς ἐξ αὐτῶν». περιδεὴς εἰς γῆν ἔρχεται ὁ προφήτης Ἰούδα, τὸ παιδάριον αὐτοῦ καταλείπει, τὴν ἔρημον εἶδεν· ὑπὸ φυτὸν ἄρκευθος τοῦτο καθίσας, «Ἱκανούσθω νῦν» εἶπε· «λάβε δή μου, κύριε, τὴν ψυχήν· οὐ κρείσσων γάρ ἐγὼ ὑπὲρ τοὺς πατέρας μου». ὕπνωσεν. ἥψατό τις αὐτοῦ, «Ἀνάστηθι» λέγει, «καὶ φάγε». ὀλυρίτην ἀναστὰς εἶδεν πρὸς κεφαλὴν ἐγκρυφίαν. ἔφαγεν. ἐκοιμήθη. καὶ ὁ ἄγγελος αὖθις· «Ἀνάστηθι, φάγε, πίε· πολλὴ γάρ» φησίν «ἀπὸ σοῦ ἡ ὁδός».

9. Τῆς βρώσεως οὖν αὐτῆς τῇ ἰσχύϊ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας || ἕως Χωρὴβ ἐπορεύθη· εἰσῆλθε τὸ σπήλαιον· f. 126v κατέλυσεν ἐκεῖ· εἶπε ῥῆμα κυρίου πρὸς αὐτόν· «Τί σὺ ἐνταῦθα;» ὁ δέ· «Ζηλῶν ἐζήλωκα τῷ κυρίῳ, ὅτι σε κατέλιπον υἱοὶ Ἰσραήλ, τὰ θυσιαστήριά σου κατεσκαφότες, τοὺς προφήτας ἀπεκταγκότες, καὶ ἰδοὺ μόνου μου τὴν ψυχὴν ὑπολειφθέντος ζητοῦσιν».—«Ἐξελεύσῃ αὔριον» εἶπε τὸ ῥῆμα «κἀν τῷ ὄρει [στήσῃ] ἐνώπιον κυρίου. κύριος παρελεύσεται καὶ πνεῦμα μέγα κραταιόν, ὄρη διαλῦον καὶ πέτρας συντρῖβον· οὐκ ἐν τῷ πνεύματι κύριος· μετὰ τὸ πνεῦμα συσσεισμός. οὐκ ἐν τῷ συσσεισμῷ κύριος· πῦρ μετὰ τὸν συσσεισμόν. οὐκ ἐν τούτῳ

6 πολῶν υἱετοῦ τὸν || 12 φησι || 14 ὀσφῦν || 18 τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη *R.* III, 19, 2. || 20 Περιδεὴσ || 21 ἄρκευθος: *hoc plantae nomen vulgo omittitur in R.* || ibid. τοῦτο *delendum?* || 28 ἥψατό τις: *angelus fuisse dicitur* R. III, 19, 7 || 28 χορὴβ || 29 ῥῆμα || 31 ἀπεκτανκότεσ || 33 στήσῃ *inserui e R.* III, 19, 11 || 35 συσεισμόσ, 36 συσεισμῶ *et* συσεισμὸν

κύριος· μετὰ τὸ πῦρ φωνὴ λεπτῆς αὔρας, καὶ ἐκεῖ κύριος». ἐκάλυψε τούτων ἀκούσας μηλωτῇ τὸ πρόσωπον Ἠλιού· ἐξέβη τὸ σπήλαιον. καὶ ἡ φωνή· «Τί σὺ ἐνταῦθα;» καὶ ὁ προφήτης· «Ζηλῶν ἐζήλωκα τῷ κυρίῳ» καὶ ὅσα τὸ πρότερον. «Ἀνάστρεφε» εἶπεν ἡ φωνή· col. 2 «ἥξεις εἰς ὁδὸν ἐρήμου | Δαμασκοῦ καὶ χρίσεις Ἐλισσαιὲ υἱὸν Σαφὰτ ἀντὶ σοῦ εἰς προφήτην».

10. Οὗ δὴ γεγονότος, μεθ' ὃ τέθυκε τὰ ζεύγη τῶν βοῶν Ἐλισσαῖος καὶ τοῖς λαοῖς διεμέρισε, λειτουργῶν ἐδείκνυτο τῷ Ἠλίᾳ. ὁ δέ γε λίχνος Ἀχαὰβ ἀμπελῶνος ἥττηται Ναβουθαί, εἰς κῆπον δῆθεν λαχάνων λαβεῖν αὐτὸν ἐκζητῶν. οὐ δίδωσιν ἐκεῖνος. συγκεχυμένος Ἀχαὰβ ἐπανῆκε· τὸ μέγα κακὸν Ἰεζάβελ «Ἐγώ σοι λαβεῖν» ἔφη «ποιήσω τὸν ἀμπελῶνα». πονηρεύεται κατὰ τοῦ Ναβουθαί· δύο παρέστησεν ἄνδρας, καταμαρτυροῦντας αὐτοῦ πρὸς τὸν ὄχλον, ὡς ηὐλόγηκε Θεὸν καὶ βασιλέα· λιθολευστεῖται καὶ θανατοῦται. μανθάνει ταῦτα πρὸς τῆς γυναικὸς Ἀχαάβ· ῥήγνυσι τὴν ἐσθῆτα· σάκκον ἑαυτῷ περιτίθησι· κληρονομεῖ τὸν ἀμπελῶνα. καὶ τί γίνεται; «Ἐπεὶ ἐφόνευσας» φησὶ «καὶ ἐκληρονόμησας» πρὸς αὐτὸν ὁ προ-
f. 127 φήτης, «ἐν ᾧ τόπῳ || κέχυται τὸ αἷμα Ναβουθαί, ἐν τούτῳ κύνες τὸ αἷμά σου λείξουσι καὶ πόρναι λούσονται ἐν αὐτῷ». καὶ ὁ βασιλεύς· «Εἰ εὕρηκάς με, ὁ ἐχθρός μου»; καὶ ὅς· «Εὕρηκα, ὅτι τὸ πονηρὸν ἐποίησας ἔναντι κυρίου. διὸ τάδε λέγει κύριος· ἐπάξω ἐπὶ σὲ κακὰ καὶ ἐκκαύσω ὀπίσω σου, ἐξολοθρεύσω τοῦ Ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραὴλ καὶ δώσω τὸν οἶκόν σου, ὡς τὸν οἶκον Ἱεροβοάμ, υἱοῦ Ναβάτ, καὶ ὡς τὸν οἶκον Βαασά, υἱοῦ Ἀχιά, καὶ τὴν Ἰεζάβελ κύνες ἐν προτειχίσματι καταφάγονται Ἰεζράελ. πλὴν ἐπεὶ κατενύγη Ἀχαάβ, οὐκ ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀλλ' ἐν ταῖς τοῦ υἱοῦ αὐτοῦ τὴν κακίαν ἐπάξω».

11. Ὃ δὴ καὶ γέγονε· συναγαγὼν γὰρ ὁ υἱὸς Ἄδερ, Συρίας βασιλεύς, πᾶσαν τὴν δύναμιν αὐτοῦ, δύο τε καὶ τριάκοντα βασιλεῖς μετ' αὐτοῦ, περικαθίζουσι τὴν Σαμάρειαν· καὶ Ἀχαὰβ μεθύουσι col. 2 τούτοις | προσβαλὼν μόνοις ἐν παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν φάσκουσιν αὐτοῖς «Θεὸς ὀρέων ὁ Θεὸς Ἰσραὴλ καὶ οὐ Θεὸς κοιλάδων», εἴκοσι πρὸς ταῖς ἑκατὸν πεζῶν χιλιάδας ἐπάταξεν ἐν ἡμέρᾳ μιᾷ, τῶν ἄλλων σὺν υἱῷ Ἄδερ χρησαμένων φυγῇ. οὓς Ἀχαὰβ περιζωσαμένους σάκκοις καὶ σχοινία θέντας ἐπὶ κεφαλῆς οἰκτείρας ἀπέλυσεν.

11 Ἐγώ σοι || 13 καταμαρτυροῦντοσ || 17 ἐ|Πεὶ || 19 αἷμασου — ἐναντῶ| 24 οἶκονσου || 25 Βαασὰ sumpsi e R. III, 20, 22: Caβᾶ cod. || ibid. ἀχιᾶ cod. || 26 Ἰεζράελ R. III, 20, 23: ιῆλ' cod. || 29 δύο τὲ || 31 χορῶν || 33 χιλιάδεσ || 35 περιζωσαμένοισ

Ἔνθεν τοι καὶ τόξῳ πρός τινος βάλλεται μέσον θώρακός τε καὶ πνεύμονος καὶ τὸ ζῆν ἀποτίθεται, κυνῶν τὸ αἷμα τούτου λειξάντων καὶ λουσαμένων πορνῶν ἐν αὐτῷ. ἐκδέχεται τὴν βασιλείαν Ὀχοζίας ὁ υἱὸς αὐτοῦ. ἀγγέλους ἀρρωστῶν ἐκπέμπει μυῖαν θεὸν Ἀκκαρὼν ἐν τῷ Βάαλ ζητῆσαι, εἰ ζήσεται. οἷς συνηντηκὼς ὁ προφήτης «Παρὰ τὸ μὴ εἶναι» φησὶν «Θεὸν ἐν Ἰσραὴλ ἕτερον ἐκζητοῦντες πορεύεσθε· οὐ καταβήσεται || Ὀχοζίας τῆς κλίνης». f. 127v *ἀπηγγέλκασιν ὑποστρέψαντες οὗτοι τὰ περὶ τούτου. «Τίς οὗτος» ἐρωτηθέντες, «Ἀνὴρ» εἶπον «δασύς, δερματίνην ἔχων τὴν ζώνην». «Ἠλιοὺ» εἶπεν ἐκεῖνος «ὁ Θεσβίτης ἐστί». πεντηκοντάρχους οὖν δύο σὺν τοῖς ὑπ' αὐτοὺς κατ' ἄλλον ἀπεσταλκὼς καὶ ἄλλον καιρόν, μετακαλούμενος τὸν προφήτην, πῦρ οὐρανόθεν κατέκαυσε. τῷ τρίτῳ πεντηκοντάρχῳ ὁ προφήτης ἀκολουθῶν Ὀχοζίᾳ ἐνέτυχε καὶ «Ἀποθανῇ σύ» πρὸς αὐτὸν εἶπεν, «μυῖαν θεὸν Ἀκκαρὼν ἐν τῷ Βάαλ ἐπιζητήσας».*

12. Γέγονεν οὕτω τοῦτο καὶ ἀπέθανεν Ὀχοζίας. καὶ ἐν τῷ μέλλειν κύριον ἐν συσσεισμῷ τὸν Ἠλίαν ἀναγαγεῖν ἐκ Γαλγάλων, ἣν οὗτος σὺν Ἐλισσαιὲ πορευόμενος· καὶ [εἶπε] πρὸς αὐτὸν ὁ Ἠλίας· «Κάθου δὴ ἐνταῦθα, ὅτι κύριος ἀπέστειλέ με ἕως Βαιθήλ». ὁ δὲ «Ζῇ» φησὶ «κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε». ἦλθον οὖν | εἰς col. 2 *Βαιθήλ. εἶπον οἱ τῶν προφητῶν υἱοὶ τῷ Ἐλισσαιέ· «Εἰ ἔγνως, ὅτι κύριος σήμερον λαμβάνει τὸν κύριόν σου ἄνωθεν τῆς κεφαλῆς σου;» — «Ἔγνωκα» εἶπεν Ἐλισσαιέ, «σιωπᾶτε». καὶ αὖθις Ἠλίας «Κάθου δή» πρὸς αὐτὸν εἶπεν «ἐνταῦθα, ὅτι κύριος ἀπέστειλέ με εἰς Ἱεριχώ». εἶχεν οὐδαμῶς ὑπακούοντα τοῦτον· καὶ οἱ ἐν Ἱεριχὼ υἱοὶ τῶν προφητῶν ὅμοια τοῖς ἄλλοις λελαλήκασι τούτῳ· τὰ αὐτὰ ἐκεῖνος ἀντέφησε πρὸς αὐτούς. καὶ ὁ Ἠλίας τῷ Ἐλισσαιὲ «Ἕως Ἰορδάνου με κύριος ἀπέσταλκε» φησί· «κάθου δὴ ὧδε». οὐδ' οὕτως εὐπειθὴς Ἐλισσαιέ.*

13. Γεγόνασι τοίνυν ἐν Ἰορδάνῃ καὶ πεντήκοντα ἄνδρες υἱοὶ τῶν προφητῶν. ἔστησαν μακρόθεν οὗτοι. μηλωτῇ Ἠλίας τὸν Ἰορδάνην ἐπάταξε· διῃρέθη τὸ ὕδωρ· διέβησαν καὶ τὴν ἔρημον κατειλήφασιν. «Αἴτησαι, τί σοι ποιήσω πρὶν ἀναληφθῆναί με» τῷ Ἐλισσαιὲ || φησιν ὁ Ἠλίας. διπλοῦν ἐκεῖνος τὸ τῆς χάριτος ᾔτησε πνεῦμα. f. 128 *«Ἐσκλήρυνας» ἔφησεν Ἠλίας «τὴν αἴτησιν· πλὴν εἴπερ ἴδῃς με ἀναλαμβανόμενον, ἔσται οὕτως, καὶ ἐὰν μή, οὐ μὴ γένηται». πορευομένων οὖν αὐτῶν ἰδοὺ ἅρμα πυρὸς εἰς οὐρανοὺς ἀνέλαβε τὸν*

1 *ἐνθέν τοι* || 4 *μῦαν* || 5 *ἀκκάρων* || 10 *ἠλοῦ* || 14 *μύαν — ἀκάρων* || 17 *συσεισμῶ* || 18 *εἶπε* inserui || 19 et 21 *βεθὴλ* || 24 *Κάθου* || 33 *πρεὶν ἀναληφθῆναι με* || 34 *ἤτησαι* || 35 *εἴπερ*

Ἠλίαν. καὶ ὁ Ἐλισσαιέ «Πάτερ» ἔλεγε, «πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ». δραξάμενος ἐκεῖνος τῶν ἱματίων καὶ διαρρήξας εἰς δύο οὐκ εἶδε τοιγάρτοι σε, Ἠλία, ἔτι, τὸν πυριφόρον, τὸν πυριβάτην, τὸν φλογερὸν διφρελάτην, τὸν οὐρανοδρόμον ὁ Ἐλισσαιέ.

14. Καὶ νῦν φωτεινός σοι χῶρος κεκλήρωται καὶ συναγελάζῃ προφήταις ἐν σώματι καὶ μέσον ἡμῶν τῶν ποθούντων σε πάρει καὶ τὴν σὴν ἐκτελούντων ἀξιέραστον μνήμην. ἴδε τοίνυν χοροὺς ᾀδόντων, πλῆθος ἄλλο συνειλεγμένον, λαμπάδων φωτοχυσίας, μύρων ἴδε πολυτελείας καὶ τὴν σὴν ἀντιμέτρησον χάριν πιστῷ βασιλεῖ col. 2 *Ῥωμαίων | ὀρθοδόξῳ, μῆκος αὐτῷ ζωῆς ἀπήμονος χαριζόμενος, ἰσχὺν καὶ κράτος κατὰ τῶν ἀντιπάλων, χειρὸς θεϊκῆς τὸ σθένος καὶ τὴν χάριν, ἀύλων μονῶν τὴν φαιδρὰν κατοικίαν, ἡλίου λάμψιν τῆς τριττῆς θεαρχίας, λειμώνων θείων τὴν ἡδυτάτην τέρψιν, πάντων ἀγαθῶν τὴν καλὴν μετουσίαν καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κα΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΥΜΕΩΝ ΤΟΥ ΔΙΑ ΧΡΙΣΤΟΝ ΣΑΛΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ ΤΟΥ ΣΥΝΑΣΚΗΤΟΥ ΑΥΤΟΥ.

1. Συμεώνην τὸν πάνυ, τὸν μωρὸν διὰ Χριστὸν οὐκ ὄντα μέν, θελήσαντα δὲ γενέσθαι κατὰ προσποίησιν ἡ κατὰ Συρίαν ἤνεγκεν Ἔδεσα· Ἰουστινιανὸς ὁ νέος ἐβασίλευε τότε. ἤνεγκε δὲ καὶ Ἰωάννην, τὸ τῶν ἀσκητῶν ἐγκαλλώπισμα, f. 128v *|| φίλον ἐς τὰ μάλιστα τούτῳ καὶ συνέμπορον χρηματίσαντα. καὶ γὰρ οἱ θαυμαστοὶ οὗτοι καὶ βίον καὶ τρόπον, τῆς Ἐδέσης ἐξωρμημένοι, καθὼς ὁ λόγος ἐδήλωσε, συλλαμβάνουσι πόθον τοῦ τὰ Ἱεροσόλυμα κατιδεῖν καὶ τῶν ἐν αὐτοῖς τόπων, οἷς τὰς διατριβὰς ὁ ἐμὸς Χριστὸς ἐποιήσατο, καὶ θεατὰς ἅμα γενέσθαι καὶ προσκυνητάς. καὶ μέντοι δὴ καὶ τίκτουσι*

18 *τριτῆσ* — *λειμόνων* || 22 *πρόσποίησιν* || 25 *οὗτοι*

τοῦτον καὶ γίνονται πρὸς αὐτούς· καὶ ἐπεὶ τὴν προσκύνησιν καὶ τὰς εὐχὰς ἀπέδοντο κατὰ τὸν πόθον Θεῷ, τῇ τοῦ μεγάλου Γερασίμου μονῇ παραβάλλουσι κἀν ταύτῃ τὸ μοναχικὸν σχῆμα παρὰ τοῦ μεγάλου Νίκωνος ἐνδυσάμενοι, τὴν ἔρημον ὑπεισέρχονται, μήπω τὴν ἑβδόμην ἡμέραν μετὰ τὴν ἀπόκαρσιν ἐκπληρώσαντες. ἐν ᾗ χρόνους ἐπὶ τεσσαράκοντα διακαρτερήσαντες καὶ εἶδος ἀρετῆς μετελθόντες τε καὶ κτησάμενοι καὶ πᾶσαν ἄσκησιν καλῶς | ἐκπονήσαντες col. 2 καὶ πᾶσαν σκληραγωγίαν εἰς ἅπαν ἐκμελετήσαντες καὶ πᾶσαν τὴν καθ᾽ ἡμᾶς γραφὴν ἐπιόντες, ὁ μὲν τῇ ἐρήμῳ μέχρι τέλους ἐνεκαρτέρησεν, ὁ Ἰωάννης, ὁ δὲ τὴν ἁγίαν πόλιν ὁ Συμεὼν αὖθις κατέλαβε. καὶ ὅπως, καὶ πῶς τὸν μωρὸν ὑπεκρίθη, παραστήσει σαφῶς ὁ λόγος.

2. Ἄρτι τοῦ Συμεὼν τὸν νοῦν ἐλλαμφθέντος ὑπὸ τῆς τοῦ παναγάθου πνεύματος χάριτος καὶ τὴν τῆς αὐτὸν τεκούσης τελευτὴν τῷ Ἰωάννῃ προσαγορεύσαντος, οὗτος καὶ τὴν ἑαυτοῦ μνηστὴν (ἣν γὰρ μνηστευθεῖσα τούτῳ γυνή) προσηύχετο σὺν αὐτῷ τὸν βίον ἀπολιπεῖν. καὶ δὴ καὶ ὁρᾷ κατὰ τοὺς ὕπνους τὴν τεκοῦσαν τὸν Συμεὼν προσκαλουμένην αὐτὴν εἰς τὸν κεχαρισμένον αὐτῇ τόπον διὰ τὸν υἱὸν παρὰ τοῦ βασιλέως. ἔνθεν τοι καὶ τὸν ὕπνον ἐκτιναξάμενος συνῆκεν, ὅτι τὸ κοινὸν ἀπέτισε χρέος τὸ γύναιον || καὶ ὅτι f. 129 πρὸς ἀναπαύσεως τόπον ἀμφότεραι προσεκλήθησαν, καὶ τῷ Συμεὼν αὐτίκα γνωρίζει τὸ ὅραμα. ἐφ᾽ ᾧ καὶ δόξαν ἀπεδίδουν Θεῷ τῷ οὕτω συμφερόντως οἰκονομοῦντι τὰ πράγματα.

3. Μιᾷ γοῦν τῶν ἡμερῶν πρὸς τὸν Ἰωάννην ὁ Συμεὼν «Τί λοιπόν, ἀδελφέ», φησι, «μόνους ἑαυτοὺς κατὰ τήνδε τὴν ἔρημον σώζομεν καὶ μὴ σπουδάζομεν γενέσθαι καὶ ἄλλοις ὠφελείας ὑπόθεσις; μηδεὶς γάρ, φησὶν ἡ γραφή, τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. καὶ πάλιν· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντας κερδήσω». τοιαῦτα τοῦ Συμεὼν ἐκείνῳ διαλεχθέντος, αὐτὸς «Πονηρὸς ἄρα λογισμός, ἀδελφέ, τὴν τοιαύτην σοι μελέτην ἐνέθηκεν» εἶπεν, «ἵνα ἀποσπάσῃ πάντως ἡμᾶς τῆς καλῆς ἡσυχίας; ἀλλὰ δεῦρο ἡσύχασον, μηκέτι τοῦτο διανοήσῃ». καὶ ὁ Συμεὼν «Οὐκ ἀποστήσομαι» φησὶ «τοῦ σκοποῦ τοῦδε | καὶ σοῦ μὴ ἀκολουθοῦντος, ἀλλ᾽ col. 2 εἰς πέρας ἀγάγω τοῦτον καὶ πορευθεὶς ἐμπαίξω τῷ κόσμῳ». λέγει οὖν ἐκεῖνος αὐτῷ· «Βλέπε, Συμεών, μή σε χλευάσῃ τὸ παλαιὸν κακὸν ὁ διάβολος». καὶ ὁ δίκαιος «Σὺ μόνον» ἔφησε, «πάτερ, Θεῷ με ταῖς εὐχαῖς παράθου, καὶ πέποιθα ἐν αὐτῷ, ὡς οὐχ ἅψεταί μου

7 τὲ || 12 Ἄρτι || 15 πθ|ηύχετο || 17 ἐισιὸ || 18 ἔνθέν τοι || 26 γάρ φησιν || 28 τοιαύτα — Ἐκείνῳ

26—27 μηδεὶς—ἑτέρου: 1 Cor. 10, 24. || 27—28 τοῖς πᾶσι—κερδήσω: cf. 1 Cor. 9, 19—22.

πειρασμός. οὐδὲ γὰρ οἴκοθεν ἐκινήθην πρὸς τοῦτο, ἀλλ᾽ αὐτός ἐστιν ὁ κελεύσας».

4. Καὶ ἅμα τῇ εὐχῇ χρησαμένων αὐτῶν ὁ Συμεὼν πρὸς τὴν ἁγίαν εὐθυδρόμησε πόλιν καὶ πάντας τοὺς ἁγίους ἐκείνους καὶ σεβασμίους προσκυνήσας τόπους καὶ τρεῖς ἡμέρας ἐν τούτοις διαγαγών, τὴν Ἐμεσηνῶν πόλιν καταλαμβάνει κἀν ταύτῃ τὸν μωρὸν ὑποκρίνεται. καὶ τί ποιεῖ; κύνα νεκρὸν ἐκδήσας τοῦ ποδὸς ἕλκει· δι᾽ ὅπερ οἱ παῖδες τῆς πόλεως ἐρράπιζον αὐτὸν ὡς σαλὸν ἰσχυρῶς. f. 129v *κάρυα || κατὰ τὴν ἐκκλησίαν βάλλει ποτὲ κατὰ τῶν ἐν αὐτῇ γυναικῶν· τύπτεται καὶ διὰ τοῦτο σφοδρῶς. ἀνατρέπει τινὸς ἐμπόρου τὰ προβεβλημένα ὤνια (πλακοῦντες ἦσαν καὶ σησαμοῦντες) καὶ δέχεται πληγὰς ἀφειδῶς οὐκ ὀλίγας. ἐπὶ μικρὸν οὖν ἀφεμένῳ τῶν τοιούτων διὰ τὰς πληγὰς εἷς τις τῶν ἐμπόρων «Θέλεις» ἔφη, «καλόγηρε, δουλεύειν καὶ ζῆν;»—«Θέλω» εἶπεν ἐκεῖνος. προϊστᾷ τοῦτον ὁ ἔμπορος τοῦ ἐργαστηρίου· καὶ ὁ δίκαιος τὰ πλείω μὲν τῶν ὀσπρίων πένησιν ἐδίδου, ὀλίγα δὲ καὶ αὐτὸς ἅπαξ τῆς ἑβδομάδος ἤσθιε. καὶ γὰρ ἄσιτος ἐτέλει ταύτην, μηδενὸς τὸ παράπαν γευόμενος. φωράσασα τοίνυν τὰ πραττόμενα ἡ γαμετὴ τοῦ ἐμπόρου τῷ ἀνδρὶ καταλέγει τὸ δρᾶμα. καὶ ὃς εὐθὺς κενὰ τὰ ἄγγη τῶν ὀσπρίων εὑρὼν αἰκίζει τοῦτον σφοδρῶς καὶ διώκει.*

col. 2 *5. Κατὰ γοῦν τὴν ἑσπέραν ἐκείνην ἄνθρακας | ὁ μέγας ἐν χειρὶ λαβὼν τῆς καμίνου καὶ θυμίαμα τούτοις ἐπιθεὶς ἐθυμία. ὅπερ ἡ γαμετὴ τοῦ ἐμπόρου τούτου θεασαμένη, τοῦ Θεοῦ τοῦτο πάντως οἰκονομήσαντος (ἦν γὰρ ὁ ἀνὴρ αὐτῆς τὴν τῶν ἀκεφάλων νοσῶν αἵρεσιν), κατεπλάγη καὶ «Εἷς Θεὸς» εἶπεν «ὁ τοῦ ἀββᾶ Συμεών». ὡς δ᾽ ὁ γέρων ἤκουσε τοῦτο, προσεποιήσατο τὸν καιόμενον κἀν τῷ παλλίῳ τούτου τοὺς ἄνθρακας ἐναπέθετο καὶ ἦν οὕτω θυμιῶν μετ᾽ αὐτοῦ. τάχος οὖν ἐκείνη τῷ ἀνδρὶ τὸ παράδοξον ἀπαγγέλλει. καὶ οὕτω διὰ τῆς τοῦ ἁγίου εὐχῆς τὴν αἵρεσιν καταλείψαντες ὀρθόδοξοι γίνονται· ὅπως δέ, προϊὼν ὁ λόγος πλατύτερον παραστήσει.*

6. Τὰ δὲ μετὰ ταῦτα. καπήλῳ ποτὲ ἦν ὁ μέγας ὑπηρετούμενος, ἀσπλάγχνῳ τῷ παντὶ καὶ ἀνελεήμονι. ὄφιν οὖν θεασάμενος οἴνου ἔκ τινος ἄγγους ἀπογευσάμενον καὶ τὸν ἔμετον εἰς αὐτὸν καταλείψαντα, f. 130 *ξύλον δραξά||μενος συνέτριψε τοῦτο. θεασάμενος δὲ τὸ γεγονὸς ὁ τοῦ οἴνου κύριος, ⟨ἀπὸ⟩ τὸ ξύλον τῶν αὐτοῦ χειρῶν ἀφελόμενος ἐνέτεινεν αὐτῷ πληγὰς καθ᾽ ὅλου τοῦ σώματος καὶ ἀπώσατο τοῦτον. αὖθις οὖν τοῦ ὄφεως τὸ αὐτὸ τοῦτο πράξαντος*

9 *κάροι* (α *supra* ι) || 10 *διατοῦτο* || 11 *σισαμοῦντεσ* || 13 *τίσ* || 16 *εὐδομάδοσ* || 19 *δράμα—ἄγγει* || 22 *ἐπὶ θεὶσ* || 25 *ἀβᾶ* || 27 *τούτοὺσ* (του *supra*) || 28 *ἀπαγγέλει* || 33 *ἀπογευσόμενον* (ά *supra* ο) || 35 *ἀπὸ* **eieci** || ibid. *ξήλον*

καθ' ἕτερον ἄγγος, ὁ ἐργαστηριάρχης ἰδὼν καταφέρει τούτου ῥάβδον μεγίστην· μὴ ἐπιτυχὼν δέ, πάντα τὰ συμπαρακείμενα σκεύη συνέτριψε. καὶ ἅμα εἰσιὼν ὁ δίκαιος «Τί τοῦτο πεποίηκας» εἶπε, «μωρέ; πάντως οὐκ εἰμὶ μόνος ἐγώ». τότε συνῆκεν ὁ ἄνθρωπος διὰ τοῦτο καὶ τὸν Συμεὼν συντρῖψαι τὸ ἄγγος. θέλων οὖν ὁ ὅσιος τὴν ὑπόληψιν ταύτην ἀναλῦσαι ἐξ αὐτοῦ, ἐπῆλθε τῇ γαμετῇ τούτου ἀπρεπές τι δῆθεν διαπραξάμενος. ὡς οὖν ἐκείνη βοῇ τὸν ἄνδρα μετεκαλέσατο, πυγμαῖς αὐτὸν οὗτος κατὰ προσώπου πλήξας πολλαῖς ἔξω βάλλει χειμῶνος ὄντος.

7. Καὶ δὴ | διὰ τὴν ἐπικειμένην ὁ δίκαιος τοῦ ψύχους δεινότητα col. 2 βαλανείῳ προσβάλλει, ᾧ γυναῖκες ἑαυτὰς ἐναπέλουον, οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ πολλῆς ἐξ ἐγκρατείας τῆξιν σαρκὸς ὑποστῆναι πολλὴν εἰς τοῦτο Ἰωάννου τινός, ἀνδρὸς φιλοθέου καὶ τὸν ἐκείνου καλῶς ἠκριβωκότος βίον, ἐλθεῖν αὐτὸν ἀναγκάσαντος. οὗτινος καὶ μὴ τούτῳ προσβαλεῖν αὐτὸν τῷ βαλανείῳ λέγοντος, γυναικῶν γάρ, ἀλλὰ δὴ τούτῳ, καὶ χειρὶ δεικνύντος αὐτό, ἐκεῖνος· «Καὶ ὧδε θερμά, καὶ αὐτοῦ θερμά». καὶ ἅμα δραμὼν καὶ τὸ ἱμάτιον ἀποθέμενος εἰσῆλθε πρὸς τὰς γυναῖκας. αἱ δὲ δεινῶς αὐτὸν κόψασαι ταῖς πληγαῖς, δι' ἅς, οἶμαι, καὶ εἰργάζετο ταῦτα, ἔβαλλον ἀπ' αὐτῶν.

8. Ἄλλοτέ ποτε, τρεχόντων τῆς πόλεως ἔξω τινῶν, πεφθακὼς ὁ ὅσιος ἕνα τούτων νεανίαν, παίει κατὰ κόρρης αὐτόν, «Μὴ μοίχευε» φήσας. ὁ δὲ || ἦν παῖς Ἰωάννου τοῦ διακόνου καὶ φίλου, ὃν f. 130v προλαβὼν ὁ λόγος ἐγνώρισεν. ὃς τῷ πρός τινα γυναῖκα μοιχείαν ἐργάσασθαι δαιμονίας ὑπὸ μάστιγος πέπληκτο, μηδενὸς γινώσκοντος. πεσὼν οὖν ἐπὶ γῆς ὁ παῖς ἔκειτο σχεδὸν ὡσεὶ νεκρός. εἶτα τοῦ πάθους ἀνενεγκὼν διηγεῖτο πᾶσι τήν τε μοιχείαν καὶ τὴν τοῦ δαίμονος ἐπιφορὰν καὶ ὡς «Ὁ μοναχὸς Συμεὼν τῇ κατὰ προσώπου πληγῇ με τοῦ δαίμονος ἐλυτρώσατο».

9. Σεισμοῦ δέ ποτε μέλλοντος τὴν πόλιν καταλαβεῖν, ὅτε καὶ τῶν Ἀντιοχέων ἡ πόλις κατέπεσε (Μαυρίκιος εἶχε τότε τὴν Ῥωμαίων ἀρχήν) ὁ δίκαιος, λῶρον λαβὼν ἀπό τινος τῶν παίδων σχολῆς, τοὺς στύλους ἤρξατο τῆς πόλεως τύπτειν, «Στῆθι» λέγων, «ὁ κύριος εἶπε». καταλαβόντος οὖν τοῦ κακοῦ καὶ τὴν πόλιν διασείσαντος μέγα, τῶν στύλων, οὓς ὁ ὅσιος ἐτετύφει, οὐδεὶς | ὅλως σεσάλευτο. col. 2 ταῦτα δὲ πάντα καλῶς ὁ Ἰωάννης ἐσκόπει, ᾔδει γὰρ τὴν πολιτείαν τοῦ μάκαρος, ὡς ὕστερον ἐξηγήσατο. ἀλλὰ καὶ λοιμοῦ μεγάλου μέλλοντός ποτε τὴν πόλιν καταλαβεῖν, ὁ διορατικώτατος

2 ἐπιτυχῶν || 3 εἶπεν || 5 διατοῦτο—συντρίψαι || 7 διαπραξόμενος? || 12 ἐξεγκρατείασ || 16 δεικνῦντ[ο] || 20 ἄλλοτε ποτὲ || 21 κόρησ || 25 Οὖν—εἶτ[α] || 34 ἐτετύφθη || 36 λι[οι]μοῦ || 37 μέλλοντ[ο] | ποτὲ

οὗτος γέρων ταῖς τῶν παίδων σχολαῖς παραβάλλων οὓς μὲν αὐτῶν ἠσπάζετο, οὓς δὲ παρέτρεχε καὶ πρὸς τοὺς παιδευτὰς μὴ τύπτειν ἔλεγε τούτους, οὓς ἀσπάζομαι παῖδας· μέλλουσι γὰρ ἀπιέναι μακράν. ὃς δὴ λόγος ἐκ παραφρονοῦντος ἐδόκει λέγεσθαι. τοῦ γοῦν λοιμοῦ ἐπισυμβάντος τῇ πόλει, τῶν φιλουμένων ἐκείνων παίδων οὐδεὶς ὑπολέλειπτο, ἀλλὰ τῷ λοιμῷ διεφθάρησαν ἅπαντες.

10. Ἀνήει δὲ πολλάκις ὁ ὅσιος καὶ εἰς τοὺς οἴκους τῶν πολιτῶν, προσποιούμενος τὸν σαλόν, καὶ τὰς οἰκέτιδας αὐτῶν κατησπάζετο. f. 131 *μία γοῦν ποτε τούτων || ἀπό τινος τῶν τοῦ δήμου ἐγκυμονήσασα καὶ μὴ θέλουσα τὸν τοῦτο διαπραξάμενον τῇ δεσποίνῃ δῆλον ποιῆσαι, τὸν Συμεὼν ἐκβιάσασθαι ταύτην ἔλεγεν. ἡ δὲ τοῦτον ἐλθόντα διέσυρεν ὡς ἄτοπα πράξαντα. ὁ δὲ νεύσας τὴν κεφαλήν, «Ἄφες» εἶπε «Συμεώνῃ· ἕξεις μικρόν». ἦλθεν ὁ χρόνος τοῦ τοκετοῦ· δύστοκος ἡ δούλη γίνεται. τῷ Συμεὼν κατὰ τύχην ἢ μᾶλλον εἰπεῖν κατὰ πρόνοιαν ἐκεῖσε παραβαλόντι ὀνειδισμὸν προσῆγεν ἡ τῆς δούλης κυρία. ὁ δὲ «Ζῇ κύριος» εἶπεν· «οὐ τέξει τὸ βρέφος, ἕως οὗ εἴπῃ, τίς ὁ πατὴρ αὐτοῦ». μανθάνει τοῦτο ἡ τίκτουσα καὶ ὁμολογεῖ τὴν ἀλήθειαν καὶ οὕτω προήνεγκε τὸ βρέφος εἰς φῶς. ὑπεδήλου μέντοι καὶ τοῦτο μεθ᾽ ἑτέρων τὰ τῆς ἀρετῆς τοῦ ἀνδρός,|* col. 2 *ἀλλὰ δὴ καὶ τὸ ῥηθήσεσθαι μέλλον.*

11. Ζήτησίν ποτε δύο τινὲς μοναχοὶ καθ᾽ ἑαυτοὺς ποιησάμενοι, πῶς ὁ τοσοῦτος τὴν γνῶσιν Ὠριγένης τῆς ἐναντίας γέγονε μοίρας,— ὁ μὲν γὰρ δῶρον Θεοῦ εἶναι ταύτην ἔλεγεν, ὁ δὲ πλεονέκτημα φύσεως,—πρὸς τοὺς ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως θεοφόρους πατέρας γεγόνασι, λύσιν ἐντεῦθεν λαβεῖν τῆς ἀπορίας ἐθέλοντες. ἐντυγχάνουσι γοῦν τῷ ἀββᾷ Ἰωάννῃ, τῷ συνεκδήμῳ τοῦ Συμεών, καὶ πρὸ τοῦ τι τούτους εἰπεῖν ἐκεῖνος· «Ἵνα τί, πατέρες, τὴν πηγὴν ἀφέντες τῷ χειμάρρῳ προσήλθετε; τοῦ σαλοῦ Συμεὼν κατὰ τὴν Ἔμεσαν περὶ τῶν ζητουμένων πυθόμενοι τεύξοισθε ταχέως τῆς λύσεως». οὕτως ἦν ὁ Ἰωάννης τῷ διορατικῷ χαρίσματι σεμνυνόμενος. f. 131v *οἱ δὲ τὴν πόλιν καταλαβόντες καὶ τὸν || Συμεὼν εἰς ἐργαστήριον εὑρηκότες, θέρμια χανδὸν κατεσθίοντα, «Μεγάλα» καθ᾽ ἑαυτοὺς εἶπον μυκτηρίζοντες «ἡμᾶς οὗτος διδάξει». ὅμως προσιόντες «Εὐλόγησον» λέγουσιν. ὁ δὲ πρὸς αὐτούς· «Μωροὶ ἄρα καὶ ὑμεῖς καὶ ὁ πέμψας ὑμᾶς». καὶ ἅμα τοῦ ὠτίου δραξάμενος τοῦ ἑνός, παίει τοῦτον κατὰ προσώπου. οὗτος δὲ ἦν ὁ σκανδαλισθεὶς εἰς αὐτόν. εἶτα καθ᾽ ἑαυτὸν ὁ γέρων «Ὠριγένης» εἶπε «τῶν θερ-*

2 παρέτρεχεν || 4 γοῦν λιμ (οις supra) | Ἐπισυμβάντοσ || 6 λιμῶ (οι supra) || 8 πρὸσ ποιούμεν (ος supra) || 9 γοῦν ποτὲ || 13 ἤξεισ || 15 ὀνειδισμῶν || 17 εἴπη || 21 ζήτησιν ποτὲ || 26 γοῦν — ἀββᾶ || 27 τοῦ τί || 32 κατέσθίοντα || 34 οδὲ *supra lineam* || 36 καταπροσώπου

μίων οὐ γεύεται· εἰσιὼν γὰρ εἰς τὴν θάλασσαν, ἐν ᾗ τεσσαράκοντα ἐν ἡμέραις ἐβράχησαν, ἐξελθεῖν οὐκ ἠθέλησε· διὸ καὶ ἐναπελείφθη καλῶς τῷ βυθῷ».

12. Τούτοις ἐκπλαγέντες οἱ μοναχοὶ δόξαν ἀπεδίδουν Θεῷ. οὗτος δὲ κινύραν λαβὼν ηὔλει κατά τινα τόπον, ὃν δαιμόνιον κατῴκει σκαιόν, τὴν εὐχὴν ἐπιλέγων τοῦ ὁσίου Νίκωνος. διαφυγὸν οὖν τὸ δαιμόνιον ἐκεῖθεν καὶ διά τινος ἐργαστηρίου παριὸν τὰ ἐν αὐτῷ πάντα | συνέτριψε σκεύη. ἐκεῖνο δὲ ἦν τὸ ἐργαστήριον τοῦ τὰ Σευή- col. 2 *ρου δοξάζοντος· εἰς ὃ καὶ κατ' ἀρχὰς ὁ Συμεὼν τὰ θέρμια τοῖς δεομένοις ἐδίδου, ὅτε καὶ τοὺς ἄνθρακας φέρων ἐν χερσὶν ἐθυμία. ὁ τοίνυν δίκαιος ἤρετο τὴν προεστῶσαν αὐτοῦ· «Τίς ἄρα σοι ⟨καὶ⟩ τὰ σκεύη συνέτριψε;» τῆς δὲ «Μέλας τις» εἰπούσης «κατάρατος», ὁ ἅγιος «Εἰ μή γε» φησὶ πρὸς αὐτὴν «εἰς τὴν ἐκκλησίαν μου κοινωνεῖτε, τοῦτο ποιεῖν οὗτος οὐ παύσεται». τοίνυν ἐξημίου τούτους ὁ δαίμων ἄχρις οὗ συνέντες τῇ ὀρθοδόξῳ προσεληλύθεσαν ἐκκλησίᾳ.*

13. Ἐθεάσατό τις αὐτὸν Ἑβραῖός ποτε λουόμενον· ἠξιώθη δὲ καὶ τὸ παράδοξον ὁ αὐτὸς κατιδεῖν κρίμασιν οἷς οἶδεν ἡ πρόνοια, ἀγγέλους συνομιλοῦντας αὐτῷ. οὐκ ἔλαθε τοῦτο τὸν μέγαν, καὶ τῶν χειλέων τοῦ Ἑβραίου ἀψάμενος ἄλαλον αὐτὸν ἀπετέλεσεν ὡς ἂν μη||δενὶ εἴπῃ τὸ δραθέν. ἐνένευε τοίνυν αὐτῷ πολλάκις σταυρὸν τῷ f. 132 *προσώπῳ χειρὶ χαράξαι· ὁ δὲ οὐκ ἐπείθετο. ἄλλοτε τὸ βάπτισμα τοῦτον ὑπετίθει λαβεῖν· ὁ δὲ οὐκ ἠνείχετο. πλὴν τὰ τῆς οἰκονομίας τοῦ Θεοῦ πέρας ἔσχε. διέμεινεν ἄλαλος ὁ Ἑβραῖος ἄχρι τῆς τοῦ Συμεὼν τελευτῆς· τότε δὲ βαπτισθεὶς τὸ λαλεῖν ἀπείληφε καὶ ἦν ἐπιτελῶν ἐτησίως καὶ τὴν μνήμην τοῦ γέροντος. καὶ γὰρ εἰς τοσοῦτον καθαρότητος ὁ δίκαιος ἦλθε καὶ ἀπαθείας, ὅτι καὶ τῶν πορνῶν γυναικῶν τὰς μὲν διδάσκων ἀφίστα τοῦ κακῶς ποιεῖν, τὰς δὲ καὶ δώροις ἔπειθεν, ἔστι δὲ ὅτε τῇ προσποιήσει τοῦ μωροῦ καὶ πολλοὺς ἁμαρτάνοντας ἤλεγχεν· ἐπλούτει γὰρ τῷ διορατικῷ χαρίσματι. καὶ πειρασμοὺς δὲ πολλάκις ἔπεμπέ τισιν εἰς διόρθωσιν τῶν ἡμαρτημένων.*

14. Μέγας ὁ ἀνὴρ καὶ πάσαις κεκοσμημένος ταῖς ἀρεταῖς, προσευχαῖς χρώμενος καὶ | ταῖς πρὸς τὸ θεῖον δεήσεσιν, ἀλλὰ δὴ καὶ col. 2 *νηστείαις· καὶ γὰρ τὰς τῶν νηστειῶν ἁπάσας ἡμέρας ἄσιτος ἐτέλει, μηδενὸς ὁ γέρων τὸ παράπαν ὀρεγόμενος ἢ ἀπογευόμενος· κατὰ δὲ τὴν ἁγίαν πέμπτην ἅμα φωτὶ καθιστάμενος εἰς τὸ μέσον ἐπ' ὄψεσι πάντων ἤσθιεν, διδοὺς ἐντεῦθεν ἀφορμάς, ὡς οὐδ' ἄλλην εἰς ἡμέ-*

9 *καταρχὰσ* || 11 *καὶ deleví* || 12 *τίσ* || 14 *τούτους: τούτοισ* cod. || 16 *ἐθεά|Cατο — ἑβραῖοσ ποτὲ* || 23 *τοῦ ante Θεοῦ supra versum additum* || 28 *πρὸσποιήσει* || 30 *ἔπεμπε τισὶν* || 26 *πέμπιν — ἐπόψεσι*

ραν ἀπέσχετο τοῦ μὴ μεταλαμβάνειν τροφῆς καὶ ὅτι ἀληθῶς σαλὸς ἦν.

15. Ἄλλοτε τοίνυν δαίμονος ἐμφιλοχωροῦντος τόπῳ τινὶ καὶ μέλλοντος τῶν παριόντων ἐκεῖσε παραβλάψαι τινάς, λίθοις ἀπήλασεν αὐτὸν ἐκεῖθεν ὁ ἅγιος· πρόνοιαν γὰρ ἐτίθετο τῶν ἀδελφῶν. καὶ ὅρα μοι τὸ θαυμάσιον· ἄνδρα τινὰ κακοῦργοι πεφονεύκασί τινες καὶ τὸ πεφονευμένον ἐκεῖνο σῶμα διά τινος θύρας τῆς οἰκίας ἔνδον f. 132v *τοῦ θεοφιλοῦς Ἰωάννου, ὃν ὁ λόγος προλαβὼν ἐ||δήλωσεν, ἀπέρριψαν. διαγνωσθέντος οὖν τοῦ πράγματος καὶ τοῦ ἄρχοντος εὐθύνῃ τὸν Ἰωάννην καθυπάγοντος, ἀπηγγέλη πρός τινος τῷ Συμεών, ὡς ὁ Ἰωάννης φόνου ἑάλω καὶ τὴν καταδικάζουσαν ἀπηνέγκατο. εὐθὺς οὖν οὗτος κατά τινα τόπον γενόμενος ἰδιαζόντως προσηύχετο ῥυσθῆναι τὸν φίλον τῆς καταδίκης· καὶ ἅμα τινὲς ἥκασιν ἀπολελύσθαι φάσκοντες τὸν Ἰωάννην. ἐντυχὼν οὖν αὐτῷ ὁ γέρων «Ὅρα» ἔφη, «ἀδελφέ, καὶ σύνες, ὅθεν σοι τοῦτο συμβέβηκεν, ἐννοήσας, ὅπως τοὺς δύο προσαίτας ἀποθρέψαι δυνάμενος ἀπεπέμψω».*

16. Καὶ τοῦτο μὲν οὕτως. ἄλλοτε δὲ λευκώματά τινα κατ' ὀφθαλμοὺς ἔχοντα χρίσας ἐν τῷ προσπαίζειν σινήπει πεποίηκεν ὑγιᾶ. καί τινα δὲ δεινὸν ἄνδρα καὶ δεινῶς τοῖς αὐτοῦ κεχρημένον δούλοις, col. 2 *τύ|πτοντα καθ' ἑκάστην αὐτούς, συνέβη νομισμάτων ἀπώλειαν ὑποστῆναι πολλῶν. τοῦτον οὖν συναντήσαντά ποτε τῷ Συμεὼν καθ' ὁδὸν εἰπεῖν λέγεται· «Ποίησόν τι, γέρων, ἵνα εὑρεθῶσί μου τὰ νομίσματα». τὸν δὲ «Εἴ γε μὴ τύπτων» εἰπεῖν «φαίνῃ τινὰ τῶν σῶν οἰκετῶν, ἕξεις αὐτά». συνθεμένου δὲ τούτου καὶ ὅρκον ὑποσχόντος ὡς ποιήσοι τοῦτο, ὁ δίκαιος «Τὸν δεῖνα τῶν οἰκετῶν κρατήσας εὑρήσεις αὐτά» ἔφη. γίνεται τοῦτο, καὶ εὑρέθησαν τὰ νομίσματα, καὶ ἔκτοτε τὴν χεῖρα καλῶς ἐπέσχεν ἐκεῖνος τοῦ μὴ τύπτειν τινά.*

17. Συνέπασχε τοῖς ὑπὸ δαιμόνων ὀχλουμένοις ὁ μέγας καὶ συνὼν αὐτοῖς εὐχῇ πολλοὺς ἐξ αὐτῶν ἐθεράπευε. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; γυναικί τινι μαντείαις χρωμένῃ καὶ πολλοὺς τῶν ἀνθρώπων f. 133 *ἀποπλανώσῃ δίδωσί τι φυλακτήριον δῆθεν || φορεῖν εἰς ἀποτροπὴν βασκανίας· τὸ δὲ τὸ Χριστοῦ ὄνομα περιέχον ἄπρακτα καθίστα τὰ μαντεύματα ταύτης. ἀλλὰ δὴ καὶ ὑελοψοῦ τινος Ἑβραίου τὰ ποτήρια πυρούμενα κατὰ τὴν ἐργασίαν ἐπιβοῇ σταυροῦ συνέτριβε καὶ συνέθλα καὶ πρὸς αὐτὸν «Εἴ γε μή σου τῷ προσώπῳ», ἔφησεν, «Ἰουδαῖε, τὸν τοῦ Χριστοῦ σταυρὸν ἐγχαράξεις, οὐ στήσεται τὰ*

8 θεοφιλοῦσ || 11 εάλω *sine spir.* || 17 λευκόματα τινὰ || 21 Τοῦτον — ποτὲ || 22 εὑρεθῶσιμ (ν supra) || 25 δεῖνα || 29 ὑποδαιμόνων — συνῶν || 30 εὐχὴ || 31 γυναικὶ τινὶ μαντίαισ || 34 τινὸσ || 35 ἐπιβοὴ

τῆς συντριβῆς». ποιεῖ τοῦτο καὶ μὴ βουλόμενος ὁ Ἑβραῖος, καὶ ἔστη μὲν ἡ θραῦσις τῶν ποτηρίων, ἀλλὰ καὶ οὗτος ἐντεῦθεν πιστὸς γίνεται καὶ γνωρίζεται βαπτισθείς.

18. Πολλὰ οὖν καὶ ἕτερα τοιαῦτα εἰς διόρθωσιν ὁ δίκαιος ἐποίει τῶν ἀδελφῶν, ἀφορμὰς παρέχων μυρίας, ἵνα μὴ καταφανὲς γένηται τὸ ὑψηλὸν τῆς αὐτοῦ πολιτείας. ἀλλ' ἐπὶ τούτοις καὶ καλύβην οἰκεῖν ᾑρετίσατο, ἐν ᾗ τὰς ὅλας νύκτας εὐχαῖς | ἐνεκαρτέρει καὶ col. 2 δάκρυσι ταύτην ἔπλυνε. ναὶ δὴ καὶ τὸν Θεὸν παρεκάλει μὴ τὴν τῆς κεφαλῆς, μὴ τὴν τοῦ πώγωνος αὐξηθῆναι τρίχα, μή πως διὰ τῆς αὐτῆς ἀποκάρσεως γνωσθῇ τοῖς πᾶσι φρονῶν.

19. Μιᾷ γοῦν τῶν ἡμερῶν, ὅτε δὴ καὶ τοῦ βίου ἔμελλεν ἐκδημεῖν, τὸν πολλάκις μνημονευθέντα Ἰωάννην προσκαλεσάμενος ἀνέκφορα τὰ κατ' αὐτὸν ποιῆσαι παρήγγειλεν, ἵνα μὴ κακὸν ἑαυτῷ μέγιστον προξενήσοι. ἀλλὰ καὶ τούτῳ δὴ τὸν βίον ἐρύθμιζε παραινέσεσιν, «Μηδέποτε» λέγων, «ἀδελφέ, ἐξουδενώσῃς πτωχὸν ἢ μοναχόν, — πολλοὶ γὰρ αὐτῶν ἀρεταῖς διαλάμπουσιν, — ἵνα μὴ ἑαυτῷ κρῖμα θησαυρίσῃς. ἐγὼ γὰρ ἤδη τὸν βίον ὑπέξειμι. γίνωσκε δέ, ὅτι καὶ σὲ ὁ κύριος διὰ τάχους μεταστήσει τῶν ὧδε». ταῦτα καὶ τὰ τοιαῦτα πρὸς αὐτὸν εἰπών, ἀλλὰ δὴ καὶ τὸν || ἅπαντα βίον αὐτοῦ f. 133v κατὰ μικρὸν γνωρίσας αὐτῷ καὶ ὅτι μετὰ τρεῖς ἡμέρας μεθίσταται, τὴν καλύβην ἐκείνην κατέλαβε κἀν ταύτῃ συνέστειλεν ἑαυτὸν καὶ οὕτω μετὰ τρίτην τὸν μακαριστὸν ὕπνον καὶ πρέποντα δικαίοις κεκοίμητο.

20. Τινὲς οὖν τῶν τῆς πόλεως τρίτην ἔλεγον καθ' ἑαυτοὺς ἡμέραν παρελθεῖν, ἐξ ἧς οὐκ εἴδομεν τὸν Συμεών· μή τί γε ἄρα νοσεῖ; τάχος οὖν ἀπελθόντες τελειωθέντα τοῦτον εὑρίσκουσι. διὸ καί τινες δύο ἐπωμισάμενοι τὸν θαυμάσιον ἐξεκόμιζον εἰς ταφήν. διακομιζομένου δὲ τούτου ὁ ὑελοψὸς Ἑβραῖος ἐκεῖνος μελῳδίας ἤκουσε ψαλλόντων πολλῶν. προκύψας οὖν τῆς οἰκίας ἰδεῖν, τί ἄρα καὶ θέλοι τοῦτο εἶναι, τὸν Συμεὼν ἐκκομιζόμενον βλέπει ῥυπῶντα καὶ ῥάκει συγκαλυπτόμενον πιναρῷ καὶ ἔγνω ἐξ ὧν πέπονθε καὶ ἐξ ὧν ἤκουσε δυνάμεις | οὐρανίας ποιουμένας τὸν ὕμνον. κατέ- col. 2 θεντο τοιγάρτοι τοῦτον οἱ φέροντες τῷ τάφῳ τῶν ξένων. μαθὼν δὲ ταῦτα καὶ ὁ καλὸς Ἰωάννης ὁ φίλος αὐτῷ καὶ γνωστὸς δρομαῖος ἐπορεύετο μεθ' ἑτέρων πολλῶν καὶ τὸ ξενοτάφιον ἐκεῖνο καταλαβὼν καὶ τὸν ἅγιον ἰδεῖν ἐθέλων, ἐπεὶ μὴ εὕρισκε, λύπῃ συνείχετο καὶ δάκρυσι τὸ πρόσωπον ἔβρεχε, τοῦ Θεοῦ πάντως ἢ μετατεθῆναι τὸ τούτου λείψανον εὐδοκήσαντος ἢ ἀφανὲς γενέσθαι τοῖς ζητοῦσι

2 πιστῶσ || 4 τοιαύτα — διόρθωσιν || 9 αὐξιθῆναι || 15 μὴδέποτε || 17 κρίμα || 18 διατάχουσ || 19 τοιαύτα || 32 ἤκουσεν || 37 ἔβρεχεν

παρασκευάσαντος· ἐμίσει γὰρ ὁ μέγας τὴν τῶν ἀνθρώπων δόξαν καὶ ἀπεστρέφετο.

21. Ταῦτά σου, καλὲ Συμεών, τὰ διὰ Θεὸν ἆθλα καὶ τὰ παλαίσματα· οὕτω τὸν ἀντικείμενον κατηδάφισας δαίμονα καὶ καλῶς ἐξενεύρισας καὶ ἀσθενῆ καὶ ὅλως ἀνίσχυρον ἀπετέλεσας. καὶ νῦν τῷ δεσποτικῷ παριστάμενος θρόνῳ αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν
f. 134 *τῷ πρᾴῳ καὶ ἡσύχῳ καὶ τὰ πάντα || καλῷ μέθεξιν μεγίστων νοήσεων, ἰσχυρὰ τὰ κατ' ἐχθρῶν ἀγωνίσματα, χρηστὰ καὶ ἀγαθὰ τὰ ὑπὲρ τῶν ὑπηκόων ἐνθυμήματα, ἀνώτερα παντὸς ἐναντίου τὰ καλῶς αὐτῷ σπουδαζόμενα, ἡλίου λάμποντα δίκην τὰ κατορθώματα, λαμπρῶν ἀστέρων ἀριθμῷ εἰκαζόμενα, πάντων ὑπερκείμενα τῶν ἐναντίων καὶ σωτηρίας ἐπάξια τῆς πρώτης· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κβ΄.

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΑΡΙΑΝ ΤΗΝ ΜΑΓΔΑΛΗΝΗΝ.

1. Ἄρτι τοῦ ἐμοῦ Χριστοῦ καὶ δεσπότου τὰς διατριβὰς κατὰ τὸ ἀνθρώπινον ἐν τῇ γῇ ποιουμένου καὶ μαθητὰς ἐκλεξαμένου καὶ πλεῖστα θαύματα ἐν ἅπασι ποιοῦντος, καὶ ἡ Μαγδαληνὴ Μαρία μία ἦν τῶν ἐν ἀπολαύσει τούτων γεγενημένων· ἥτις τῶν ὁρίων μὲν
col. 2 *Μαγδάλων ὥρμητο τῆς Συρίας, ἑπτὰ δὲ προσε|πάλαιε δαίμοσι κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν· αὕτη γοῦν διὰ ταῦτα τῷ δεσπότῃ καὶ σωτῆρι Χριστῷ, κατήκοος γενομένη τῶν ἐκείνου θαυμάτων, ἐν θερμότητι πρόσεισι καὶ τῆς ἀπαλλαγῆς τῶν δαιμόνων τυχοῦσα μεμένηκεν ἀχώριστος ἐκείνου καὶ ἀδιάσπαστος ἔκτοτε καὶ μέχρι τοῦ ἀχράντου πάθους αὐτοῦ διακονοῦσα τούτῳ καὶ ὑπηρετοῦσα δέδεικτο. ἀλλὰ καὶ σταυρωθέντος αὐτοῦ κἀν τῷ τάφῳ τεθέντος μύρα πρώτη κομίζει καὶ μυροφόρος γίνεται· ναὶ δὴ καὶ τὴν ζωηφόρον ἀνάστασιν ἅμα τῇ ἄλλῃ Μαρίᾳ, ἤγουν τῇ μητρὶ τοῦ κυρίου, πρώτη κατεῖδεν, ἡνίκα καὶ τὸν ἄγγελον ὀψὲ σαββάτῳ κατεῖδον.*

3 *Ταῦτα σου — ἄθλα* || 4 *κατηδάφησασ* || 23 *γοῦν*
22 *ἑπτὰ — δαίμοσι:* Marc. 16, 9; Luc. 8, 2.

2. Πῶς οὖν αὐτῆς παραστήσαιμι τὸ θερμόν; ἢ πάντα δεύτερα θεμένη, καὶ φόβον, καὶ μανίαν Ἰουδαϊκήν, καὶ θάνατον αὐτόν, πρωΐας αὖθις ἄπεισι καὶ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους ὁρᾷ, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς || τοῖς ποσίν, ὅπου ἔκειτο τὸ *f. 134v* σῶμα τοῦ Ἰησοῦ· ἀλλὰ δὴ καὶ αὐτὸν βλέπει τὸν κύριον καὶ τὸν κηπουρὸν ὑπολαμβάνει καὶ πρόσεισι τούτῳ καὶ ἐρωτᾷ καὶ «Μή μου ἅπτου» ἀκούει καὶ τὰ λοιπὰ τοῦ Εὐαγγελίου.

3. Ταῦτα τῆς ζεούσης εἰς Χριστὸν ἀγάπης καὶ πίστεως Μαρίας τὰ κατορθώματα, ταῦτα τὰ μεγάλα ταύτης καὶ ὑπερθαύμαστα προτερήματα καὶ ἃ παντὸς ἐγκωμίου ὑπερκεῖσθαι ταύτην ποιεῖ. τί γὰρ ἄν τις μεῖζον εἰς ἐπαίνου θήσειε μέρος τοῦ Χριστῷ συνδιατρῖψαι ταύτην, τοῦ Χριστῷ συλλαλῆσαι, τοῦ συνεστιαθῆναι τούτῳ καὶ τῶν μελισταγῶν ἐκείνου λόγων ἐπαπολαῦσαι, καὶ τὸ δὴ μεῖζον, τοῦ τοσούτων ἀπηλλάχθαι πνευμάτων καὶ πρώτην αὐτὸν κατιδεῖν μετὰ τὴν ἀνάστασιν;

4. Ὅμως μετὰ τὴν θείαν αὐτοῦ πρὸς οὐρανοὺς ἀνάληψιν καὶ τὴν τοῦ παναγίου πνεύματος κάθοδον, τῶν ἀποστόλων κατὰ τὰ ἔθνη | διασπαρέντων καὶ ἑκάστου τὸ ἴδιον καὶ ὃ τὸ πνεῦμα κλῆρον *col. 2* ἐδίδου κλίμα καταλαβόντος, ἡ θαυμαστὴ αὕτη καὶ μεγάλη Μαρία καὶ ὁδοῦ μῆκος παρ' οὐδὲν θεμένη καὶ γυναικείας ἀσθενείας ἐκλαθομένη σπουδῇ τὴν Ἔφεσον κατειλήφει καὶ τῷ εὐαγγελιστῇ καὶ θεολόγῳ προσεντυχοῦσα Ἰωάννῃ τῷ πάνυ, τῷ τῆς βροντῆς υἱῷ κἀν τῷ δεσποτικῷ στήθει γνησίως ἀναπεσόντι, συνῆν αὐτῷ, κοινωνοῦσα καὶ κηρύγματος καὶ θλίψεων καὶ δεσμῶν αὐτῶν καὶ φυλακῆς καὶ τῶν ἄλλων ἀνιαρῶν.

5. Ἐπεὶ δὲ καὶ αὐτὴν ἄνθρωπον οὖσαν τῷ κοινῷ λειτουργῆσαι νόμῳ τῆς φύσεως ἔδει, νοσεῖ μὲν καὶ τελευτᾷ καὶ χερσὶ Θεοῦ τὴν ψυχὴν παρατίθησι. φιλόχριστοι δέ τινες τὸ ταύτης καλῶς πάντιμον κηδεύσαντες σῶμα φιλοτίμως θάπτουσι παρ' αὐτῇ δὴ τῇ τοῦ σπηλαίου εἰσόδῳ, ἐν ᾧπερ οἱ ἑπτὰ κεκοίμηνται παῖδες, || πλεῖστα θαύ- *f. 135* ματα τελέσασαν ἔν τε τῇ καταθέσει καὶ τῷ μετὰ ταῦτα χρόνῳ.

6. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἄξιον δὲ καὶ περὶ τῆς ἀνακομιδῆς τοῦ τιμίου ταύτης διαλαβεῖν λειψάνου. Λέων ὁ ἐν εὐσεβεῖ τῇ λήξει βασιλεὺς Ῥωμαίων ὁ μέγιστος, τὴν περικαλλῆ μονὴν τοῦ δικαίου Λαζάρου κρηπίδων ἐξ αὐτῶν δειμάμενος καὶ παντοίας ὕλης

1 ἡ || 8 Τᾶυτα || 11 σὺνδιατρίψαι || 14 κατίδεῖν || 20 παρουδὲν || 21 κατεί-λήφει || 28 παρατίθησιν || 31 τελεσαδ^α

7 τοῦ Εὐαγγελίου: ***Mariam Magdalenam commemorant*** Matth. 27, 56 et 61; 28, 1; Marc. 15, 40 et 47; 16, 1 et 9; Luc. 8, 2 et 24, 10; Ioh. 19, 25; 20, 1, 11, 16, 18.

κατακοσμήσας τεχνάσμασι, φιλάγιος ὢν ἅτε καὶ φιλοδίκαιος καὶ λειψάνοις ἁγίοις ἐθέλων ἐντιμότερον τὸν ναὸν καθεστάναι, τὴν μεγάλην ταύτην Μαγδαληνὴν ἐξ Ἐφέσου τιμητικῶς ἅμα καὶ φιλευσεβῶς ἀνακομισάμενος ταύτῃ δὴ τῇ μονῇ φιλοτίμως κατέθετο. καὶ νῦν ἐστι τιμωμένη πιστῶς ἐν αὐτῇ καὶ λαμπρῶς, ἐν ἐτησίοις μνήμαις ποθεινῶς ἑορταζομένη καὶ πανηγύρεσιν.

col. 2 *7. Καὶ οὕτω μὲν ἐκ πολλῶν ὀλίγα τὰ σά, Μαρία | θαυμαστὴ καὶ ὑπέρτιμε· σὺ δὲ τὰς ἀθανάτους νῦν οἰκοῦσα σκηνὰς καὶ σὺν ἀγγέλοις περὶ τὸν θρόνον χορεύουσα τὸν δεσποτικὸν καὶ τὰς ὑπὲρ τοῦ κόσμου ποιουμένη λιτάς, αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ πιστῷ καὶ ὀρθοδόξῳ καὶ πᾶσιν ἐμπρέποντι τοῖς καλοῖς μεγίστας νίκας κατὰ τῶν ἀντιπάλων, ἰσχύος θείας κατ' αὐτῶν συμμαχίαν, χεῖρα κραταιάν, εὐσθενῆ καὶ γενναίαν, ἀνατρέπουσαν βουλὰς αὐτῶν καὶ τρόπους, ἤρεμον ὡς ἂν τὸ βασίλειον ἕξοι, λάμπον τροπαίοις καὶ νίκαις ἐστεμμένον, πάσαις εὐθηνοῦν πράξεσιν ἐναρέτοις καὶ βασιλείας οὐρανῶν ἐπαξίαις· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

f. 135v

Μηνὶ τῷ αὐτῷ κγ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΦΩΚΑ.

1. Τραϊανοῦ τοῦ βασιλέως τῶν τῆς Ῥώμης ἄρτι κακῶς ἐπειλημμένου σκήπτρων καὶ Ἀφρικανοῦ τοῦ ὑπάρχου, σκαιοῦ ἀνδρὸς καὶ τὰ πάντα δεινοῦ, τῆς εἰδωλικῆς εἰς ἅπαν ἀντιποιουμένου μανίας καὶ διωγμὸν κινήσαντος κατὰ χριστιανῶν οὐ μικρόν, ὁ μεγαλόφρων οὗτος Φωκᾶς συσχεθεὶς τῷ βήματι τούτου προσάγεται καὶ ὄνομα ἐρωτηθεὶς καὶ πατρίδα καὶ σέβας, ἐπεὶ περὶ τούτων ἀπελογίσατο, πρὸς ἄρνησιν ἐξεκαλεῖτο Χριστοῦ καὶ τοῖς κιβδήλοις εἰδώλοις προσενεγκεῖν θυσίαν κατηναγκάζετο. τοῦ δὲ τὴν εἰς Χριστὸν πίστιν ἀμετάθετον ἔχειν εἰπόντος καὶ [ὅτι] οὐκ ἄν, εἴ τι καὶ γένοιτο, ἀθετῆσαι ταύτην ἀνάσχοιτο φήσαντος, ὁ δεινὸς οὗτος Ἀφρικανὸς ἐνέκειτο διὰ ταῦτα κακῶσαι τὸν μάρτυρα.

3 *μαγδαλινὴν* || 7 *ὀλίγα* || 27 *Τοῦ δὲ* || 28 *ὅτι* **inserui** || 29 *ἐνέκει[τ]ο* (*τ* *littera evanuit*).

2. Σεισμοῦ γοῦν αἴφνης γεγε|νημένου μεγάλου, καταπεσὼν ὁ col. 2 *ἀνόσιος ἄπνους ἔκειτο σχεδὸν καὶ νεκρός. τῶν οὖν ὑπ' αὐτὸν στρατιωτῶν δεηθέντων τοῦ ἁγίου, καὶ μάλιστα τῆς αὐτοῦ γυναικὸς πολλὰς δεήσεις πρὸς αὐτὸν ὑπὲρ τούτου ποιησαμένης, ὁ συμπαθὴς καὶ τοῦ συμπαθοῦς Χριστοῦ μαθητής, εὐχῇ χρησάμενος, ἀνέστησέ τε τοῦτον καὶ ὑγιᾶ τοῖς πᾶσι παρέστησεν.*

3. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ ἐπεὶ κηρύττων ἦν ὁ Φωκᾶς καὶ τὸν λόγον διδάσκων τῆς ἀληθείας, καὶ τοῦτο μεμαθήκει βασιλεὺς ὁ παράνομος, ἄγεται πρὸς αὐτὸν καὶ τῆς εἰς Χριστὸν πίστεως ἀποστῆναι παραβιάζεται, βασάνους ἀπειλεῖται καὶ κολάσεις πολλάς, εἰ μὴ τοῖς ἀσεβέσι δαίμοσι θυσίαν προσοίσει· ναὶ δὴ καὶ θάνατον αὐτὸν ἐπανατείνουσιν οἱ κατάρατοι. ἀλλ' ἐπεὶ μὴ φόβῳ, μὴ δειλίᾳ τὸ σύνολον ἐντεῦθεν ὑπεῖξε, ξέεται κρεμασθεὶς δεινῶς τὰς πλευράς, καὶ σάρκες || αὐτοῦ πρὸς γῆν σὺν αἵματι καταρρέουσι. f. 136 *καὶ ἐπεὶ Φωκᾶς ἦν ἐκεῖνος, Φωκᾶς ἐγνωρίζετο ὁ στερρὸς τῆς ἀληθείας ἀγωνιστὴς καὶ πρόμαχος καὶ οὐδαμῶς ἐνεδίδου πρὸς τὰς βασάνους, βόθρῳ τιτάνου πλήρει ζῶντος ἐμβάλλεται. εἶτα τῆς θείας αὐτὸν χάριτος διαφυλαξάσης σῶον ἅμα καὶ ἀβλαβῆ, ὁ βασιλεὺς ὅλος ἐξαπορηθεὶς καὶ μὴ οἷός τε ὢν μεταπεῖσαι τὸν ἅγιον, λουτρὸν ἐκκαυθῆναι κελεύει σφοδρῶς, εἶτα τὸν μάρτυρα τούτῳ φρικτῶς ἐμβληθῆναι· γίνεται τοῦτο, καὶ εὐχὴν ὁ μάρτυς εἰς Θεὸν ποιησάμενος τῷ Θεῷ τὸ πνεῦμα παρέθετο, τὸ δέ γε τούτου πανίερον λείψανον τοῖς φιλοθέοις κατέλιπε νόσων ἴαμα καὶ παντοίων κακῶν ἰατήριον, δαιμόνων ἀμυντήριον καὶ λυπηροῦ παντὸς ἀποτρόπαιον. καὶ μή τις ἐκεῖνον τοῦτον εἶναι τὸν κηπουρὸν τὸν ἀπὸ Σινώπης ὡρμημένον λογίσοιτο, τὸν | υἱόν φημι Παμφίλου καὶ τῆς* col. 2 *Μαρίας· ἄλλος γὰρ οὗτος καὶ ἄλλος ἐκεῖνος.*

4. Διὸ δὴ καὶ τῷ μεγίστῳ τούτῳ μάρτυρι καὶ τὰ πάντα καλῷ προσιόντες δεήσεις προσοίσωμεν ὑπὲρ βασιλέως ἡμῶν τοῦ θεοστεφοῦς καὶ τὰ πάντα καλοῦ, ἵν' εὐχαῖς αὐτοῦ καὶ πρεσβείαις μῆκος αὐτῷ ζωῆς παράσχοι καὶ καλῶν ἀφθονίαν, ἰλύος παθῶν ἀπαλλαγὴν καὶ νόσων, χώρας δικαίων τὴν καλὴν κατοικίαν, ἀΰλων μονῶν τὴν σεμνὴν εὐκληρίαν, ἡλίου λάμψιν τῆς τριφεγγοῦς οὐσίας, πάντων ἀγαθῶν τὴν μετάληψιν πᾶσαν καὶ βασιλείας αὐτοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

---

6 *παρεστη^{ε}σ* || 7 *Χρόνοσ* || 26 *υἱὸν φημὶ*

Μηνὶ τῷ αὐτῷ ιδʹ.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΧΡΙΣΤΙΝΗΣ.

1. Τὴν χριστεπώνυμον καὶ μεγάλην Χριστῖναν, τὴν παρθένον f. 136v *λέγω καὶ μάρτυρα, Τύρος ἡ πόλις ἤνεγκε (μία δὲ || τῶν τῆς Συρίας πόλεων αὕτη), ἔτεκον δὲ γεννήτορες οὐ τῆς εἰς Χριστὸν πίστεως μύσται, δαιμόνων δὲ μᾶλλον θεραπευταί. ταύτην ὡραίαν οὖσαν καὶ τἄλλα χρηστὴν ὁ πατὴρ Οὐρβανός (οὕτω γὰρ ἐκαλεῖτο), τῷ τοῦ στρατηλάτου τιμώμενος ἀξιώματι, πύργον οἰκοδομήσας ὑψηλὸν ὅτι καὶ λίαν περικαλλῆ, τίθησι ταύτην ἐπ' αὐτῷ θεραπαίναις σὺν οὐκ ὀλίγαις· παρατίθησι καὶ τῶν νομιζομένων θεῶν ἤ, μᾶλλον εἰπεῖν τἀληθές, τῶν δαιμόνων ξόανα, ὡς ἂν ἔχοι θύειν αὐτοῖς καὶ μὴ θεατὸν εἴη τὸ κάλλος αὐτῆς τοῖς πολλοῖς. καὶ ταῦτα μὲν οὕτος.*

2. Ἀλλ' ἡ τοῦ πνεύματος χάρις τῆς ψυχῆς αὐτῆς ἀφανῶς ἁψαμένη θεογνωσίας αὐτὴν κατελάμπρυνε φέγγει. καὶ δὴ πρὸς οὐρανὸν ἀτενίζουσα καὶ πρὸς γῆν ἐνορῶσα καὶ τὰ ἐν τούτοις κάλλη κατανοοῦσα, χορὸν ἀστέρων, ἀνθῶν ποικιλίαν καὶ τἄλλα πάντα τὰ col. 2 *ἐν αὐτοῖς, τὸν | δημιουργὸν αὐτῶν, ὅστις ἄρα καὶ εἴη, καλῶς ἐζήτει μαθεῖν. μυεῖται τοίνυν τὴν γνῶσιν παρὰ τῆς πάντα σοφῶς οἰκονομούσης προνοίας, ἀγγέλου καταπεμφθέντος καὶ πάντα τὰ περὶ τούτων διδάξαντος· ἔνθεν τοι καὶ τὰ ἐκ χρυσοῦ καὶ ἀργύρου συγκείμενα ξόανα κατὰ λεπτὸν διελοῦσα τοῖς πενομένοις διένειμεν ἄνωθεν.*

3. Μιᾷ γοῦν τῶν ἡμερῶν οἱ γεννήτορες εἰς ἐπίσκεψιν αὐτῆς ἀνιόντες, ἐπεὶ μὴ εὗρον τὰ εἴδωλα, τὰς θεραπαίνας ἤταζον, «Ποῦ» λέγοντες «οἱ θεοί; τί γέγονεν;» αἱ δὲ φόβῳ ληφθεῖσαι τάχος ἤρξαντο καταλέγειν τὸ δρᾶμα. πλησθεὶς οὖν ἐκεῖνος ὀργῆς, τῇ θυγατρὶ προσιών· «Τί τοῦτο, Χριστῖνα, τὸ παρὰ σοῦ πεπραγμένον; οἱ θεοὶ ἄρα ποῦ;» καὶ ἅμα χειρὶ κατὰ κόρρης ἔτυπτεν αὐτὴν ὁ κατάρατος. f. 137 *εἶτα τὸν θυμὸν ἐπὶ μᾶλλον ἐκκαύσας καὶ μαστίζεσθαι || ταύτην ἐκέλευσεν. ἐπὶ πολὺ γοῦν σφοδρῶς ὑπὸ τῶν δορυφόρων μαστιζομένης τούτοις μὲν τὸ ἄτονον, ἐκείνῃ δὲ τὸ εὔτονον προσεγένετο.*

8 *τᾶλλα* || 13 *οὑ*: an *οὕτως*? || 16 *ἐνόρῶσ* || 17 *χορῶν — τᾶλλ* || 21 *ἔνθέντοι* || 23 *γοῦν* || 27 *χριστῆνα* || 28 *κόρησ*

4. Τῷ τοι καὶ τῇ φυλακῇ ταύτην ὁ ἀνόσιος δίδωσι. πρὸς ἣν ἡ μήτηρ λύπῃ συσχεθεῖσα δεινῇ παραγίνεται καὶ «Τέκνον ἐμόν», λέγει, «τέκνον ποθεινόν, τέκνον ἀθλίας μητρός, τί με τοιούτοις καὶ τοσούτοις καθυπέβαλες τοῖς κακοῖς; τί τὸν σὸν πατέρα καθύβρισας, τοὺς θεοὺς ἀτιμάσασα; νῆψον, ὦ τέκνον, καὶ σώθητι, τὸ θέλημα τοῦ γεννήσαντος πράττουσα». — «Μή μοι, ὦ μῆτερ», ἔφη ἡ μάρτυς, «τοιαῦτα πρόσφερε ῥήματα· μὴ συμβούλευε τοῦ φωτὸς ἀνθαιρεῖσθαι τὸ σκότος· οἱ γὰρ θεοὶ ὑμῶν δαιμόνιά εἰσιν ἄντικρυς, ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησε· Χριστοῦ γὰρ ἐγὼ δούλη, οὗ καὶ τὴν κλῆσιν σαφῶς περιφέρω».

5. Τῆς οὖν μητρὸς αὐτὰ τῷ ἀνδρὶ προσαγγειλάσης εὐθὺς καὶ ὡς ἀμεταθέτως ἔχοι τὸ τέ|κνον τοῦ σκοποῦ καὶ πολλὴν εἰς τοῦτο col. 2
ποιεῖ τὴν ἔνστασιν, ἐκεῖνος περὶ τοὺς ὄρθρους ἀναστὰς καὶ προκαθίσας ἐπὶ τοῦ βήματος ἄγεσθαι τὴν Χριστῖναν κελεύει, θυμομαχῶν ὁ μισότεκνος. δεδεμένης τοίνυν ἀχθείσης αὐτῆς, «Θῦσον» ὁ κακότροπος ἔφη, «Χριστῖνα, ἵνα μὴ κακῶς ἀποθάνῃς. οὐδὲ γὰρ ὡς τέκνῳ σοι προσενεχθήσομαι πάντως, ἀλλ' ὡς ἐχθρᾷ τῶν θεῶν». καὶ ἡ μάρτυς· «Μή σοι εἴη καλῶς, υἱὲ διαβόλου, ἵν' ἐγώ σου θύσω τοῖς δαίμοσιν ἢ τέκνον σὸν ἀπό γε τοῦ νῦν ἔσομαι. ποίει λοιπὸν ἐπ' ἐμοὶ τῇ Χριστοῦ δούλῃ τὸ σοὶ παριστάμενον». τότε κρεμασθεῖσαν αὐτὴν ἐκέλευσεν ὁ τύραννος ξέεσθαι. ξεομένης οὖν αὐτῆς καὶ δεινῶς κατατεμνομένης τὰς σάρκας, αἵματος μὲν ἡ γῆ, εὐχῆς δὲ τὸ πανίερον αὐτῆς καὶ πανόσιον ἐπληροῦτο στόμα, εἰς βοήθειαν τὸν Χριστὸν ἐπικαλουμένης. ||

6. Ὁρῶν οὖν ὁ βέβηλος ὡς ἄλλου πάσχοντος διακειμένην αὐτήν, f. 137v
τροχὸν ἐνεχθῆναι κελεύει καὶ πῦρ ὑπὸ τοῦτον στρωθῆναι, πίσσης ἐκτρεφόμενον καὶ ἐλαίου, δεθῆναί τε ταύτην τῷ τροχῷ καὶ στρέφεσθαι τοῦτον, ἵν' ἔχοι φλέγεσθαι σῶμα ἐκεῖνο τὸ παρθενικὸν στρεφομένου τούτου τῷ πυρὶ καὶ κατατήκεσθαι. γίνεται τοῦτο, καὶ ἀπαθὴς μὲν ἡ μάρτυς διασέσωστο τοῦ πυρός, τῶν δὲ παρεστώτων οὐκ ὀλίγοι τούτου γεγόνασι παρανάλωμα. μὴ ἔχων οὖν ὅ τι καὶ πράξει τὸ τοῦ δαίμονος ἐργαστήριον ὁ δεινὸς Οὐρβανὸς δίδωσι ταύτην τῇ φυλακῇ, παραγγείλας μηδὲν αὐτῇ πρὸς διατροφὴν τὸ παράπαν δοθῆναι, τούτοις οἰόμενος ὁ κακοῦργος μεταπείσειν αὐτὴν τοῦ σκοποῦ. εἰς μάτην δὲ τὸ ἐπινόημα τούτῳ κεχώρηκεν. ἄγγελος γὰρ κυρίου καταβὰς ἐψώμισε ταύτην θείᾳ τροφῇ καὶ τὰς πληγὰς|
αὐτῆς θεραπεύσας πρὸς τὸ μαρτύριον ἤλειψεν. col. 2

7. Ἐκεῖνος οὖν ὁ κακομήχανος Οὐρβανὸς στρατιώτας πέμψας

1 τώτοι — δίδωσιν || 7 τοιαύτα || 8 δαιμόνια εἰσὶν || 11 Τῆσ || 22 κατάτεμνομέν || 25 Ὁρῶν || 27 δεθῆναι τὲ || 33 μὴδὲν

ἐν νυκτί, λαβεῖν αὐτοὺς ἐκέλευσε ταύτην, πλοίῳ τε ἐμβαλεῖν καὶ λίθῳ τοῦ τραχήλου ἐκδήσαντας κατὰ τὸ μεσαίτατον τοῦ πελάγους ἀφεῖναι, ὁ μαθητὴς ταῦτα τοῦ δαίμονος· ἀλλ' ἡ θεία πρόνοια διεσώσατο τούτου γενομένου τῆς θαλάσσης τὴν μάρτυρα καὶ πρὸς τὴν ξηρὰν ἐξεβίβασε, τῶν ὑδάτων — ὢ τῆς μεγάλης σου δυναστείας, Χριστὲ βασιλεῦ, — ὑπεράνωθεν βαίνουσαν· ἐν οἷς καὶ τὸ λουτρὸν τῆς ἀφθαρσίας δι' ἀγγελικῆς ἐπιστασίας ἀπείληφεν, αἰτησαμένη τοῦτο λαβεῖν.

8. Περιπατοῦσαν οὖν αὐτὴν τὸν αἰγιαλὸν ὁ κάκιστος Οὐρβανὸς θεασάμενος (διὰ τούτου γὰρ ἀπῄει πρὸς τὸ πραιτώριον) συσχεθῆναι κελεύει καὶ προσαχθῆναι τῷ βήματι, πολλὰ χαλεπήνας πρό||
f. 138 *τερον τοῖς στρατιώταις, ὡς μὴ τὸ κεκελευσμένον δῆθεν ποιήσασι. ποῦ γὰρ καὶ εἶχεν ἡ παχεῖα συνεῖναι ψυχὴ καὶ γεώδης, ὡς θεία τις αὐτὴν διεσώσατο δύναμις; ἐπεὶ δὲ πίστιν ἔλαβε παρ' αὐτῶν, «Ὅθεν σοι» λέγει, «Χριστῖνα», πρὸς ταύτην ἐπιστραφεὶς «προσεγένετο τὸ μαγεύειν καὶ δεσμεῖν καὶ ὕδατα; τίς ἄρα σοι τὴν παίδευσιν ταύτην ὁ χαρισάμενος;» ἡ δὲ «Μὴ μαγείαν τοῦτο ὑπολάμβανε, τρισάθλιε, δύναμιν δὲ τοῦ ἐμοῦ Χριστοῦ καὶ βοήθειαν, ὅς σε τάχος τῆς ἀρχῆς παραλύσει καὶ τῷ αἰωνίῳ παραπέμψει πυρί». θυμοῦται καὶ πάλιν ὁ κάκιστος καὶ τῇ φυλακῇ παραδίδωσι ταύτην σκεπτόμενος, ὅπως αὐτὴν ἀποκτείνει. ἀλλ' ὁ ἄφρων ἐν ἐκείνῃ τῇ νυκτὶ τὴν ψυχὴν ὀδύναις βαλλόμενος δριμυτάταις ἀπέρρηξεν.*

9. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ τὴν ἀρχὴν ἐκείνου Δίων
col. 2 *οὕτω καλούμενος, ἀνὴρ σκο|λιὸς καὶ κακότροπος, διαδέχεται· ᾧτινι γνωρίσαντες οἱ τῆς τάξεως τὰ περὶ τῆς μάρτυρος, ἐγχειρίσαντες δὲ καὶ τὰ ὑπομνήματα, παραστάσιμον αὐτήν, τούτου κελεύσαντος, ἐν τῷ βήματι πεποιήκασι. φησὶν οὖν ἐκεῖνος πρὸς αὐτήν· «Ἵνα τί, καλὴ νεᾶνις, τοὺς θεοὺς καταλιποῦσα τῇ πλάνῃ προσῆλθες καὶ βασιλικοῦ τυγχάνουσα γένους τὸ ἄτιμον ᾑρετίσω τοῦτο καὶ πᾶσι τοῖς νοῦν ἔχουσιν ἀποτρόπαιον;» καὶ ἡ μάρτυς «Καλῶς» εἶπεν, «ὦ ἄρχων, διασκοπήσασα τοῦ ψεύδους προέκρινα τὴν ἀλήθειαν, τὸ ἄτιμον τοῦτο καὶ ἀποτρόπαιον τιμῆς μοι καὶ δόξης αἴτιον γενήσεσθαι σαφῶς ἐξεπισταμένη».*

10. Τότε κελεύει, καὶ τύπτεται μὲν ἡ μάρτυς πικρῶς· εἶτα καὶ τηγάνῳ σφοδρῶς ὑπὸ πυρὸς ἐκκαέντι, πεπληρωμένῳ πίσσης, ἐλαίου τε καὶ κηροῦ καὶ ῥητίνης, ἐμβάλλεται, ἀλλὰ καὶ σώζεται παραδόξως,
f. 138v *τοῦ || Χριστοῦ φρουροῦντος ἐν ἅπασι τοὺς αὐτὸν ἀγαπήσαντας.*

1 τὲ || 2 *λίθον?* || 3 *ἀφῆναι* || 5 *ἐξεβήβαδ̃* || 9 *περιπατοῦ|Cαν* || 12 *ποιήσασιν* || 13 *θείάτισ* || 17 *Ἡ δε̃* || ibid. *τρισαθλιε* ***sine acc.*** || 21 *ἀποκτείνῃ?* || 22 *ἀπέρρηξε* || 28 *νεάνισ — βασιλεικοῦ* || 29 *τούτο* || 36 *τὲ — ῥιτίνησ*

τούτου δὲ γενομένου ξυρᾶται τὴν κεφαλὴν ἡ γενναία καὶ διὰ τῆς ἀγορᾶς γυμνὴ θριαμβεύεται· ἀλλὰ καὶ καταστολὴν ἐνδύεται παρὰ Θεοῦ καὶ σωτηρίας ἱμάτιον. εἰς τὸν ναὸν τῶν εἰδώλων εἰσάγεται, θυσίαν ὡς ἂν αὐτοῖς προσενέγκοι, καὶ τὸ τοῦ Ἀπόλλωνος ἄγαλμα μεθιστᾷ τῆς στάσεως, ἔξω τε τοῦ ναοῦ ὡς ἀπὸ διαστήματος οὐκ ὀλίγου μετάγει καὶ θάμβους πληροῖ τοὺς ἰδόντας. μανίᾳ καὶ φόβῳ κατάσχετος ὁ ἄρχων γενόμενος οὐκ εἶχεν ὅ τι καὶ πράξειε. συντρίβει τὸ εἴδωλον ἡ γενναία προσευχῇ καὶ δεήσει καὶ εἰς κόνιν λεπτύνει. καὶ ὁ ἄρχων, μὴ φέρων τὸ γεγονός, πεσὼν ἐπὶ γῆς ἀπέψυξεν.

11. Πολλοὶ οὖν τῶν Ἑλλήνων ἐπίστευσαν εἰς Χριστόν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες. ἡ μάρτυς δὲ πάλιν τῇ φυλακῇ ὑπὸ τοῦ συγκαθέδρου τοῦ ἄρχοντος παρεδόθη. καὶ | ἐπείπερ Ἰουλιανός τις, τὴν col. 2 *κακίαν τῷ προτέρῳ παρόμοιος, εἰς ταύτην τὴν ἀρχὴν ἀπεστάλη καὶ τὰ περὶ τῆς μάρτυρος ἔγνω, τῆς τάξεως ἀνενεγκούσης τούτῳ ἅπαντα, παρίστησι ταύτην καὶ οὗτος ἐπὶ τοῦ βήματος καὶ «Λέγε μοι, γύναι», φησὶ πρὸς αὐτήν, «θύεις τοῖς θεοῖς, ἢ ταῖς αὐταῖς ἐπιμένεις ἐνστάσεσι; πλὴν μὴ ὑπολάμβανε νίκην ἐπ' ἐμοὶ κτήσασθαι, κατὰ μικρὸν γάρ σου τὸ σῶμα ταῖς βασάνοις ἐξαναλώσας οὕτω σε καὶ πυρὶ παραδώσω».—«Μὴ ὑπολάμβανε καὶ σύ, παράνομε, νικῆσαί μέ ποτε, τὴν δούλην τοῦ Χριστοῦ», εἶπεν ἡ μάρτυς, «ταῖς ἠπειλημέναις σου κολάσεσιν· οὗτος γὰρ αὐτός μοι παρίσταται βοηθὸς ὁ Χριστός· ποίει τοιγαροῦν τὸ σοὶ παριστάμενον».*

12. Κάμινος οὖν εὐθὺς ἐφ' ἡμέραις τρισὶν ὑπεκκαίεται καὶ πρὸς αὐτὴν ἡ μάρτυς ἐμβάλλεται· σώζεται δὲ παραδόξως καὶ ταύτης, || ἀγγέλων συγκαταβάντων καὶ συμψαλλόντων αὐτῇ. ὧν οἱ κολασταὶ f. 139 *τῶν φωνῶν ἐπακούσαντες ἀναφέρουσι περὶ τούτων τῷ ἄρχοντι· καὶ ὃς ἀφικόμενος, ἐπεὶ μηδένα ἑώρα ἢ μόνην τὴν μάρτυρα, ἐξάγει ταύτην ἐκεῖθεν καὶ τῷ βήματι παριστᾷ καὶ γοητείαν τὸ πρᾶγμα καλεῖ καὶ θῦσαι τοῖς δαίμοσιν ἐγκελεύεται· καὶ ἐπεὶ μὴ πειθομένην εἶχε, θηρίοις αὐτὴν ὑποβάλλει καὶ ἰοβόλοις ὄφεσιν. ἀλλὰ σώζει καὶ τούτων αὐτὴν ὁ Θεὸς καὶ ἄδηκτον συντηρεῖ. καὶ οὕτω μὲν αὐτὴ διεσώθη, οὐ μὴν δὲ καὶ θηριοτρόφος αὐτός· ἐπελθόντα γὰρ τὰ θηρία θανατοῦσιν αὐτόν· ἀλλ' ἡ μάρτυς εὐχῇ τοῦτον ἀνέστησε καὶ πάντας τοὺς παρατυχόντας ἐξέπληξεν.*

13. Ὁ τοίνυν ἀνόσιος ἄρχων ὅλως ἐξαπορηθεὶς τέμνει, φεῦ, τοὺς μαστοὺς τῆς ἁγίας· ὧν γάλα ἐκρυὲν ἀντὶ αἵματος θάμβους ἐνέπλησε τὰς τῶν ἰδόντων ψυχάς· | δίδοται τοίνυν καὶ πάλιν ἡ μάρ- col. 2

1 γενναῖα || 2 καὶ (α above) |στολήν || 4 θυσίανωσ || 5 ἀποδιαστήματοσ || 8 γενναῖ (α above) || 9 ἀπέψυξε || 18 σώμα || 20 με ποτὲ || 22 τοιγαροῦν || 25 αὐτῷ || 26 φονῶν || 30 εἶχεν— ὑποβάλει || 32 διέσώθη || 34 ἀνέστησεν.

τυς τῇ φυλακῇ· καὶ γυναῖκές τινες πρὸς αὐτὴν ἀπιοῦσαι τῶν γενομένων ἕνεκα συμφορῶν πιστεύουσιν εἰς Χριστόν, ἑπτὰ τὸν ἀριθμὸν οὖσαι. πρωΐας δὲ γενομένης προσάγεται πάλιν τῷ βήματι καὶ πάλιν πρὸς θυσίαν καλεῖται. οὐ πείθεται. καὶ τέμνεται, φεῦ, τὴν γλῶτταν ῥιζόθεν, εἶτα καὶ καιρίας δέχεται ξίφει πληγάς, μίαν μὲν κατὰ τῆς γαστρός, ἑτέραν δὲ κατὰ τῆς πλευρᾶς, καὶ οὕτω τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται. κατὰ πόδας οὖν ἡ δίκη καταλαμβάνει τὸν παράνομον ἄρχοντα· θεηλάτῳ γὰρ πληγῇ τὴν ψυχὴν ἀπέρρηξεν ἐν κακῷ· τινὲς δὲ τῶν προσηκόντων πιστῶν, ὦ καλλίνικε, κατὰ γένος σοι, καὶ παρθένε καὶ μάρτυς, τὸ τίμιον ἀνελόμενοι σῶμά σου, φιλοτίμως ἔθαψαν, σημεῖα πλεῖστα τελοῦν καὶ τεράστια.

14. Αὐτὴ δὲ τὰ νῦν τῷ δεσποτικῷ θρόνῳ παρισταμένη αἴτησαι f. 139v *βασιλεῖ ἡμῶν τῷ || φιλοθέῳ δοθῆναι μενόντων καλῶν τὴν ἀπόλαυσιν, ἱλασμὸν ἐπταισμένων καὶ λύτρωσιν, χαλεπῶν ἐγκλημάτων τὴν ἄφεσιν, ἁμαρτημάτων αὐτῶν τὴν συγχώρησιν, ἥμερον ἐν τῇ κρίσει καὶ συμπαθῆ τὸν κριτήν, λύοντα τούτῳ συνδέσμους ὀφλημάτων πάντων, νέμοντα τὴν συμπάθειαν τάχος καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κε΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΕΥΠΡΑΞΙΑΣ.

1. Ἡ καλλίστη γυναικῶν Εὐπραξία, ἡ τῇ κλήσει κατάλληλον ἐσχηκυῖα τὴν πρᾶξιν, συγκλητικοῦ τινος πατρὸς Ἀντιγόνου καὶ μητρὸς Εὐπραξίας θυγάτηρ γεγένητο. Θεοδόσιος ἐβασίλευε τότε, προσήκων κατὰ γένος τῷ Ἀντιγόνῳ· ταύτην τοῦ πατρὸς τὸν βίον ἀπολιπόντος, ἀνδρὸς τὰ πάντα καλοῦ καὶ πάσαις ἀρεταῖς διαπρέποντος, col. 2 *ἡ φιλόθεος καὶ | φιλόπαις μήτηρ λαβοῦσα νέαν ἔτι τὴν ἡλικίαν ἄγουσαν, μὴ βουλομένη πάντως αὐτὴν γάμοις καταχρανθῆναι, ἐν Θήβαις ταῖς κατ᾽ Αἴγυπτον γίνεται, πολλῶν ἐκεῖσε κτημάτων ἐν*

1 *γυναῖκεσ τινέσ* || 5 *ῥιζῶθεν* || 10 *σῶμα*$\overset{\text{υ}}{\text{σ}}$ || 24 *τινόσ* || 30 *καταίγυπτον*

εὐπορίᾳ τυγχάνουσα. τούτων οὖν τιθεμένη φροντίδα τῆς ψυχῆς οὐμενοῦν ἠμέλει τὸ παράπαν· περιῆγε τὰ μοναστήρια καὶ τῶν ἀσκουσῶν γυναικῶν ἠρεύνα τοὺς βίους καὶ ζηλωτοὺς ἔκρινε τούτους καὶ ὄντως μακαριστούς· ἐδίδου δὲ καὶ πλεῖστα τοῖς τε μοναχοῖς καὶ τοῖς πένησι χρήματα καὶ πᾶσιν ἄλλοις τοῖς ἐν τοῖς θείοις οἴκοις τῶν ἁγίων ὑπηρετοῦσιν.

2. Οὕτως οὖν ἔχουσα καὶ οὕτω βιοῦσα καταλαμβάνει μονήν τινα διακειμένην ἐν καλῷ τοῦ ἀέρος, ἐν ᾗ γυναῖκες διῆγον φίλαι Θεῷ τριάκοντα πρὸς ταῖς ἑκατόν, βίον τρέχουσαι λίαν ἐπίπονον καὶ τραχύν· ἄρτου γὰρ καὶ ὕδατος μόνων μετελάμβανον, ἔστι δὲ ὅτε || καὶ f. 140 *λαχάνων ὠμῶν καὶ ὀσπρίων. οὐκ ἦν ἐν αὐταῖς πραγμάτων φροντίς, οὐ πρόσοδοι γνωριζόμεναι, οὐδὲν ἢ μικρὸν ἢ μέγα τῶν βιωτικῶν περιπετειῶν· τρίχινον αὐταῖς ἦν ἡ ἐσθὴς καὶ κλίνη τὸ ἔδαφος. τούτων οὖν τὸ μοναστήριον κατὰ τοῦτον δὴ τὸν λόγον ἡ Εὐπραξία ποθήσασα συνεχῶς αὐτῷ παρέβαλλε σὺν τῇ θυγατρὶ καὶ πάσας ἠσπάζετο τὰς ἀδελφὰς καὶ πασῶν ἀπέλαυε τῶν εὐχῶν· ἐφίλει δὲ καὶ μᾶλλον τὴν Θεοδούλην (αὕτη γὰρ κλῆσις τῇ προεστώσῃ) καὶ εὔχεσθαι ὑπὲρ ἑαυτῆς παρεκάλει, ναὶ δὴ καὶ τὸ τέκνον τὴν Εὐπραξίαν καθαρὰν ἠξίου συντηρηθῆναι τῶν κοσμικῶν ῥυπασμάτων.*

3. Μιᾷ γοῦν τῶν ἡμερῶν ἡ Θεοδούλη πρὸς τὴν κόρην φησὶ χαριέντως· «Τέκνον Εὐπραξία, βούλει συνεῖναι κατὰ τὸ σχῆμα ταῖς ἀγαπωμέναις ἡμῖν;» — «Ναί», εἶπεν ἐκείνη, «κυρία μου, | εἴπερ ἀρε- col. 2 *στὸν τοῦτο καὶ μητρὶ καταφαίνοιτο».—«Ἀλλὰ νηστεύειν ἔχεις παραμένουσα, τέκνον, ὧδε καὶ ἀγρυπνεῖν καὶ προσεύχεσθαι». — «Βούλομαι τοῦτο» εἶπεν ἡ παῖς. τῆς μητρὸς οὖν μελλούσης ὑποχωρεῖν (ἑσπέρα γὰρ ἦν), ἡ Εὐπραξία ταῖς μοναζούσαις συνέσεσθαι ταύτην παρελιπάρει. τί οὖν ἡ καλὴ μήτηρ; τῇ δεσποτικῇ τάχος εἰκόνι προσιοῦσα, «Χριστέ», λέγει, «τὸ ἐμὸν ἀγαλλίαμα, σοί μου τὴν παῖδα προσανατίθημι». καὶ οὕτω πρὸς τὸν οἶκον ἀπεῖδεν. ἡ τοίνυν Θεοδούλη τὴν Εὐπραξίαν πλεῖστα διδάξασα μετὰ ταῦτα καὶ πολλὰ κατηχήσασα κείρει ταύτην διὰ τοῦ ἱερέως καὶ τὸ μοναχικὸν ἀμφιέννυσιν ἔνδυμα.*

4. Συχναὶ παρῆλθον ἡμέραι, καὶ τὴν μητέρα τῆς κόρης μετακαλεσαμένη τὸ τοῦ βίου τέλος γνωρίζει· «Εἶδον γὰρ τὸν Ἀντίγονον» εἶπεν «ἐν μεγίστῃ χαρᾷ σε προσκαλούμενον». ἡ δὲ τῇ θυγατρὶ τὰ προσόντα κατα||λιποῦσα μετὰ τρεῖς ἡμέρας πρὸς κύριον ἐξεδήμησε. f. 140v *μανθάνει τοῦτο βασιλεὺς καὶ γράμμασι μετακαλεῖται τὴν παῖδα·*

2 οὐ μεν οὖν || ib. *περιῆγε: an περιῄει?* || 3 ἠρεῦνα || 8 διῆγον || 13 περιπετιῶν τρύχιν? || 14 τὸ **bis scriptum** || 15 παρέβαλε || 16 ἀπέλαβε || 29 ἀπεῖδεν: ἀπῆλθεν? || 34 **post** μετακαλεσαμένη **nescio an inserendum sit** ἡ Θεοδούλη

δηλοῖ πρὸς αὐτὸν ἐκείνη, ὅτι τε συνετάξατο τῷ Χριστῷ καὶ ὡς «Σοὶ μελήσει, βασιλεῦ, τὰ τῆς οὐσίας ἡμῶν καὶ τῆς λοιπῆς θεραπείας». ἦγε δὲ τηνικαῦτα τὸν δωδέκατον χρόνον. καὶ ἦν ἰδεῖν πᾶσαν αὐτὴν ἀρετὴν μετιοῦσαν, νηστείαν, ἀγρυπνίαν, χαμευνίαν, ταπείνωσιν, εὐχάς, δάκρυα καὶ τὸ πάσαις ἐν πᾶσιν ὑπηρετεῖν καὶ δουλοῦσθαι, ναὶ δὴ καὶ τὸ τῇ προεστώσῃ ἐκκαλύπτειν τοὺς λογισμοὺς τῶν πειρασμῶν. ἥτις εὐχαῖς καὶ δεήσεσι τῇ Εὐπραξίᾳ συμπράττουσα τούτους ἐξ αὐτῆς ἀπεσόβει καὶ ματαίους ἐδείκνυ. στρώννυσι τοίνυν ὑπὸ τὸν σάκκον, ᾧπερ ἐκοιτάζετο, λίθους ὀξεῖς ἡ Εὐπραξία καὶ σποδὸν ἐπιπάσσει τῷ σάκκῳ. ἀλλ' ἐπείπερ οἱ πειρασμοὶ καὶ ἔτι col. 2 προσέ|βαλλον, αἴθριος ἐκείνη διενυκτέρευε, τεταμένας ἔχουσα τὰς χεῖρας πρὸς τὸν δυνάμενον σώζειν, μὴ ἄρτου, μὴ ὕδατος, μὴ ὕπνου γευσαμένη τὸ σύνολον· εἶχε δὲ συμπράττουσαν εἰς τοῦτο ταύτῃ καὶ Ἰουλίαν τὴν ἀδελφήν, ἀγαπωμένην ἐς τὰ μάλιστα παρ' αὐτῆς.

5. Ἄρτι δὲ τὸν εἰκοστὸν ἐπαναβαίνουσα χρόνον ὥσπερ τῇ ἡλικίᾳ οὕτω δὴ καὶ ταῖς ἀρεταῖς ἡ Εὐπραξία προέκοπτε καὶ ἦν ὡς ἀληθῶς ἄνθρωπος τοῦ Θεοῦ, τύπος καὶ ὑπογραμμὸς γινομένη ταῖς ἄλλαις. λίθους τῇ τῆς προεστώσης ἐντολῇ συνεφόρει, ἐφύρα τὸ ἄλευρον, συνεκόμιζεν ὕδωρ. ἀλλὰ καὶ ταῦτα ποιοῦσαν ὁ πονηρὸς ἐκόλαζεν. αὐτὴ δὲ καὶ ἄσιτος τὴν ἑβδομάδα διέμενε καὶ πάσαις ταῖς ἀδελφαῖς διηκόνει καὶ ἑστῶσα τὸν ἄρτον ἤσθιε καὶ ταῦτα πάντα f. 141 καὶ τὰ τούτων ἐπιπονώτερα [ποιοῦσα] διετέλει ἕως || οὗ τοὺς πειρασμοὺς ἀπεδίωξε καὶ τὸν πονηρὸν ἐξενεύρισεν.

6. Μία οὖν τῶν μοναζουσῶν, ἐντυχοῦσα κατὰ μόνας τῇ Εὐπραξίᾳ — Γερμάνα ἦν ἐκείνῃ τὸ ὄνομα, — φθόνῳ κινηθεῖσα παρὰ τοῦ δαίμονος, τὴν τῶν ἀρετῶν κτῆσιν τῇ Εὐπραξίᾳ εἰς τὴν τῆς ἀρχῆς τῆς μονῆς ἀνέφερεν ἐπιθυμίαν· ἐφέσει γὰρ τῆς προστασίας τοὺς ἀγῶνας ταύτην ἔλεγεν ἐκτελεῖν. ἀλλ' οὐκ ἐχαύνωσε τοῦτο τὸ σύνολον αὐτῇ τῆς ἀσκήσεως, ὅπερ ἦν μελέτη τοῦ δαίμονος· διὸ καὶ προθυμότερον ἥπτετο τῶν ἀγώνων. ἀλλ' ὁ πονηρὸς διάβολος οὐκ ἠμέλει τῶν πειρασμῶν· ἐν φρέατι γὰρ ἀντλοῦσαν ὕδωρ ἐπιρριπτεῖ· σώζει δὲ ταύτην ὁ κύριος. ξύλον συνθλῶσάν ποτε κατὰ τοῦ σκέλους ἐπαφεῖναι τὴν ἀξίνην ποιεῖ, ὡς μεγίστην αὐτῷ γεγενῆσθαι πληγήν. col. 2 θεραπεύει δὲ ταύτην Χριστός. ὑ|ποσκελίζει τῆς κλίμακος ὁ δαίμων ποτὲ ξύλα βαστάζουσαν, καὶ πήγνυται τούτων ἓν κατὰ τῆς παρειᾶς· συντηρεῖ δὲ ταύτης τὸν ὀφθαλμὸν (ἔγγιστα γὰρ αὐτοῦ γέγονεν ἡ διάτρησις) ἡ τοῦ ἀγαθοῦ πνεύματος χάρις ἀσινῆ καὶ ἀκέραιον. τὴν

11 διέννυκτέρευε || 14 ἐσταμάλιστα || 17 ὑπογραμὸσ || 20 εὐ|δομάδα || 22 ποιοῦσα *inserui* || 23 ἐξενεύρισε || 32 συνθλῶσαν ποτὲ || 33 ἐπαφῆναι || 35 παριᾶσ

χύτραν ζέουσαν μεθ' ἑψήματος φέρει συμποδισθεῖσα κατὰ τοῦ προσώπου ποτὲ καὶ ἀβλαβὴς τηρεῖται τῇ δυνάμει Χριστοῦ.

7. *Μεγάλη τοίνυν τὴν ἀρετὴν ἡ Εὐπραξία καὶ περίφημος γίνεται· ἔνθεν τοι καὶ νόσους τῶν προσιόντων θεραπεύει παντοίας· ἀλλὰ καὶ παραλυτικὸν παῖδα συσφίγγει καὶ δαιμονῶσαν ἐκλυτροῦται τοῦ δαίμονος· καὶ ὅπως, ὁ λόγος παραστήσει τρανῶς· ἠγριοῦτο μὲν ὁ δαίμων, ἡ πάσχουσα δὲ τοὺς ὀδόντας ἔβρυχε καὶ ἦν ὅλως ἀπρόσιτος· εἰ γάρ πού τις αὐτῇ προσπελάσειε, κακῶς τῶν χειρῶν αὐτῆς καὶ δυσχερῶς ἀπηλλά||ττετο. ταύτῃ πρόσεισιν Εὐπραξία·* f. 141v *ἄρτον αὐτῇ κομίζει καὶ ὕδωρ· καὶ οὐδὲν ἀπρεπὲς ὑπὸ ταύτης ὑφίσταται· συστέλλεται γὰρ καὶ ὡσανεὶ σωφρονεῖ τὸ γύναιον. βάλλεται πάλιν ἡ Γερμάνα τῷ φθόνῳ· μηδὲν εἶναι λέγει τοῦτο μέγα· λαμβάνει τὸν ἄρτον δὴ καὶ τὸ ὕδωρ καὶ τῇ πασχούσῃ προσάγει. δράττεται ταύτης ἐκείνη, καὶ βίᾳ τῶν χειρῶν αὐτῆς ἡ Εὐπραξία τὴν Γερμάναν ἐκβάλλει. εἶτα τί; μαστίζει τὴν πάσχουσαν τῇ ῥάβδῳ τῆς προεστώσης καὶ διώκει ταύτης τὸν δαίμονα, καὶ γίνεται θαῦμα καὶ ἔκπληξις τοῖς βλέψασιν ἅμα καὶ τοῖς ἀκούσασιν.*

8. *Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ τῆς Εὐπραξίας ἡ μετάστασις δήλη τῇ προεστώσῃ γίνεται. διαγνωσθέντος οὖν τούτου ταῖς ἀδελφαῖς χέονται τῶν ὀφθαλμῶν αὐτῶν δάκρυα, καρδιῶν ἐκπέμπονται στεναγμοί, δεήσεις ἀναφέρονται | πρὸς Χριστόν. μανθάνει* col. 2 *ταῦτα καὶ Εὐπραξία, τῆς Ἰουλίας ἀπαγγειλάσης αὐτά, καὶ θρηνεῖ μὲν ἡσυχῇ τὸ πάθος, εὐχαριστεῖ δὲ τῷ Θεῷ τῷ οὕτως οἰκονομήσαντι· νοσεῖ μικρὸν ἡ ὁσία καὶ τὴν προεστῶσαν μετακαλεῖται καὶ «Εὖξαι» λέγει, «κυρία μου, ἵνα μὴ συναντήσωσί μοι πονηροὶ δαίμονες διὰ τὰς ἐν ἀγνοίᾳ πραχθείσας μοι κατὰ τόνδε τὸν βίον πολλὰς ἁμαρτίας». δάκρυσιν οὖν συμμίξασα δάκρυα ἑκατέρας θατέρα καὶ συχνοῖς ἀσπασμοῖς τὸ τῆς ἀγάπης διάπυρον θεραπεύσασαι τὴν ἑσπέραν ἐκείνην ἡσύχασαν. περὶ μέσας δὲ νύκτας, ἐκλιπούσης ἤδη τῆς Εὐπραξίας, ἡ προεστῶσα τὰς ἀδελφὰς συγκαλεῖται. συνελθούσαις τοίνυν αὐταῖς καὶ πολλὰ ταύτης καταχεάσαις δάκρυα, εἶτα δὲ καὶ ἀσπασαμέναις, ἐκείνη χερσὶ Θεοῦ τὸ πνεῦμα παρέθετο καὶ σὺν τῇ μητρὶ κατετέθη.*

9. *Ταῦτά σου || τὰ κατὰ Θεὸν ἀγωνίσματα καὶ παλαίσματα,* f. 142 *παναοίδιμε καὶ πανθαύμαστε καὶ καλλίστη γυναικῶν Εὐπραξία· ταῦτα τὰ ἐν ζωῇ θαύματα καὶ τὰ τέρατα· τὰ γὰρ μετὰ θάνατον τίς ἂν δυνηθῇ ἐξειπεῖν; παρισταμένη τοίνυν τῷ θρόνῳ Χριστοῦ τοῦ παντάνακτος αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ πρᾴῳ καὶ συμπαθεῖ*

1 *μετ'ἑψήματοσ* || 4 *ἔνθέν τοι* || 7 *ἔβρυχεν* || 8 *που τίσ* || 11 *ωσανεὶ* *sine spir.* || 12 *μηδὲν* || 24 *εὖξαι* || 31 *καταχεάσησ* || 37 *δυνηθείη?*

καὶ τὰ πάντα καλῷ μῆκος ζωῆς ἀπήμονος καὶ καλῶν ἀφθονίαν, ἰσχὺν ἐκ Θεοῦ κατὰ τῶν ἀντιπάλων, χώρας ἐξολόθρευσιν αὐτῶν εἰς ἅπαν, ἁπάντων αὐτῶν τὴν καθαίρεσιν τάχος, ἡμέρας αὐτὸν δεῖξον υἱὸν τῆς θείας, λάμποντα φαιδρὸν τῶν ἀρετῶν τῷ κύκλῳ, πάσης καταξίωσον ἀλήκτου δόξης καὶ βασιλείας Θεοῦ τῆς κληρουχίας· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.|

---

col. 2 *Μηνὶ τῷ αὐτῷ κϛ'.*

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΕΡΜΟΛΑΟΥ, ΕΡΜΙΠΠΟΥ ΚΑΙ ΕΡΜΟΚΡΑΤΟΥΣ.

1. Τῆς ἐπιφανοῦς Νικομηδείας καὶ ὁ κλεινὸς ἐν ἱερεῦσιν Ἑρμόλαος, Ἕρμιππός τε καὶ Ἑρμοκράτης καὶ γεννήματα καὶ θρέμματα καὶ παιδεύματα· τῆς μεγάλης ἐκκλησίας ἱερεὺς ὁ Ἑρμόλαος καὶ τοῦ κλήρου ταύτης ὁ Ἑρμοκράτης καὶ Ἕρμιππος· οἵτινες διὰ τὸν ὑπὸ Μαξιμιανοῦ τοῦ τυράννου τηνικαῦτα δεινῶς ἀναρριπισθέντα κατὰ χριστιανῶν διωγμόν, ὅτε δὴ καὶ τῶν δισμυρίων ὁ χορὸς μαρτύρων ἐνήθλησεν, ὡς ἡ κατ' αὐτοὺς ἱστορία διδάσκει, δωματίῳ τινί που συγκατεκρύπτοντο, τῇ ἐν τρισὶν οἱ τρεῖς ὑμνουμένῃ προσώποις θεότητι τὰς εὐχὰς κατὰ μόνας ἀποδιδοῦντες, ἐν ἐλπίσι τε κατοικοῦντες ταῖς κρείττοσι καὶ παντὶ μηχανώμενοι τρόπῳ καὶ πᾶσαν τιθέμενοι τὴν σπουδήν, ἅτε || f. 142v *θηραταὶ τῶν καλῶν, τῆς πλάνης ἀποσπᾶν τοὺς ὅσοι ταύτῃ κατείχοντο καὶ Θεῷ προσάγειν διὰ τῆς πίστεως.*

2. Ἔνθεν τοι ζωγρεῖται καὶ Παντελεήμων ὁ καλὸς ὑπ' αὐτῶν, διδάσκεται τὴν ἀλήθειαν, φωτίζεται τῷ βαπτίσματι καὶ Θεῷ διὰ τούτου προσάγεται. χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ ἐπεὶ πρὸς τὸ μαρτύριον ἦλθε καὶ πολλαῖς ἐτάσεσι καὶ βασάνοις τὸ καλὸν τῆς νεότητος ἄνθος καθυπεβάλλετο καὶ ὃς ἄρα καὶ εἴη τῆς εἰς Χριστὸν ὁ αἴτιος αὐτῷ πίστεως ἠρωτᾶτο, μὴ εἰδὸς τὸ ἡδυεπὲς ἐκεῖνο καὶ γλυκύτατον ψεύδεσθαι στόμα φανεροῖ τὸν διδάσκαλον καὶ Ἑρμόλαον λέγει τοῦτον καλεῖσθαι καὶ ἱερέα τυγχάνειν καὶ τοῦ ὑψίστου

11 *νικομήδη* || 17 *ἡ|στορία — δοματίω* || 19 *καταμόν(ας) — ἐλπίσι τὲ* || 22 *κατεῖχοντο* || 23 *ἐνθένὶ* || 29 *φανεροὶ*

δοῦλον Θεοῦ καὶ τὸν τόπον, ᾧ ἐνεκέκρυπτο, δῆλον τοῖς ἀπεσταλμένοις ποιεῖ.

3. Συλλαμβάνεται τοίνυν ὁ πρεσβύτης καὶ ἱερεὺς καὶ προσάγεται τῷ βήματι τοῦ τυράννου· τὴν κλῆσιν ἐρωτᾶται καὶ τὴν θρησκείαν καὶ χριστιανὸν ἑαυτὸν ὁ | γέρων λέγει καὶ Χριστοῦ δοῦλον καὶ col. 2 *Ἑρμόλαον ὀνομάζεσθαι. τρέφει τὸν θυμὸν ὁ περίεργος, ὃν καὶ πρότερον συνελάβετο· οὐ μὴν καὶ τίκτει τέως καὶ σκολιὰν αὖθις προτείνεται τὴν ἐρώτησιν, «Σύνεισί σοι καί τινες ἄλλοι», εἰπών, «πρεσβῦτα;» καὶ τὸ καλὸν ἐκεῖνο γῆρας, μὴ κρύπτειν ἐπιστάμενον τὴν ἀλήθειαν, «Ναί», φησί, «βασιλεῦ». — «Καὶ τίνες οὗτοι καὶ ὅθεν καὶ τίνα τὰ τούτων ὀνόματα»; πάλιν ὁ δόλιος ἤρετο. καὶ ὁ γέρων «Χριστιανοὶ καὶ οὗτοι, βασιλεῦ», ἔφη, «καὶ τῆσδε τῆς πόλεως, Ἕρμιππος καὶ Ἑρμοκράτης καλούμενοι».*

4. Στέλλει τοίνυν ὁ κακοδαίμων αὐτίκα καὶ παρίστησι καὶ τούτους τῷ βήματι· γυμνοῖ τὴν κακίαν, τίκτει τὴν ἀνομίαν καὶ «Ὑμεῖς ἐστὲ» λέγει βλοσυρὸν εἰς αὐτοὺς ἀπιδών, «ὑμεῖς» ἐν θυμῷ ψυχῆς «οἱ τὸν Παντολέοντα τῆς τῶν θεῶν ἀποστήσαντες οἰκειώσεως καὶ τῷ Γαλιλαίῳ προσοικειώσαντες;» — «Τοὺς ἀξίους»||εἶπον ἐκεῖνοι f. 143 *«Χριστὸς προσκαλεῖται καὶ σώζει καὶ τῆς πλάνης ἐξάγει». καὶ ὁ τύραννος «Τούτων» ἔφη «τῶν ἀπατηλῶν ῥημάτων ἀφέμενοι τὸν ἐμὸν ἐμοὶ συνθέσθαι πείσατε Παντολέοντα», τῇ χειρὶ τοῦτον δεικνύς, «καὶ ἔσεσθέ μοι καὶ ἀγαπώμενοι τὰ μέγιστα καὶ τιμώμενοι· πρώτους γὰρ ὑμᾶς θήσω τοῦ παλατίου καὶ σέ, πρεσβῦτα, καλῶς ἐμὸν ὀνομάσω πατέρα καὶ ἔσῃ μοι δι' αἰδοῦς ὅτι πλείστης καὶ ἀγαπώμενός τε καὶ σεβαζόμενος».*

5. Τῶν δὲ μηδαμῶς εἰπόντων προτεθυμῆσθαι τοῦτο ποιεῖν, μᾶλλον δὲ σπεύδειν καὶ αὐτοὺς τοῖς ἴσοις ἐκείνῳ κοσμηθῆναι τοῦ μαρτυρίου καλοῖς, σεισμὸς γίνεται μέγας, καὶ ὁ βασιλεὺς πρὸς αὐτοὺς «Ὁρᾶτε» λέγει, «πῶς οἱ θεοὶ τὴν γῆν ὀργισθέντες ἐφ' οἷς λέγετε σείουσι;» καὶ οἱ ἅγιοι· «Εἰ δὲ καὶ αὐτοὶ τῷ σεισμῷ τῇ γῇ κατέπεσον οἱ θεοί, πῶς θεοὶ νομισθήσονται;» καὶ | εὐθὺς ἧκέ τις ὡς τὸν col. 2 *τύραννον, «Οἱ θεοὶ» λέγων, «βασιλεῦ, προσκαταβληθέντες τῇ γῇ συνετρίβησαν». τότε θυμῷ ληφθεὶς ὁ πανόλης ἀσχέτῳ τὸν μὲν ἅγιον καὶ μέγαν Παντελεήμονα τῇ φυλακῇ παραδίδωσι, τούτων δὲ ξίφει τὰς κεφαλὰς ἐκτμηθῆναι κελεύει.*

6. Ἄγεσθε τοιγαροῦν ἐπὶ τὸν τῆς τελειώσεως τόπον, πανάριστοι, τὰς παντίμους ἀποτέμνεσθε κεφαλάς· καὶ νῦν, σὺν ἀγγέλοις

1 *δούλον* || 3 *ἱερεῦσ* || 9 et 23 *πρεσβύτα* || 10 *οὗτοι* || 18 *ἐκείνοι* || 24 *δίδουσ* || 32 *τύρανō* || 36 *τοιγὰρ οὖν*

15 *τίκτει τὴν ἀνομίαν*: cf. Psalm. 7, 15.

τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ, πρεσβείας ὑπὲρ τοῦ κόσμου ποιεῖν μὴ ἐλλίποιτε, ναὶ δὴ καὶ βασιλέως ἡμῶν ὑπὲρ τοῦ πιστοῦ, δωρηθῆναι τούτῳ μῆκος ζωῆς ἀπήμονος παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ κληρουχίαν τῆς αὐτοῦ βασιλείας· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κζ΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ.||

f. 143v 1. Εἶχε μὲν τὴν Νικομήδους ὁ καλὸς ἐν μάρτυσι Παντελεήμων πατρίδα,' Παντολέων ὀνομαζόμενος, εἶχε δὲ καὶ τὴν εἰς τὸν βίον ἀναγωγήν, ἀλλὰ δὴ καὶ τὴν ἄθλησιν ἐν ἡμέραις τῆς τοῦ Μαξιμιανοῦ τυραννίδος χριστιανὸς γινωσκόμενος. πατὴρ ἦν Εὐστόργιος τῷ σοφῷ νεανίᾳ, πρεσβεύων τὰ Ἑλλήνων εἰς ἄκρον, μήτηρ Εὐβούλη, τὴν εἰς Χριστὸν εὐβούλως ἀσπαζομένη πίστιν. ταύτης οὖν νόμῳ θανάτου στερηθέντα τὸν Παντολέοντα ὁ πατὴρ μαθημάτων εἰς ὥραν ἐλθόντα γραμματιστῇ παραδίδωσιν, εἶτα καὶ διδασκάλοις καὶ παιδευταῖς· ὡς ἅπαντα τὰ μαθήματα καλῶς ἐκπεπαίδευτο, Εὐφροσύνῳ τῷ διαφορωτάτῳ τῶν ἰατρῶν τὴν ἰατρικὴν πονεῖν ἐπιμελῶς ἐμπιστεύει. τάχει γοῦν φύσεως ὁ Παντολέων ὥσπερ τις πτηνὸς ἀέρα τέμνων πᾶσαν μέτεισιν ἐν βραχεῖ. ἦν δὲ καὶ τὸ ἦθος ἐπιεικής,
col. 2 τὴν ὁ|μιλίαν ἐπιτερπὴς καὶ τὸ κάλλος ἐξαίσιος. δι' ἃ δὴ θαῦμα καὶ τρυφὴ τοῖς ἁπάντων ἔκειτο ὀφθαλμοῖς καὶ ταῖς γλώσσαις.

2. Τῷ τοι τὰ τῆς φήμης καὶ πρὸς αὐτὸν ἧκε τὸν βασιλέα· ἦλθε τοιγαροῦν ὁ σοφὸς εἰς ὄψιν αὐτῷ· ἠγάσθη τούτου ταῖς ἀρεταῖς ἐκεῖνος, καὶ δέχεται βασιλικὰς Εὐφρόσυνος ἐντολὰς εἰς ἀκρίβειαν τῆς τέχνης ἐκπαιδεύειν τὸν νέον. ὅρα τοιγαροῦν τοῦ Θεοῦ τὰ παράδοξα· ὁ κλεινὸς καὶ μέγας Ἑρμόλαος τὸ κατ' ἐκεῖνον καιροῦ σὺν ἄλλοις τισὶ χριστιανοῖς ἔν τινι δωματίῳ κρυπτόμενος, ὡς αὐτοῦ που συνεχῶς ἑώρα παριόντα τὸν Παντολέοντα καὶ ἔγνω τῷ πνεύματι σκεῦος ἐκλογῆς γενήσεσθαι κατὰ Παῦλον, — κατενόει γὰρ τὸν

5 αἰώνασ || 12 τυρανίδοσ || 16 παραδίδωσι || 19 γοῦν—ὥσπέρ τισ || 22 γλώσσαισ || 23 τῶτοι || 24 τοιγάρ οὖν || 26 τόιγαροῦν
30 σκεῦος ἐκλογῆς: Act. 9, 15.

τῷ ἔξωθεν ὀστράκῳ καλυπτόμενον μαργαρίτην, — μιᾷ τῶν ἡμερῶν μετακαλεσάμενος εἰσελθεῖν αὐτὸν ἠξίου πρὸς τὸ δωμάτιον· μέγα γὰρ ἐτίθετο τὸ τοιαύτην ἀγρεῦ||σαι ψυχήν. καὶ ὃς εἰσῄει, κἀκεῖνος *f. 144* ἐρωτᾷ γένος, ἐρωτᾷ καὶ πατέρας, ναὶ δὴ καὶ ὁποῖον ἀσπάζοιτο σέβας. καὶ ἐπεὶ μάθοι πάντα παρ' αὐτοῦ, καὶ τέχνην ἥτις αὐτῷ πρόσεστι μαθεῖν ἐκζητεῖ· καὶ δὴ καὶ ἀκούει τὴν Ἀσκληπιοῦ, τὴν Γαληνοῦ, τὴν Ἱπποκράτους καὶ «Πίστευσον» λέγει, «νέων θαυμάσιε, ὡς πάντων αὐτῶν καταπτύσας εἴπερ ἑνὸς ἀνθέξῃ Θεοῦ τοῦ Χριστοῦ». καὶ ἅμα καταλέγειν ἤρξατο τερατουργήματα τούτου, οὐρανοῦ γνωρίζει τούτῳ καὶ γῆς αὐτὸν ποιητὴν καὶ ὡς «Εἰ τούτῳ προσέλθοις» φησίν, «ἅπαν νόσημα φυγαδεύων ἔσῃ μόνῃ τῇ ἐπικλήσει τούτου».

3. Ἐμαλάχθη τούτοις ἡ καλὴ τοῦ νεανίου ψυχή, τὸν σπόρον ἐδέξατο, τὸ τεκεῖν ὤδινε. καὶ τί γίνεται; ἐπανιὼν τοῦ διδασκάλου ποτὲ καί τι μικρὸν τῆς ὁδοῦ κατά τι δεῆσαν ἐκκλίνας ὁρᾷ παιδίον τεθνηκός, ὑπ' ἐχίδνης δηχθέν, | αὐτό τε τὸ θηρίον ἐγγύς που παρόν· *col. 2* καὶ πρῶτα μὲν δέει ληφθεὶς ὑποχωρεῖ τι μικρόν, ἔπειτα δὲ τῇ πίστει τεθαρρηκὼς ἐπάνεισι πάλιν· σταθεὶς οὖν λογίζεται· πίστιν τίκτει, τοῖς Ἑρμολάου θαρρήσας λόγοις· τὸ τοῦ σταυροῦ σημεῖον τῷ παιδὶ ἐπιβάλλει· ἠγέρθη τοῦτο καὶ θνήσκει τὸ θηρίον καὶ σὺν αὐτῷ ὁ νοητὸς πάντως διαφθείρεται θήρ. εὐλογεῖ Χριστὸν θερμῶς ὁ Παντολέων καὶ τάχους ὡς εἶχε τῷ πρεσβύτῃ πρόσεισι· γνωρίζει τὸ θαῦμα τούτῳ καὶ τὸ βάπτισμα λαβεῖν ἐκζητεῖ. βαπτίζει τοῦτον ἐκεῖνος χαίρων καὶ τῷ ἁγίῳ χρίσματι τελειοῖ.

4. Εἶτα τί; ἡμέρας ἑπτὰ παραμένει τῷ γέροντι· ἀρδεύεται τοῖς ἐκείνου λόγοις τὴν καρδίαν καὶ πιαίνεται τὴν ψυχήν. ἡ ὀγδόη παρέστη. καὶ προσφοιτᾷ τῷ πατρί· τὴν ἀπόλειψιν αἰτιᾶται τῶν τοσούτων ἡμερῶν || ὑπ' αὐτοῦ καὶ «Βασιλείοις ἐνδιαιτώμενον ἄνδρα» *f. 144ᵛ* λέγει, «βαρείᾳ νόσῳ κατειλημμένον, κεχαρισμένον βασιλεῖ, σὺν Εὐφροσύνῳ, πάτερ, ἦμεν περιοδεύοντες». διέβη τοῦτο, καὶ πρὸς Εὐφρόσυνον τὸν διδάσκαλον γίνεται καὶ ἐπεὶ καὶ παρὰ τούτου κατῃτιᾶτο τὴν βραδυτῆτα, «Ἀγρὸν» εἶπεν «ὁ πατὴρ νεώνητόν μοι πεπιστευκώς, ἔμεινα τούτου τὴν δέουσαν ποιούμενος ἐπιμέλειαν· πολλοῦ ἄξιος οὗτος καὶ οὐδενὶ ἄλλῳ κτημάτων παραβαλλόμενος», τοῦ θείου βαπτίσματος σοφῶς τὴν χάριν ὑπαινιττόμενος ὁ σοφός.

5. Τί τὸ ἐντεῦθεν; πειρᾶται τῇ Χριστοῦ πίστει φρονίμως ὁ Παντολέων τὸν πατέρα προσαγαγεῖν καὶ «Ἵνα τί» λέγει, «πάτερ, οἱ

2 δομάτιον || 8 εἶπερ || 10 ὡσ ἡ || 13 Ἐμαλάχθη || 15 κατά τι δε ἦσαν || 16 αὐτὸ τὲ || 12 τί || 19 τὸ παιδὶ || 30 ἦμεν περιόδεύοντ'|διέβη

μὲν ἑστήκασιν ἀεὶ τῶν θεῶν, οἱ δὲ κάθηνται τῷ παντί;» οὐδὲν col. 2 ἐκεῖνος ἐπέλυσεν καὶ ἦν ὑπόψυχρος ὥσπερ περὶ τὰ εἴδωλα. ὅπερ | ὁ Παντολέων ὁρῶν ἐμεγάλυνε τὸν Χριστὸν καὶ πρόφασιν ἐζήτει συντρῖψαι μὲν καὶ ταῦτα, προσαγαγεῖν δὲ καὶ τὸν γεννήτορα τῷ Χριστῷ. ὅμως τὴν τῆς συντριβῆς ἐπεῖχεν ὁρμήν, τιμῶν τὸν πατέρα κἂν τούτῳ καὶ μὴ θέλων τούτῳ σκανδάλου γενέσθαι παραίτιος. ἀλλ᾽ ὅρα μοι τὸν τρόπον τῆς τούτου μεταβολῆς.

6. Τυφλός τίς ποτε χειραγωγούμενος καταλαμβάνει τὸν Παντολέοντα, φῶς ἰδεῖν ἡλίου ζητῶν· «Οὐδὲν γὰρ τῶν ἄλλων ἀπωνάμην ἰατρῶν ἢ τὸ στερηθῆναι τῆς οὐσίας μεθ᾽ ἧς εἶχον μικρᾶς ἀπαυγῆς. ἔλεον τοίνυν λαβών μου, καλὲ Παντολέον, τῆς συμφορᾶς, δὸς οὕτω μὴ ἀτελῶς ζῆν καὶ ὥσπερ ἐξ ἡμισείας». — «Ἐμοὶ δὲ τί δώσεις» ὁ Παντολέων ἔφη, «τὸ φῶς θεωρῶν;» — «Τὰ περιλειφθέντα» εἶπεν ἐκεῖνος «τῆς οὐσίας προθύμως καταβαλῶ, μόνον ἴδω τὸ φῶς». f. 145 ὑπέ||σχετο τοῦτο παρὰ τοῦ τῶν φώτων δωρηθῆναι πατρὸς ὁ καλὸς ἰατρὸς καὶ τὰ χρήματα πένησι δοθῆναι προσέταξεν. ἀλλ᾽ ἀπῆγε τὸν νέον τοῦ ἐγχειρήματος ὁ πατὴρ τούτων ἀκούων, τὸ μέγεθος πάντως τοῦ πράγματος ἐννοῶν. κἀκεῖνος «Ἐπίμεινον, πάτερ», εἶπεν «καὶ τὴν τοῦ ἐμοῦ διδασκάλου τάχος ἴδῃς ἰσχύν». ἔφη καὶ τῶν ὀφθαλμῶν ἁψάμενος τοῦ τυφλοῦ, τὸ μέγα τε τοῦ Χριστοῦ ἐπικαλεσάμενος [ὄνομα], βλέψαι τοῦτον ἐποίησε καὶ σαρκὸς ὄμματα καὶ ψυχῆς· εἰδώλων γὰρ ἦν προσκυνητὴς ὁ ἀνήρ. ἀλλὰ δὴ καὶ ὁ πατὴρ τοῦ Παντολέοντος, θεασάμενος τὸ παράδοξον, τοῦ τῆς ἀσεβείας λέλυτο σκότους, χάριτος θείας τῆς αὐτοῦ ψυχῆς ἁψαμένης. ἀμφότεροι γοῦν τοῦ βαπτίσματος ἀξιοῦνται καὶ Χριστὸς μεγαλύνεται.

7. Ἔνθεν τοι καὶ Εὐστόργιος τὰ παρ᾽ αὐτοῦ τιμώμενα ξόανα col. 2 συντρίψας κατὰ λεπτόν, | βόθρῳ δίδωσι τὰ λήθης ὄντως ἄξια καὶ βυθοῦ. τί οὖν ἐντεῦθεν; θνήσκει Παντολέοντι τὸν σωματικὸν θάνατον ὁ πατὴρ (τοῦ ψυχικοῦ γὰρ λελύτρωτο). τῆς δουλείας οἱ οἰκέται ἀφίενται· τὰ χρήματα τούτου πένησι χορηγεῖται· ὅλος ἑαυτοῦ Παντολέων γίνεται καὶ Θεοῦ τῇ χάριτι θεραπεύων ἅπαντας καὶ χορηγῶν τὰ πρὸς χρείαν πᾶσιν ἐδείκνυτο. ἦν ὄνομα τούτῳ μέγιστον διὰ ταῦτα. τῷ τοι καὶ φθόνος ἰατροῖς ἀνήπτετο μέγας· ὃ ποτε τυφλὸς τροφὴ τοῦ φθόνου τούτοις καθίστατο· ὁ θεραπευτὴς ἐζητεῖτο· ὁ Παντολέων ἐλέγετο. κατ᾽ αὐτοῦ διεμαστεύετο δόλου πρόφασις, καὶ τῷ Μαξιμιανῷ διεβάλλετο, ὡς εἴη τούτῳ λεγόντων τῶν ἰατρῶν τὰς παρὰ θεῶν θεραπείας ὁ Παντολέων εἰς Χριστὸν

6 γενῆσθαι || 8 τισ ποτὲ || 9 ἀπονάμη̄ || 12 ἐξημισείασ || 16 ἀπῆγεν || 18 Ἐπίμεινον || 20 τὲ || 21 ὄνομα *inserui* || 25 γοῦν|Τοῦ || 26 ἔνθέν|τοι || 33 τῶτοι — ἀνίπτετο — ὁ ποτὲ || 37 περὶ θεῶν

ἀναφέρων καὶ τοὺς θεραπευομένους ὑπ' αὐτῶν ἐκείνῳ προσάγων. ||

8. Ταῦτα λέγοντες τόν ποτε τυφλὸν εἰς πίστωσιν παρῆγον καὶ f. 145v *τίς ὁ θεραπεύσας, ἐνώπιον αὐτὸν ἠρώτων τοῦ βασιλέως. «Χριστὸς» ἐκεῖνος εἰπὼν «διὰ Παντολέοντος» ἄφρων παρὰ τοῦ βασιλέως ἐλέγετο, καὶ ἄφρων πάλιν ὁ βασιλεὺς παρὰ τούτου ἀντωνομάζετο. θυμὸς ἐπὶ τούτοις τῷ βασιλεῖ καὶ κεφαλῆς ἀφαίρεσις τῷ ἀνδρί· οὗτινος ὁ δίκαιος περιστείλας τὸ λείψανον, ὠνησάμενος αὐτὸ χρυσίου παρὰ τῶν ἀνελόντων, συνέθαψε τῷ πατρὶ καὶ εὐθὺς μετάκλητος παρὰ βασιλέως γίνεται· καὶ ὃς πορευόμενος «Ὁ Θεὸς» ἔψαλλε, «τὴν αἴνεσίν μου μὴ παρασιωπήσαις· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη» καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ.*

9. Ὡς οὖν εἰς ὄψιν ἦλθε τῷ τυράννῳ, «Οὐ καλὰ» λέγει πρὸς αὐτὸν ὁ δυσσεβὴς «τὰ περὶ σοῦ λαληθέντα, Παντολέον. ἀλλὰ τί καὶ παθὼν θεοὺς μὲν ἠθέτησας τοὺς σωτῆρας, | *συνέθου δὲ Χριστῷ* col. 2 *κακῶς ἀποθεμένῳ τὸ ζῆν». — «Καλῶς ποιῶν, βασιλεῦ,» ὁ μάρτυς ἔφη, «τὸ κρεῖττον ἠλλαξάμην τοῦ χείρονος, τὴν δι' ἔργων πίστιν τῆς διὰ λόγων προτιμησάμενος· ὁ μὲν γὰρ ὑπ' ἐμοῦ προσκυνούμενος οὐρανὸν ἐποίησεν, γῆν ὑπέστησε, νεκροῖς ἀνάστασιν, τυφλοῖς ἀνάβλεψιν, λεπροῖς κάθαρσιν, παρειμένοις ἀνόρθωσιν θελήματι μόνῳ καὶ λόγῳ παρέσχεν. οἱ σοὶ δὲ θεοὶ τοιοῦτον οὐδὲν οὔτε πεποιήκασιν, οὔτε ποιῆσαι δυνήσονται. πλὴν εἰ βούλει, βασιλεῦ, πεῖραν δῶμεν τῷ πράγματι· καὶ παρελθέτω τις ἐνταῦθα τῶν ἀνίατα νοσούντων, παρελθέτωσαν δὲ καὶ οἱ παρ' ὑμῖν ἱερεῖς· καὶ πρῶτα μὲν οὗτοι τοὺς θεοὺς αὐτῶν ἐπικαλεσάτωσαν, εἶθ' οὕτω κἀγὼ τὸν ὑπ' ἐμοῦ λατρευόμενον· καὶ ὃς ἂν ὀνομασθεὶς φυγαδεύσοι τὴν νόσον, οὗτος Θεὸς μόνος καὶ λογιζέσθω καὶ σεβαζέσθω».* ||

10. Ἤρεσε ταῦτα τῷ βασιλεῖ· ἀνίατά τις παρήχθη νοσῶν· καὶ f. 146 *οἱ μὲν τῶν ἱερέων τοῦ δεινοῦ βασιλέως σὺν τοῖς ἰατροῖς Ἀσκληπιόν, οἱ δὲ Ἄρτεμιν, ἄλλοι Δία καὶ ἕτεροι ἑτέρους ἐπεκαλοῦντο· καὶ ἦσαν ἄφωνοι πάντες οἱ θεοὶ καὶ κωφοί. ὁ δέ γε καλὸς Παντολέων ζῶντι ῥήματι τὸν Χριστὸν ἐπικαλεσάμενος τὸ θαυμάσιον πέπραχεν· οὐκ εἶχεν ἡ κλίνη τὸν παρειμένον· οἴκοι γὰρ εὐπετῶς καὶ κεχαρμένως ἐβάδιζεν, ὡς πολλοὺς ἐντεῦθεν τὴν κατὰ ψυχὴν θεραπείαν εὑρεῖν. τί οὖν οἱ σοφοὶ τοῦ κακουργεῖν μιαροὶ ἱερεῖς; προσιόντες ὁμοῦ τῷ τυράννῳ «Εἰ τοῦτον ἐάσεις ζῆν» εἶπον, «ὦ*

3 *Ταῦτα — τὸν ποτὲ* || 9 *συνέθαψεν* || 10 *πο|Ρευόμενος* || 12 *ἠνύχθη — λοιπᾶ* || 14 *δυσσεβεὶσ — περισοῦ* || 17 *διέργῶ* || 18 *διαλόγων* || 22 *πείρᾶ* || 23 *τισ̕* || 28 *Ἤρεσε — ἀνίατα τίσ*

10—12 *Ὁ Θεὸς — ἠνοίχθη:* Psalm. 108 (109), 1.2 || Ad v. 19 cf. Matth. 11, 5.

βασιλεῦ, οἰχήσονται μὲν θεοὶ καὶ θυσίαι, γελάσονται δὲ καὶ χριστιανοί, καὶ ἔσται τὰ Ἑλλήνων ἀτιμαζόμενα».

11. Θυμοῦται τοίνυν ὁ Μαξιμιανὸς καὶ μετακαλεῖται τὸν Παν- col. 2 *τολέοντα· πρὸς τὰς τῶν εἰδώλων ἐκ|καλεῖται θυσίας καὶ ὥσπερ αὐτὸν ἐκφοβῶν κολάσεις τῶν ἀνῃρημένων ὑπ' αὐτοῦ μαρτύρων ἀπαριθμεῖ καὶ μάλιστα τοῦ γέροντος Ἀνθίμου τοῦ θαυμαστοῦ, ὃς ἐπίσκοπος τῆς Νικομήδους γεγένητο, δι' αὐτῶν οἰόμενος ὁ κακοῦργος τὸν σοφὸν ἐκφοβεῖν. ἀλλὰ συνετῶς ὁ δίκαιος «Εἰ ἐκεῖνος» ἔφη, «βασιλεῦ, τοσοῦτόν σε νενίκηκε γήρᾳ βαθεῖ κατεχόμενος, πόσον σου μᾶλλον αὐτὸς ἡττήσω τὸ φρύαγμα;» ταῦτα τοῦτον εἰπόντα βάσανοι, τὸ τῆς ἐξουσίας, ἐκδέχονται. σιδηροῖς γὰρ ἀναρτηθεὶς ὁ μάρτυς ὄνυξι κατεξαίνετο, λαμπάδες αὐτοῦ, φεῦ, ταῖς πλευραῖς προσεφέροντο, καὶ ὁ τύραννος τὸ γενναῖον αὐτοῦ καταπληττόμενος τῆς ὑπομονῆς ἀπορίᾳ συνείχετο. κατάγει τοιγαροῦν τοῦτον τοῦ ξύλου, γοητείαν τὸ πρᾶγμα καλεῖ καὶ λέβητα σιδηροῦν ἐνεχθῆναι κελεύει,* f. 146ᵛ *μόλιβδον ἐμ||βληθῆναι τούτῳ προστάττει καὶ πυρὶ τοῦτον ἐκκαυθῆναι σφοδρῶς, εἶτα καὶ τὸν ἅγιον ἐμβληθῆναι τῷ λέβητι. ἀπάγεται πρὸς αὐτὸν ὁ μάρτυς. ἀπαγόμενος εὐχῇ πρόσκειται· Χριστὸς αὐτῷ πάλιν ὡς Ἑρμόλαος φαίνεται κἀν τῷ λέβητι τούτῳ συγκαταδύεται· τὸ πῦρ εὐθὺς ἀποσβέννυται· ψυχρὸς ὁ λέβης δείκνυται, καὶ ἡ εὐχὴ τῷ μάρτυρι ἐπὶ στόματος. εἶχε τοιγάρτοι τὸ πλῆθος ἔκπληξις, ἀπορία τὸν τύραννον.*

12. Σκέπτεται, καὶ βυθῷ θαλάσσης ὁ σκολιὸς τὸν μακάριον δίδωσιν, μέγιστον ὅτι λίθον ἐκδήσας αὐτοῦ τοῦ τραχήλου· ἀλλὰ Χριστὸς αὖθις ἐπιφανεὶς τὸν λίθον μὲν ἴσα καὶ φύλλῳ τῇ θαλάσσῃ πλεῖν παρεσκεύασε, τὸν δέ γε μάρτυρα τῇ χέρσῳ σεσωσμένον ἐκδέδωκε· γοητείαν ὁ παραπλὴξ ἀπεκάλει καὶ τοῦτο καὶ θηρσὶ κελεύει col. 2 *τοῦτον παραδο|θῆναι. ἀπήγετο· ἡ πόλις συνήγετο· ὁ βοηθὸς Χριστὸς ὡς Ἑρμόλαος ὑπεφαίνετο. ἀφείθη τὰ θηρία, καὶ ἦν ἰδεῖν ξένον τι καὶ παράδοξον· σαίνοντα καθωρᾶτο καὶ φιλανθρώπῳ γλώσσῃ τῶν ποδῶν τοῦ μάρτυρος παραψαύοντα καὶ ὡσανεὶ διαμιλλώμενα, οἷον αὐτῶν τύχοι τῆς παρ' αὐτοῦ προλαβὸν εὐλογίας. ἔνθεν τοι καὶ «Μέγας ὁ Θεὸς τῶν χριστιανῶν» οἱ παρόντες ἐβόων.*

13. Τί οὖν ὁ θὴρ καὶ οὐ βασιλεύς; ἀναιρεῖ τὰ θηρία καὶ τοὺς ὑπ' αὐτὸν εἰς τί χρήσαιτο Παντολέοντα διηρώτα. τῇ φυλακῇ τὸν ἐλεύθερον παραπέμπει· κατασκευάζει τροχόν· ἐφ' ὑψηλοῦ τόπου τοῦτον ἱστᾷ· τὸν στεφανίτην ἐν τούτῳ δεσμεῖ· ἀφίησι τὸν τροχὸν

3 Θυμοῦται || 7 *γεγένοιτο* || 8 *τὸ σοφὸ̀* || 9 *τοσοῦτον σε — γῆρᾳ* || 16 *ἐκκαφθῆν^α^ι* || 21 *ἐπι|στόματοσ* || 26 *παρεσκεύασεν — ἐκδέδωκεν* || 27 *γο|ἡτείαν* || 29 *ξένόν τι* || 31 *ὡσάνεὶ* || 32 *προλαβών — ἔνθέντοι* || 35 *Παντολέοντι?* || ibid. *διηρῶτα*

κατὰ τοῦ κρανοῦς· ἐκίνει τὰ τοῦ μάρτυρος τότε χείλη ψαλμός· τὸν βοηθὸν ἐκάλει Χριστόν· ἐρρήγνυτο τὰ δεσμά· ἄθικτος ἦν ὁ μάρτυς κακοῦ· τῶν || [f. 147] ἀπίστων ἀπόλλυσι πολλοὺς ὁ τροχός, καὶ γινώσκεται κύριος κρίματα ποιῶν καὶ Θεὸς ἐκδικήσεων. ἔσχε φόβος τὴν πόλιν, θαῦμα τὸν βασιλέα, ναὶ δὴ καὶ θυμός. ζητεῖ τὸν παιδευτήν, ὅστις. ὁ Παντολέων οὐκ ἔκρυψε καὶ φανεροῖ τὸν Ἑρμόλαον. στρατιῶται σὺν αὐτῷ καταλαμβάνουσι τὸ δωμάτιον· εἰσῆλθε πρῶτος ὁ Παντολέων. «Εἰς τί, ὦ τέκνον, ἧκες;» ὁ Ἑρμόλαος ἔφη. καὶ ὅς· «Βασιλεύς σε καλεῖ». — «Ἔγνων» εἶπεν ἐκεῖνος καὶ ἅμα συνεπορεύετο. παρέστη τῷ βασιλεῖ. τίς, τὴν κλῆσιν καὶ τὸ σέβας διηρωτᾶτο. «Χριστιανὸς» ὁ γέρων «καὶ Ἑρμόλαος» ἀπεκρίνατο. «Σύνεισί σοι καὶ ἄλλοι;» ὁ βασιλεύς. «Ναί,» φησὶν ὁ πρεσβύτης, «Ἕρμιππός τις καὶ Ἑρμοκράτης». παρίστησι καὶ τούτους θυμομαχῶν, θῦσαι κελεύει· ἀπηνήναντο καὶ πρὸς οὐρανοὺς οἱ θαυμαστοὶ ἀτενίζοντες ηὔχοντο. σεισμὸς τὸν τόπον κλονεῖ. | [col. 2] θεῶν ἀγανάκτησιν ὁ παράφορος κρίνει τὸ γεγονός. «Εἰ δὲ καὶ αὐτοὶ» φησὶν ὁ Ἑρμόλαος «πέσοιεν οἱ θεοί». καὶ ἅμα τις ἧκε τὴν πτῶσιν ἐκείνων καὶ τὴν συντριβὴν ἀπαγγέλλων.

14. Ἔνθεν τοι καὶ ξίφει μὲν ὁ βέβηλος μετὰ πλείστας βασάνους σὺν τοῖς ἄλλοις αὐτὸν ἀναιρεῖ, μόνον δὲ τῇ φυλακῇ τὸν Παντολέοντα δίδωσι. τὰ λείψανα γοῦν τῶν ἁγίων χριστιανοῖς ἐμέλησε καὶ παρεδόθη ταφῇ. τὸν μάρτυρα δὲ τῆς εἱρκτῆς ὁ σκολιὸς ἐξαγαγὼν τοῦτο μὲν ἀπειλαῖς, τοῦτο δὲ καὶ κολακείαις πρὸς θυσίαν ἐκάλει, τὸν Ἑρμόλαον ὁ φιλοψευδὴς τῷ παλατίῳ σὺν ἑταίροις φάσκων πεισθέντας ἐνδιατρίβειν. «Ἀλλ' ἴδω τούτους» ὁ μάρτυς εἶπε, τὸν τρόπον πάντως οὐμενοῦν ἀγνοῶν. κατὰ χρείαν Μαξιμιανὸς εἶπε σταλῆναι τούτους τινὰ καὶ μὴ παρεῖναι. καὶ ὁ ἅγιος || [f. 147v] «Ναί,» φησί, «τὰς οὐρανίους σκηνὰς οἱ καλοὶ κατειλήφασι». μάστιξιν οὖν οὕτως εἰπὼν ὁ μάρτυς, φεῦ, ἀπηνῶς καταξαίνεται, τέλος καὶ τὸν διὰ ξίφους ὁ καλὸς Παντολέων θάνατον κατακρίνεται.

15. Καθεῖλκου τοιγάρτοι, πανάριστε, πρόβατον ὡς ἄμωμον πρὸς σφαγήν, τὸ Δαυιτικὸν ὑπᾴδων μέλος ἐκεῖνο· «Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, ἀλλ' οὐκ ἠδυνήθησάν μοι» καὶ τὰ λοιπά. ἐλαίας δένδρῳ δεσμῇ, πάγκαλε· πλήττῃ τὸν αὐχένα ξίφει, τρισόλβιε· ἄτρωτος μένεις, ἅγιε, ἀντιστραφέντος τοῦ σιδήρου παρομοίως κηρῷ. τρόμος λαμβάνει τοὺς φονευτάς· ἱκέται γίνονται καὶ συγγνώμης τυγχάνουσι. φωνῆς οὐρανόθεν ἀκούεις, παγγέραστε· «Οὐ Παντο-

6 ἔκριψε || 8—9 βασιλεῦσε || 15 Σεισμὸσ || 18 ἀπαγγέλων || 19 ἔνθέν τοι || 21 γόῦν || 25 εἶπε || 26 ᾽ὁ|μενοῦν || 34 δεσμεῖ

32—33 πλεονάκις — μοι: Psalm. 128 (129), 2.

λέων ἔτι, ἀλλὰ Παντελεήμων κληθήσῃ». ἐχάρης πρὸς τὴν φωνήν, ἀξιέραστε, καὶ τοὺς στρατιώτας τὴν τομὴν ἐνεργῆσαι κελεύεις. col. 2 ἐφίλη|σαν ἐκεῖνοι μέλος ἅπαν σου τῆς ἁγίας σαρκὸς καὶ τὴν τομήν, ὡς ἐκέλευσας, διηνέργησαν, ἑβδόμην ἄγοντος καὶ εἰκάδα τοῦ Ἰουλίου μηνός. θαῦμα θαυμάσιον ἠκολούθει· γάλα γάρ σου τῆς τομῆς ἐξερρύη· βρίθον τῷ καρπῷ ᾧ προσδέδεσαι φυτὸν ἐλαίας ὡρᾶτο. ἀλλὰ τέμνεται καὶ τοῦτο πρὸς τοῦ τυράννου. πυρί σου παραδοθῆναι σῶμα τὸ πάντιμον κελεύει ὁ ἀπηνής· ἀλλ᾽ οὐκ εἶδον ἔτι τοῦτο οἱ στρατιῶται, τὸ τῶν μάγων πρὸς Ἡρῴδην ζηλώσαντες· πιστοί τινές σου τὸ πολύαθλον ἐντίμως θάπτουσι σκῆνος ἔν τινος προαστείῳ Ἀδαμαντίνου σχολαστικοῦ.

16. Καὶ νῦν τάγμασιν ἀθλητῶν ὁ καλὸς συνευφραίνῃ, στίγμασιν ὡραϊσμένος μαρτυρικοῖς, αἵμασί τε πεφοινιγμένος ἀθλητικοῖς καὶ περὶ τὸν θρόνον στρεφόμενος τὸν δεσποτικόν· χάρισαι τοίνυν τὴν f. 148 σὴν ἀντίληψιν καὶ βοήθειαν || Ῥωμαίων πιστῷ βασιλεῖ, καταχρέως σε τιμῶντι καὶ μεγαλύνοντι· ὁρᾷς, οἷά σου λαμπρὰ τὰ ἑόρτια, οἷαι τῶν λαμπάδων αἱ χύσεις, ὅσαι τῶν μύρων αἱ χάριτες. ναί, χάρισαι τούτῳ μονῆς αἰωνίας καὶ ἀναπαύσεως τὴν κατοίκησιν, ἵλεω ποίησον αὐτῷ καὶ συμπαθῆ τὸν κριτὴν ἐν τῇ κρίσει, χώρας ζώντων ἁγίων παράσχου τούτῳ τὴν κληρουχίαν, ἡλίου τοῦ νοητοῦ τὰς αὐγὰς ὁρᾶν παρασκεύασον, λύμης ἁμαρτημάτων τοῦτον ἐκκάθαρον, γῆς πραέων κληρονόμον ἀπέργασαι καὶ μακαρισμοῦ τῶν ἐλεημόνων τὸν ἐλεήμονα καταξίωσον ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος πρέπει νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κη΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΕΥΣΤΑΘΙΟΥ ΤΟΥ ΕΝ ΑΓΚΥΡΑι.|

col. 2 1. Σὺν ἄλλοις οὐκ ὀλίγοις ἁγίοις καὶ τὸν καλὸν Εὐστάθιον ἡ προκαθημένη πόλις τῆς τῶν Γαλατῶν ἐπαρχίας ἤνεγκεν Ἄγκυρα, στρατιώτην μὲν τὸ πρότερον φθαρτοῦ βασιλέως γενόμενον, στρα-

1 ἐχάρισ || 4 διενήργησαν || 6 ἐξερύη || 11 ἀδαμᾶτίνου || 12 συνεὐφραίνη

τιώτην δὲ μετὰ ταῦτα καὶ τοῦ ἀφθάρτου Θεοῦ χρηματίσαντα, καὶ ὅπως, ὁ λόγος παραστήσει τρανῶς.

2. Τὴν εἰς Χριστὸν πίστιν εἰλικρινῶς ποθῶν ὁ Εὐστάθιος, ἀλλὰ δὴ καὶ πλουτῶν ἐκ προγόνων αὐτῶν πάσας ἐτίμα τὰς ἀρετὰς καὶ πασῶν αὐτῶν ἐν μεθέξει γενόμενος καὶ δεύτερα πάντα θέμενος τὰ τοῦ φόβου, τὰ τῆς ἐπικήρου δόξης, διαρρήδην τὸν Χριστὸν Θεὸν ἀνεκήρυττε καὶ πολλοὺς ἐνῆγε πρὸς τὴν εὐσέβειαν· ὅθεν δῆλος τοῖς ἀσεβέσι καταστὰς Κορνηλίῳ τῷ ἡγεμόνι τῆς Ἀγκύρας ὑπ᾽ αὐτῶν διαβάλλεται· καὶ ὃς αὐτίκα τοῦτον παρίστησιν ἐπὶ τοῦ βήματος καὶ «Λέγε μοι» φησὶ πρὸς αὐτόν, «ὅθεν ἄρα καὶ εἴης καὶ τί σου || [f. 148ᵛ] *τὸ ὄνομα καὶ τί σου τὸ ἐπιτήδευμα;» — «Χριστιανὸς» εἶπεν ὁ μάρτυς «ἐγώ· Ἄγκυρά μοι πατρὶς καὶ κλῆσις Εὐστάθιος».—«Ἀλλ᾽ ἀπόστηθι τῆς οὐκ ὀρθῆς ταύτης θρησκείας» ὁ ἡγεμὼν εἶπεν, «Εὐστάθιε, καὶ γενοῦ μεθ᾽ ἡμῶν καὶ θῦσον τοῖς θεοῖς· ἔσῃ γὰρ τοῦτο ποιῶν καὶ παρ᾽ ἐμοῦ, ναὶ δὴ καὶ παρὰ βασιλέως τιμώμενος καὶ μειζόνων ἀξιωθήσῃ τιμῶν καὶ δωρεῶν οὐκ ὀλίγων».—«Ἀλλ᾽ οὐδέν μοι ταῦτα τυγχάνει πρὸς τὴν ἀθάνατον δόξαν» εἶπεν ὁ μάρτυς, «φθαρτὰ καὶ λυόμενα γινωσκόμενα· τίς γὰρ νοῦν ἔχων ἄνθρωπος τὰ χείρονα τῶν κρειττόνων αἱρήσεται καὶ τῶν ἀϊδίων τὰ πρόσκαιρα. μὴ τοίνυν ἀπατῶ καὶ λόγους τοιούτους, ἡγεμών, θέλε προτείνειν· οὐκ ἴδοις γὰρ εἰδώλοις ἐμὲ θύοντα πώποτε. μὴ ἴδοι τοῦτο ἥλιος, μὴ θεάσαιτο γῆ. ποίει τοίνυν τὸ σοὶ παριστάμενον».*

3. Τότε θυμωθεὶς ὁ παράνομος ταθῆναι | [col. 2] *τοῦτον κελεύει καὶ βοείαις ἀφειδῶς καταξαίνεσθαι μάστιξι. τυπτόμενος οὖν ὁ καλλίνικος «Εὐχαριστῶ σοι, Χριστὲ βασιλεῦ,» ἔλεγεν, «ὅτι με τὸν σὸν κατηξίωσας δοῦλον ὑπὲρ τοῦ προσκυνητοῦ σου μαστίζεσθαι καὶ ἁγίου ὀνόματος. καὶ νῦν ἔπιδε ἐπ᾽ ἐμὲ καὶ τὴν σὴν ἐξ ὕψους μοι βοήθειαν ἐξαπόστειλον, ἵνα τὸν ἀντιτεταγμένον μοι τοῦ σκότους ἄρχοντα τῇ σῇ συναντιλήψει νικήσας τὸν μαρτυρικὸν ἀναδήσωμαι στέφανον». ταῦτ᾽ ηὔχετο, καὶ τὸ ὑποκείμενον ἔδαφος ἐπληροῦτο τοῖς αἵμασι, καὶ οὕτως ὡς ἄλλου πάσχοντος ἐγνωρίζετο. ἀνείθη τῶν πληγῶν ὁ μάρτυς καὶ τῇ φυλακῇ παρεπέμφθη.*

4. Εἰς δευτέραν ἐξέτασιν ἄγεται καὶ πρὸς τὴν τῶν εἰδώλων αὖθις ἐκκαλεῖται θυσίαν· οὐ πείθεται· καὶ τοὺς ἀστραγάλους, φεῦ, διατρηθεὶς ὁ θαυμάσιος καὶ σχοίνοις ἐντεῦθεν περιληφθεὶς ἕλκεται δεινῶς κατὰ γῆς, τόπον || [f. 149] *ἀμείβων ἐκ τόπου, μέχρις αὐτοῦ τοῦ Σαγγάρεως ποταμοῦ, λίθοις καὶ ξύλοις προσπταίων, ἔστι δ᾽ ὅτε καὶ σκόλοψιν αὐτοῖς ἐμπηγνύμενος καὶ πᾶσαν ἄλλην κάκωσιν ὑφιστά-*

3 *Τὴν* || 7 *ἀνεκήρυττεν — ἐνῆγε* || 15 *παρ᾽ ἐμοῖ* || 16 *οὐκολίγων* || 31 *οὔτωσ* || 33 *Ἐισ*

μενος. ἐν ᾧ δὴ καὶ βληθείς, τοῦτο τοῦ τυράννου κελεύσαντος (ἐφθόνησε γὰρ τῇ πόλει τοῦ τοσούτου καλοῦ), ἀγγέλων θείων ἐπιστασίᾳ τὴν ἐν τῇ χέρσῳ σωτηρίαν παραδόξως εὕρετο. πάντῃ δὲ τοῦ σώματος αὐτῷ ταῖς τῶν λίθων καὶ ξύλων διαλυθέντος ἐγκρούσεσι καὶ ὅλως ἐξισχυθέντος καὶ ἀδρανές τι καὶ λεπτὸν κινουμένου μετ' ὀλίγον τὸ πνεῦμα χερσὶ τοῦ δεδωκότος παρέθετο.

5. Τῶν προσηκόντων δέ τινες κατὰ γένος σοι, παναοίδιμε, μακρόθεν ἀκολουθοῦντες ἰδεῖν τὸ τέλος τῆς καλῆς μαρτυρίας, τὸ παντιμόν σου τοῦτο σῶμα καλῶς περιστείλαντες, τῇ πατρίδι φέροντες col. 2 *ἐναπέθεντο, νόσων παντοίων ἴαμα καὶ πονηρῶν | πνευμάτων ἀπαλλαγήν. αὐτὸς δὲ τῷ δεσποτικῷ τὰ νῦν παριστάμενος θρόνῳ χάρισαι καὶ βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλομάρτυρι ταῖς εἰς Χριστὸν ἱκεσίαις σου μενόντων καλῶν τὴν ἀπόλαυσιν, ἱλασμόν, ἡμαρτημένων τὴν συγχώρησιν, χορῶν δικαίων τὴν σύνταξιν, ἁγίων πάντων τὴν συναρίθμησιν, ἡμέρας θείας τὴν φαῦσιν καὶ τὴν λάμψιν, λειμώνων θείων τὴν τέρψιν καὶ τὴν χάριν, πάντων τῶν καλῶν τὴν μετάληψιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα τιμὴ καὶ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κθ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΛΛΙΝΙΚΟΥ.

1. Ὁ θεῖος καὶ μέγας Καλλίνικος, ὁ καλῶς τοὺς ἀντιτεταγμένους αὐτῷ νικήσας δαίμονας καὶ τῇ διὰ Χριστὸν κατακοσμηθεὶς || f. 149v μαρτυρίᾳ, Κιλικίας τῆς χώρας ἔξέφυ, χριστιανὸς ἐκ πρώτης τριχὸς καὶ ὢν καὶ φαινόμενος. οὗτος τὴν εὐσέβειαν σπείρειν ἐθέλων ἁπανταχοῦ, πάσας περιῄει τὰς πόλεις, πολλοῖς τῆς ἀληθείας διδάσκαλος γνωριζόμενος καὶ πολλοὺς μὲν ἀποστρέφων τῆς πλάνης, πολλοὺς δὲ ζωγρῶν πρὸς τὴν τῆς ὀρθῆς ἐπίγνωσιν πίστεως.

2. Ὡς δὲ καὶ τὴν Ἄγκυραν τῆς Γαλατίας κατείληφε καὶ τὸν λόγον ὑφήπλου καὶ διέσπειρε τὸν τῆς πίστεως, τινὲς τῶν ἑλληνισ-

7 Τῶν — καταγένοσ || 16 λειμόνων

τῶν, ἀνάψαντες φθόνον ὅτι πολὺν κατ' αὐτοῦ, Σακερδῶτι τῷ τῆς πόλεως ἄρχοντι διαβάλλουσι τοῦτον· ὃν ἐκεῖνος εὐθὺς παραστήσας ἐπὶ τοῦ βήματος, «Ἵνα τί μόνος, ὦ οὗτος, τολμᾷς κατὰ τοσούτου κράτους ἀπαυθαδίζεσθαι, καὶ ταῦτα ξένος ὢν τῆς ἡμετέρας πόλεως καὶ ἀλλότριος, τῶν ἄλλων ὑποκυπτόντων καὶ θυσίας τοῖς θεοῖς προσφερόντων;»|πρὸς ὃν ὁ τοῦ Χριστοῦ μάρτυς πράως οὕτω καὶ col. 2 *προσηνῶς· «Οὐδέν, ὦ ἡγεμών, ξένον οὔτε μὴν θαυμαστόν, εἰ Χριστοῦ δοῦλος ἐγὼ τυγχάνων ὅση δύναμις σπεύδω τοῦ τῆς κακίας ἰοῦ τοὺς ἀνθρώπους ἐξάγειν καὶ τούτῳ σεσωσμένους προσάγειν· ὅθεν εἴ μοι καὶ αὐτὸς ἐπείθου, προσέδραμες ἂν τῷ τῆς ἀληθείας φωτί, τὸ σκότος τῶν εἰδώλων ἀποσεισάμενος, καὶ τῆς αἰωνίου γέγονας βασιλείας ἐν ἀπολαύσει».*

3. Ἤκουσεν ἡ γεώδης ἐκείνη ψυχὴ καὶ βλοσυρὸν ἐνιδοῦσα τῷ μάρτυρι «Ἔοικάς μοι» φησὶ «τὸν θάνατον προτιμᾶν τῆς ἡδίστης ζωῆς καὶ διὰ τοῦτο ῥήμασιν ἀπονενοημένοις κέχρησαι· ἀλλ' ἴσθι, ὡς οὐδέν σε τούτων ὀνήσει, οὐδέ τις σὲ τῶν ἐμῶν ἐξελεῖται χειρῶν, οὔτ' αὐτὸς ὃν λέγεις Χριστόν. πάντα γάρ σου διαψηλαφήσω τὰ μέλη καὶ πᾶν εἴ τι πικρὸν ἐπάξω σοι κολαστήριον καὶ οὕτω τῆς παρούσης ἀποστερήσω ζωῆς».—«Μὴ μέλλε» || εἶπεν ὁ μάρτυς, «μηδ' f. 150 *ἀναδύου· προσφερέσθωσαν αἱ μάστιγες, τὸ ξίφος, τὸ πῦρ, ὁ τροχὸς καὶ ὅσα σοι ἄλλα πρὸς τιμωρίαν ἐπινενόηται· ἐμοὶ γὰρ οὐδὲν ἕτερον φοβερόν, ἢ τὸ φρικτὸν ἐκεῖνο βῆμα τῆς κρίσεως καὶ τὸ τῆς ἐκεῖθεν στερηθῆναι μακαριότητος· τὰ δ' ἄλλα καὶ ἡδονὴ καὶ χαρὰ διὰ τὸν πρὸς Θεὸν ἔρωτά μοι λελόγισται».*

4. Θυμοῦται τούτων ἀκούσας ὁ δυσσεβὴς καὶ νεύροις ὠμοῖς κατὰ παντὸς κελεύει τοῦ σώματος τύπτεσθαι, τοῦ κήρυκος «Ἐπίγνωθι, Καλλίνικε», λέγοντος «τοὺς θεοὺς καὶ τούτοις τὸ σέβας ἀπόνειμαι». τοῦ δὲ μηδὲν ἐν τούτοις ἀποκρινομένου, καίπερ τοῦ καταρρέοντος αἵματος τὸ ὑποκείμενον ἔδαφος φοινίσσοντος, ὁ Σακερδὼς πλέον ἐκμανεὶς ἀναρτᾶσθαι τοῦτον ἐπὶ ξύλου κελεύει καὶ σιδηροῖς, φεῦ, τοῖς ὄνυξι ξέεσθαι. ξεόμενος οὖν ὁ μάρτυς τὴν ὅλην ἁρμονίαν διηρευ|νᾶτο τοῦ σώματος, τῶν σαρκῶν ἐκπιπτουσῶν αὐτοῦ κατὰ col. 3 *γῆς καὶ τοῦ αἵματος βάπτοντος εἰς βάθος αὐτήν· ἀλλ' ἐκεῖνος ἀτιμώρητος ὥσπερ διέκειτο καὶ ἀνάλγητος· οὕτω γὰρ αὐτὸν ὁ πρὸς Χριστὸν μετεποίησεν ἔρως. κρηπῖδας οὖν ἥλοις διαπεπαρμένας ὀξέσιν ὁ παράνομος ἄρχων ὑποδεθῆναι κελεύει τὸν μάρτυρα καὶ τὴν μέχρι Γαγγρῶν σπουδαίως ἕλκεσθαι τοῦτον ὁδόν, τῇ τάσει ταύτῃ τὸ σφοδρὸν τῶν ὀδυνῶν ἐπιτείνων αὐτῷ.*

1 *Σακερδῶ τῶ* || 7 *προσινῶσ* || 12 *ἐναπολαύσι* || 19 *μέλ*ε || 22 *alterum* τῆς **bis scriptum** || 26 *κήρυκου* || 28 *μήδὲν*

5. Τούτου δὲ γεγονότος καὶ δεινῶς ἐκείνου τῷ βαδίζειν κατατεμνομένου τοὺς πόδας καὶ θαύματι τοὺς δημίους κατὰ τὴν ὁδὸν ἐκπλήξαντος—ὕδωρ γὰρ αὐτοῖς ἐκ λαγόνων γῆς διψῶσιν ἀνέδωκεν,— ὁ σκολιὸς καὶ δεινότατος ἄρχων (εἰσήλαυνε γὰρ καὶ οὗτος τὴν πόλιν) αὐτίκα προκαθίσας ἐπὶ τοῦ βήματος κάμινον ἀναφθῆναι κελεύει f. 150v κἀν || ταύτῃ τὸν μάρτυρα βληθῆναι. ἐμβάλλῃ τοίνυν ἀναφθείσῃ ταύτῃ, πανάριστε, καὶ τὸν Θεὸν δοξολογῶν χερσὶν αὐτοῦ παρέθου τὸ πνεῦμα. καὶ νῦν ταῖς οὐρανίαις σκηναῖς ἐμφιλοχωρῶν χάρισαι ταῖς εὐκτικαῖς εἰς αὐτὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ φιλαρέτῳ μήκιστον τὴν ζωὴν καὶ ἀτάραχον, ἰλύος παθῶν ἀμέτοχον, χαρισμάτων θείων ἔμπλεων, ἀνωτέραν ἐπιβουλῆς ἐναντίων, ἤρεμον καὶ ἡσύχιον, λαμπρὰν τροπαίοις καὶ κατορθώμασι, πᾶσι διαπρέπουσαν τοῖς θείοις ἔργοις καὶ βασιλείας οὐρανῶν ἐπαξίοις· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν».

Μηνὶ τῷ αὐτῷ λ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΙΟΥΛΙΤΤΗΣ.

1. Ἰουλίτταν γυναικῶν τὴν καλλίστην, οὐχ ἣν ἡ Ταρσὸς ὑπὲρ col. 2 Χριστοῦ σὺν τέκνῳ δὴ τῷ Κη|ρύκῳ μαρτυροῦσαν κατεῖδεν, ἀλλ' ἣν ἡ Καππαδοκῶν ἔθρεψε καὶ ἀθλοῦσαν διὰ τὴν εὐσέβειαν ἀνέβλεψεν, ὁ λόγος εἰς μέσον ἀγαγεῖν προτεθύμηται, τίς ἄρα, λέξων, αὐτῆς καὶ ὁποῖος ὁ βίος, ὅπως τε καὶ δι' ὃ προῆλθεν εἰς τὸ μαρτύριον, καὶ οἷον εὗρε τὸ τέλος. καὶ οἶδ' ὅτι μαθεῖν οἱ φιλομάρτυρες βούλεσθε, τὸ πορίζόμενον ἐντεῦθεν κέρδος σαφῶς ἐπιστάμενοι. ἀρκτέον τοίνυν οὕτω τοῦ διηγήματος.

2. Τῶν γυναικῶν τοῦτο τὸ σεμνολόγημα καὶ καλλώπισμα, τὴν Ἰουλίτταν φημὶ ταύτην, πλούτῳ κομῶσαν καὶ περίβλεπτον ἐν κτήσεσιν οὖσαν σκαιός τις ἀνὴρ ὁρῶν καὶ φιλόπλουτος καὶ τῶν ἀλλοτρίων δεινῶς ἐραστὴς ἤσχαλλεν, ἐδυσφόρει, τὴν ψυχὴν ἐβάλλετο φθόνῳ καὶ καθεκτὸς ἦν οὐδαμῶς. τῷ τοι καὶ νεανιεύεται κατ'

6 ἐμβάλῃ || 14 αἰώ(νας) || 18 ἣν || 22 τὲ — διὸ || 26 Τῶν || 29 ἤσχαλεν || 30 τώτοι

αὐτῆς καὶ ἐγείρεται καὶ πλεονεκτεῖν αὐτὴν ἄρχεται καὶ λυπεῖν, ἐρήμην οὖσαν τοῦ ‖ βοηθήσοντος· παρασπᾷ ταύτης τὰς χώρας, ἀφαιρεῖ f. 151 *τὰς κώμας, ὑποτέμνει τἄλλα τῶν γαιῶν καὶ ὑποποιεῖται, τὸ τοῦ προφήτου, οὐαί, παρὰ φαῦλον τιθέμενος, οἰκετῶν καὶ βοσκημάτων ταύτην ἀποστερεῖ, τὴν ἄλλην τοῦ βίου λαμβάνει παρασκευὴν καὶ ὅλως ἀπογυμνοῖ πάντων τῶν προσόντων αὐτήν.*

3. Τί οὖν ἔδει ποιεῖν τὴν καλλίστην ταύτην καὶ σώφρονα; καταλιπεῖν οὕτω τὴν ἅπασαν σχεδὸν κτῆσιν ἀλλοτρίαις χερσὶ καὶ μὴ δικασταῖς προσελθεῖν, μὴ κοινώσασθαι τούτοις τὸ πρᾶγμα, μὴ τὴν βίαν ἀπαγγεῖλαι καὶ τὴν ἐπίθεσιν; καὶ τίς ἄρα παθὼν ἀνέσχετο ταῦτα, εἰ μὴ λίθος ἦν, εἰ μὴ ξύλον, εἰ μή τις ἄψυχος ὕλη καὶ ἀνεπαίσθητος; ὅθεν εἰσαγώγιμον τὴν δίκην παρὰ τοῖς ἀδίκοις ποιεῖται κριταῖς· συνήγοροι μισθοῦνται παρὰ τοῦ | πλεονέκτου, μάρτυρες col. 2 *ἀγοράζονται, δώροις δικασταὶ παρατρέπονται· τὸν τῆς δυναστείας χρόνον ὁ πλεονέκτης εἰς βοήθειαν παρεισάγει. καὶ ἐπείπερ ὁ τῆς ἐξετάσεως παρέστη καιρὸς καὶ ἡ ὡρισμένη κατέλαβε καὶ συγκροτεῖσθαι τὰ τῆς δίκης ἤρξατο καὶ κλινόμενον ἑαυτὸν ὁ ἅρπαξ ἑώρα ταῖς τῆς γυναικὸς προτάσεσί τε καὶ ἀντιθέσεσι, σταθηρῶς ἀντιμαχομένης ταῖς ἐκείνου ψευδολογίαις καὶ τὸν χρόνον τῆς αὐτῆς διακατοχῆς μακρὸν ὅτι καὶ ἀπερίτμητον συνιστώσης, τὸν δὲ τῆς αὐτοῦ καὶ μικρὸν καὶ περικεκομμένον ταῖς συνεχέσι τῶν νόμων ἐπικρίσεσί τε καὶ ἐποπτείαις· ὡς ταῦτα ἑώρα καὶ πρὸς οὐδὲν εἶχεν ἐκεῖνος τὸ βοηθοῦν, τῶν ἐπινοιῶν πάντῃ διαθρανσθεισῶν αὐτῷ καὶ φρούδων γεγενημένων, πρὸς ἕν τι τοῦτο χωρεῖ τὸ μᾶλλον τῶν ‖ ἄλλων τοῖς* f. 151v *δικασταῖς περισπούδαστον· ἀλλοτρίαν εἶναι λέγει τῆς τῶν θεῶν λατρείας καὶ πίστεως, βασιλικῶν δογμάτων κατορχουμένην καὶ τῇ τῶν χριστιανῶν θρησκείᾳ προσκειμένην κἀντεῦθεν μὴ δεῖν ἀπολαύειν αὐτὴν τῆς ἐκ τούτων ὠφελείας τὸ σύνολον, μηδὲ τῶν κοινῶν προνομίων μετέχειν, διδόναι δὲ μᾶλλον τῆς εἰς τοὺς θεοὺς ὕβρεως λόγον.*

4. Ἤκουσε τούτων ὁ παράφορος δικαστής. ἀφορμῆς εὐπροσώπου δῆθεν λαβόμενος, τῶν μὲν κινουμένων καταφρονεῖ, τῶν ἠκουσμένων δὲ τούτων πολὺν τίθεται λόγον καὶ «Ὦ γύναι», λέγει, «τί σου καταμαρτυρεῖ ὁ ἀντίδικος; ἆρα γε λέγειν ἀληθῆ δοκεῖ, ἢ τὴν δίκην παραγκωνιζόμενος ψεύδεται;» — «Χριστιανὴ» λέγει, «δικαστά, ἐγώ» Ἰουλίττα· «οὐκ ἀρνήσομαι τοῦτο· μὴ γένοιτο· ἀλλά μοι τέμε τὴν δίκην καὶ οὕτω σοι περὶ τούτων ἀπολογίσομαι».| — «Ἀλλ' οὐ col. 2

6 ἀπογυμνοὶ ‖ 7 Οὖν ‖ 10 παθῶν ἂν ἤσχετο ‖ 12 Ὄθεν ‖ 16 κατέλαβεν ‖ 23 διαθρανσθησῶ ‖ 24 ἔντι ‖ 27 ἀπολάβειν ‖ 28 μήδὲ ‖ 31 Ἤκουσε ‖ 33 γῦναι ‖ 36 οὐκαρνήσομαι

θέμις» εἶπεν ἐκεῖνος «τῆς ἐκ τῶν βασιλικῶν σε νόμων βοηθείας τυχεῖν, μὴ τὰ νενομισμένα τούτοις φρονοῦσαν.» — «Καὶ οὐ παρὰ τοῦτο πάλιν ἐγὼ» πρὸς αὐτὸν εἶπεν ἡ μάρτυς «τὸν ἐμὸν ἀρνησαίμην Χριστόν· αἱρέτω πλοῦτος, αἱρέτω δόξα, αἱρέτω πᾶν εἴ τί μοι καὶ πρόσεστι κοσμικὸν καὶ περίγειον· οὐδὲ γὰρ ᾗ συντέθραμμαι καὶ συνηύξημαι πίστει τὸ σύνολον ἀποτάξομαι». — «Ἀλλά σε πάντως κολάσεις διαδέξονται πολλαὶ τοῦτο φρονοῦσαν» εἶπεν ὁ δικαστής. «Ἀλλὰ Χριστὸς ἀντιλήψεταί μου» πεπαρρησιασμένως ἡ μάρτυς ἀντέφησε. καὶ εὐθὺς ὁ παράνομος ἐκεῖνος κριτὴς θυμῷ ληφθεὶς ἀσχέτῳ καὶ δώροις (ἵν' εἴπω) τοῦ πλεονέκτου πεισθεὶς κάμινον ἀναφθῆναι κελεύει κἀν ταύτῃ τὴν Ἰουλίτταν βληθῆναι.

5. Γίνεται τοῦτο, καὶ τὴν κάμινον, ὦ καλλίμαρτυς, γηθομένῃ
f. 152 *ψυχῇ δρομαίως εἰσδῦσα χερσὶ τοῦ πλάσαντος || τὸ πνεῦμα παρέθου. καὶ νῦν οἰκοῦσα τοὺς οὐρανοὺς καὶ τῶν ἀκηράτων ἐκείνων ἐν μετοχῇ γινομένη καλῶν μέμνησο βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ τὰ πάντα καλοῦ καὶ χάρισαι τούτῳ ταῖς εὐκτικαῖς εἰς Θεὸν ἱκεσίαις σου μονῶν ἀιδίων τὴν καλὴν κατοικίαν, ἰλύος παθῶν τὴν κάθαρσιν εἰς ἅπαν, πάντων ἀγαθῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας Θεοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ λα'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΥΔΟΚΙΜΟΥ ΤΟΥ ΝΕΟΥ.

1. Εὐδοκίμου τοῦ κατὰ Θεὸν φερωνύμως εὐδοκιμήσαντος τὸν βίον ἐξηγεῖσθαι καλόν· ἔσται γὰρ πολλοῖς ὠφελείας ὑπόθεσις, οὐχ ὅτι μόνον ὁ μέγας θερμὸς ἐφάνη τῆς ἀρετῆς ἐραστής, ἀλλ' ὅτι
col. 2 *μέσον τῶν τοῦ βίου θορύβων στρεφόμενος ἄρρυπον συνε|τήρησε τὴν ψυχὴν τῶν ἐντεῦθεν κακῶν. ἐπεὶ οὖν ἱκανὸν οὗτος ὑπόδειγμα καὶ πᾶσι μὲν τῆς ἀρετῆς μεταποιουμένοις, ἐξαιρέτως δὲ τοῖς ἐν κόσμῳ διάγουσι, λεγέσθω τὰ ἐκείνου καὶ προτιθέσθω ταῖς φιλαρέτοις ψυχαῖς.*

4 *pro* αἱρέτω *ter leg.* χαιρέτω? || 5 πρόσ ἔστι || 6 Ἀλλάσε || 12 Γίνεται || 18 εἰσάπαν || 27 ἄρυπον || 30 διάγουσιν

2. Ὁ ἱερὸς οὗτος Εὐδόκιμος Καππαδόκης τὸ γένος, γονέων εὐσεβῶν βλαστὸς εὐσεβέστερος. Βασίλειος ὁ πατήρ, τῇ τῶν πατρικίων φαιδρυνόμενος δόξῃ, Εὐδοκία τὴν κλῆσιν ἡ μήτηρ, ἐπίσημοι τὸ γένος ἄμφω καὶ τὴν ἀρετὴν περίδοξοι. ἀλλ᾽ οὐ τοσοῦτον ἐκ τούτων Εὐδόκιμος δόξαν ἑαυτῷ περιέθηκεν, ὅσον ἐξ ἑαυτοῦ τοῖς γεννήτορσι περιεποίησε τὴν εὐγένειαν. μαθημάτων μὲν γὰρ ἐπεμελεῖτο πάντων καὶ γνώσεως, ἀλλὰ δὴ καὶ ταῖς θείαις προσανεῖχε γραφαῖς, ἐσχόλαζέ τε τοῖς ἱεροῖς τῶν ἁγίων ναοῖς καὶ ὅλως, ὡς εἰπεῖν, τοῦ παναγάθου πνεύματος δοχεῖον ἐτύγχανε, πᾶσαν ἀπο-|| *f. 152v* στρεφόμενος κοσμικὴν ἀπάτην καὶ πᾶσαν βδελυττόμενος ματαιότητα· σωφροσύνης ἀντεποιεῖτο καὶ συνομιλίας γυναικῶν ἀπείχετο τοσοῦτον, ὡς μόνῃ τῇ μητρὶ συγχωρῆσαι πρὸς αὐτὸν παριέναι· ἐλεημοσύνην καὶ τὴν ἀγάπην ἠσπάζετο καὶ χορηγῶν ἦν ὁσημέραι τὸν πλοῦτον τοῖς πένησι, καὶ ταῦτα λίαν ἱλαρῶς καὶ προθύμως, ὅτι καὶ τῆς ἀγάπης καρπὸς ὁ πρὸς τὸ ὁμογενές ἐστιν ἔλεος. καὶ ἵνα μὴ μηκύνω τὸν λόγον, ὀρφανῶν ἦν πατὴρ ὁ Εὐδόκιμος καὶ προστάτης χηρῶν, περιβολὴ γυμνῶν καὶ λυπουμένων ἀναψυχή. καὶ οὐδὲν αὐτῷ τῆς τοῦ βίου δόξης ἐμποδὼν κατέστη πρὸς τὴν κτῆσιν τῶν ἀγαθῶν.

3. Καὶ γὰρ στρατοπεδαρχεῖν μέρους τοῦ Καππαδοκῶν χειροτονηθεὶς καὶ περὶ τοῦτο δὴ τὸ Χαρσιανὸν λεγόμενον διατρίβων πολὺς μὲν ἦν τὴν ἀρετήν, | *col. 2* πολὺς δὲ καὶ τὴν περὶ τὸ ὑπήκοον πρόνοιαν, οὐ πατρικῶς μόνον αὐτοῦ προϊστάμενος, ἀλλὰ καὶ τὰς πρὸς ἀλλήλους ἔριδας διαλύων τῷ τε νόμῳ καὶ τῷ μειλιχίῳ τῆς φύσεως. καὶ τί δεῖ τὰ καθ᾽ ἕκαστον λέγειν; τέλειος ἦν τὴν ἀρετὴν ὁ Εὐδόκιμος καὶ οὐδὲν ἦν τῶν καλῶν, ὅ τι μὴ κατώρθωτο τούτῳ.

4. Οὕτω δὲ ζῶν καὶ οὕτω βιοὺς τὸν βίον ἐν τῇ ξένῃ καταλιμπάνει τριάκοντα πρὸς τοῖς τρισὶν ἔτη γενόμενος· ἐλύπει δὲ τοῦτον οὐ τὸ θνήσκειν ἁπλῶς, ἀλλὰ τὸ μὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν τὴν τεκοῦσαν. ὅμως πρὸς τὴν ἐκδημίαν τοῦ σώματος ὢν (ἄξιον γὰρ μὴ παραλιπεῖν τὸ πραχθέν, ὠφελείας τυγχάνον οὐκ ἄμοιρον), ἐπισκήπτει τοῖς οἰκείοις αὐτοῖς, ὡς εἶχεν, ἐνδύμασιν αὐτὸν παραδοῦναι τῷ τάφῳ· εἶτα πάντας ἔξω θυρῶν γενέσθαι κελεύσας εὐχῇ δίδωσιν ἑαυτὸν || *f. 153* καὶ οὕτως «Εἰς χεῖράς σου, κύριε, τὸ πνεῦμά μου παρατίθημι» προσειπών, τὴν ἁγίαν ὄντως ἀφῆκε ψυχήν. τινὲς οὖν τῶν πρὸς τὴν ταφὴν ὑπηρετησαμένων ἀγροικότερόν πως περὶ τὰ ἐντεταλμένα διατεθέντες αὐτοῖς αὐτὸν ἐνδύμασί τε καὶ ὑποδήμασι, ναὶ

1 οὔ|Τοσ || 5 τοῦτων || 6 περιέποίησε || 7 πρ^{o}|ἀνεῖχε || 11 ἀντεποιείτο || 14 πένησιν || 15 Καὶ ἵνα || 18 ἐμποδῶν || 24 μιλιχίω — Καὶ || 27 βϊοῦσ || 34 παρατίθημη

δὴ καὶ οἷς ἐκοιτάζετο στρώμασι τῇ γῇ κατακρύπτουσι, θησαυρὸν ἰαμάτων πολύτιμον καὶ ἀδάπανον. ἀλλ' ὁ μὲν οὕτως ἐκρύπτετο, Θεὸς δὲ λαθεῖν οὐκ ἠνέσχετο.

5. Ἀνὴρ γάρ τις δαιμονίῳ πνεύματι κάτοχος — Ἡλίας ὄνομα τῷ ἀνδρί — οὐ πολλῶν διελθουσῶν ἡμερῶν τῷ τάφῳ τοῦ μάκαρος αἴφνης ἐφίσταται, πολλὰ μὲν λέγων, πολλὰ δὲ ποιῶν, ὅσα δαιμόνων οἶδε κακία ποιεῖν. τοῦτον οὖν σπαράξας ὁ δαίμων καὶ τῇ γῇ δεινῶς προσκαταβαλὼν ἀφῆκεν, ὑπὸ τῆς θείας ἐλαυνόμενος χάριτος. τούτου
col. 2 *δὲ τοῦ θαύματος διαδοθέντος ἁπανταχοῦ καὶ γυνή τις,| παιδίον ἔχουσα χεῖρας τὰς ἀμφοῖν παρειμένον, τάχος ἐπὶ τὸν τάφον κομίζει, χρίει ταύτας τῷ τῆς φωταγωγοῦ λυχνίας ἐλαίῳ τοῦ μάκαρος [καὶ] ὑγιὲς αὐτὸ λαμβάνουσα καὶ ἄρτιον τὰ οἰκεῖα κατέλαβε. ταύτην δὲ τὴν πάρεσιν κατὰ τοὺς πόδας ἕτερον ἔχον παιδίον, ὡς μόνον προσήχθη καὶ τοῦ ἐλαίου τὴν χρίσιν ἐδέξατο, τούτοις αὐτοῖς βαδίζον ὄρθια χαῖρον πρὸς τὴν οἰκίαν ἐπάνεισιν.*

6. Ἄλλη δέ τις γυνή, δαίμονος ἐνοχλοῦντος αὐτῇ, τὴν ἀπαλλαγὴν εὗρε τούτου τῷ μόνῳ προσεγγίσαι τῷ τάφῳ. ἑτέρᾳ δὲ πάθους ἴαμα γέγονε χαλεποῦ χοῦς ἐκ τοῦ τάφου ληφθείς, ὕδατί τε φυραθεὶς ἢ μᾶλλον εἰπεῖν δάκρυσι ταύτης καὶ τῷ πάσχοντι μέρει κατατεθείς. οὐκ ὀλίγοι δὲ καὶ ἄλλοι κακῶς πάσχοντες τῷ χοῒ τούτῳ κεχρημένοι εἰς χρίσιν τῆς ὑγείας ἀπέλαυον.

f. 153v *7. Τῆς φήμης || οὖν οὕτω τοῦ θανάτου τε καὶ τῶν θαυμάτων διαδοθείσης, οἱ τούτου γονεῖς (καὶ γὰρ ἐπὶ ζῶσιν αὐτοῖς ἐτελεύτα) καὶ μᾶλλον ἡ μήτηρ, τὸ φιλοστοργότατον εἰς παῖδας χρῆμα καὶ γνησιώτατον, μὴ ἐνεγκοῦσα τὴν τῆς καρδίας πύρωσιν, ὁδοῦ μῆκος καὶ γήρως ἀσθένειαν ἐν δευτέρῳ θεμένη, τοῦ Βυζαντίου τάχος ἀπάρασα τὸ Χαρσιανὸν κατειλήφει καὶ τοὺς παραβάλλοντας τῷ τάφῳ τοῦ ποθεινοῦ υἱοῦ κατιδοῦσα, πολλοὺς ὄντας καὶ πολλῶν ἀπολαύοντας τῶν θαυμάτων, περιχυθεῖσα τούτῳ λίαν ἡδύ τι καὶ λιγυρὸν ἀνέκλαιε, «Τέκνον» λέγουσα «ποθητόν, τέκνον ὀφθαλμῶν ἐμῶν φῶς ποθεινόν, ὅθεν ἄρα σοι τὸ μέγα τοῦτο φέγγος καὶ περιφανὲς τῶν ἰάσεων; πόθεν ἡ δαψιλὴς ἐρρύη τοῦ πνεύματος χάρις; ἢ πάντως βίου θεοφιλοῦς ἀντίδοσις ταῦτα καὶ πόνων κρυφίων,*
col. 2 *μᾶλλον δὲ οὐκ ἀντίδοσις,| ἀλλ' ἀρραβὼν καὶ προοίμιον τῶν μετὰ ταῦτά σε περιμενόντων ἀγαθῶν. μακαρία ὄντως ἐν μητράσιν ἐγώ, παιδὸς τοιούτου μήτηρ ἀξιωθεῖσα γενέσθαι· οὐκέτι σε λέγω καρπὸν κοιλίας ἐμῆς, ἀλλ' υἱὸν Θεοῦ κατὰ χάριν. πρόστηθι τοίνυν γονέων*

2 Ἀλλ' || 11 καὶ *inserui* || 17 προσέγγίσαι — ἑτέρα || 18 χοὺσ || 22 τὲ καὶ || 23 ἐπὴ || 29 ἀπολάβονταс || 34 ᾽ѕκαντίδοσισ — ἀρα.βὼν

καὶ τῇ περὶ σοῦ λύπῃ καὶ τῷ γήρᾳ καμνόντων καὶ Ἀβραὰμ τοὺς κόλπους αἴτησαι τούτοις, τῆς ἀσθενείας ἀνάπαυσιν».

8. Ταῦτα ἔφη καὶ τὸν λίθον ἀρθῆναι κελεύει καὶ τὴν σορὸν ἔξω τοῦ μνήματος ἑλκυσθῆναι. ἀνοιγείσης οὖν αὐτῆς ὁρᾶται θαῦμα καὶ ἰδεῖν θειότατον καὶ χαριέστατον λαληθῆναι καὶ τὰ προλαβόντα πιστώσασθαι δυνατώτατον. ὀκτὼ παρῆλθον ἐπὶ δέκα μῆνες μετὰ τὸν θάνατον, καὶ τοσούτων ἡμερῶν ὁ νεκρὸς σύμβολον εἶχεν οὐδέν, οὐ ῥύσιν σώματος, οὐ λύσιν ἁρμονίας, οὐ τῆξιν σαρκός, οὐ μελανίαν, οὐ μεμαρασμένον τι τὸ παράπαν καὶ τακερόν, ἀλλὰ || νεκρὸς f. 154 *ὅλος ἑωρᾶτο καθάπερ πρόσφατον ἀπολιπούσης αὐτὸν τῆς ψυχῆς· μικροῦ ἔχειν ἐδόκει τὰ μέλη μετὰ κινήματος, τὰ χείλη μετὰ τοῦ ἄνθους, τὰς παρειὰς μετ' ἐρεύθους, τὸ στόμα μετὰ τοῦ ἄσθματος. ὑπείληφας ἂν οὐδὲ θανόντα τοῦτον ὁρᾶν, ἀλλ' ὑπνοῦντα μᾶλλον ἢ πρὸς ἑαυτὸν νεύοντα καὶ σπουδαιότερόν τι σκοπούμενον. καὶ αὐτοὶ δὲ οἱ χιτῶνες, αὐτὰ τὰ στρώματα ἀμέτοχα ἦσαν φθορᾶς· ναὶ δὴ καὶ εὐωδία τις ἐκεῖθεν ἀνέπνει καὶ χάρις, ὥσπερ οὐ τάφου δή τινος καὶ σοροῦ, ἀλλὰ κήπου διανοιγέντος.*

9. Ἀπόδειξις τῶν εἰρημένων καὶ Ἰωσὴφ ὁ μοναχός τε καὶ ἱερεύς· ὃς τὰς χεῖρας ὑποβαλὼν καὶ περιλαβὼν τὸν νεκρὸν ἀνορθοῦν ἐπειρᾶτο καὶ δὴ καὶ ἀνώρθωσε, τῶν ἁρμονιῶν καλῶς ἐχουσῶν καὶ τῶν ἄρθρων καὶ τὰ περικείμενα, ἐνδόντος αὐτοῦ, προσαφεῖλεν. ἐκβάλλει τῶν ἐκείνου ποδῶν | τὰ ὑποδήματα καὶ οὕτως col. 2 *εὐκόλως ἅπαντα καὶ ῥᾳδίως, ὡσανεὶ κἀκείνου συλλαμβανομένου τῷ ἱερεῖ. ἐνδιδύσκει τοῦτον χιτῶνα λεπτὸν χιονώδη, εἶτα καὶ ἀνακλίνει, καθὰ δὴ καὶ τὸ πρότερον ἦν, πολλῶν τηνικαῦτα τελεσθέντων τῶν θαυμάτων.*

10. Τί τὸ μετὰ ταῦτα; ἀγὼν τῇ μητρὶ τὸ ἱερὸν ἐκεῖνο σῶμα λαβούσῃ τὰ οἰκεῖα καταλαβεῖν, ἀγὼν καὶ τοῖς ἐγχωρίοις μὴ ἐνδοῦναι πρὸς τὴν ἐγχείρησιν. «Εἰ γὰρ καὶ σοῦ προῆλθεν» λέγουσιν «ὁ λαμπρὸς οὗτος ἀστήρ, ἀλλὰ παρ' ἡμῖν ὁρᾶται θέμενος τὰς δυσμάς. πῶς οὖν ἀφέλῃς τῶν τοσούτων ἡμῖν θαυμάτων ἀκτῖνας ἐπαφιέντα; μὴ οὖν ἀντιλέγουσα φαίνου· ἀρκεῖ γάρ σοι πρὸς εὔκλειαν τὸ φανῆναι τούτου μητέρα. ἡμᾶς πρότερον τῆς πατρίδος ἐξώσεις, ἢ τοῦ τοσούτου προσζημιώσεις καλοῦ».

11. Τούτων ὡς ἤκουσεν ἡ καλλίστη τῶν γυναικῶν, ἐφησύχασεν, εἶτα καὶ χαίρειν εἰποῦσα || πᾶσι τὰ οἰκεῖα κατέλαβεν. ὁ τοίνυν εὐλαβέστατος Ἰωσήφ, ὃν ὁ λόγος φθάσας ἐδήλωσεν, ἐκεῖσε μείνας χρόνον ἐπὶ πολὺν καὶ πίστιν ἐντεῦθεν δοὺς τοῖς φυλάσσουσι, νυκτὸς f. 154ᵛ

9 *τί* || 11 *μετακινήματοσ* || 13 *ὑπήλειφασ* || 28 *λαβούσῃ* || 30 *παρῆμῖν* || 31 *ἀκτίνασ* || 34 *τοσοῦτον πρόσ|ζημιώσεισ* || 38 *φυλάσσουσιν*

λαμβάνει τὸν καλὸν τοῦτον θησαυρὸν καὶ φυγὰς γίνεται σὺν αὐτῷ. ἀλλ' ἡ ὀσμὴ τῶν θαυμάτων καὶ κρυπτόμενον ἐδήλου τὸν ἅγιον καὶ τῶν παθῶν αἱ ἰάσεις κατήγοροι τοῦ κλέμματος ἦσαν· γυνὴ γάρ τις δαιμονίᾳ πληττομένη μάστιγι καθ' ὁδὸν αὐτοῦ φερομένου καὶ τῶν φερόντων κατά τινα τόπον ἀνέσεως ἀπολαυόντων πρόσεισι τῇ σορῷ διαχλευάζουσά τε καὶ κακῶς λοιδορουμένη τὸν ἅγιον, οὐκ ἐκείνη δὲ πάντως, ὁ ταύτην δὲ μᾶλλον οἰκῶν πονηρότατος δαίμων· ὃς ταύτης ἀπελαθεὶς πρὸς ἀβάτους ἐπορεύετο τόπους.

12. Οὐ πολὺ τὸ μεταξύ, καὶ παρθένος τις τῆς τοῦ Μαντινείου col. 2 *μονῆς δεινὸν ἔχουσα καὶ ἀ|πόρρητον πάθος, πίστει πολλῇ μετακομιζομένη τῇ σορῷ προσιοῦσα καὶ ὥσπερ ζῶντι καὶ ἀκούοντι τῷ ἁγίῳ τὸ πάθος εἰποῦσα μισθὸν τῆς πίστεως ἴασιν ἐφεῦρε ταχεῖαν. οὕτω θαυματουργῶν ὁ μέγας ἀποδίδοται τοῖς γονεῦσι, νεκρὸς τοῖς ζῶσιν ὠφελιμώτατος, πνευμάτων πονηρῶν ἰσχυρότερος, νόσων καὶ παθῶν κραταιότερος. ἡ οὖν μήτηρ ἀσμενέστατα τὸν καλὸν υἱὸν δεξαμένη ἀργύρου πολυτελείᾳ τὴν θήκην ἐνδύει οὐ μόνον ὡς υἱὸν ποθεινόν, ἀλλὰ καὶ ὡς φίλον μᾶλλον τιμῶσα Θεοῦ. κατατίθησι τοῦτον ἐν ᾧπερ ἐδείματο τῇ Θεοτόκῳ ναῷ, κοινὸν ἀγαθὸν πάσῃ τῇ Κωνσταντίνου.*

13. Καὶ ταῦτα μέν, ὦ θαυμάσιε καὶ καλὲ Εὐδόκιμε, τὰ σὰ προτερήματα μεγάλα καὶ ὑπερφυῆ, ὡς τὰ θαύματα πάντως ἐδίδαξεν. f. 155 *αὐτὸς δὲ τῷ δεσποτικῷ τὰ νῦν παριστάμενος θρόνῳ χάρισαι || ταῖς πρὸς Θεὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ τὰ πάντα καλῷ μόνιμον καὶ διαρκὲς τὸ βασίλειον, ἰσχύος Θεοῦ πεπληρωμένον καὶ χάριτος, χειρὶ τούτου συντηρούμενον καὶ σκεπόμενον, ἁπάντων ἐχθρῶν καταλύοντα θράση, ἀλλὰ καὶ καλῶν ἀθανάτων τὴν δόσιν, ἡμέρας φαῦσιν τῆς ὄντως ἀνεσπέρου, λειμώνων θείων τὴν ἀπόλαυσιν, πάσης θυμηδίας τὴν χάριν καὶ βασιλείας οὐρανῶν τὴν μετάληψιν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

5 *ἀπολαβόντων* || 7 *ἐκῖνη* || 9 *Οὐ — τίσ* || 10 *μετὰκομιζομένη* || 12 *Οὗτω* || 17 *κατὰτίθησι τούτον* || 27 *λειμόνων*

Vita S. Eudocimi finita eadem manu scripti sunt hi versus:

+ *Χριστέ, προηγοῦ τῶν πόνων, Θεοτόκε,*
ἔπου βοηθοῦσά μοι τῷ παναθλίῳ.
+ *πόνοις πονῶν, γίνωσκε, γνώσεως τύχης,*
ἀγνωσίας δὲ τοὺς πόνους παρατρέχων.

Μηνὶ Αὐγούστῳ α΄. col. 2

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΚΑΒΑΙΩΝ ΤΩΝ ΠΡΟ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ ΥΠΕΡ ΤΟΥ ΝΟΜΟΥ· ΕΛΕΑΖΑΡΟΥ, ΣΟΛΟΜΩΝΗΣ ΚΑΙ ΤΩΝ ΕΠΤΑ ΑΥΤΗΣ ΠΑΙΔΩΝ.

1. Ὅτι τε τῶν παθῶν αὐτοκράτωρ ὁ λογισμὸς καὶ ὅτι κύριος τῆς ἐπ' ἄμφω ῥοπῆς, ἀρετῆς φημι καὶ κακίας, δηλοῦσι μὲν καὶ ἄλλαι πολλαὶ τῶν ἱστοριῶν, ναὶ δὴ καὶ Δαυὶδ αὐτὸς ὁ προφήτης καὶ βασιλεύς· διὰ πάσης γὰρ ἡμέρας τοῖς ἀλλοφύλοις μαχόμενος καὶ πολὺν αὐτῶν ἐργασάμενος φόνον, ἐπειδήπερ πρὸς ἑσπέραν ἦν ἤδη καὶ κέκλικεν ἡ ἡμέρα, οἱ μὲν ἄλλοι πάντες περὶ τὸ δεῖπνον ἦσαν, αὐτὸς δὲ τῇ δίψῃ φλεγόμενος, καίπερ πολλῶν οὐσῶν καὶ διειδεστάτων ἐκεῖσε πηγῶν, δυναμένων τὴν δίψαν ἰάσασθαι, ὅμως αὐτὸς ἀλογίστῳ τινὶ πάντως || ἐπιθυμίᾳ τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος [f. 155v] μετασχεῖν ἐπεθύμει. τῷ τοι καὶ δύο τῶν στρατιωτῶν νεανίσκοι, ὅπλα ἑαυτοῖς περιθέμενοι καὶ κάλπιν λαβόντες, τοὺς τῶν πολεμίων ὑπερέβησαν χάρακας καὶ λαθόντες τοὺς φύλακας καὶ τῇ τούτων πηγῇ προσιόντες ὕδωρ ἐξ αὐτῆς τῷ βασιλεῖ κεκομίκασιν. ὃς αἵματος εἶναι τοῦτο ποτὸν λογισάμενος καὶ ἀνατιθεὶς τῇ ἐπιθυμίᾳ τὸν εὐσεβῆ λογισμόν, οὐ πέπωκε μέν, ἔσπεισε δὲ τοῦτο Θεῷ καὶ μάλα περ τῷ δίψει πυρούμενος· δηλώσει δὲ καὶ ὁ νῦν εἰς διήγησιν προτεθεὶς λόγος.

2. Ἄρτι γὰρ τοῦ Ἰουδαίων ἔθνους βαθεῖαν εἰρήνην ἄγοντος καὶ καλῶς ἔχοντος, ὥστε καὶ τὸν τῆς Ἀσίας βασιλέα Σέλευκον τὸν Νικάτορα χρήματα τούτοις εἰς τὴν ἱερουργίαν προσαφορίσαι, Σίμων τις οὕτως ὀνομαζόμενος, πρὸς Ὀνίαν τὸν ἀρχιερέα διαφερόμενος, ἐπεὶ μὴ ἴσχυσε τοῦτον κακῶσαι, φυ|γὰς ᾤχετο τὴν πατρίδα προδώσων [col. 2] καὶ τῷ τῆς Ἀσσυρίας καὶ Κιλικίας καὶ Φοινίκης στρατηγῷ

6 Ὅτι τὲ || 7 φημὶ || 12 δίψει — διηδεστάτων || 15 τῶτοι || 23 βαθείαν || 25 νικάνωρα || 28 ἀσυρίασ *cod.*, Συρίας *Fl. Ios.*

προσιὼν (Ἀπολλώνιος οὗτος ἦν) πολλῶν λέγει χρημάτων ὄγκον ἰδιωτικῶν ἐν τοῖς τῆς Ἱερουσαλὴμ γαζοφυλακίοις τεθησαυρίσθαι, μὴ ἐπικοινωνούντων τοῖς ἱεροῖς, καὶ προσήκειν ταῦτα Σελεύκῳ τῷ βασιλεῖ. οὗτος οὖν εὐθὺς γνωρίζει τῷ Σελεύκῳ τὸ πρᾶγμα καὶ λαμβάνει τὴν περὶ αὐτῶν ἐξουσίαν καὶ σὺν βαρεῖ στρατῷ καταλαμβάνει τὴν Ἱερουσαλὴμ καὶ τὰ χρήματα λαβεῖν ἐκζητεῖ. τῶν οὖν παραθεμένων ταῦτα τῷ ἱερῷ διακωλυόντων, ἵνα μὴ στερηθεῖεν αὐτῶν, ἐκεῖνος ἐν θυμῷ τὸ ἱερὸν κατειλήφει· ἄγγελοι δὲ Θεοῦ παραυτίκα φανέντες ἐξέπληξαν αὐτόν, ὡς ἡμιθανῆ παρὰ τὸν τοῦ ἱεροῦ περίβολον κεῖσθαι· ὅμως διασωθεὶς ᾤχετο δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα.

f. 156 3. *Τελευτή||σαντος δὲ τοῦ Σελεύκου διαδέχεται τὴν ἀρχὴν Ἀντίοχος ὁ υἱὸς αὐτοῦ, δεινὸς ἀνὴρ ὅτι καὶ ὑπερήφανος. ὃς τῆς ἀρχιερωσύνης καθελὼν τὸν Ὀνίαν, Ἰάσωνα τὸν ἀδελφὸν ἐπ' αὐτῇ καθιστᾷ, δώσειν κατ' ἐνιαυτὸν ὑποσχόμενον ἀργυρίου τάλαντα ἑξήκοντα καὶ ἑξακόσια πρὸς τοῖς τρισχιλίοις. οὗτος οὖν τὴν ἀρχὴν παραλαβὼν ἐπὶ πᾶσαν παρανομίαν τὸ ἔθνος ἐξεπολίτευσεν. οὐ μόνον γὰρ γυμνάσιον κατὰ τὸ τῆς πατρίδος ἄκρον ἐποίησεν, ἀλλὰ δὴ καὶ τὴν τοῦ ἱεροῦ κηδεμονίαν κατέλυσεν. ἀλλ' ἡ θεία δίκη μετῆλθε πάντως αὐτὸν καὶ τῆς ζωῆς ἀπεστέρησεν. ὅθεν ὁ Ἀντίοχος τοῦτο μεμαθηκὼς καὶ ὡς χαίροιεν οἱ ἐν Ἱερουσαλὴμ ἐπὶ τούτῳ, τὴν Πτολεμαΐδα καταλιπὼν (ἐν αὐτῇ γὰρ ἦν ἐκστρατεύσας) ταχέως ἐπ' αὐτοὺς ἀνέζευξε καὶ πορθεῖ μὲν τὴν πόλιν, τίθησι δὲ καὶ δόγμα* *col. 2* *τοιοῦτον, ὡς εἴ τινες φανεῖεν τῷ | πατρίῳ πολιτευόμενοι νόμῳ, κολασθέντες θάνοιεν· ἐπεὶ δὲ τὰς ἀπειλὰς αὐτῶν καταλυομένας ἑώρα, καὶ τοῦτο νομοθετεῖ, τὸ τὰς γυναῖκας τὰς περιτεμνούσας τὰ βρέφη κατακρημνιζομένας σὺν αὐτοῖς ἀπόλλυσθαι. καὶ ταῦτα μὲν οὕτως.*

4. *Αὐτὸς δὲ πάντας ταῖς βασάνοις ἠνάγκαζε μιαρῶν θυσιῶν ἀπογευομένους τὸν Ἰουδαϊσμὸν ἐξόμνυσθαι. προκαθίσας γὰρ ἐπί τινος ὑψηλοῦ τόπου μετά γε τῶν συνέδρων καὶ τῶν στρατευμάτων αὐτῶν ἐνόπλων κυκλόθεν παρεστηκότων τοῖς δορυφόροις ἐκέλευσε κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἕκαστον τῶν Ἰουδαίων ἀναγκάζειν μετέχειν· πολλῶν οὖν εἰς τοῦτο συναρπασθέντων ἀνήρ τις — Ἐλεάζαρος ἡ κλῆσις αὐτῷ, — γένους ἐξ ἱερατικοῦ καταγόμενος, νομικὸς τῇ ἐπιστήμῃ, τὴν ἡλικίαν προβεβηκώς, γνώριμος Ἀντιόχῳ διὰ τὴν* *f. 156ᵛ* *ἀρετήν, προσήχθη || τούτῳ. πρὸς ὃν ἀπιδὼν ὁ Ἀντίοχος «Ἐγὼ*

4 εὐ|θὺσ || 10 δηλώσω || 19 *post* δὴ *lacuna sex fere litterarum* || 22 ἐναυτῇ || 26 τοῦτο *correctum e* τούτω || 30 Προκαθίσασ || 32 ἐκέλευσεν || 34 ἀνὴρ τίσ

μέν, ὦ πρεσβῦτα», λέγει, «πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων, ὑείων ἀπογεύσασθαί σε κρεῶν συμβουλεύω καὶ σώζεσθαι. τί γὰρ βδελύττῃ τοιούτου ζώου καλλίστου σαρκοφαγίαν; πάντως γὰρ εἰ καί τις ἔστιν ἐποπτικὴ δύναμις ὑμῶν τῇ θρησκείᾳ, συγγνωμονήσει σοι ἐπὶ τῇ δι᾽ ἀνάγκην παρανομίᾳ».

5. Οὕτως ἐκείνου λέγοντος ὑπολαβὼν Ἐλεάζαρος «Ἡμεῖς, ὦ Ἀντίοχε», λέγει, «θείῳ πειθόμενοι νόμῳ οὐδεμίαν ἀνάγκην βιαιοτέραν νομίζομεν τῆς πρὸς αὐτὸν εὐλογίας καὶ εὐπειθείας· ἐφ᾽ ᾧ καὶ αἱρούμεθα μὴ παρανομεῖν. τυραννικὸν οὖν ἐστι τὸ ἀναγκάζειν ἡμᾶς ἃ μὴ θέμις ἐσθίειν. ἀλλ᾽ οὐ πείσεις, οὐδ᾽ ἂν ἐκκόψῃς μου τὰ ὄμματα καὶ τήξῃς τὰ σπλάγχνα. οὐχ οὕτως ἄνανδρος ὁ γέρων ἐγώ, ὥστε μοι μὴ νεάζειν τὸν λογισμὸν διὰ τὴν | εὐσέβειαν. πρὸς col. 2 *ταῦτα τροχοὺς εὐτρέπιζε, τὸ πῦρ σφοδρότερον ἐκφύσα· οὐ διὰ ταῦτα τὸν πάτριον ἐγὼ καταλύσω νόμον».*

6. Οὕτως εἰπόντος αὐτοῦ περιστάντες οἱ δορυφόροι περιδύουσι τοῦτον, εἶτα περιαγκωνίσαντες μάστιξι καταξαίνουσιν, ἄνωθεν βοῶντος τοῦ κήρυκος· «Πείσθητι, γέρον, ταῖς τοῦ βασιλέως κελεύσεσι». σάρκες οὖν ἀπεξαίνοντο τούτου μαστιζομένου, αἱ πλευραὶ πάντῃ κατετιτρώσκοντο, ἡ γῆ τοῖς αἵμασι κατεβάπτετο, πρὸς ταύτην ὁ γέρων κατέπιπτε, τὰς ἀλγηδόνας μὴ φέρων τοῦ σώματος. ἀλλά τις τῶν πικρῶν δορυφόρων λὰξ ἐναλάμενος εἰς τοὺς αὐτοῦ κενεῶνας ἔτυπτεν, ὡς ἂν ἐξανίστατο πίπτων. ὑπέμενεν ὁ γέρων τοὺς πόνους, ἐνεκαρτέρει τοῖς αἰκισμοῖς καὶ τοὺς κολαστὰς ἐνίκα τῇ γενναιότητι. οὕτως οὖν ἔχων καὶ οὕτως ἱδρῶν τῷ προσώπῳ || ἐθαυμάζετο τῆς εὐψυχίας, ἐπῃνεῖτο τῆς καρτερίας. ὅθεν f. 157 *προσιόντες αὐτῷ τινες τοῦ βασιλέως ἔλεγον· «Ἑψημένων σοι βρωμάτων παραθήσομεν, Ἐλεάζαρ· σὺ δὲ ὑποκρινόμενος τῶν ὑείων κρεῶν ἀπογεύεσθαι σώθητι». ὁ δὲ «Μὴ γένοιτο» μέγα ἐβόησεν, «ἵνα παράδειγμα γένωμαι τῆς μιαροφαγίας ἐγώ». καὶ ἅμα πρὸς Θεὸν τὴν ψυχὴν ἀνατείνας σὺν ὄμμασι «Σὺ οἶδας» ἔφη, «κύριε, ὅτιπερ διὰ τὸν σὸν νόμον ὑφίσταμαι ταῦτα· γενοῦ τοίνυν τῷ ἔθνει σου ἵλεως καὶ δέξαι τὸ ἐμὸν αἷμα καθάρσιον ὑπὲρ τούτου». ταῦτ᾽ εἰπὼν ὁ γέρων ταῖς βασάνοις ἐναποθνήσκει. ὁμολογούμενον οὖν ἐστιν ἐντεῦθεν, ὅτι τῶν παθῶν δεσπότης ὁ εὐσεβὴς λογισμός.*

7. Ἀλλ᾽ ὁ Ἀντίοχος οὕτως ὑπὸ τοῦ γέροντος ἡττηθεὶς ἄλλους ἐκ τῆς ἀγέλης τῶν Ἑβραίων ἀχθῆναι κελεύει· καὶ δὴ καὶ παρῆσαν ἀγόμενοι ἑπτὰ ἀδελφοὶ | μετὰ γηραιᾶς μητρός· οὓς καὶ πλησίον col. 2

4 *ἔστιν* || 7 *ȣ̓δεμῖαν* || 20 *κατέπιπτεν* || 21 *ἐναλλάμενοσ* || 25 *Ὅθεν* || 26 *τινὲσ* || 29 *μϊα|ροφαγίασ* || 33 *Ὁμολογούμενον* || 34 *εὐσεβεῖσ λογισμό*

ἐκεῖνος παραστησάμενος «Ἐγὼ μὲν» εἶπεν, «ὦ νεανίαι, θαυμάζων ὑμῶν τὰ κάλλη οὐ μόνον συμβουλεύω μὴ τὴν αὐτὴν μανίαν μανῆναι τῷ βασανισθέντι γέροντι, ἀλλὰ καὶ παρακαλῶ τὸ πάτριον ἔθος ἀποθεμένους τοῦ ἑλληνικοῦ βίου μεταλαβεῖν. εἰ γὰρ ἀθετήσετέ μου τὰς ἐντολάς, ἐπὶ δειναῖς ἕκαστος ὑμῶν βασάνοις ἀποθανεῖται». ταῦτ' εἰπὼν ἐκέλευσεν εἰς μέσον προτεθῆναι βασανιστήρια, τροχοὺς καὶ ἀρθρέμβολα, τροχαντῆρας καὶ καταπέλτας καὶ λέβητας, χεῖρας σιδηρᾶς καὶ τήγανα, δακτυλήθρας καὶ σφῆνας καὶ τὰ ζώπυρα τοῦ πυρός. τούτων οὖν προτεθέντων «Μειράκια», φησὶ πρὸς αὐτοὺς ἐκεῖνος, «φοβηθέντες φάγετε, καὶ ἵλεως ὑμῖν ἔσται πάντως f. 157v ἣν σέβεσθε δίκην, || δι' ἀνάγκην παρανομήσασιν».

8. Οἱ δὲ πρὸς ταῦτα μιᾶς ὡς ἐκ φωνῆς «Τί μέλλεις» εἶπον, «ὦ τύραννε; τί μὴ ποιεῖς τὸ σοὶ παριστάμενον; ἕτοιμοι γάρ ἐσμεν ἀποθνήσκειν ἢ τὰς πατρίους ἡμῶν ἐντολὰς παραβαίνειν. αἰσχυνόμεθα δὲ καὶ ἥττους ὀφθῆναι γέροντος ἑνός, ἀποθανόντος ὑπὲρ πατρίων ἐθῶν. μὴ νομίσῃς οὖν βλάπτειν ἡμᾶς βασανίζων· μεγάλα γὰρ ἡμῖν διὰ τῆς ὑπομονῆς προξενήσεις τὰ καλά».

9. Εὐθὺς οὖν ὁ πρῶτος αὐτῶν καθ' ἡλικίαν ἄγεται καὶ μάστιξι δεινῶς καταξαίνεται· ἐμβάλλεται τῷ τροχῷ, ἐξαρθροῦται τὰ μέλη καὶ λοιδορεῖται τὸν τύραννον, «Τῆς οὐρανίου δίκης» λέγων «ἐχθρέ, τί με τοσοῦτον αἰκίζεις ὡς ἄνομον;» τῶν δορυφόρων οὖν τινων «Φαγεῖν ὁμολόγησον» εἰπόντων «καὶ ῥύσθητι τῶν βασάνων», ἐκεῖcol. 2 νος «Μιαροὶ σύμβουλοι καὶ διάκονοι» λέγει, «τί με τούτοις | ἀπατᾶν ἐπιχειρεῖτε τοῖς λόγοις; τέμετε τὰ μέλη, πυροῦτέ μου τὰς σάρκας, τἄλλα πάντα ποιεῖτε, ἵν' εἰδῆτε, ὅτι μόνοι παῖδες Ἑβραίων ὑπὲρ ἀρετῆς ἀνίκητοι μένουσι». ταῦτα λέγοντι πῦρ ὑπεστρώθη, ὁ τροχὸς ἐστρέφετο, τὰ περὶ τὸν τροχὸν τοῖς αἵμασιν ἐμολύνετο, τὸ πῦρ τοῖς τῶν αἱμάτων σταλαγμοῖς ἐσβέννυτο. καὶ ὁ καλὸς νεανίας μήτε στεναγμὸν ἀφιεὶς «Μιμήσασθέ με» πρὸς τοὺς ἀδελφοὺς ἔλεγε «καὶ μὴ τὴν πάτριον θρησκείαν τὸ σύνολον ἐξομόσοισθε». καὶ ταῦτα λέγων ἀπέθετο τὴν ψυχήν.

10. Ὁ καθ' ἡλικίαν τοίνυν παράγεται δεύτερος καὶ καταπέλτῃ δεσμεῖται καὶ σιδηραῖ χεῖρες, ὄνυξιν ὀξέσιν ὡπλισμέναι, παρὰ τῶν δορυφόρων προτείνονται, μὴ μιαροφαγοῦντα τοῦτον ἀπειλούντων ταύταις αὐτὸν καταξᾶναι. εἵλκυσαν οὖν αὐτάς, ἐκείνου μὴ πεισθένf. 158 τος, ἀπ' αὐτοῦ τένοντος || ἄχρι τῶν γενείων αὐτῶν καὶ τὴν σάρκα πᾶσαν καὶ τῆς κεφαλῆς αὐτῆς τὴν δορὰν ἀπέσυρον οἱ κατάρατοι·

6 Ἐκέλευσεν || 7 ἀθρέμβολα || 9 φησι *sine acc.* || 13 γὰρ ἐσμὲν || 20 τύρανδ || 21 τινων: τινὲσ *cod.* || 25 τἄλλα || 33 σιδηραὶ || 34 μιάροφαγόντα

ἀλλὰ καὶ τούτου βάλλοντος λόγοις τὸν τύραννον καὶ οὕτω τὸν ἀοίδιμον θάνατον καρτερήσαντος, ὁ τρίτος εἰσάγεται. μὴ πεισθεὶς μιαροφαγῆσαι ἀρθρεμβόλοις ὀργάνοις χεῖρας ἐξαρθροῦται καὶ πόδας, βραχίονας συνθλᾶται καὶ σκέλη, ἐπὶ τροχὸν ἄγεται καὶ σπονδύλων ἐξ αὐτῶν τὰς ὅλας κατατέμνεται σάρκας καὶ οὕτω καὶ αὐτὸς τὴν ζωὴν ἀποτίθεται.

11. Εἰσάγεται τοίνυν ὁ τέταρτος καὶ λόγοις ἀπαιτεῖται καὶ οὗτος τοῦ νόμου τὴν ἄρνησιν· οὐ πείθεται καὶ τὴν γλῶσσαν τέμνεται. ὡς δὲ καὶ οὗτος ταῖς βασάνοις καταικισθεὶς ἐναπέθανεν, ὁ πέμπτος εἰσεπήδησε λέγων· «Οὐ μέλλω πρὸς τὰς βασάνους, τύραννε· αὐτὸς ἀπ᾽ ἐμαυτοῦ ἥκω, μισάνθρωπε. τί δράσαντας ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον; ὅτιπερ εὐσε|βοῦμεν εἰς τὸν ἁπάντων κτίστην καὶ col. 2 κατὰ τὸν εὐσεβῆ νόμον ζῶμεν αὐτοῦ; ἀλλὰ τοῦτο τιμῶν, οὐ βασάνων ἐστὶν ἄξιον». τοιαῦτα λέγοντα τοῦτον ἐπὶ τὸν καταπέλτην οἱ δορυφόροι δήσαντες ἐπὶ γόνατα καὶ ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες τὴν ὀσφὺν αὐτοῦ περιτροχιαίοις σφηνίσκοις κατέκαμψαν. κατακλώμενος οὖν ἐπὶ τὸν τροχὸν ἐξεμελίζετο ὁ καλὸς νεανίας. ὅθεν καὶ τὸ πνεῦμα στενοχωρούμενος καὶ τὸ σῶμα κατατεμνόμενος «Καλὰς ἡμῖν» ἔλεγεν, «ὦ τύραννε, καὶ ἄκων χαρίζῃ τὰς χάριτας».

12. Τελευτήσαντος δὲ καὶ τούτου ὁ ἕτερος ἤγετο μειρακίσκος· ὃς πυνθανομένου τοῦ τυράννου, εἰ βούλοιτο φαγὼν ἀπολυθῆναι, «Ἐγὼ μὲν» ἔφη, «τύραννε, εἰ καὶ καθ᾽ ἡλικίαν τῶν ἄλλων νεώτερος, ἀλλὰ τῇ διανοίᾳ συνηλικιώτης εἰμί. τῷ τοι καὶ ὑπὲρ τῶν αὐτῶν ὁμοίως ἔχω καὶ λέγειν καὶ ἀποθνήσκειν. εἴπερ οὖν σοι || δοκεῖ, f. 158v μὴ [μι]αροφαγοῦντα βασάνιζε». ἄγουσιν οὕτως εἰπόντα τοῦτον ἐπὶ τὸν τροχόν, ἐφ᾽ ᾧ κατατεινόμενος, ἐκμελιζόμενος καὶ ἐκσπονδυλιζόμενος ἦν, ὀβελίσκοις τε πεπυρακτωμένοις κατακαιόμενος τά τε νῶτα καὶ τὰς πλευράς, ναὶ δὴ καὶ αὐτὰ τὰ σπλάγχνα πικρῶς. καὶ οὕτω πάσχων καὶ ὕβρεσι πλύνων τὸν τύραννον τὸ μακάριον καὶ οὗτος τέλος ἀπέθανεν, εἰς λέβητα καταβληθεὶς ὁ γενναῖος.

13. Ἄγεται τοίνυν ὁ ἕβδομος, ὃν καὶ οἰκτείρας ὁ βέβηλος διὰ τὸ νέον πάνυ τῆς ἡλικίας συμβουλεύει μιαροφαγῆσαι πεισθέντα, μετακαλεσάμενος καὶ τὴν τούτου μητέρα, ὡς ἂν ἐπὶ τοῖς ἄλλοις παισὶ κατακλασθεῖσαν ἕτοιμον εὕροι πρὸς πειθὼ τοῦ νεωτέρου υἱοῦ αὐτῆς. ἐκείνης τοίνυν τῇ ἑβραΐδι φωνῇ προτρεψαμένης τοῦτον εἰς τὴν εὐσέβειαν, οὗτος δραμὼν τῶν τηγάνων ἔστη πλησίον καὶ «Ὦ ἀνόητε», | πρὸς τὸν Ἀντίοχον εἶπεν, «οὐκ ᾐδέσθης, παρὰ Θεοῦ col. 2

1 Τύρανον || 7 εἰ|Cάγεται || 10 μέλω || 11 ἀπεμάντου || 14 τοιαύτα || 20 μιρακίσκοσ || 23 τώτοι || 25 μηαροφαγοῦντα || 26 κατατινόμενοσ || 29 τύρα^{ν}νον || 31 Ἄγεται || 35 Ἐκείνησ — τούτον || 36 οὗτοσ

λαβὼν τὴν βασιλείαν, τοὺς θεράποντας αὐτοῦ κατακτεῖναι; αἰωνίῳ σε τοίνυν ἡ δίκη πυρὶ παραπέμψει, ὅτιπερ ἄνθρωπος ὢν καὶ αὐτὸς οὐκ ᾐδέσθης ὁμοιοπαθεῖς ἀνθρώπους ποικίλαις ἐξαναλῶσαι κολάσεσι». ταῦτα εἰπὼν ἔρριψεν ἑαυτὸν κατὰ τῶν τηγάνων καὶ οὕτως ἀπέθανεν. οὐκ ἄρα γοῦν τῶν παθῶν δεσπότης ὁ εὐσεβὴς λογισμός; ὅτιπερ ὑπὲρ τοῦ νόμου καὶ τῶν πατρίων ἐθῶν τοσούτων κολάσεων οἱ γενναιότατοι κατεκράτησαν, «Ἀδελφοί», λέγοντες πρὸς ἀλλήλους καὶ ἄλλος ἄλλον παραθαρρύνοντες, «ἀποθάνωμεν, μὴ δειλανδρήσωμεν, μιμησώμεθα τοὺς τρεῖς νεανίας, οἵτινες ὑπὲρ τῆς εὐσεβείας πυρὸς κατετόλμησαν καὶ θανάτου». καὶ ταῦτα μὲν καὶ τοσαῦτα περὶ τούτων.

f. 159 14. Ἡ δέ γε μήτηρ, ἵνα μή τις αὐτῆς || παραψαύσοι τοῦ καλοῦ σώματος, τῇ πυρᾷ ἑαυτὴν ἐναπέρριψε καὶ τοῖς υἱοῖς συναπῆλθε, καλῶς συναγωνισαμένη τούτοις καὶ πολυάθλως. καὶ νῦν τῷ τοῦ Θεοῦ θρόνῳ συμπαρεστῶτες, ἀοίδιμοι, καὶ τῶν ἀκηράτων ἀγαθῶν ἀπολαύοντες, τῷ ὀρθοδόξῳ ἡμῶν βασιλεῖ μῆκος αἰτήσασθε ζωῆς καὶ καλῶν ἀφθονίαν, ἰσχὺν κατ' ἐχθρῶν καὶ βοήθειαν θείαν, χαρᾶς ἀλήκτου τὴν ἡδυτάτην τέρψιν, πάντων ἀγαθῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

— — - - — —

Μηνὶ τῷ αὐτῷ β'.

Η ΑΝΑΚΟΜΙΔΗ ΤΟΥ ΛΕΙΨΑΝΟΥ ΤΟΥ ΑΓΙΟΥ ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΠΡΩΤΟΜΑΡΤΥΡΟΣ.

1. Καὶ πῶς ἄν τις αἰτίας ἡμᾶς ἀπαλλάξοι καὶ μώμου, μὴ περὶ τῆς σεβασμίας ἀνακομιδῆς τοῦ παντίμου σώματος Στεφάνου τοῦ |
col. 2 πρωτομάρτυρος βραχέα τῷ λόγῳ διαλαβόντας, ἵν' ἐντεῦθεν ἔχοιεν ἅπαντες εἰδέναι τὰ περὶ ταύτης; λεγέσθω τοιγαροῦν καὶ εἰς μνήμην ἐρχέσθω τὰ περὶ τούτου, ὅτι καὶ μνήμη δικαίου καλὸν καὶ τοῖς πᾶσιν ὠφελιμώτατον.

2. Ἄρτι τοῦ πρωτομάρτυρος τούτου καὶ μεγάλου Στεφάνου

5 γοὺν || 8 παραθαρύνοντεσ || 9 τρεἰσ || 13 σὺνάπῆλθε || 16 ἀπολάβοντεσ — αἰτήσασθαι || 31 Ἄρτι

Ἰουδαϊκαῖς καταλευσθέντος χερσὶ καὶ οὕτω τὸν βίον ἀλλάξαντος, ὡς ὁ τῆς ἱστορίας λόγος διδάσκει, καὶ πρὸς σκηνὰς τὰς ἀειμόνους ἀπάραντος καὶ τὴν ἐκεῖσε μακαριότητα, τὸ καρτερικὸν αὐτοῦ καὶ πολύαθλον σῶμα κώμη τις ἔκρυπτεν ὑπὸ γῆν, προσεχὴς Ἱερουσαλήμ, χρόνοις ἐν οὐκ ὀλίγοις ἀγνώστου τυγχάνοντος τοῦ τοσούτου καλοῦ. ὅτε δὲ τὰ τῆς εἰδωλικῆς ἀχλύος ἀπὸ γῆς ἤρθη καὶ καθαρᾶς ἀπέλαυεν ἡμέρας ἡ κτίσις, τοῦ ἀοιδίμου τῆς Ῥωμαίων ἀρχῆς προκατάρξαντος Κωνσταντίνου, || ὃν καὶ μέγαν πᾶς τις οἶδε καλεῖν διὰ f. 159v τὴν εἰλικρινῆ τούτου πρὸς Θεὸν εὐσέβειαν καὶ νίκας τὰς κατ' ἐχθρῶν ἢ μᾶλλον εἰπεῖν ἐπὶ τούτοις, ὅτε τρόποις οἷς οἶδεν ἡ σοφῶς πάντα οἰκονομοῦσα πρόνοια [ἔκρινε] τὴν αὐτοῦ γενέσθαι φανέρωσιν, αὐτὸς οὗτος ὁ μέγας καὶ περίφημος Στέφανος ἀνδρί τινι τῆς κώμης ἐκείνης—Λουκιλλιανὸς ἡ κλῆσις αὐτῷ—φαιδρὸς ὀπτάνεται καὶ λαμπρός, «Τόνδε» λέγων «τὸν τόπον ὅτι τάχος καταλαβὼν εὑρήσεις με κεκρυμμένον ἀνορύξας τὸν Στέφανον», γνωρίσας ἅμα τούτῳ καὶ ὅστις ἐκεῖνος εἴη.

3. Τοῦ δὲ καὶ ἱερέως ὄντος καὶ γηραιοῦ καὶ διακρίνειν ὀπτασίας ἀκριβεστάτου καὶ μὴ προχείρου πρὸς τὰς πίστεις τῶν δρωμένων καὶ διὰ ταῦτα σκοπουμένου τὸ πρᾶγμα καὶ βασανίζοντος, αὖθις ὁ πρωτομάρτυς φαίνεται τούτῳ, τὰ αὐτὰ καὶ πάλιν ἐγκελευόμενος. τούτου δὲ | καὶ ἔτι διαποροῦντος, καὶ τρίτον αὐτῷ τοῦ μεγάλου δια- col. 2 φανέντος καὶ τοῖς ὁμοίοις ῥήμασι κεχρημένου πίστιν ὁ Λουκιλλιανὸς ἐντεῦθεν ἀναμφίβολον ἐσχηκὼς τῷ ἀρχιερεῖ τάχος πρόσεισιν Ἱεροσολύμων—Ἰωάννης δὲ ἦν ὁ κλεινός—καὶ πάντα κατὰ λεπτὸν αὐτῷ τῆς ὁράσεως ἀπαγγέλλει. ἐκεῖνος δὲ μηδὲν ὅλως ἐπὶ τούτῳ μελλήσας, τοὺς συνόντας εὐθὺς τῶν ἐπισκόπων λαβὼν (δύο δὲ ἦσαν) καὶ τὸν κλῆρον αὐτὸν μεθ' ὕμνων καὶ ψαλμῶν τὸν τόπον κατέλαβε καὶ — ὢ τῶν ἀκαταλήπτων σου κριμάτων, Χριστὲ βασιλεῦ,—μικρὸν ἀνορύξας τὴν σορὸν ἐφευρίσκει, καὶ ὕμνος εὐθὺς ἀγγελικὸς ἐξακούεται, «Δόξα ἐν ὑψίστοις Θεῷ» τῆς φωνῆς συναρθρούσης μάλα λιγυρῶς καὶ ἡδέως, ὥσπερ δὴ κἀν τῇ τοῦ ἐμοῦ γεννήσει Χριστοῦ, «καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία». ἔνθεν τοι καὶ φόβος λαμβάνει πάντας, ἀλλὰ δὴ καὶ χαρά, || πολλή τε τῆς θήκης f. 160 εὐωδία δίδοται καὶ πολλῶν θαυμάτων αὐτίκα χύσις ἀκολουθεῖ. ὁ τοίνυν ἀρχιερεὺς καὶ πᾶν τὸ συνειλεγμένον πλῆθος πίστει τὸ λείψανον προσκυνήσαντες καὶ κατασπασάμενοι πρὸς τὴν ἁγίαν Σιὼν φιλοτίμως ἀνεκόμισαν καὶ κατέθεντο.

4 et **8** τίσ || **5** ἐνουκὀλίγοισ || **7** ἀπέλαβεν || **11** ἔκρινε **inserui** || **12** ἀνδρὶ τινὶ || **16** εἴη || **24** καταλεπτὸν || **25** ἀπαγγέλει· Ἐκεῖνοσ — μὴδὲν || **26** μελήσασ || **32** ἐνανθρώποισ — ἔνθέν τοι || **33** πολλὴ τὲ

4. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καί τις συγκλητικὸς Ἀλέξανδρος τοὔνομα, τῶν μεγάλων τοῦ πρωτομάρτυρος ἀπολαύσας θαυμάτων, ναὸν βάθρων ἐξ αὐτῶν καὶ κρηπίδων οἰκοδομεῖ περικαλλῆ τε καὶ πολυτελῆ καὶ πᾶσιν ἐξωραϊσμένον κάλλεσι κἀν τούτῳ τὸν ἅγιον πολλὰ τοῦ ἀρχιερέως πρότερον δεηθεὶς μετατίθησιν, ἐν ᾧ πολλαὶ μὲν θαυμάτων ἐτελέσθησαν χάριτες, πλεῖσται δὲ ψυχαὶ διεσώθησαν ἀνθρώπων ἐντεῦθεν πρὸς τὴν πίστιν φερόμεναι.

5. Πέμπτος ἔκτοτε χρόνος παρῆλθε, καὶ ὁ ῥηθεὶς Ἀλέξανδρος col. 2 τὸν βίον ἀπολιπὼν ἐχό|μενά που τῆς σοροῦ τοῦ πρωτομάρτυρος ἐν ξυλίνῃ λάρνακι κατατίθεται, ὁμοίως ἐχούσης καὶ αὐτῆς. Ἰουλιανὴ τοίνυν ἡ τούτου γαμετὴ (τοῦτο γὰρ αὐτῇ ὄνομα) τῆς ἐν τοῖς οἰκείοις ἐπανόδου μνησθεῖσα (τῆς Κωνσταντίνου γὰρ ἐξώρμητο πόλεως) περὶ πλείστου τίθεται τὸ τὸν ἄνδρα λαβεῖν καὶ τὴν πατρίδα καταλαβεῖν, περιόντος ἔτι καὶ τοῦ ταύτης πατρὸς καὶ κατὰ τὴν βασιλεύουσαν διατρίβοντος. πρόσεισι τοιγαροῦν τῷ ἀρχιερεῖ — Κύριλλος οὗτος ἦν — καὶ τὸ σῶμα τοῦ ἀνδρὸς αἰτεῖται λαβεῖν. οὐ δίδωσιν οὗτος, καὶ γράφει πρὸς τὸν πατέρα τὸ γύναιον· μανθάνει τοῦτο βασιλεὺς δι᾽ αὐτοῦ καὶ πρὸς τὴν αἴτησιν παρακληθεὶς κατανεύει. γράμματα περὶ τούτου πέμπεται πρὸς τὸν πατριάρχην, καὶ ὃς ἐκχωρεῖ τῇ γυναικὶ τὴν τοῦ ἀνδρὸς μετακομιδήν. τίς οὐκ ἐκπλαf. 160v γείη τὴν ἀνέκφραστόν σου δυναστείαν, Χριστὲ || βασιλεῦ; τὴν τοῦ πρωτομάρτυρος σορὸν ἀντὶ τῆς ἀνδρῴας μετακομίζει τὸ γύναιον. καὶ ἦν μὲν τέως ἄγνωστον αὐτῇ τοῦτο μέχρι τινός. ἐπεὶ δὲ τὴν ὁδὸν ἔτεμον καὶ γνωστὸν ἐγένετο τοῖς κομίζουσιν ἔκ τε τῶν ἀγγελικῶν ὕμνων ἔκ τε τῆς εὐωδίας, θάμβει συσχεθέντες ἀφάτῳ οὐκέτι μὲν μεθ᾽ ἡμέρας, ἵνα μὴ γνωσθῇ, κατὰ δὲ νύκτας αὐτὰς τὴν πορείαν ἐτέλουν καὶ δὴ καὶ ἑώρων φῶτα προπορευόμενα καὶ ὕμνους ἤκουον ᾀδομένους καὶ ἀφάτου τῆς εὐωδίας ᾐσθάνοντο. ἀλλὰ δὴ καὶ δαίμονες ὀπίσω ταύτης κράζοντες ἐξηκούοντο καὶ ὀνομαστὶ τὸν πρωτομάρτυρα διεσάφουν.

6. Τὴν Ἀσκάλωνα τοίνυν καταλαβόντες καὶ περὶ τὸν ταύτης λιμένα γενόμενοι, πλοίῳ ἀναχθέντες ἀνέμων εὐπνοίαις ἐν ὀλίγῳ col. 2 τὴν Χαλκηδόνα κατέλαβον, ἐν ᾗ πολλὰ τετέλεστο θαύ|ματα καὶ ὧν τὴν μνήμην οὐ δυνατὸν παραστῆσαι γραφῇ. τοῦ προέδρου γοῦν τῆς Κωνσταντίνου τὴν ἔλευσιν τοῦ παντίμου σκήνους ἐκείνου μεμαθηκότος (Μητροφάνης δὲ οὗτος ἦν ὁ καλός) καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ τὸ πρᾶγμα γνωρίσαντος, νῆες εὐθὺς διαπέμπονται

4 κἀν || 7 διέσώθησ(αν) || 8 παρῆλθεν || 29 ὀπίσω ταύτησ **bis scriptum** || ibid. ἐξικούοντο — ὀνομαστὴ || 31 ἀ|Σκάλωνα || 32 ἐνολίγω || 34 γοῦν || 37 διὰ|πέμπονται

καὶ πατριάρχης αὐτὸς τὴν Προποντίδα διαπερᾷ καὶ τῶν ἐν τέλει καὶ τοῦ κλήρου πολλοὶ καὶ ἄλλος οὐκ ὀλίγος ἄπεισιν ὄχλος· ναὶ δὴ καὶ τὰ εἰκότα τελέσαντες ἐπ' αὐτῷ, ὕμνους τε πολλοὺς ἐπᾴσαντες καὶ ψαλμούς, τῇ βασιλικῇ τριήρει τὴν σορὸν ἐνθέμενοι τὴν Κωνσταντίνου κατέλαβον, κατὰ τὸ λεγόμενον Σταυρίον αὐτομάτως ταύτης προσορμισάσης, ᾗ καὶ τὰ λοιπὰ τῶν πλοίων ἀκολουθοῦντα τούτῳ προσώρμισαν. ἐφ' ἁμάξης τοίνυν ἐνθεμένων αὐτῶν τὴν σορὸν καὶ ἡμιόνους αὐτῇ συζευξάντων, ἐφ' ᾧ τῆς || ὁδοῦ τῆς πρὸς τὰ βασί- f. 161 *λεια φερούσης ἐφάψονται, θυγάτριόν τινος ναυτικοῦ, δαιμονίᾳ πληττόμενον μάστιγι, προσιὸν εὐθὺς ἀνακέκραγε διὰ τοῦ ἐνοικοῦντος δαίμονος, ὥσπερ δή ποτε καὶ τῷ ἐμῷ Χριστῷ· «Τί ἐμοὶ καὶ σοί, Στέφανε; τί με διώκεις;» καὶ ἅμα σπαράξας αὐτὴν ὁ δαίμων καὶ ῥίψας πρηνῆ κατὰ γῆς δρασμὸν ὑπενόησεν· καὶ μέντοι δὴ καὶ φεύγων τὴν ἔρημον κατακεκρίσθαι διωμολόγει.*

7. Κατ' αὐτὸν οὖν τὸν τόπον τοῦ Ζεύγματος (τοῦτο γὰρ ὠνομάσθη διὰ τὸ τὰς ἡμιόνους τῷ ἅρματι κατ' αὐτὸν προσζευχθῆναι ἢ καὶ τὴν σορὸν αὐτὴν ἐνεχθῆναι) καί τις ἄλλη γυνὴ χαλεπῶς αἱμορροίᾳ πιεζομένη θεραπείας τετύχηκεν, ἀλλὰ δὴ καὶ παράλυτος. τὸ ἅρμα τοίνυν ἀνιὸν καὶ τέμνον τὴν ὁδὸν τῷ δρόμῳ τῶν ζῴων, θεία τις τῆς εἰς τὸ πρόσω πορείας δύναμις αὐτὸ διεκώλυσε· | καὶ τὸ col. 2 *παράδοξον· τῶν ζῴων τὸ ἕτερον χρησάμενον φωνῇ ἀνθρωπίνῃ «Μὴ περαιτέρω» λέγει «χρὴ τὴν πορείαν ποιεῖσθαι· ὧδε γὰρ Θεὸς τὴν τοῦ πρωτομάρτυρος κατάθεσιν εὐδόκησε γεγενῆσθαι». καὶ μή τις τοῦτο διαπιστείτω, τὴν τοῦ Βαλαὰμ ἀναλογιζόμενος ὄνον, ἥτις ἐν τῷ τὸν Ἰσραὴλ αὐτὸν καταράσασθαι μέλλειν ἀνθρωπίνῃ ἐχρήσατο φωνῇ, μὴ πρόσω τοῦτον ἐγκελευομένη προβῆναι. ἄλλως τε καὶ τί ξένον τοῦτο πρὸς τὴν μεγάλην τοῦ Θεοῦ δυναστείαν; ὅθεν θείαν ὁ κρατῶν βασιλεὺς οἰκονομίαν εἶναι τὸ πρᾶγμα λογισάμενος ναὸν ἐκεῖσε τερπνὸν ὅτι καὶ θεῖον οἰκοδομεῖ κἀν τούτῳ τὸν πρωτομάρτυρα καταθέμενος Κωνσταντιανὸν τὸν τόπον κατονομάζει.*

8. Καὶ οὕτω μέν, ὦ πανάριστε Στέφανε, τὰ τῆς ἀνακομιδῆς τοῦ πανάγνου σου σώματος ἐν βραχεῖ λόγῳ διείληπται. σὺ δὲ ἡμᾶς ἐποπτεύων ἄνωθεν || καὶ Θεῷ δεήσεις ἀναφέρων ὑπὲρ τοῦ παντός, f. 161v *αἴτησαι καὶ βασιλεῖ ἡμῶν τῷ τὰ πάντα καλῷ κράτος καὶ ἰσχὺν κατὰ τῶν ἐναντίων, πάντων τῶν καλῶν τὴν μετάληψιν πᾶσαν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς ἀτελευτήτους αἰῶνας. ἀμήν.*

---

1 *πατρι|άρχησ* || 3 *ἐπ' αὐτῇ*, **quod mutavi, quoniam pronomen ad** *σκῆνος* **referendum est** || ibid. *τὲ* || 11 *δὴ ποτὲ κἀν* || 16 *πρόσζευχθῆναι* || 17 *αἱμορροία* || 19 *θειά τισ* || 26 *τούτον*

Μηνὶ τῷ αὐτῷ γ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΣΑΚΙΟΥ, ΦΑΥΣΤΟΥ ΚΑΙ ΔΑΛΜΑΤΟΥ.

1. Ὁ μέγας οὗτος καὶ θαυμαστὸς Ἰσάκιος, οὗ τὸ κλέος πᾶσαν, ὡς εἰπεῖν, τὴν οἰκουμένην διέλαβε, τῆς πρὸς ἀνίσχοντα κειμένης ἥλιον χώρας ἐξώρμηται, διὰ δὲ τὴν εἰς Χριστὸν εἰλικρινεστάτην ἀγάπην τὸν μοναδικὸν παιδόθεν ἐπόθησε βίον καὶ τοῦτον καλῶς μετιὼν εἶτα καὶ τὴν ἔρημον κατείληφε κἀν ταύτῃ πᾶν εἶδος συνέλεξεν ἀρετῆς καὶ μέγας ἔν τε βίῳ καὶ θαύμασι γέγονεν, ὡς ἅπαντας συντρέχειν ἐπ' αὐτὸν ὁσημέραι καὶ τῶν ἐκείνου καλῶν ἀπο-
col. 2 λαύειν. | ἔνθεν τοι καὶ τὸν ὄχλον ἐκκλίνων ὁ μέγας καὶ φεύγων τὴν ἐπίκηρον δόξαν, μακρὰν χαίρειν εἰπὼν τοῖς θορύβοις τὴν Κωνσταντίνου κατέλαβε καὶ πρός τινα τόπον ἔξω ταύτης γενόμενος ᾤκησε, Θεῷ ζῶν κατὰ μόνας καὶ τοῖς πολλοῖς τέως μὴ γινωσκόμενος. Οὐάλης ὁ θεοστυγὴς ἐβασίλευε τότε. ἀλλ' ἐπεὶ μὴ δυνατὸν ἦν πόλιν ἐπ' ὄρους κειμένην κρυβῆναι τοῦτον τῷ περιόντι τῆς ἀρετῆς, κἀντεῦθεν διεδίδοτο πανταχοῦ τὰ τοῦ ἀνδρὸς προτερήματα, πάντες συνέρρεον πρὸς αὐτὸν καὶ ἦν ὡς ἀληθῶς προτείχισμα τῆς Κωνσταντίνου καὶ στήριγμα.

2. Τοῦ γὰρ δυσσεβοῦς Οὐάλεντος τὸ δεινὸν ἐκπεπωκότος πόμα, τὴν Ἀρείου φημὶ δυσφημίαν, καὶ τῆς αἱρέσεως ταύτης τῇ βασιλικῇ δυναστείᾳ σφοδρότερον ἀναφθείσης καὶ ἐν κατηφείᾳ μὲν τοῦ τῶν ὀρθοδόξων πλήθους διάγοντος, ἐν χαρμονῇ δὲ τοῦ τῶν ἀσεβῶν,
f. 162 ἀποκλεισθεισῶν μὲν τῶν ἐκκλησιῶν τοῖς || εὐσεβεῖν αἱρουμένοις, ἀποκλεισθεισῶν δὲ καὶ προόδων αὐτοῖς καὶ μηδὲ παρρησιάζεσθαι συγχωρουμένοις τὸ σύνολον, ὁ μέγας οὗτος ἑαυτὸν τοῖς ὅπλοις τῆς πίστεως περιφράξας ἔξεισι κατὰ τοῦ τυράννου πρὸς τὸν Βουλγάρων ἄρτι πόλεμον ἐκστρατεύσαντος καὶ «Ἵνα τί» λέγει, «βασιλεῦ, τὰς τοῦ Χριστοῦ ἐκκλησίας τοῖς ὀρθοδόξοις ἀπέκλεισας; ἵνα τί δὲ καὶ προστεθεὶς τοῖς αἱρετικοῖς τὸν τοῦ κυρίου λαὸν ὀρθὰ φρονοῦντα παραλυπεῖς; ἄνοιξον αὐτοῖς τὰς ἐκκλησίας, ἣν βούλῃ τὰς

2 ἰσαδκίου *cod., sed infra passim* ἰσάκιοσ || 4 οὖτοσ || 6 διαδὲ || 8 μετιὸν || 10 ἀπὸλάβειν || 11 ἔνθέν τοι — ὄχον (λ supra χ) || 14 καταμόνασ — πολοῖσ || 15 οὐάλησ || 18 συνέρεō || 20 οὐάλεντοσ || 22 κατιφεία || 23 ὀρθοδόξου *corr. ex* ὀρθοδόξων || 24 ἀποκλεισθησ(ῶν) || 25 μὴδὲ || 28 φη(σι) | λέγει || 30 φρονοῦ'|τα

κατὰ τῶν πολεμίων νίκας λαβεῖν· εἰ δ' οὖν, ἀλλὰ τούτων ἥττων ὀφθεὶς αἰσχύνην οὐκ ἔστιν εἰπεῖν ὅσην ὀφλήσεις καὶ ὄνειδος».

3. Θυμοῦται ἀκούσας τούτων ὁ βασιλεὺς καὶ συσχεθῆναι κελεύει καὶ μάστιξι τὸν τῆς ἀληθείας ἱερέα καὶ ὁμολογητὴν αἰκισθῆναι καὶ ἐν ἀκάνθαις ῥιφῆναι. τούτου δὲ γεγονότος ὁ μέγας αὖθις ἀναστὰς καὶ προφθάσας ὁδεύοντα τὸν ἀλάστορα, ὄλε|θρον αὐτῷ προφητικῶς col. 2 ἐπισείει, εἰ τὰς Χριστοῦ ἐκκλησίας οἱ Ἀρειανοὶ κατέχοιεν. ὅθεν σφόδρα ὁ δυσσεβὴς τὸν θυμὸν ἀνάψας Σατορνίνῳ καὶ Βίκτωρι τὸν ἅγιον εἰς τήρησιν παραδίδωσι (κόμητες δὲ οὗτοι), «Μέχρις οὗ» φησὶν «ἐπανελεύσομαι μετ' εἰρήνης καὶ τὰ κατ' αὐτὸν διετάσω». ἐν οἷς τὸν ὅσιον φάναι· «Εἰ σὺ μετ' εἰρήνης ὑποστρέψεις, βασιλεῦ, οὐ λελάληκεν ἐμοὶ Θεός· φεύξῃ γὰρ ἐξ ἐναντίας τῶν πολεμίων καὶ καταληφθεὶς ἔν τινι τόπῳ πυρὶ δέξῃ τὴν τοῦ βίου καταστροφὴν ἀνθ' ὧν ἠρνήσω Χριστὸν καὶ τοῖς ἐχθροῖς αὐτοῦ προσετέθης». ὃ δὴ καὶ γέγονεν. συμβαλὼν γὰρ ὁ κατάρατος τοῖς πολεμίοις καὶ ἡττηθεὶς ἐν ἀχυρῶνι κατέφυγεν, ἐν ᾧ καὶ πυρὸς ὑπὸ τῶν Γότθων παρανάλωμα γέγονεν.

4. Ὁ τοίνυν μέγας καὶ προφητικώτατος Ἰσάκιος τὸ ἴδιον κελλίον καταλαβὼν τῆς προτέρας ἀσκήσεως εἴχετο καὶ ἦν ὑπὸ πάντων ἀγαπώμενός τε καὶ δοξαζόμενος || ἐκ τοῦ πλείστους ὁσημέραι πρὸς *f. 162v* αὐτὸν φοιτᾶν εὐλογίας χάριν τῆς παρ' αὐτοῦ. ἐν οἷς ἦν καὶ Δαλμάτος ὁ καλός, ὁ μέγας ἀσκητὴς τῷ ὄντι καὶ τὴν ἀρετὴν γενόμενος ἀπαράμιλλος· ὃς ἐν τῇ δευτέρᾳ σχολῇ στρατευόμενος (Θεοδόσιος ἐκράτει τότε ὁ μέγας), ἐπειδήπερ τὰ κατὰ τὸν Ἰσάκιον μάθοι, πρὸς αὐτὸν ἀφικνεῖται καὶ τούτῳ συνδιαγαγὼν ἐν ὅλαις ἡμέραις ἑπτά, καὶ γὰρ ἦν πάντως καὶ οὗτος ἐραστὴς τοῦ καλοῦ, τὴν ἐνεγκαμένην δεῖν ἔγνω καταλαβεῖν, ἀλλ' ὁ μέγας οὐ συνεχώρει, μένειν δὲ παρ' αὐτῷ τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ἠξίου. τοῦ δὲ γυναικὸς καὶ τέκνων αἰτίαν προβαλλομένου ὁ Ἰσάκιος «Ὧδέ μοι κεχρημάτισται συνεῖναί σε, Δαλμάτε, τὸν ὅλον μου τῆς ζωῆς χρόνον· μέλλει γὰρ ὁ τόπος οὗτος ἐπὶ τῇ σῇ κλήσει κατονομάζεσθαι. διὸ δὴ τάχος ἀπιὼν ἐπάνελθε μηδὲν ἐνδοιάζων τὸ σύνολον. καὶ γάρ φησιν | ἐν col. 2 τοῖς Εὐαγγελίοις ὁ Χριστός· Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀδελφοὺς ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος».

5. Τούτων ἐκεῖνος ἀκούσας καὶ συνταξάμενος αὐτῷ τὰ οἰκεῖα κατέλαβε καὶ τὰ προσόντα τούτῳ καλῶς διαθέμενος καὶ τῇ γυναικὶ

2 ὀφλείσεισ || 3 Θυμοῦται || 12 ἐξεναντίασ || ibid. τῶν *bis scr.* || 14—15 *verba* ὃ — γέγονεν *in dextro margine scripta* || 15 Συμβαλὼν || 16 ἐναχυρῶνι || 23 ἀπα|ράμιλοσ || 32 μὴδὲν ἐνδυά|ζων — γὰρ φὴ(σιν) || 37 παίδων
33—34 Ὁ ἀγαπῶν — ἄξιος: Matth. 10, 37.

τὸ πρᾶγμα γνωρίσας, τὸ ἓν τῶν παιδίων λαβὼν — Φαῦστος ἦν ὁ κλεινός (τὸ γὰρ ἕτερον ἐκείνῃ θῆλυ τυγχάνον καταλελοίπει) — πρὸς τὸν ἅγιον ἔρχεται καὶ κείρεται μετὰ τοῦ παιδὸς καὶ τὸν μοναχὸν ἀμφιέννυται· καὶ ἦν οὕτως ὑπηρετούμενος τῷ μεγάλῳ καὶ κατ' ἴχνος βαίνων τῶν ἐκείνου καλῶν.

6. Χρόνων τοίνυν οὐκ ὀλίγων παρῳχηκότων μέγας ὁ Δαλμάτος γίνεται τὴν ἀρετὴν καὶ περίφημος· τεσσαράκοντα γὰρ ἐφ' ἡμέραις τὸ νηστεύειν ἐπετείνετο τούτῳ καὶ προσευχὴ διηνεκὴς ἐτελεῖτο, ἀγρυπνία καὶ χαμευνία καὶ ἔλεος μᾶλλον ὁ πρὸς τοὺς δεομένους· || f. 163 *ἀνθ' ὧν ἡ τῶν θαυμάτων αὐτῷ χάρις ἐπηκολούθει καὶ μοναστήριον τὸ κελλίον γεγένητο καὶ διαφανὲς τοῖς πένησι καταγώγιον.*

7. Ἄρτι δὲ τοῦ μεγάλου Ἰσακίου τὸν βίον ἀπολιπόντος ὁ τῆς Κωνσταντίνου πρόεδρος Ἀττικὸς ὁ κλεινὸς ψήφῳ κοινῇ τῶν ἐν τῇ μονῇ μοναχῶν ἡγούμενον τὸν Δαλμάτον χειροτονεῖ. καθίστατο τοιγαροῦν ὁ δίκαιος καὶ βασιλεῖ γνώριμος διὰ τὴν ἀρετὴν καὶ τοῖς πᾶσιν αἰδέσιμος. ἀπεδίδου δὲ καὶ τὸ δίκαιον, εἴ που καὶ συνέβη δίκης ἀκροατὴν αὐτὸν γενέσθαι τινός. ἦν γὰρ εἴπερ τις ἄλλος ἀγχίνους· τοῦ οὖν Ἀττικοῦ τὸν βίον ἀπολιπόντος ὁ δυσσεβὴς Νεστόριος — οἷα τὰ τοῦ Θεοῦ κρίματα — πρόεδρος τῆς Κωνσταντίνου ψηφίζεται καὶ δὴ καὶ πρὸς τὸν θρόνον ἀνάγεται καὶ κακῶς τῇ ἀρχῇ κέχρηται καὶ ἐπισφαλῶς, ἄθεον δόγμα παρεμβαλὼν ὁ ἀνόσιος· Χριστοτόκον col. 2 *γάρ, οὐ | Θεοτόκον τὴν Παρθένον ὠνόμαζε καὶ δύο υἱοὺς ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ δύο ὑποστάσεις ἐδίδασκεν ὁ κατάρατος καὶ ἄλλον μὲν τὸν λόγον εἶναι τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα καὶ ἄλλον τὸν ἐκ Μαρίας γεννηθέντα ἄνθρωπον, κατὰ σχέσιν δὲ ἑνωθέντα τῷ λόγῳ καὶ ὁμωνύμως καὶ αὐτὸν υἱὸν λεγόμενον.*

8. Ὃν ἡ ἐν Ἐφέσῳ τρίτη σύνοδος ἐπὶ Θεοδοσίου συγκροτηθεῖσα τοῦ υἱοῦ Ἀρκαδίου ἀπεκήρυξέ τε καὶ ἀναθέματι καθυπέβαλε, μίαν δὲ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν καθ' ἕνωσιν ὑπόστασιν καὶ δύο φύσεις σαφῶς ἐδογμάτισε, τὸν αὐτὸν εἶναι Θεὸν καὶ ἄνθρωπον καὶ τὴν ἁγίαν Μαρίαν κυρίως Θεοτόκον καὶ ἀληθῶς. ἐν οἷς πολλὰ καὶ Δαλμάτος τὸν Θεοδόσιον τοῦτον εἰς τὴν καθαίρεσιν Νεστορίου παρώτρυνε, μετὰ λιτῆς καὶ ὕμνων σὺν ἅπασι τοῖς τῆς βασιλίδος f. 163v *μοναχοῖς πρὸς αὐτὸν ἀπιών· ἀρχιμανδρί|της γὰρ ἐν πᾶσιν ἐτύγχανεν.*

9. Τοιούτοις δὲ διαπρέπων ὁ Δαλμάτος τοῖς προτερήμασι τὸν μακαριστὸν ὕπνον κεκοίμητο, τῇ μονῇ τὸν Φαῦστον καταλιπών, πλήρη τυγχάνοντα καὶ αὐτὸν ἁγιότητος. τοίνυν τὸν πάντιμον αὐτοῦ

4 *οὕτωσ* || **7** *τεσσαύκοντα* (α *suprascr.*) || **8** *προσευχῇ* || **10** *ἐπηκολούθη* || **12** *Τοῦ* || **ibid.** *ἰσαώκίου, altero α et ω erasis* || **14** *δαλμά|των — τοίγαρουν* || **17** *εἰπέρ|τισ* || **25** *κατασχέσι* || **33** *λιτὴσ* || **34** *ἐτύγχανε*

σῶμα τῇ μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ προσενεχθὲν καὶ τιμητικῶς παρὰ πάντων προσκυνηθέν, Πρόκλου τοῦ ἀρχιερέως προηγουμένου καὶ τοῦ κλήρου παντός, τῇ μονῇ τούτου δίδοται. τὰ εἰκότα γοῦν ᾄσαντες ὁ φιλευσεβὴς λαὸς ἐπ᾽ αὐτῷ φιλοτίμως τοῦτο καὶ παντίμως κατέθεντο, πολλῶν τελεσθέντων τηνικαῦτα καὶ μεγάλων θαυμάτων, μύρου τε τοῦ τάφου βλύσαντος, ποικίλων θεραπευτικοῦ νοσημάτων.

10. Καὶ ταῦτα μὲν ὑμῶν, πατέρες θεῖοι, τὰ προτερήματα καὶ διὰ Θεὸν ἀγωνίσματα· ὧν τοὺς καμάτους ἀπολαμβάνοντες νῦν καὶ περὶ τὸν θρόνον αὐτὸν στρεφόμενοι τὸν δεσποτικὸν νέμοιτε ταῖς πρὸς Θεὸν ἱκε|σίαις βασιλεῖ ἡμῶν τῷ φιλαγίῳ καὶ τὰ πάντα καλῷ col. 2
μονῶν ἀιδίων τὴν καλὴν κατοικίαν, ἀπείρων ἐθνῶν τὴν ἀπάλειψιν πάντων, ἥμερον αὐτὸ τὸ βασίλειον κράτος, παντὸς ἀγαθοῦ καὶ πάσης δόξης πλῆρες καὶ βασιλείας οὐρανίου τὴν χάριν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ δ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΤΟΥ ΚΟΥΒΙΚΟΥΛΑΡΙΟΥ.

1. Ἡμεδαπὸς ὁ Ἐλευθέριος καὶ τῆς Κωνσταντίνου καὶ οὗτος γέννημα, θρέμμα καὶ παίδευμα· τῆς συγκλήτου βουλῆς ὁ ἀνὴρ κἂν ταῖς βασιλείοις διαπρέπων αὐλαῖς, οἰκεῖός τε Μαξιμιανῷ τῷ δυσσεβεῖ, τῶν τῆς Νικομήδους σκήπτρων ἐπειλημμένῳ, κουβικουλάριος τὴν ἀξίαν καὶ τοῖς πᾶσιν ἐπέραστος. οὗτος ἔργοις θεοφιλέσι κατάκομος ὢν καὶ πᾶσαν ἀρετὴν παιδόθεν ἀσκήσας, ἐλεή||μονά τε γνώ- f. 164
μην ἐσχηκὼς καὶ ὅλως ἐπιεικὴς γνωριζόμενος, συμπαθής τε καὶ τἄλλα μέτριος καὶ φίλος τῆς ἀληθείας, ἑνὸς ἀπελιμπάνετο μόνου τοῦ καὶ υἱὸς εἶναι θέσει Θεοῦ, τῇ υἱοθεσίᾳ τοῦ θείου βαπτίσματος. ὅπερ ὁσημέραι στρέφων κατὰ νοῦν καὶ πάντα λίθον, τὸ τοῦ λόγου, κινῶν τὸ τυχεῖν τοῦ χαρίσματος (ἥψατο γὰρ θεία χάρις αὐτοῦ τῶν ὀμμάτων) σοφίζεταί τι τοιοῦτον.

3 γοῦν || 6 τὲ || 9 καμάτους: *an* στεφάνους? || 21 κἂν || 22 οἰκεῖοσ τὲ || 23 νικομίδουσ || 26 συμπαθὴσ τὲ || 27 τἄλλα

2. Τῷ βασιλεῖ προσιὼν κτῆσιν αἰτεῖ χωρίου τούτῳ παρασχεθῆναι μεταβολῆς ἕνεκα δῆθεν [καὶ] ἀέρος καθαροῦ μεταλήψεως, καὶ μέντοι δὴ καὶ λαμβάνει ποταμοῦ τοῦ Σαγάρεως παρ' ὄχθας. ἐν ᾧ γενόμενος εὐκτήριον οἶκον τῶν οἰκιῶν ἔνδον μιᾶς μάλα τερπνὸν ἀνεγείρει, φιλοκοσμεῖ τε τοῦτον καλῶς καὶ ποικίλως ἐξωραΐζει καὶ θυσιαστήριον πήγνυσιν, ἱερέων θείων χερσὶ καθιερωθέν. τούτῳ col. 2 τοιγαροῦν ἐμφιλοχωρῶν τῷ κτήματι | καθαίρεται τῷ θείῳ βαπτίσματι, μύρῳ χρίεται, τῶν ἁγιασμάτων μεταλαμβάνει καὶ μυεῖται τὰ θεῖα σοφῶς. καὶ λοιπὸν ἀπρόϊτος ἦν, σχολάζων προσευχαῖς καὶ νηστείαις καὶ τοῖς ἄλλοις καλοῖς.

3. Τοῦ τυράννου τοίνυν διὰ θαύματος τιθεμένου τὸ πρᾶγμα καὶ μὴ βρωτοῦ τοῦτον, μὴ ποτοῦ μηδ' ἄλλου τινὸς μετέχειν τῶν διδομένων μανθάνοντος καὶ περὶ τούτων διερωτῶντος τῷ πρὸς αὐτὸν διαγαγεῖν ποτε τοῦτον, νόσον ἐκεῖνος ὑποκρινόμενος τοῦτον παρηγκωνίζετο. ὡς δὲ χρόνος ὅτι συχνὸς παρειλκύσθη καὶ πάλιν ἐρωτηθεὶς τὸ θορυβῶδες, ἔφη, τοῦ ἄστεος καὶ τὸ πλῆθος τῶν ἐντεῦθεν κακῶν τὰς νόσους αὐτῷ προξενεῖν εἴωθε καὶ διὰ ταῦτα τὴν ἡσυχίαν φιλεῖ. πλήττεται τὴν ψυχὴν τοῖς λόγοις ὁ βασιλεὺς καὶ οὐ καλὰ περὶ αὐτοῦ ὑπενόει.

4. Ἔνθεν τοι καὶ τῶν μισοχρίστων τινὲς μὴ ἀληθεύειν αὐτῷ f. 164v τὸν Ἐ||λευθέριον φήσαντες εἰς ὑπονοίας ἄλλας ἐμβάλλουσιν. ἀλλὰ καί τινες ἕτεροι καὶ χριστιανὸν εἶναι αὐτὸν διαβεβαιωσάμενοι καὶ τὰ τούτοις ἔθιμα διαπράττειν κρυφίως κἀν τούτοις ὅλον ἐνησχολημένον ἔχειν τὸν νοῦν εἰπόντες διεγείρουσι τὴν μανίαν. καὶ δῆτα λάθρα τὸν τόπον ἐκεῖνος καταλαβὼν καὶ τὸ οἰκοδομηθὲν εὐκτήριον ὀφθαλμοῖς αὐτοῖς κατιδὼν καὶ τὴν εὐκοσμίαν ἐκπλαγεὶς τούτου καὶ τὴν τοῦ θυσιαστηρίου σύμπηξιν καὶ πάντα γνοὺς ἐντεῦθεν ἀληθῆ τὰ κατ' αὐτοῦ λαληθέντα, παρίστησι τοῦτον τῷ βήματι καὶ «Λέγε μοι» φησί, «κατάρατε», πρὸς αὐτόν, «τί ταῦτα καὶ ἵνα τί μου τῆς πολλῆς ἐκείνης κατωλιγώρησας ἀγάπης καὶ τῆς ἀπατηλῆς ταύτης ἀντεποιήσω θρησκείας; ὅμως ἐγὼ συγγνώμην εἰδὼς διδόναι col. 2 τοῖς ἁμαρτάνουσι τοῦτό σοί φημι· τάχος ἐξιλέωσαι τοῖς θεοῖς προ|σιὼν καὶ τὰς προσηκούσας αὐτοῖς θυσίας ἀπόνειμε· καὶ συμπαθεῖς ὄντες ἀφήσουσι μέν σε καὶ οὗτοι τοῦ πταίσματος, καὶ ἡμεῖς δὲ τιμῶν μεγάλων καὶ δωρεῶν ἀξιώσομεν καὶ ἔσῃ διαπρέπων τὰ νῦν μᾶλλον ἐν ἅπασιν ἢ τὸ πρότερον. εἰ δ' οὖν, ἀλλὰ κολάσεσι πικραῖς

2 καὶ *inserui* || 5 ποικίλλωσ || 11 Τοῦ — πράγμα || 12 μὴδάλλου || 14 ποτὲ || 15 ὅτι *sine acc.* || 20 ἔνθέν τοι || 23 δίἀπράττειν — καντούτοισ || 24 διέγείρουσι || 30 κατωλιγώρισασ || 31 συ̃γνώμην || 32 τοῦτό σοι φημί — ἐξί|λέωσαι || 34 ἀφίσουσι — οὗτοι — πτέσματοσ || 36 ἐνάπασι͞

πρότερον διαβασανίσας οὕτως σε καὶ τῆς ἡδίστης ταύτης ἀποστερήσω ζωῆς».

5. Πρὸς ὃν ὁ γενναῖος καὶ καλὸς Ἐλευθέριος ἐλεύθερον κτησάμενος νοῦν, ἐλευθέρᾳ τῇ γλώττῃ «Μὴ ἔλπιζε, βασιλεῦ», λέγει, «τῆς ἀληθοῦς ἀποστῆναί με πίστεως καὶ συνθέσθαι σοι. ἕως μὲν γὰρ ἐστρατευόμην σοι, μὴ εἰδὼς τὸ συνοῖσον, ἔπραττον ὅ τι δὴ καὶ κεκέλευσμαι. ἐπεὶ δὲ θεία μέ τις πρὸς ἑαυτὴν ἐξεκαλέσατο χάρις, σπεύδω τὴν προτέραν ἄγνοιαν τῇ ἐπιμονῇ τῶν καλῶν ἀπαλεῖψαι, οἷς με Χριστὸς ὁ τοῦ Θεοῦ ζῶντος υἱὸς καλῶς ἐνήγαγε καὶ ἀθα||σίας μέτοχον κατεστήσατο. διὸ μὴ κάμνε μηδὲ τρῖβε τὸν καιρόν. f. 165 *οὐκ ἴδῃς γάρ με θυσίαν ποτὲ τοῖς ἀψύχοις σου θεοῖς ἀπονεῖμαι, δαίμοσιν ἀκαθάρτοις οὖσι καὶ βδελυκτοῖς». ἔφη, καὶ ἅμα τὴν σύντροφον ὁ κακοῦργος βασιλεὺς ὀργὴν ὑπεκκαύσας καὶ ὅλος τοῦ θυμοῦ γενόμενος ξίφει τὴν αὐτοῦ κεφαλὴν τμηθῆναι κελεύει.*

6. Ἤχθης τοίνυν, πανάριστε, κατὰ τὸν τόπον τῆς τελειώσεως, ἐδέξω τὴν τομὴν χαίρων καὶ χερσὶν ἀγγέλων παρέθου τὴν ψυχήν. καὶ νῦν συνευφραινόμενος αὐτοῖς καὶ συναγαλλόμενος αἴτησαι τὸν ὑπὲρ οὗ σου τὸ αἷμα τὸ τίμιον ἐξεκένωσας βασιλεῖ ἡμῶν τῷ φιλοχρίστῳ καὶ φιλομάρτυρι μακρότητα ζωῆς καλλίστης καὶ ἀταράχου, ἰσχὺν κατ' ἐχθρῶν αἰσθητῶν, νοουμένων, ἡλίου τερπνοῦ καὶ νοητοῦ τὴν φαῦσιν καὶ βασιλείας τῆς ἄνω κληρουχίαν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προ|σκύνησις εἰς col. 2 *τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ε'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΕΥΣΙΓΝΙΟΥ.

1. Ἀντιοχείας τῆς κατὰ Συρίαν βλαστὸς ὁ καλὸς Εὐσίγνιος, ὃς καὶ συστρατευόμενος ἦν Κωνσταντίῳ τῷ Χλωρῷ κατωνομασμένῳ, πατρὶ γεγονότι τοῦ μεγάλου βασιλέως Κωνσταντίνου τοῦ πάνυ καὶ πλείστας ἐν πολέμοις ἀνδραγαθίας εἰργάσατο, ναὶ δὴ καὶ σὺν αὐτῷ τῷ χριστιανικωτάτῳ βασιλεῖ Κωνσταντίνῳ πολλὰς ἐν

3 *Πρὸσ — γενναίοσ* || 7 *κεκέλευσμε* || 10 *μὴ δὲ τρίβε* || 12 *οὖσιν* || 16 *ἀγγέλου* cod., quod mutavi propter pron. *αὐτοῖς* v. 17 plurali numero positum || 20 cave inseras *καὶ* inter *αἰσθητῶν* et *νοουμένων*, nam versus laeditur || 28 *χλορῶ*

συμβολαῖς ἐναντίων νίκας ἠνέγκατο· παράδοξος γὰρ ὢν ὁ ἀνὴρ καὶ περίδοξος τὰ πολεμικὰ καὶ πάνυ περίφημος μέχρις Ἰουλιανοῦ τοῦ παραβάτου καὶ μισοχρίστου τοῖς στρατιωτικοῖς ἐνετάττετο καταλόγοις. ἐπεὶ δὲ ὁ ἔχθιστος οὗτος τὴν βασιλείαν ἥρπασε καὶ κατὰ Χριστοῦ μανεὶς διωγμὸν ἐκίνησεν, ὁ μέγας Εὐσίγνιος ἤδη καὶ γήρᾳ f. 165v *καμπτόμενος—ἐγγὺς γάρ που || χρόνων δέκα πρὸς τοῖς ἑκατὸν ἐτύγχανε—καὶ πιστὸς ὢν καὶ λίαν θεοσεβὴς τὴν Ἀντιόχου κατῴκει καὶ τοῖς θείοις ἐνεσχόλαζεν οἴκοις καὶ τὰς εὐχὰς ὁσημέραι προσέφερε τῷ Χριστῷ.*

2. Ποτὲ γοῦν ἀπιόντι πρὸς τὴν ἐκκλησίαν δύο τούτῳ συναντῶσι πρὸς ἀλλήλους μαχόμενοι, καὶ ἐπείπερ ᾔδεσαν τὸν ἄνδρα μέγαν τὴν ἀρετὴν καὶ τὸν βίον σεμνὸν καὶ τὸν τρόπον χρηστόν, αἰτοῦσιν ὑπ' αὐτοῦ τὰ τῆς δίκης αὐτοῖς κριθῆναι. δικάσαντος οὖν τοῦ γέροντος, ἅτε πολλῶν ἐν πείρᾳ τῷ χρόνῳ καθεστηκότος, καὶ τεμόντος τὸ τῆς δίκης ἀμφίβολον, μὴ ἐνεγκὼν τὴν ἧτταν ὁ τὴν καταδίκην ἀπενεγκάμενος (ἦν γάρ, ὡς ἔοικε, ψυχὴ μοχθηρὰ καὶ ἀτίθασος) πρόσεισιν εὐθὺς τῷ τυράννῳ τὴν πόλιν ἄρτι κατειληφότι καὶ τὰ τῆς κατὰ Περσῶν ἐκστρατείας φροντίζοντι καὶ «Ὦ βασιλεῦ», διὰ δόσεως λιβέλλου λέγει, «τοῦ δυσμενοῦς ἔθνους τῶν Γαλιλαίων | col. 2 *ἔστι τις ἀνὴρ ἐνταῦθα, μὴ μόνον πολλοὺς τῆς τῶν θεῶν λατρείας ἀφέλκων καὶ προσοικειῶν τῷ ἐσταυρωμένῳ, ἀλλὰ δὴ καὶ τὴν βασιλείαν παρὰ φαῦλον τιθέμενος, οἷα δὴ καὶ κριτὴς κεχειροτονημένος δικάζων· ὃν εἰ ἐάσεις οὕτω ποιεῖν, ἀποστήσει πάντας τοὺς ὑπὸ σὲ καὶ τῷ ὑπ' αὐτοῦ τιμωμένῳ προσαγάγῃ Χριστῷ».*

3. Ἤκουσεν ὁ παράνομος καὶ καθεκτὸς ἦν οὐδαμῶς. κελεύει τοῦτον συσχεθῆναι καὶ προσαχθῆναι τῷ βήματι. παραστάντι γοῦν «Τί τὰ κατὰ σοῦ λεγόμενα»; ὁ παραβάτης πρὸς αὐτὸν ἔφη· «ἀλλὰ καὶ τίς σε δικάζειν κατέστησεν, ὃ μόνων ἐστὶ βασιλέων εἰς ἐξουσίαν, εἰπέ· ἀνηγγέλη γάρ μοι μὴ θεῶν εἶναί σε λάτριν, μηδὲ σέβας αὐτοῖς ἀπονέμειν, ἀλλὰ καὶ τοὺς σέβοντας αὐτοὺς πείθειν ἐπιχειρεῖν τῷ ἐσταυρωμένῳ λατρεύειν· ἀλλὰ καὶ πόθεν εἰς τοσαύτην ἐξηνέ- f. 166 *χθης μανίαν, εἰπέ». καὶ ὁ ἅγιος· «Ἤιδειν || ἐξ ὅτου μεμάθηκα τὴν χριστιανῶν ἀπώμοτον θέσθαι σε πίστιν, ὡς φρυάξῃ κατὰ τοῦ πλάσαντος καὶ χεῖρα κατ' αὐτοῦ καὶ ὅπλα κινήσεις. ἀλλ' εἰς μάτην σου τὸ ἐγχείρημα· Θεὸς γὰρ ἰσχυρός, Θεὸς μέγας, Θεὸς ἀληθινὸς ὁ Χριστός ἐστι, τὰ δὲ παρὰ σοῦ τιμώμενα δαιμόνων εἴδωλα τυγχάνει κωφὰ καὶ ἀναίσθητα· παῦσαι τοίνυν τοιαῦτα ποιῶν καὶ λέγων,*

1 πα|Ράδοξοσ || 5 γῆρα || 6 ἐτύγχανεν || 10 *et* 26 γοῦν || 15 ἧτταν || 17 πρόσεισοι — τυρᾶν (ω supra) || 18 τῆς *supra lineam* || 19 γαλιλέων || 23 εάσεισ *sine spir.* || 25 ἤκου|Σεν || 26 προσαχθῆναι || 29 ἀνηγέλλει — μὴδὲ

ἀνόσιε· μύστης γὰρ καὶ αὐτός ποτε τῆς ἱερᾶς ἡμῶν πίστεως ἐχρηματίσας, κἂν οὐδ' ὅπως εἴπω, τοῖς δαίμοσιν ἄρτι προσκολληθεὶς σαυτῷ τὸ αἰώνιον ἐθησαύρισας πῦρ».

4. Καὶ ὁ παραβάτης θροηθεὶς ἐπὶ τοῖς λόγοις τοῦ μάρτυρος, ἀλλὰ δὴ καὶ μανείς, αἰσχυνθεὶς δὲ καὶ μᾶλλον, ἐπειδήπερ πρὸς τὸν Περσικὸν ἠπείγετο πόλεμον, ἀκολουθεῖν ἐπὶ Καισάρειαν ἐκέλευσε τὸν Εὐσίγνιον φυλασσόμενον μέν, μὴ λυπούμενον δέ. φθάσας δὲ ταύτην καὶ τοῦτον παραστησάμενος «Λέγε μοι» φησὶ | πρὸς αὐτόν, col. 2 «ἀνόσιε, τίσι πεποιθὼς τολμᾷς κατὰ βασιλέως παρρησιάζεσθαι καὶ τίς ἡ ἐν τῷ τοιούτῳ γήρᾳ τοσαύτη θρασύτης; ὅμως παραινῶ πεισθῆναί σε τοῖς λόγοις ἡμῶν καὶ θυσίαν προσαγαγεῖν τοῖς θεοῖς, ὡς ἂν καὶ τὸ στρατιωτικὸν ἅπαν προσεπαινέσῃ σε καὶ ἡμεῖς σὺν θεοῖς χαρισόμεθά σοι τὸ ζῆν εἰρηνικῶς καὶ πρεπόντως».

5. «Καὶ οὐκ ἠρκέσθης» ὁ Εὐσίγνιος λέγει, «παράνομε, τῇ σῇ, φεῦ, ἀπωλείᾳ, ἀλλὰ δὴ κἀμὲ παραινεῖς ἀποστῆναι Θεοῦ τοῦ πλάσαντος καὶ ἀψύχοις λίθοις ἀπονεῖμαι τὸ σέβας; οὐκ ἴδοις τοῦτο ποτέ, οὐ λατρεύσει δαίμοσιν Εὐσίγνιος πώποτε, οὐχ ὑπείξει τυράννου λόγοις καὶ ἀποστάτου». τότε πάλιν τὸν θυμὸν ὁ παραβάτης ἀνάψας κρεμασθῆναι τοῦτον κελεύει καὶ τὰς σάρκας πικρῶς καταξέεσθαι, εἶτα καὶ λαμπάδας αὐτῷ προσάγει πυρός. καιό|μενος οὖν f. 166ᵛ ὁ Εὐσίγνιος «Τὸν στρατιώτην» ἔφη «Χριστοῦ καὶ μεγάλων βασιλέων ὑπέρμαχον οὕτω κατακρεουργεῖς, ἀνόσιε; τοιοῦτος ὁ τῆς πίστεως ἡμῶν πρόβολος, ὁ μέγας Κωνσταντῖνός φημι, τοιούτοις ἑάλω τοῖς ἀτοπήμασιν, οὗ τὴν ἐξ ὕψους ἐγὼ συμμαχίαν ἐν οὐρανῷ τεθέαμαι. πῶς ἄρα τὴν δίκην ὑποίσεις, ταλαίπωρε; ἢ οὐκ οἶσθα, ὅτι πρόσκαιρος εἶ καὶ προσκαίρων ἐπιστατεῖς;»

6. Καὶ ὁ παραβάτης «Ἀλλὰ Κωνσταντῖνος, οἰκτρότατε, μὴ βασιλικοῦ καταγόμενος ἀπὸ γένους, ἐξ Ἑλένης δέ τινος φαύλης γυναικὸς τῷ ἐμῷ τεχθεὶς προγόνῳ Κωνσταντίνῳ, τὸν ἰδιώτην ἔτι διανύοντι βίον, ἁπλοῦς τις ὢν καὶ γνώσεως ἄμοιρος τοῖς ἀπατηλοῖς ὑμῖν συνυπήχθη». καὶ ὁ ἅγιος «Δίκαιος ἀνὴρ» εἶπεν «ἐκεῖνος, ἀνόσιε, καὶ δικαίας γαστρὸς κύημα· σὺ δὲ καὶ παρανόμου καὶ παράνομος, τῶν σῶν | προγόνων ἐπὶ φόνοις ἁλόντων οὐκ ὀλίγοις. καὶ col. 2 ἐγὼ μὲν πολλὰς κατιδὼν νίκας ὑπὸ Χριστοῦ τῷ μεγάλῳ τούτῳ Κωνσταντίνῳ χορηγηθείσας καλῶς ποιῶν τῷ δοτῆρι τούτων προσῆλθον. σὺ δέ, πανάθλιε, τίνι πέποιθας καὶ τίνι σου τὴν ψυχὴν παραδέδωκας; οὐκ ἔστι κρίσις, οὐκ ἔστι τοῖς ἀπειθήσασι τιμωρία;

1 αὐτόσ ποτὲ || 2 εἴπω *sine spir.* || 7 φθάσ || 9 τολμάσ || 10 γήρ̈ || 11 ὑμῶν || 13 χαρισώμεθα? || 17 τυράνου || 21 Στρατιώτην || 23 κωνσταντίνοσ || 28 ἐξελένησ || 31 συνηπήχθη || 35 δοτήρι || 36 πέπονθασ

παῦσαι τοίνυν ἀλλόκοτα φρονῶν καὶ μανίας δαιμονικῆς ἄξια». τότε τῇ φυλακῇ τοῦτον παραδοὺς ξιφήρη τινὰ κατὰ τὴν νύκτα στέλλει καὶ τούτου τὴν κεφαλὴν ἀφαιρεῖται, δεδιὼς ὁ κατάρατος, μή που τὸν στρατὸν ὡς ἐμπειρότατος ἀναπείσῃ τοῖς λόγοις.

7. Χαίρων οὖν, ὦ πανάριστε μάρτυς, χερσὶ Θεοῦ τὴν ψυχὴν
παραθέμενος τοῖς ἀγγέλων νῦν συνευφραίνῃ χοροῖς· χάρισαι τοίνυν
ταῖς εὐκτικαῖς εἰς Θεὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ
f. 167 καὶ || πιστῷ μενόντων ἀγαθῶν τὴν ἀπόλαυσιν, χειρὸς δυνατῆς τὴν
κραταίωσιν, ἡμέρας ἀνεσπέρου τὴν ἔλλαμψιν, λαοῦ πιστοῦ τὴν
συντήρησιν, πάσης θυμηδίας [τὴν] ἀπόλαυσιν καὶ καλῶν ἀθανάτων
τὴν μέθεξιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ
κράτος πρέπει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ϛ΄.

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

1. Ἐχρῆν μὲν ἡμᾶς περὶ τῆς τοῦ Θεοῦ ἡμῶν καὶ σωτῆρος Χρι-
στοῦ παντίμου Μεταμορφώσεως τοῖς εὐαγγελικοῖς ἀρκουμένους
ῥήμασι μὴ περαιτέρω χωρεῖν, μηδέ τι τούτων πλέον ἐπιζητεῖν. ἀλλ᾽
ἐπεὶ δυσέφικτα ταῦτα τοῖς πολλοῖς τυγχάνει καὶ ἀπορούμενα (πολὺ
γὰρ τὸ τῆς θείας γραφῆς βάθος καὶ σχεδὸν ἀκατάληπτον), ἅπερ ἐκ
πλείστων καὶ ἀξιολόγων ἐξηγητῶν τὸ στενὸν τῆς διανοίας ἡμῶν
col. 2 ἐφευρεῖν | ἴσχυσε, ταῦτα συνείδομεν ταῖς φιλοθέοις ἀκοαῖς παραστῆ-
σαι. χρὴ τοίνυν ἄνωθεν τὴν ὑπόθεσιν ὡς ἔχοι διαλαβεῖν, αὐτῶν
ἐκείνων τῶν εὐαγγελικῶν ῥημάτων ἐπιμνησθέντας.

2. «Καὶ μεθ᾽ ἡμέρας ἕξ, φησί, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀνέβη εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς». ἄξιον τοίνυν ἐνταῦθα διαπορῆ-

10 τὴν *inserui* || 11 ὦ *pro* ᾧ || 18 μὴδέτι || 22 παραστήσαι || 23 Ἄνωθεν || 29 Ἄξιον

Cap. 2 sqq. citat auctor Matthaei narrationem 17, 1—9.

σαι καὶ εἰπεῖν· τίνος ἕνεκεν ἕτερος εὐαγγελιστὴς λέγει μεθ' ἡμέρας ὀκτώ; καὶ ἔστιν ἐπιλύσασθαι τὸ ἄπορον οὕτως, ὅτιπερ οὐκ ἐναντιούμενοι ἀλλήλοις τοῦτο εἶπον οἱ εὐαγγελισταί, ἀλλὰ καὶ σφόδρα συνᾴδοντες· ὁ μὲν γὰρ καὶ αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἐφθέγξατο κἀκείνην καθ' ἣν ἀνήγαγεν εἶπεν, || ὁ δὲ τὰς μεταξὺ f. 167v τούτων ἔφησε μόνας.

3. Ἔστι καὶ ἑτέραν ἀπορίαν εἰπεῖν. ἵνα τί, φησί, τοὺς τρεῖς τούτους ἐκ πάντων τῶν ἄλλων μόνους λαμβάνει; καὶ ἡ ἀπόκρισις ἀκόλουθος ἔσται καὶ ἡ ἐπίλυσις, ὅτιπερ πρόκριτοι καὶ ὑπερέχοντες ἐκείνων ἦσαν οὗτοι, καὶ ὁ μὲν Πέτρος ἐκ τοῦ σφόδρα φιλεῖν τὸν Χριστὸν ἐδήλου τὴν ὑπεροχήν, ὁ δὲ Ἰωάννης ἐκ τοῦ πάνυ φιλεῖσθαι, Ἰάκωβος δὲ ἀπὸ τῆς ἀποκρίσεως, ἧς ἀπεκρίθη μετὰ τοῦ ἀδελφοῦ πιεῖν τὸ ποτήριον· οὐκ ἀπὸ τῆς φωνῆς δὲ μόνον, ἀλλὰ δὴ καὶ ἀπὸ τῶν ἔργων, τῶν τε ἄλλων καὶ ἀφ' ὧν ἐπλήρωσεν ἅπερ εἶπεν. οὕτω γὰρ ἦν σφοδρὸς καὶ βαρὺς τοῖς Ἰουδαίοις ὁ Ἰάκωβος, ὡς καὶ τὸν Ἡρῴδην ἐν τούτῳ νομίσαι χαρίσασθαι τοῖς Ἰουδαίοις, εἰ ἐκεῖνον ἀνέλοι.

4. «Καὶ ἰδοὺ ὤφθησαν αὐτῷ Μωυσῆς καὶ Ἡλίας μετ' αὐτοῦ συλλαλοῦντες». καὶ πῶς τῶν ἄλλων προφητῶν τού|τους μόνους col. 2 εἰς μέσον παράγει; καὶ ἔστι πρῶτον μὲν εἰπεῖν, ὅτι ἐπειδή, φησίν, οἱ ὄχλοι οἱ μὲν Ἡλίαν, οἱ δὲ Ἰερεμίαν, οἱ δὲ τῶν προφητῶν ἕνα τοῦτον ἔλεγον εἶναι, διὰ τοῦτο τοὺς κορυφαίους τῶν προφητῶν παράγει, ἵνα τὸ μέσον ἴδωσιν ἐντεῦθεν τῶν δούλων καὶ τοῦ δεσπότου· δεύτερον δέ, ὅτι ἐπειδὴ συνεχῶς ἐνεκάλουν ὡς παραβαίνοντι τὸν νόμον, ἵνα δείξῃ, εἴπερ ἤθελον λογίσασθαι Ἰουδαῖοι, ὅτι οὐδ' ἂν Μωυσῆς μὲν ὁ τὸν νόμον δεδωκὼς περιεῖδε πατούμενον αὐτὸν ὑπ' αὐτοῦ, ὡς ἐνόμιζον ἐκεῖνοι, καὶ οὐδ' ἂν ὑπέστη αὐτῷ ἢ ὑπήκουσε. καὶ Ἡλίας δὲ ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ ἐζήλωσε καὶ οὐκ ἄν, εἰ ἀντίθεος ἦν Θεὸν ἑαυτὸν λέγων ὁ Χριστός, μὴ ὢν ὅπερ ἔλεγεν, ἐθεράπευσεν αὐτὸν παραγενόμενος. τρίτον δέ, ἵνα μάθωσιν, ὅτι καὶ ζωῆς καὶ θανάτου ἐξουσίαν ἔχει καὶ τῶν ἄνω καὶ τῶν || κάτω f. 168 κρατεῖ. διὰ τοῦτο καὶ τὸν τετελευτηκότα καὶ τὸν οὐδέπω τοῦτο παθόντα εἰς μέσον ἄγει. τέταρτον δέ, ἵνα δείξῃ τοῦ σταυροῦ τὴν δόξαν καὶ παραμυθήσηται τὸν Πέτρον καὶ ἐκείνους δεδοικότας τὸ πάθος καὶ ἀναστήσῃ αὐτῶν τὰ φρονήματα. καὶ γὰρ ἐλάλουν, φησί, Μωυσῆς καὶ Ἡλίας τὴν δόξαν ἣν ἔμελλε πληροῦν εἰς Ἱερουσαλήμ, τοῦτ' ἔστι τὸ πάθος καὶ τὸν σταυρόν.

5. «Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν

30 τρί|Τον || 32 διατοῦτο

1 ἕτερος εὐαγγελιστής: Luc. 9, 28.

ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωσεῖ μίαν καὶ μίαν Ἡλίᾳ». καὶ τίνος χάριν τοῦτο εἶπεν ὁ Πέτρος; ἐπειδήπερ ἤκουσεν ὅτι δὴ εἰς τὰ Ἱεροσόλυμα αὐτὸν ἀπελθεῖν καὶ παθεῖν [δεῖ], φοβούμενος ἔτι καὶ τρέμων ὑπὲρ αὐτοῦ εἶδεν ὄρος καὶ πολλὴν τὴν ἀναχώρησιν καὶ τὴν ἐρημίαν· διὸ καὶ σκηνῶν μέμνηται, ἔτι δὲ καὶ τοῦτο λογισάμενος, ὅτι Μωυσῆς πάρεστι καὶ Ἡλίας,| col. 2 Μωυσῆς ὁ εἰς τὸν γνόφον εἰσελθὼν καὶ διαλεχθεὶς τῷ Θεῷ, Ἡλίας ὁ ἐπὶ τοῦ ὄρους πῦρ κατενεγκών. «Καὶ διὰ τοῦτο οὐδένα ἐνταῦθα φοβηθησόμεθα». τοῦτο δὲ ἔλεγεν ὡς θερμὸς ἐραστὴς τοῦ Χριστοῦ· εἰ γὰρ καὶ μὴ ἐξιστάμενος ὁ τρόπος ἦν τῶν ῥημάτων, ἀλλ' ὅμως πολλῆς θερμότητος γέμων· οὕτω περιεκαίετο σφοδρῶς τοῦ Χριστοῦ, εἰ καὶ μὴ ᾔδει τί ἐλάλει, ὡς ὁ Λουκᾶς φησι. «Καὶ ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν, φησίν, ὕπνῳ βεβαρημένοι». διὰ τί; ὅτι πολλῷ κατείχοντο βάρει τῷ γεγενημένῳ αὐτοῖς ἀπὸ τῆς ὄψεως ἐκείνης. καθάπερ γὰρ ὀφθαλμοὶ σκοτοῦνται ἐξ ὑπερβαλούσης λαμπηδόνος, οὕτω καὶ τότε οὗτοι ἔπαθον· οὐ γὰρ δὴ νὺξ ἦν, ἀλλ' ἡμέρα, καὶ τὸ τῆς αὐγῆς τῆς θεϊκῆς ὑπέρογκον ἐβάρει τὴν τῶν ὀφθαλμῶν ἀσθένειαν.

6. *«Ἔτι αὐτοῦ λαλοῦντος, φησί, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν* f. 168v *αὐτοὺς || καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε». καὶ τίνος ἕνεκεν ἐκ τῆς νεφέλης φωνὴν ἀφίησιν ὁ πατήρ; ἐπειδὴ οὕτως ἀεὶ φαίνεται ὁ Θεός· «Νεφέλη γάρ, φησί, καὶ γνόφος κύκλῳ αὐτοῦ» καὶ «νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν» καὶ «ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν». ἵνα οὖν πιστεύσωσιν, ὅτι παρὰ τοῦ Θεοῦ φέρεται ἡ φωνή, διὰ τοῦτο ἀπὸ τῆς νεφέλης ἠνέχθη. νεφέλη δὲ φωτεινή, ἐπειδήπερ οὐκ ἠβούλετο φοβῆσαι, ἀλλὰ διδάξαι· ὅπου γὰρ ἀπειλή, σκοτεινὴν δείκνυσιν, ὥσπερ ἐν τῷ Σινᾷ. διὰ τοῦτο δὲ ἡ φωνὴ μετὰ τὸ ἀφανεῖς γενέσθαι Μωυσῆν καὶ Ἡλίαν ἠνέχθη, ὅτι οὐ περὶ ἑνὸς τῶν δύο τούτων ἠνέχθη, ἀλλὰ περὶ τοῦ Χριστοῦ μόνου. οὐ τὸν Χριστὸν δὲ μόνον ἀπέλαβεν* col. 2 *ἡ νεφέλη, ἀλλὰ πάντας,| ἵνα μὴ νομισθῇ, ὅτι ὁ Χριστὸς ἀφῆκε τὴν φωνὴν ἐκείνην. τὸ δὲ «ἐν ᾧ εὐδόκησα» ἐφ' ᾧ φησιν ἀναπαύομαι, ᾧ ἀρέσκομαι, διὰ τὸ κατὰ πάντα αὐτὸν πρός με ἐξισῶσθαι.*

7. *«Καὶ καταβαινόντων αὐτῶν, φησίν, ἐκ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ*

2 *Μωσεῖ:* sic cod. || 4 *δεῖ* inserui || 8 et 28 *διατοῦτο* || 11 *περιέκαίετο* || 14 *βάρῳ* || 16 *δὴ: δεὶ* cod. || 22 *φησιν* || 35 *μήδενὶ*

1 Ap. Matth. 17, 4 post *ὧδε εἶναι* legitur: *εἰ θέλεις, ποιήσω (ποιήσωμεν Gς) κτλ.* || 8—9 *καὶ — φοβηθησόμεθα* verba in Euangeliis non exstant. || 12 *Λουκᾶς:* 9, 33.

ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.» τοῦτο δὲ ἐνετείλατο, ἐπειδὴ ὅσῳ μείζονα ἐλέγετο περὶ αὐτοῦ, τοσούτῳ δυσπαραδεκτότερα ἦν τοῖς πολλοῖς τότε. ἐκέλευσε δὲ διὰ παντὸς σιωπᾶν ἕως οὗ, φησίν, ἐκ νεκρῶν ἀναστῇ, ἐπειδὴ ὡς προγνώστης ᾔδει, ὅτι μετὰ ταῦτα οὐκ ἔμελλον οἱ ἀκούοντες σκανδαλίζεσθαι. τίνος δὲ ἕνεκεν ταῦτα φαίνεται Χριστὸς ὁ ἐμὸς ποιῶν καὶ διὰ τί; διὰ τὴν ἡμῶν πάντως τῶν δούλων σωτηρίαν τε καὶ ἀνάκλησιν· δι' ἡμᾶς Θεὸς ὢν καὶ δεσπότης δούλου μορφὴν ἐνδύσασθαι || κατεδέξατο· δι' ἡμᾶς σταυρὸν *f. 169* ὑπέμεινε καὶ ταφήν, ἵν' ἀναγάγῃ τὸ τῶν χειρῶν αὐτοῦ ποίημα τοῦ ᾅδου, τῶν νεκρῶν ἀναστάς.

8. Τί οὖν ἀνταποδώσομεν αὐτῷ περὶ πάντων τούτων, ὧν ἡμῖν ἀνταπέδωκεν; ἢ πάντως τὴν πρὸς τὸ ὁμογενὲς συμπάθειαν καὶ τὸν ἔλεον· ἐν οὐδενὶ γὰρ τῶν ἄλλων ὡς ἐν τούτῳ θεραπεύεσθαι οἶδε. σπεύσωμεν οὖν καὶ διὰ τούτου μέν, ἀλλὰ καὶ διὰ καθαρᾶς πολιτείας τῶν ἐν οὐρανοῖς ἡτοιμασμένων ἡμῖν ἀπολαῦσαι καλῶν, ὧν γένοιτο πάντας ἡμᾶς σὺν τῷ φιλοχρίστῳ καὶ καλῷ ἡμῶν βασιλεῖ ἐπιτυχεῖν χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ζ΄. *col. 2*

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΔΟΜΕΤΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ.

1. Ἤνεγκεν ἡ Περσῶν χώρα καὶ τὸ καλὸν τοῦτο φυτόν, τὸν Δομέτιον λέγω. ὃς πυρσολάτρις ὢν τὸ πρότερον, τὴν πλάνην ταύτην ὡς ἐχέφρων ἀποβαλόμενος (ἥψατο γὰρ τῶν ὀμμάτων αὐτοῦ τῆς ψυχῆς τὸ φῶς τῆς θεογνωσίας), Χριστοῦ λάτρις ἀκραιφνέστατος γέγονεν, ἀνδρὸς εἰς τοῦτο καὶ παιδεύσαντος αὐτῷ καὶ διδάξαντος θείου μὲν καὶ τὰ πάντα σοφοῦ — Ἄβαρος ἡ κλῆσις αὐτῷ—καὶ τὸν ὅρον τῆς πίστεως ἀκριβῶς ἐκθεμένου καὶ τὴν οἰκονομίαν τοῦ Θεοῦ λόγου, ἣν δι' ἡμᾶς τοὺς δούλους εἰργάσατο, σάρκα ἐξ αἱμάτων φορέσας παρθενικῶν, ἵν' ἐξαγάγῃ τὸ ἀνθρώπινον τῆς τοῦ δαίμονος πλάνης καὶ πρὸς τὴν προτέραν εὐγένειαν ἀγάγῃ, σαφῶς ἱστορήσαντος.

2 δυσπαραδεκτοτέρα || 4 οὐκέμελ|λον || 5 Ταῦτα || 6 διατί || 14 σπεύ|Cωμεν— διακαθαρᾶσ || 25 ἀποβαλλόμενοσ || 27 αὐτὸν?

[f. 169v] 2. *Ταῦτα καὶ τὰ τοιαῦτα καλῶς ἐνω||τισάμενος ὁ καλὸς Δομέτιος οὐ πρὸς ὑπερθέσεις, οὐ πρὸς ἀναβολὰς ἐχώρησεν, οὐ πρὸς ἑτέρας ἄλλας προφάσεις, ἀλλ' εὐθὺς πάντα λογισμὸν ἐναντίον ἀπορριψάμενος, πᾶν εἴ τι κοσμικὸν καὶ περίγειον ἀποθέμενος, γεννήτορας αὐτοὺς καὶ προσήκοντας, τὴν Νίσιβιν τάχος καταλαμβάνει (πόλις δὲ αὕτη μεθόριον Περσῶν καὶ Ῥωμαίων κειμένη) κἀν ταύτῃ πρὸς τῶν ἐπιτηδείων ἀξιοῦται τοῦ θείου βαπτίσματος καὶ τὸ μοναχικὸν ἔνδυμα περιβάλλεται, τῶν θείων τε μυστηρίων ἐν μεθέξει γίνεται καὶ φωτίζεται τὴν διάνοιαν, εἶτα πᾶσαν ἐκπαιδεύεται τὴν γραφὴν καὶ πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἐπαποδύεται, νηστείαις ἀεὶ σχολάζων καὶ προσευχαῖς καὶ ταῖς τῶν θείων γραφῶν ἀναγνώσεσιν.*

3, *Ἀλλ' οἷά σου, διάβολε, τὰ τεχνάσματα. φθονεῖται παρὰ τῶν* [col. 2] *ἀδελφῶν ὁ | καλὸς Δομέτιος· τῷ τοι καὶ λοιδορεῖται καὶ χλευάζεται καὶ ἐμπαίζεται, καὶ δὴ καὶ πρὸς τὸν καθηγούμενον διαβάλλεται· μὴ θέλων οὖν σκανδάλου παραίτιος αὐτοῖς ὁ τῆς εἰρήνης υἱὸς γίνεσθαι, κλέπτει τὴν ὑποχώρησιν καὶ τὴν ὁδὸν ἀγνοῶν, ὅπου δὴ καὶ πορεύοιτο, θηρίοις ἐμπίπτει καὶ τούτων εὐχῇ τῇ πρὸς Θεὸν τῆς βλάβης ἐκτὸς γεγονὼς ὁδοιπόροις τισὶν ἐντυγχάνει, τὴν Θεοδοσίου πόλιν ἐπειγομένοις καταλαβεῖν· καὶ δὴ τὴν ὁδὸν σὺν αὐτοῖς ἀνύοντος δαίμων τις μορφὴν ἀνθρωπείαν ὑποκριθεὶς πρόσεισι τούτοις, εἷς εἶναι τῶν τῆς πόλεως λέγων (ἑσπέρα δὲ ἦν) καὶ τὴν ὁδὸν καλῶς ἐξεπίστασθαι. «Σὺν ἐμοὶ οὖν πορευθέντας καὶ παρὰ τὸν ἐμὸν οἶκον ξενίσω καὶ φίλους ἔξω τὸ ἀπὸ τοῦδε πιστούς». ἤκουσαν οἱ ἄνδρες* [f. 170] *καὶ μή τι σκαιὸν ἐννοήσαντες ἠκο|λούθουν τῷ φάσματι καὶ δὴ καὶ κρημνοῖς καὶ μνήμασι καὶ ἑτέροις τισὶ τόποις φοβεροῖς προσέβαλλον. ἀλλ' ὁ μέγας Δομέτιος τὸ τοῦ δαίμονος σκαιώρημα γνοὺς ἐπιτιμᾷ τούτῳ καὶ διώκει μακρὰν καὶ σώζει τοὺς συνοδοιπόρους ἐξ ἀναγκῶν, μηδενὶ τῶν πολιτῶν εἰπεῖν τὸ γεγονὸς αὐτοῖς παραγγείλας.*

4. *Εἰσιόντων οὖν αὐτῶν ἐν τῇ πόλει καὶ τῇ τοῦ ἁγίου Σεργίου παραβαλόντων μονῇ καὶ τὰς προσενέξεις ἐναποδομένων αὐτῇ (ἀπαρχαὶ δὲ ἦσαν τῶν πόνων) ὁ καθηγούμενος, δίκαιος ἀνὴρ καὶ μεστὸς πάσης ἀγαθωσύνης, δεξιοῦται φιλοτίμως αὐτοὺς καὶ τῆς προσηκούσης ἀξιοῖ νουθεσίας, ἀλλὰ δὴ καὶ τῶν εὐχῶν αὐτοῦ μεταδίδωσι τούτοις. ὁρῶν δὲ τὸν Δομέτιον σεμνὸν οὕτω καὶ βλέμματι καὶ τῷ σχήματι καὶ τῇ λοιπῇ καταστάσει, «Ὅθεν ἄρα καὶ εἴης, ἀδελφέ»,* [col. 2] *διηρώτα, «καὶ τίνος ἕνεκα ἐλήλυθας πρὸς ταπει|νοὺς*

6 *αὔτη μεθόριο˜* — *κἀν* || 8 *τὲ* || 14 *τώτοι* || 16 *Οὖν* || 18 *τοῦτων* || 21 *τίσ* || 29 *ἐξαναγκῶν μήδενὶ* || 37 *Ἆρα*

ἄνδρας;» ὁ δὲ καταλέγειν ἤρξατο κατὰ μέρος ἅπαντα, ὡς διδαχθείη παρὰ τοῦ Ἀβάρου τὴν Χριστοῦ πίστιν, ὡς καταλείψοι γονεῖς, ὡς μοναχὸς γένοιτο καὶ τίνος ἕνεκα τῆς μονῆς ἀποδράσοι. εὐχαριστήσας οὖν ὁ Νούρβελ ἐπὶ τούτοις Θεῷ (τοῦτο γὰρ ἦν κλῆσις τῷ προεστῶτι), τούτους μὲν συνταξαμένους αὐτῷ μετ' εἰρήνης ἀπέλυσε, κατέσχε δὲ τὸν Δομέτιον θέλοντα πάντως καὶ αὐτὸν συνεῖναι τούτῳ καὶ τοῦ βίου κοινωνεῖν αὐτῷ καὶ τῆς χάριτος. μέγας γὰρ ἦν ὁ γέρων τὴν ἀρετὴν καὶ τὴν γνῶσιν.

5. Χρόνοι δύο παρῆλθον, καὶ χειροτονεῖται διάκονος ὁ Δομέτιος, πολλὰ τοῦ καθηγουμένου πρὸς αὐτὸ τοῦτον παρακαλέσαντος· μιᾷ γοῦν τῶν ἡμερῶν, τῆς θείας τελουμένης μυσταγωγίας, ὁρᾶται τῷ Δομετίῳ περιστερὰ λευκοτέρα χιόνος, ὥς ἔφη, περιπταμένη τὰ προκείμενα δῶρα· || ἣν καὶ ἀποσοβοῦντα τοῦτον ὁ καθηγούμενος ἰδὼν f. 170v *μετά γε τὸ τέλος τῆς λειτουργίας ἠρώτα, εἴ τι ἄρα καὶ ἦν τὸ παρ' αὐτοῦ γινόμενον ἐν τῷ τοιούτῳ καιρῷ; τοῦ δὲ τὸ πρᾶγμα γνωρίσαντος καὶ «Ὄντως» εἰπόντος, «πάτερ, οὐ καὶ σὺ ταύτην τεθέασο», ἐκεῖνος «Ταῖς εὐχαῖς» ἔφη, «τέκνον, ἐνασχολούμενος ἤμην». καὶ ἅμα θαυμάσας τὸ καθαρὸν Δομετίου μεγάλως ηὐχαρίστει τῷ Θεῷ τῷ οὕτως οἰκονομήσαντι· πλὴν ἤχθετο καὶ λύπην ἡγεῖτο, ὅτι μὴ κατηξίωτο καὶ αὐτὸς τὴν τοῦ παναγίου πνεύματος ἰδεῖν ἐπιφοίτησιν. καὶ δὴ ἐγκλεισάμενος ἑαυτὸν ἐν ἡμέραις τρισὶν ἐδέετο τοῦ Θεοῦ μὴ ἀποτυχεῖν τοῦ τοσούτου καλοῦ καὶ ἤκουσε φωνῆς δοθῆναι τούτῳ τὸ χάρισμα κελευούσης. καθ' ἑτέραν δὲ μυσταγωγίαν βλέπει πάλιν τὴν περιστερὰν ὁ Δομέτιος καὶ δείκνυσι χειρὶ τῷ καθηγουμένῳ ἱερουργοῦντι.| βλέπει καὶ οὗτος αὐτὴν καὶ οὕτω δόξαν καὶ εὐχαρι-* col. 2 *στίαν ἀπεδίδου Θεῷ.*

6. Βραχὺ τὸ ἐν μέσῳ, καὶ χειροτονεῖται πρεσβύτερος ὁ Δομέτιος, βίᾳ μέν, χειροτονεῖται δὲ ὅμως. ἀλλ' ἀπανίσταται λάθρα τῆς μονῆς διὰ τοῦτο καὶ πρός τινα κώμην γίνεται Προμανδὸν καλουμένην, ἐν ᾗ καὶ τέμενος ἵδρυτο τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἐπ' ὀνόματι. τούτῳ τοίνυν ἐνδιατρίψας νοσοῦντά τινα καὶ χαλεπῷ προσπαλαίοντα νοσήματι (ῥῖγος γὰρ ἦν) θεραπεύει. εἶτα κἀκεῖθεν, ἵνα μὴ γνωσθῇ, φεύγει καὶ τὸ συμπαρακείμενον ὄρος καταλαμβάνει καὶ ἦν ἐν αὐτῷ προσευχόμενος καὶ τῶν φυομένων ἀποτρεφόμενος βοτανῶν, κρύει προσπαλαίων καὶ καύσωνι καὶ πᾶσαν ἄλλην ὑπομένων ταλαιπωρίαν.

7. Τινὲς οὖν τῶν Ἰσμαηλιτῶν σπήλαιον αὐτῷ διορύξαντες εἰσά-

5 ἀπέλυσ(εν) || 11 γοῦν || 12 χίονοσ || 14 ἠρῶτα || 15 πράγμα || 20 αὐτὸς: οὗτοσ cod. || 23 καθετέραν || 31 τού|Τῳ — νοσοῦντα τινὰ || 32 ῥῆγοσ || 36 ταλαιπορίαν || 37 ἰσμαηλιῶν

f. 171 γουσι τοῦτον ἐν‖αὐτῷ, τὴν καρτερίαν ἐκπληττόμενοι τούτου καὶ τὴν ὑπομονήν. ἔκτοτε οὖν ἀνῄεσάν τινες πρὸς αὐτόν (οὐδὲ γὰρ ἐνῆν πάντως ἄνδρα τοῦτον κρυβῆναι) καὶ τῶν εὐχῶν αὐτοῦ μετελάμβανον· καί ποτέ τις ξηρὰν ἔχων τὴν χεῖρα τούτῳ προσιὼν καὶ πολλὰ δεηθεὶς ὑγιᾶ ταύτην ἀπολαβὼν ὑπέστρεψεν. ἀλλὰ καί τις ἕτερος τὴν κοτύλην πληγεὶς καὶ ἔξαρθρον αὐτὴν περιφέρων, συγκομισθεὶς πρὸς τὸν ὅσιον τὴν ῥῶσιν αἰτεῖ καὶ μέντοι δὴ καὶ λαβὼν ταύτην ὑγιὴς ἐπανῆκε. κομίζεται πρὸς αὐτὸν καὶ παράλυτος, ἔλαιον εὐλογηθὲν ὑπ' ἐκείνου χρίεται, συσφίγγεται καὶ ὑγιὴς τοῖς πᾶσιν ὁρᾶται. λύει καὶ γλώσσης δεσμὸν ὁ ἀοίδιμος καὶ στείρωσιν γυναικός, καὶ τὸ τεχθὲν αὐτῷ προσάγεται παρὰ τοῦ πατρὸς καὶ μαθητὴς αὐτοῦ καὶ συναθλητὴς γίνεται. καὶ τί χρὴ τὰ πολλὰ λέγειν; δαιμοcol. 2 νίᾳ τις μάστιγι πληττόμενος ὡς μόνον προσῆλθε τῷ | μάκαρι, θεραπείας ἀπολαύσας ὑπέστρεψεν.

8. Ἔχαιρον οὖν ἅπαντες ὅσοι δηλαδὴ τῆς Χριστοῦ μοίρας ἐτύγχανον, ἠνιῶντο δαίμονες καὶ τούτων οἱ μύσται. τῷ τοι καὶ Ἰουλιανοῦ τότε τοῦ παραβάτου (καλὸν γὰρ αὐτὸν οὕτως ἀπὸ τῆς πράξεως ὀνομάζειν) τὴν βασιλείαν ἁρπάσαντος καὶ πολλῆς σκοτομαίνης τὴν οἰκουμένην καταλαβούσης, τῶν χριστιανῶν ἁπάντων διωκομένων καὶ πικραῖς ὑποβαλλομένων κολάσεσι καὶ αὐτοῦ τούτου ταῦτα κατὰ τὴν Ἀντιόχειαν πράττοντος καὶ πολλῷ χαλεπώτερα (ἱπποστάσιον γὰρ τὴν μεγάλην ἐκκλησίαν γενέσθαι προσέταξε καὶ αὐτὸ τὸ θυσιαστήριον, φεῦ, εἰς ἵππου στάσιν ὁ κατάρατος ἀπεκλήρωσεν) ἐκεῖθέν τε ἐξιόντος καὶ πρὸς Περσικὸν πόλεμον κατεπειγομένου οἱ τῶν δαιμόνων φίλοι προσιόντες αὐτῷ τὰ περὶ Δομετίου f. 171v γνω‖ρίζουσι. καὶ ὃς «Ἀμυνοῦμαι τοῦτον» εἶπεν «ἐλθὼν καὶ ὡς ἐχθρὸν τῶν θεῶν μετελεύσομαι καὶ δείξω βασιλικῶν προσταγμάτων μὴ ἀλογεῖν».

9. Εἶπε, καὶ οἱ κακόφρονες, οἷα δὴ κεκελευσμένοι, τὸ ἄντρον ἐκεῖνο καταλαβόντες, ὃ τὸν δίκαιον εἶχεν, ἐκάλουν αὐτὸν εἰς τὴν ἀπαντὴν τοῦ τυράννου· τοῦ δὲ τῆς εὐχῆς μετὰ τῶν συνόντων αὐτῷ μὴ ἀφισταμένου μηδὲ λόγον ἐκείνοις μηδένα ποιοῦντος, θυμῷ ληφθέντες ἐσχάτῳ ἢ μᾶλλον εἰπεῖν δαίμοσι μὲν τὰς ψυχάς, λίθοις δὲ τὰς χεῖρας ὁπλίσαντες καταλεύουσιν αὐτοὺς ὡς τὸν Στέφανον μέχρι τοσούτου, [ἕως] τὸ σπήλαιον τῶν λίθων ἐπλήρωσαν.

10. Οὕτως οὖν τοῦ μακαρίου τέλους τυχών, θαυμαστὲ Δομέτιε, κἂν τούτῳ τοὺς ἀσκητικοὺς πόνους ἐπισφραγίσας, Θεῷ νῦν παρί-

2 ἀνήεσαν τινὲσ‖3 τοῦτον: τοιοῦτον? ‖4 πο|Τέ‖8 ὑγιῆσ‖13 τισ‖15 ἔχαι|Ρον‖16 τῶτοι‖18 σκοτομήνησ‖24 ἐκεῖθεν τὲ‖29 εἶπεν‖32 μὴδὲ‖33 ἐσχάτῳ: ἀσχέτῳ? ‖35 ἕως **inserui coll. fasc. I p. 276 v. 30.**

στασαι τῷ παμβασιλεῖ, ᾧ μὴ ἐλλίποις πρεσβεύων δωρηθῆναι βασιλεῖ ἡμῶν | τῷ πιστῷ καὶ φιλαγίῳ καὶ πᾶσιν ἐμπρέποντι καλοῖς μέγιστα κατὰ τῶν πολεμίων τὰ τρόπαια, ἀπαλείφοντα βαρβάρων ὅλων πλήθη, ἥμερον ὡς ἂν τὸ βασίλειον ἕξοι, λάμπον ταῖς νίκαις καὶ χαῖρον εὐπραγίαις, πάσης χάριτος πληρούμενον εἰς ἅπαν καὶ βασιλείαν κληρούμενον τὴν ἄνω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ η΄. *col. 2*

ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΥΡΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

1. Τῆς Κρήτης βλαστὸς ὁ θαυμαστὸς οὗτος Μύρων, ἧς καὶ πρόεδρος καὶ ποιμὴν ἐγένετο κάλλιστος. πόλις ἤνεγκε τοῦτον Ἡράκλεια, τῇ Κνωσῷ τυγχάνουσα προσεχής· ἔτεκον δὲ ⟨καὶ⟩ γεννήτορες θεοφιλεῖς ἅμα καὶ χριστεπώνυμοι. Δέκιος ἐκράτει τότε τῆς Ῥωμαϊκῆς βασιλείας ὁ δυσσεβής. ἦν οὖν ὁ ἀνὴρ θεοφιλῶς τὸν βίον ἀνύων || καὶ τοῖς γεννήτορσι τὴν προσήκουσαν ἀπονέμων τιμήν. *f. 172* ὧν δὴ καὶ ταῖς παραινέσεσι γυναικὶ συζεύγνυται καὶ αὐτῇ πιστοτάτῃ· οὐδὲ γὰρ ἐνῆν αὐτῷ πατρικὰς ἐντολὰς παρακρούεσθαι, τὴν κελεύουσαν ἐντολὴν τοῦτο σαφῶς ἐπιστάμενος· ναὶ δὴ καὶ τῆς πρώτης ἐντολῆς τῆς τῷ προπάτορι διωρισμένης τὸ ἔργον πληροῖ, τὴν γῆν ἐργαζόμενος καὶ τοῖς ἰδίοις ἱδρῶσι τῶν ἐντεῦθεν μεταλαμβάνων καρπῶν. οὐκ ἦν δὲ τῆς ἐντολῆς ταύτης μόνης φύλαξ ὁ Μύρων, ἀλλὰ δὴ καὶ τῆς μείζονος καὶ ᾗ μᾶλλον Θεὸς τῶν ἄλλων ἁπασῶν ἥδεταί τε καὶ ἐπευφραίνεται. δίκαιος γὰρ ὢν ὅλην τὴν ἡμέραν ἐλεῶν καὶ δανείζων τὸν ἄρτον ἐδείκνυτο, ναὶ δὴ καὶ τὰς ἄλλας ὁσημέραι χρείας τοῖς ἐνδεῶς ἔχουσιν ἐπαρκῶν ἐφαίνετο.

2. Τῷ τοι καὶ ἐρράγη τούτῳ πρώϊμον πάντως τὸ φῶς καὶ τὰ ἰάματα | ταχὺ ἀνέτειλε. πλὴν ἄξιον ἑνὸς ἐπιμνησθῆναι τῷ λόγῳ τῶν *col. 2* τῆς ἐλεημοσύνης κατορθωμάτων. εἶχε γὰρ ὁ μέγας καὶ τὸ συμπαθὲς ὑπὲρ ἅπαντας. τὴν ἅλωνα τούτου ποτὲ κατειληφότων κλεπτῶν

4 πλήθει || 14 καὶ *delendum puto* || 18 Ταῖσ || 20 *rectius esset* ἐπισταμένῳ || 25 δανίζων || 28 τῶτοι || 31 ἅλω|να

καὶ σίτου πλησάντων τοὺς σάκκους αὐτῶν τοσοῦτον, ὡς μὴ δυνατῶς ἔχειν αὐτοὺς ἐπωμίσασθαι τούτους, ἐκεῖνος ἀντὶ πληγῶν, ἀντὶ δεσμῶν, ἀντ᾽ ἄλλου τινὸς ὧν ἔδει κατ᾽ αὐτῶν ἄλλος τις ὢν αὐτουργὸς γεγενῆσθαι, χερσὶν ἰδίαις ταῖς ἐλεεῖν εἰδυίαις συνεπόνησε τούτοις μᾶλλον πρὸς τὴν τῶν σάκκων ἀνάληψιν καὶ δὴ καὶ παρήγγειλε μηδενὶ τὸ γεγονὸς ἀπαγγεῖλαι.

3. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ γαμετὴ μὲν αὐτῷ τὴν παροῦσαν καταλύει ζωήν, οὗτος δὲ τῶν δεσμῶν ἐκείνης ὥσπερ λυθεὶς ταῖς τοῦ Θεοῦ διὰ παντὸς ἐνεσχόλαζεν ἐκκλησίαις, καὶ τρυφὴ f. 172v *τούτῳ ἦν τῶν ‖ θείων γραφῶν ἡ ἀνάγνωσις· καὶ τέλος εἰπεῖν τῇ ἐκκλησίᾳ φέρων δίδωσιν ἑαυτὸν ὁ θαυμάσιος Μύρων· ἧς τοὺς ἄλλους βαθμοὺς ὑπεραναβὰς κἂν τῇ τῶν πρεσβυτέρων καθέδρᾳ καθέζεται καὶ τὸν Θεὸν αἰνεῖ καὶ μύστης ἀποδείκνυται τῶν μεγάλων. ἔνθεν τοι καὶ τοῖς ἁπάντων ἔκειτο στόμασι· Μύρων ἐλέγετο, Μύρων ἠκούετο, Μύρων διὰ θαύματος ἤγετο.*

4. Τῆς εἰδωλομανίας οὖν ἀποσβεσθείσης καὶ τῆς δαιμονικῆς ἀχλύος ἀρθείσης, εἰς αἰθρίαν τε καθαρὰν τῆς Ῥωμαϊκῆς ἐλθούσης ἀρχῆς καὶ τῆς ἡμετέρας πίστεως πλατυνθείσης, τῆς ἐκκλησίας τε τὸν ἴδιον κόσμον τὴν εἰς Χριστὸν πίστιν ἀπολαβούσης καὶ κατευνασθείσης τῆς ζάλης ἐκείνης καὶ τῆς ταραχῆς τῶν πραγμάτων, κῆρυξ ἀριδηλότατος τῆς ἡμῶν πίστεως ὁ Μύρων καθίσταται καὶ col. 2 *διδάσκαλος καὶ πολλοὺς τοὺς τῷ ζόφῳ | τῆς πλάνης ἔτι κατεχομένους ἀνάγει πρὸς τὴν εὐσέβειαν. ἔνθεν τοι καὶ πρὸς τὴν λυχνίαν τίθεται τὸ φῶς, ὡς εἰπεῖν, τῶν ἐν σκότει πορευομένων. καὶ ὅπως, ὁ λόγος παραστήσει τρανῶς.*

5. Τοῦ προέδρου Κρήτης τὸν βίον ἀλλάξαντος ἐπὶ τὸν τῆς ἐπισκοπῆς ὁ Μύρων ἀνάγεται θρόνον· ἀνάγεται δὲ οὐ τὴν ἀρχὴν ἁρπάσας, οὐδὲ διώξας αὐτήν, ἀλλὰ διωχθεὶς ὑπ᾽ αὐτῆς καὶ καταληφθεὶς καὶ μέντοι δὴ καὶ παρὰ τῶν ἐκκρίτων τοῦ τε βήματος ψηφισθεὶς καὶ τῶν ἄλλων ἢ μᾶλλον εἰπεῖν παρὰ τῆς πάντα συμφερόντως οἰκονομούσης προνοίας. τοῦ θρόνου τοίνυν ἐπιβὰς ἆρα πρὸς ὀφρὺν ἔβλεψεν, οἷα δὴ φιλεῖ γίνεσθαι τοῖς πολλοῖς, ἆρ᾽ ὑπερόπτης ἐγένετο καὶ ὑπέρογκος; οὐμενοῦν, ἀλλὰ καὶ λίαν ὅτι ταπεινότερος τοῦ προτέρου, ἀλλὰ καὶ μετριώτερος καὶ πρὸς ἅπαν f. 173 *ὁτιοῦν τῶν καλῶν ‖ σπουδαιότερος.*

6. Τί οὖν ἐντεῦθεν; ἐπιρρεῖ τούτῳ τοῦ πνεύματος ἡ ἐνέργεια, καὶ θαύματα πλεῖστα τελεῖ. νοσημάτων καὶ δαιμόνων ἀπαλλάττει

3 *ἀντάλλουτινοσ* ‖ **4** *γεγενῆσθε* ‖ **6** *μήδενὶ* ‖ **7** *Χρόνοσ* ‖ **12** *ὑπὲρ αθ|βὰσ, κἂν* ‖ **14** *῎Ενθέν τοι* ‖ **17** *et* **18** *τὲ* ‖ **21** *κήρυξ* ‖ **23** *ἔνθέν τοι* ‖ **24** *πορε|βομένων* ‖ **26** *Τοῦ — ἀλάξαντοσ* ‖ **33** *῎sμενοῦν*

πολλοὺς καὶ παντοῖα πάθη καὶ ὧν ἴασις οὐκ ἠλπίζετο θεραπεύει. καὶ ἦν οὗτος ὁ ἀνὴρ μέγας τῷ ὄντι καὶ τὴν ἀρετὴν ὑψηλός. ἄξιον τοίνυν ἀπομνημονεῦσαι καὶ τῶν αὐτοῦ θαυμάτων τινά. δράκων τις ἐνεφιλοχώρει κατά τινα τόπον καὶ δεινῶς τὴν χώραν ἐκείνην κατελυμαίνετο. ταύτης οὖν οἱ κάτοικοι τῷ θαυματουργῷ Μύρωνι προσιόντες ἀπαλλαγὴν εὑρεῖν ἐξαιτοῦσι τοῦ τοσούτου κακοῦ. εὐχαῖς οὖν ὁ ἅγιος ταῖς πρὸς Θεὸν καὶ δεήσεσι λυτροῦται τοὺς ἄνδρας τοῦ τοσούτου κακοῦ καὶ φυγάδα τοῦτον ἐκεῖθεν ἀποτελεῖ. ποταμοῦ ῥεῖθρον ἔστησε τῆς ὁρμῆς τῷ ὀξεῖ τῆς φορᾶς εἴργοντος αὐτὸν τῆς εἰς τὸ πρόσω διαβάσεως, καὶ οὐ πρότερον ἐκίνησε | τὸ ῥεῖθρον ὁ πο- col. 2 ταμός, πρὶν αὐτὸς ὁ μέγας, τὴν ἐκκλησίαν καταλαβών, ἣν ἐπεφέρετο ῥάβδον ἔστειλε, καὶ παρὰ ταύτης διεταράχθη τὸ ὕδωρ. ταῦτα δὴ καὶ ἕτερα τούτοις ὅμοια τελέσας ὁ μέγας τερατουργήματα καὶ τὸ λειπόμενον τῆς ζωῆς ὁσίως καὶ θεοφιλῶς διανύσας, ἤδη περὶ τὰ ἑκατὸν ἔτη γενόμενος πρὸς κύριον ἐξεδήμησε, πολλὰ καὶ μετὰ θάνατον σημεῖα κατεργασάμενος.

7. Καὶ ταῦτα μὲν ἐν ἐπιτομῇ τὰ περὶ σοῦ διηγήματα, τίμιε πάτερ· σὺ δὲ ἡμᾶς ἐποπτεύοις ἄνωθεν, χορηγῶν ταῖς εἰς Θεὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ φιλαγίῳ ζωῆς διαρκοῦς μέτρον, ἰλύος παντὸς ἀπηλλαγμένον πάθους, ἀλλὰ δὴ καὶ σκηνῆς ἀθανάτου τὴν κατοικίαν, πάντων ἀγαθῶν ἀθανάτων τὴν δόσιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει || ἡ δόξα καὶ f. 173v τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ θ′.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΣΤΕΦΑΝΟΥ ΠΑΠΑ ΡΩΜΗΣ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩι.

1. Κατὰ τοὺς χρόνους Οὐαλεριανοῦ καὶ Γαληνοῦ τῶν δυσσεβεστάτων ὑπάτων διωγμὸς κατὰ χριστιανῶν ἔπνευσε μέγας, καὶ πάντες ὅσοι τὸν Χριστὸν Θεὸν ὡμολόγουν βασάνοις ὑπεβάλλοντο πικροτάταις, καὶ πάντες ὅσοι τοῖς ἀσεβέσιν ὑπεῖκον προστάγμασι τιμῶν καὶ δωρεῶν ἠξιοῦντο, καὶ ἦν οὕτω μερισμὸς ψυχῶν σωτηρίας καὶ ἀπωλείας.

1 παντοία || 4 τιό || 6 ἀπαλλαγῆν || 12 διέταράχθη || 15 ἐξεδήμησεν || 17 ἐπιτομή || 27 οὐάλλεριανοῦ || 30 ὑπεῖκω

2. Τότε τοιγαροῦν ὁ κλεινὸς οὗτος Στέφανος πάπας τῆς Ῥωμαίων ἐκκλησίας τυγχάνων πολλοὺς ἐξῆγε τῆς πλάνης ἐν τῷ κρυπτῷ καὶ τῇ τοῦ Χριστοῦ πίστει προσῆγε διδάσκων αὐτοὺς καὶ βαπτίζων τῇ τῆς ἁγίας ἐπικλήσει τριάδος καὶ τῶν ἀχράντων αὐτοῖς καὶ ἁγίων col. 2 *μεταδιδοὺς μυστηρίων· οἷς | δὴ καὶ Νεμέσιός τις ἄρχων συνηριθμεῖτο. ὃς θυγάτριον ἔχων Λουκίλλαν καλούμενον, ἐξ αὐτῆς μήτρας ἠνεωγμένους μὲν τὸ φαινόμενον ἔχον τοὺς ὀφθαλμούς, μηδαμῶς δὲ τὸ φῶς καθορῶν, ἅμα τῷ σὺν αὐτῷ βαπτισθῆναι βλέποντας ἐλάμβανε τοῦτο καὶ διηγούμενον, ὡς χειρὸς αὐτῆς ἐν τῷ βαπτίζεσθαι ἀψαμένης ἠνεωγμένους ἔσχε τούτους καὶ καθαρῶς τὰς τοῦ ἡλίου δεχομένους αὐγάς.*

3. Τούτων οὖν τοῖς κρατοῦσι γνωσθέντων συλλαμβάνεται Νεμέσιος καὶ πρὸς Οὐαλέριον ἄγεται. πρὸς ὃν ὁ τύραννος ἀπιδὼν ἔφη· «Ἵνα τί τοὺς πατρίους θεούς, Νεμέσιε, καταλιπών, ἀλογίστῳ πίστει προσῆλθες, τοῦ δόγματος ἡμῶν καταφρυαξάμενος καὶ τὰς ἠπειλημένας τοῖς οὕτω πράττουσι κολάσεις θέμενος παρ' οὐδέν; ἢ δοκεῖς ταύτῃ προσεπιμένων μὴ κακῶς ἐν αὐταῖς τὸ ζῆν ἀπορρῆ- f. 174 *ξαι;» καὶ ὁ || Νεμέσιος «Οὐδέν», εἶπεν, «ὦ βασιλεῦ, ἀπεικὸς ἐμοὶ πέπρακται, τὸ ψεῦδος καταλιπόντι καὶ προσιόντι τῇ ἀληθείᾳ. εἴθε γὰρ πρὸ καιροῦ τοῦτό μοι γέγονε καὶ μὴ τοῖς ἐναγίσμασι τῶν δαιμόνων ἐμαυτὸν κατεμόλυνα. ὅμως δὲ τῷ ἐλέει πεποιθώς εἰμι τοῦ Θεοῦ, ὡς παραβλέψεταί μου τὰ κατ' ἄγνοιαν σφάλματα καὶ τῶν ἀθανάτων αὐτοῦ μεταδώσει καλῶν».*

4. Ἐν οἷς ὀργῆς ὁ δυσσεβὴς πληρωθεὶς τοῦτον μὲν τῇ φυλακῇ παραδίδωσι, τὸν δέ γε τῆς αὐτοῦ κτήσεως ἐπιμελητὴν Συμπρόνιον (οὕτω γὰρ ὠνομάζετο) καὶ Λουκίλλαν τὴν τοῦ Νεμεσίου παῖδα μεταστειλάμενος περὶ τῆς τοῦ πατρὸς οὐσίας ἐξήταζεν. ὡς δὲ μηδὲν ἕτερον οὗτοι πρὸς αὐτὸν ἀπεκρίναντο ἢ διανεμηθῆναι παρ' ἐκείνου τοῖς χρήζουσι, τὴν μὲν Μαξίμᾳ τῇ ἱερείᾳ πρὸς τήρησιν col. 2 *παρεπέμψατο, τὸν δὲ τῷ Οὐαλεριανῷ παρεστήσατο. καὶ ἐπεὶ περὶ τῶν αὐτῶν καὶ οὗτος διερωτῶν τὰ αὐτὰ ἃ κἀκεῖνος ἐμάνθανε, κελεύει παρὰ τὸν ναὸν τοῦ Ἄρεος ἄγεσθαι τοῦτον, ἐφ' ᾧ προσοίσει θυσίας. ἐκείνου δὲ τὸν ναὸν εἰσιόντος καὶ τὸ εἴδωλον εὐχῇ εἰς γῆν καταράξαντος καὶ εἰς κόνιν λεπτύναντος, ὁ τριβοῦνος Ὀλύμπιος ἐκπλαγεὶς ἐπὶ τῷ παραδόξῳ τοῦ πράγματος Τερτυλλίνῳ τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ τεταγμένῳ παραδίδωσι τοῦτον εἰς τὸ φυλάττεσθαι. διηγεῖται δὲ καὶ Ξουπερίᾳ τῇ τούτου συνεύνῳ τὸ συμβὰν τῷ*

1 τοιγὰρ οὖν || 5 μεταδοὺσ || 13 οὐαλλέριο͂ — τΰρανοσ || 16 παρουδ(ἐν) || 25 Σεμπρώνιον? || 27 μὴ δὲν || 30 οὐάλλεριανῷ || 34 καταρράξαντοσ || 35 τερτυλίνω *et p. 261 v. 25* τερτυλῖνοσ, *sed p. 262 v. 12* τερτυλλῖνε || 37 συμ¦βᾶν

εἰδώλῳ· ἐκείνη δὲ πρὸς αὐτὸν «Καὶ ἵνα τί» φησίν, «ἄνερ, εἰ τοσαύτη δύναμίς ἐστι τῷ Χριστῷ, μὴ καὶ ἡμεῖς αὐτῷ προσίωμεν; ἢ οὐκ οἶσθα, πῶς τῇ Νεμεσίου θυγατρὶ τὸ φῶς ἐχαρίσατο;» καὶ ἅμα συμφρονήσαντες καὶ τῷ Συμπρονίῳ πρόθυμοι προσιόντες αἰτοῦσι Χριστῷ δι' αὐτοῦ προσελθεῖν καὶ τὸ βάπτισμα δέξασθαι καὶ εἰς πίστιν || τῶν ὑπ' αὐτῶν λεγομένων καὶ ἃ παρ' αὐτοῖς ἦσαν εἴδωλα (f. 174v) πρὸ τῶν ὀφθαλμῶν ἐκείνου συνέτριψαν. ἧκεν οὖν ἡ οὐρανόθεν τότε φωνή· «Ἐπὶ σέ μου, Συμπρόνιε, τὸ πνεῦμα διαναπαύσεται».

5. Τότε παραλαβὼν αὐτοὺς οὗτος πρὸς τὸν ἁγιώτατον πάπαν Στέφανον ἄγει· παρ' οὗ καὶ βαπτισθέντες σὺν ἅμα Θεοδούλῳ τῷ τούτων υἱῷ καὶ τὸ τῆς θεογνωσίας διδαχθέντες μυστήριον ὑπέστρεψαν χαίροντες. οὐκ ἔλαθε τοῦτο τὸν Οὐαλεριανόν, καὶ αὐτίκα κελεύει, καὶ ξίφει τὰς κεφαλὰς Νεμέσιος καὶ Λουκίλλα, μηδεμιᾶς αὐτοῖς ἐρωτήσεως ἐπενεχθείσης, ἐκτέμνονται. ὧν ὁ πάπας τοὺς νεκροὺς ἀνελόμενος ἐν τάφῳ κατέθετο.

6. Τῇ δ' ἑξῆς ὁ Συμπρόνιος πρὸς τὴν ἐξέτασιν ἄγεται, ἔτι μὴν Ὀλύμπιος καὶ Ξουπερία, τὸ καλὸν ζεῦγος καὶ τίμιον. καὶ ἐπεὶ πολλαῖς λόγων προτάσεσιν οἷοί τε ἦσαν οὐδαμῶς πείσειν αὐτοὺς Οὐαλεριανὸς καὶ Γα|ληνὸς οἱ κακόφρονες, πυρὶ καίουσι τούτους· ἐν ᾧ (col. 2) καὶ τὰ πνεύματα οἱ ἅγιοι τῷ κυρίῳ παρέθεντο. τούτων οὖν καὶ αὐτῶν ὁ πάπας Στέφανος συστείλας τὰ λείψανα ταφῇ φιλοτίμῳ παρέδοτο.

7. Χρόνος οὐκ ὀλίγος παρῆλθε, καὶ συλλαμβάνονται τοῦ κλήρου τοῦ πάπα δύο καὶ δέκα ἄνδρες καὶ τὰς κεφαλὰς ἀποτέμνονται. Τερτυλλῖνος οὖν, ὃν προλαβὼν ὁ λόγος ἐγνώρισε, τὰ τούτων λείψανα κεκλοφὼς σὺν τοῖς ἄλλοις ἁγίοις κατέθετο. μανθάνει τοῦτο ὁ πανίερος πάπας καὶ μετάκλητον αὐτὸν ποιησάμενος στηρίζει ταῖς διδαχαῖς ἐν τῇ πίστει Χριστοῦ καὶ βαπτίζει τοῦτον καὶ ἱερέα χειροτονεῖ καὶ περὶ τὴν συλλογὴν τῶν ἁγίων λειψάνων τῶν ἀθλούντων ὑπὲρ Χριστοῦ σπουδὴν ἔχειν παρεγγυᾷ.

8. Οὐ πολλαὶ διῆλθον ἡμέραι, καὶ συλλαμβάνεται καὶ αὐτὸς καὶ τῷ Οὐαλεριανοῦ προσάγεται βήματι. ἐγκαλεῖται παρ' αὐτοῦ || τὴν (f. 175) εὐσέβειαν καὶ πρὸς ἄρνησιν αὐτῆς ἐκκαλεῖται· ἀπαιτεῖται καὶ τὴν ὕπαρξιν Ὀλυμπίου, οὗ τῆς οἰκίας ἐπίτροπος ἐχρημάτιζε. λέγει τοιγαροῦν πρὸς τὸν τύραννον· «Οὐκ ἀποστήσομαι τοῦ Χριστοῦ μου, μὴ γένοιτο· οὐ θύσω δαίμοσι πώποτε· δαίμονες γὰρ οἱ θεοὶ ὑμῶν· οὐκ ἂν ἴδοι τοῦτο ἥλιος, οὔτε ἀνθρώπινος ὀφθαλμός. καὶ ταῦτα μὲν

2 προσίεμεν || 12 Οὐκ — οὐαλλ^{ε}|ριανόν || 13 μηδὲ μῖασ || 16 δεξῆσ || 18 οὐάλλεριανόσ || 24 δῦοκαίδεκα || 32 οὐά|λλεριανοῦ | 35 τύρανον

περὶ τούτου, περὶ δὲ τῆς ὑπάρξεως Ὀλυμπίου τί χρὴ καὶ λέγειν; οὐκ ἔστιν ἐκείνῳ κατὰ γῆν ὕπαρξις (πενήτων γὰρ αὐτὴν γαστέρες ἐσχήκασι), κατ' οὐρανὸν δέ, ἣν αὐτῷ Χριστὸς ὁ τῶν ὅλων Θεὸς ἐχαρίσατο».

9. Τύπτεται τοίνυν, οὕτως εἰπών, κατὰ γῆς ταθεὶς ῥοπάλοις ἀνηλεῶς ὁ καλλίνικος· τυπτόμενος οὕτω καὶ τὰ ὀστᾶ συντριβόμενος εὐχὴν Θεῷ ἀναφέρει· πυρὸς λαμπάδας δέχεται ταῖς πλευραῖς καὶ τὸν ἀπηνῆ Οὐαλεριανὸν λόγοις βάλλει, | col. 2 *τῶν λαμπάδων αὐτὸν σφοδρότερον καίουσιν. ἀνίστησιν αὐτὸν ἐκεῖνος ἀπὸ τῆς γῆς καὶ τῷ τῆς πόλεως ἐπάρχῳ πρὸς ἐξέτασιν παραδίδωσι· Σαπρίκιος ἦν ἡ κλῆσις αὐτῷ· προκαθίσας οὖν οὗτος ἐπὶ τοῦ βήματος ἄγει τὸν μάρτυρα καί φησι· «Τερτυλλῖνε, τοῖς θεοῖς καλῶς ποιῶν θυσίαν ἀπόνειμε καὶ τὴν ὕπαρξιν Ὀλυμπίου τὸ τάχος ἀπόδος. εἰ δ' οὖν, ἀλλὰ κολάσεις σε πολλαὶ διαδέξονται καὶ τοῦ ζῆν στερηθήσῃ κακῶς».—«Οὐδὲν ἐμοί, Σαπρίκιε, τὸ παράπαν ἡ παροῦσα ζωή, ἥτις καὶ πρὸ τοῦ τι παθεῖν λυθήσεται πάντως· ἡ μέλλουσα δὲ καὶ ἀθάνατος, ἥτις μακαρίους οἶδε ποιεῖν τοὺς ὑπὲρ αὐτῆς ἀποθνήσκοντας».*

10. Οὕτως εἰπὼν ὁ ἅγιος λίθοις τὸ στόμα συντρίβεται, εἶτα καὶ διαταθεὶς νεύροις ὠμοῖς ἐπὶ πολὺ καταικίζεται· ἐπικαλεῖται τὸν Χριστὸν εἰς || f. 175v *βοήθειαν καὶ τὴν ἄνωθεν ἀντίληψιν δέχεται· παρρησιάζεται πρὸς τὸν ἔπαρχον, ἀνοήτους καλεῖ τοὺς κρατοῦντας, τοὺς αὐτῶν θεοὺς διασύρει καὶ δέχεται τὴν ἀπόφασιν· ξίφει γὰρ ὁ πανάριστος τὴν κεφαλὴν ἀφαιρεῖται καὶ συγκατατίθεται τοῖς προλαβοῦσιν ἁγίοις, τοῦ παμμάκαρος Στεφάνου τοῦ πάπα τὴν τοῦ λειψάνου τούτου ποιησαμένου κατάθεσιν.*

11. Μανθάνει τοῦτο Οὐαλεριανός, καὶ στέλλονται στρατιῶται καὶ συλλαμβάνονται τὸν μακάριον καὶ τῷ βήματι τούτου προσάγουσι. φησὶν οὖν πρὸς αὐτὸν ὁ τύραννος· «Ἵνα τί, δυσσεβέστατε, τὸν ὄχλον ταῖς ψευδολογίαις ἐξαπατῶν ἀφιστᾷς τῆς τῶν θεῶν λατρείας καὶ προσάγεις τῷ παρὰ σοῦ κηρυττομένῳ Χριστῷ, μὴ θυμὸν βασιλέως δεδοικώς, μὴ βασάνων ἐπαγωγάς. ὅμως τῶν τοιούτων ἀφέμενος θῦσον προσιὼν τοῖς θεοῖς, ἵνα σοι τὰ τοῦ | col. 2 *πταίσματος ἀφεθήσεται. εἰ δ' οὖν, ἀλλὰ τὴν ψυχὴν ἀποθήσεις ἐν τάχει». πρὸς ὃν ὁ ἅγιος ἀπεκρίνατο· «Οὐκ ἀπατῶ τὸν ὄχλον ἐγώ, βασιλεῦ, μὴ γένοιτο, πρὸς ζωὴν δὲ μᾶλλον ἐπανάγω τὴν ἀληθῆ, τῶν δαιμόνων αὐτοὺς ἀποσπῶν καὶ τῷ ἀληθεῖ προσάγων Θεῷ, τοῦ ψυχικοῦ θανάτου λυτρούμενος καὶ πρὸς ζωὴν μεταβιβάζων τὴν οὐδέποτε λήγουσαν.*

8 οὐ ἀλλεριανὸν || 9 αὐτὸν *correctum ex* αὐτῶν || 11 προ|Καθίσασ || 12 καὶ φησί || 19 ἐπὶ καλεῖται || 26 οὐάλλεριανὸσ || 29 ὄχον—ἐξ ἀπατῶν ἀφιστὰσ || 33 δοῦν || 37 *exaraverat scriba* οὐδέ|οὐδέποτε, *sed quattuor litteras in fine versus ipse erasit.*

τί οὖν ἀδικῶ ταῦτα ποιῶν; οὐ τοίνυν φοβηθήσομαι κακά, ὅτι ὁ Θεὸς μετ' ἐμοῦ ἐστιν».

12. Τούτων ὁ βδελυρὸς ἐκεῖνος ἀκούσας ἀπαχθῆναι κελεύει τὸν δίκαιον κατὰ τὸν ναὸν τοῦ Ἄρεος καὶ μὴ πειθόμενον θῦσαι ξίφει τὴν κεφαλὴν ἐκτμηθῆναι· γενομένου τοιγαροῦν κατὰ τὸν ὡρισμένον τόπον τοῦ μάκαρος καὶ εὐξαμένου πρὸς κύριον, κλονεῖται παραυτίκα τὸ τοῦ Ἄρεος τέμενος καὶ τὸ πλεῖστον αὐτοῦ συμπίπτει μέρος, καὶ φεύγει πᾶς ὁ || λαὸς τῶν Ἑλλήνων ὑπὸ τοῦ δέους νικώμενος· *f. 176* *ὁ δέ γε πανίερος πάπας τὸν τῆς μάρτυρος Λουκίλλης τάφον ἅμα τοῖς συνοῦσιν αὐτῷ πιστοῖς καταλαβὼν τὴν ἀναίμακτον ἐπετέλει λατρείαν. καὶ δὴ στρατιῶται στέλλονται καὶ τέμνουσί σου τὴν πάντιμον κεφαλήν, παναοίδιμε. πιστοὶ δέ τινες ἐπὶ σοὶ τὰ εἰκότα τελέσαντες τῷ κρυπτῷ ἐκείνῳ τόπῳ κατατιθοῦσι. καὶ νῦν τῷ δεσποτικῷ παριστάμενος θρόνῳ αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μῆκος ζωῆς ἀπήμονος καὶ καλῶν ἀφθονίαν, ἰσχὺν κατ' ἐχθρῶν καὶ τρόπαια καὶ νίκας, ἡλίου θείου τὴν φωταύγειαν πᾶσαν, πάσης τέρψεως τὴν χάριν καὶ τὴν δόσιν καὶ βασιλείας οὐρανῶν κληρουχίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει πᾶσα δόξα [καὶ] τιμὴ νῦν τε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ι'. *col. 2*

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΛΑΥΡΕΝΤΙΟΥ, ΞΥΣΤΟΥ ΚΑΙ ΙΠΠΟΛΥΤΟΥ.

1. Δεκίου τοῦ δυσσεβοῦς τὰ Ῥωμαίων σκῆπτρα διέποντος, ὡς μὴ ὤφελε, δεινόν τε κατὰ χριστιανῶν καὶ ἔκθεσμον πνέοντος καὶ πάντας ἐκθαμβοῦντος τῷ φόβῳ καὶ πολλοὺς ἐκ τῆς εὐθείας ἐκτρέποντος τοῦτο μὲν ἀπειλαῖς, τοῦτο δὲ καὶ δώροις αὐτοῖς, ὁ λόγῳ διαπρεπὴς καὶ βίῳ θεοτερπὴς Ξύστος ὁ κλεινός, ταύτης ἐπίσκοπος χρηματίζων, οἷα ποιμὴν καλὸς καὶ οὐ μισθωτὸς ἔσπευδε παντὶ σθένει καὶ προθέσει ψυχῆς συντηρεῖν τὸ ποίμνιον τῆς τῶν λύκων λύμης ἀνώτερον. ἔνθεν τοι καὶ πάντας ἐδίδασκε καὶ πάντας ἐστήριζε καὶ πᾶσιν ὑπετίθει τὸν λόγον καὶ πάντων ὡς γνησίων παίδων ἀντε-

18 *καὶ* **inserui** || 24 δεινὸν τὲ || 25 ἐκθαμβοῦντ || 27 ταύτης **scil.** Ῥώμης, **quod subauditur e** Ῥωμαίων v. 23 || 29 συντηρεῖ || 30 ἔνθέν τοι — ἐδίδασκεν

λαμβάνετο καὶ οὐκ ἐδίδου χώραν ποσῶς τῷ τολμητῇ τῆς κακίας εἰς f. 176v τὸ διασπά||σαι τὴν Χριστοῦ ποίμνην καὶ διαφθεῖραι.

2. Μιᾷ γοῦν τῶν ἡμερῶν Λαυρέντιον μεταπεμψάμενος τὸν καλόν, ἀρχιδιάκονον τηνικαῦτα τυγχάνοντα, ἄνδρα θεῖον καὶ τὰ πάντα σοφόν, «Οἶδα, τέκνον», ἔφη, «τὸ τοῦ βασιλέως φιλάργυρον καὶ ὡς πρόφασιν τὴν ἡμετέραν εὑρίσκων εὐσέβειαν ἀφέληται πάντα τὰ τῆς ἐκκλησίας κειμήλια. ἀλλὰ σύ γε ταῦτα λαβὼν τήρησον παρὰ σαυτῷ ἀκριβέστατα». γίνεται τοῦτο· λαμβάνει ταῦτα Λαυρέντιος καὶ φυλακῇ δίδωσιν, οὐχ ἣν διορύσσουσι κλέπται καὶ ἑξῆς κλέπτουσιν, ἀλλ' ἥτις συντηρεῖν οἶδε τὰ παρατιθέμενα οὐκ ἀνεκποίητα μόνον, ἀλλὰ καὶ ἔμμισθα· γαστέρες δηλονότι πενήτων.

3. Ἄρτι δὲ τῷ Δεκίῳ τὴν μεγαλόπολιν εἰσελαύνοντι Ῥώμην Ἀβδιὸς καὶ Σέρουιος Πέρσαι, τῆς ἀνατολῆς ἐξορμώμενοι καὶ πολ- col. 2 λὰς διὰ Χριστὸν | βασάνους ὑπομεμενηκότες, δέσμιοι τούτῳ παρείποντο· οὓς δὴ τοὺς πολίτας ὥσπερ φοβῶν ὁ ἀνόσιος ἅμα τῷ εἰσελθεῖν θηρίοις ἐκδοθῆναι κελεύει. δεσμοῦνται τοίνυν, καὶ κατ' αὐτῶν ἀφίενται τὰ θηρία, καὶ νικῶσι τοὺς λογικοὺς τὰ ἄλογα καὶ τὰ ἄγρια τοὺς ἡμέρους πλασθέντας· προσιόντα γὰρ προκυλινδοῦνται ποδῶν τῶν μαρτυρικῶν καὶ περιλείχουσι τούτους καὶ ὡσανεὶ τὰς κεφαλὰς ἐπικλίναντα τιμῶσι τοὺς μάρτυρας. ἐφ' οἷς θυμωθέντα τὸν τύραννον ξίφει κελεῦσαι τούτους ἀναιρεθῆναι. γέγονε τοῦτο, καὶ Ξύστος ὁ καλὸς τιμᾷ τούτους ταφῇ διά τινων τῶν πιστῶν.

4. Ἔνθεν τοι καὶ συλλαμβάνεται καὶ τῷ βήματι τοῦ Δεκίου προσάγεται· καὶ ὅς φησι πρὸς αὐτόν· «Τὸ συμφέρον, Ξύστε, προτιμήσας καλῶς, ἅτε καὶ γήρᾳ καὶ συνέσει κοσμούμενος, ἱεράτευσον || f. 177 τοῖς θεοῖς καὶ ἔσῃ τὰ μέγιστα τιμώμενος παρ' ἐμοί». — «Θεούς, βασιλεῦ», εἶπεν ἐκεῖνος, «μὴ λέγε τοὺς δαίμονας, μήτε δὲ τὰ τούτων εἴδωλα τίμα· λίθοι γάρ εἰσι καὶ ξύλα καὶ ἔργα χειρὸς ἀνθρωπίνης». μαίνεται τούτων ἀκούσας ὁ δυσσεβὴς καὶ τῆς πόλεως ἔξω κατά τινα τόπον, ὃν καλοῦσιν Ἄρεος φόρον, ἀποτμηθῆναι τούτου κελεύει τὴν κεφαλήν.

5. Τούτου δὲ γεγονότος ἐπιζητεῖται Λαυρέντιος· εὑρίσκεται καὶ τῷ βήματι τοῦ τυράννου προσάγεται· τὰ τῆς ἐκκλησίας ἀπαιτεῖται χρήματα. μεμάθηκε γὰρ ὁ τύραννος, ὅτιπερ οὗτος ἦν ἐκείνων φύλαξ. καὶ ὁ Λαυρέντιος οὐκ ἠρνήσατο· εἶναι γὰρ ἔφη παρ' αὐτῷ πολλοὺς θησαυροὺς καὶ τοὺς κομίσοντας ἐξῃτήσατο. χαίρει τούτοις ὁ βασιλεὺς καὶ ὑποζύγια νωτοφόρα δοθῆναι κελεύει, ναὶ δὴ καὶ col. 2 ἁμάξας καὶ [τὰ] τοιαῦτα. | τοίνυν ὁ Λαυρέντιος τὸ πτωχικὸν ἅπαν

2 διάσπᾶ|σαι || 7 παρασαυτῷ || 10 οὐκανεκποί|ητα || 13 σέρννιοσ || 20 τύρανον || 23 ἔνθέν τοι || 25 γῆρᾳ || 29 Τούτων || 30 τοῦτου || 38 τὰ *inserui* || ib. τοιαύτα

συλλεξάμενος πλῆθος καὶ τούτοις ἐπιφορτίσας τῷ βασιλεῖ διεκόμισεν, «Ἴδε» λέγων, «οἱ θησαυροί, βασιλεῦ». ὀργῆς ὁ κακοῦργος πληροῦται, καὶ εὐθὺς ὁ μάρτυς γυμνοῦται καὶ ῥάβδοις αἰκίζεται χαλεπῶς, εἶτα τῇ φυλακῇ παραπέμπεται καὶ Ἱππολύτῳ παραδίδοται τῷ τριβούνῳ πρὸς τὴν ἐξέτασιν τῶν χρημάτων. πολλοὶ οὖν τῇ φρουρᾷ προσιόντες τὰς ἐκπιεζούσας αὐτοὺς ἀπετίθεντο νόσους εὐχῇ μόνῃ τοῦ μάρτυρος καὶ χειρὸς ἐπαφῇ· οἷς ὁ Ἱππόλυτος ἐκπληττόμενος πρόσεισι τούτῳ καὶ αὐτὸς καὶ συγγνώμην αἰτεῖ τῆς ἀγνοίας καὶ χριστιανὸς γενέσθαι παρακαλεῖ καὶ τοῦ ἁγίου καταξιωθῆναι βαπτίσματος, καὶ μέντοι δὴ καὶ τυγχάνει τοῦ τοσούτου καλοῦ.

6. Μανθάνει τοῦτο Δέκιος καὶ παρίστησι τῷ βήματι || τὸν Λαυρέντιον καὶ «Τίσι πεποιθώς, Λαυρέντιε», λέγει «καὶ τίσιν ἐπερειδόμενος καταφρονεῖς μὲν θεῶν, ἀθετεῖς δὲ προστάξεις βασιλικάς;»— «Θεῷ» εἶπεν ὁ μάρτυς «πέποιθα τῷ πάντα δυναμένῳ καὶ πάντα παραγαγόντι. ἀλλὰ καὶ τοῦτο σαφῶς ἐπίσταμαι, ὡς οἱ τοῖς λεγομένοις ὑπὸ σοῦ θεοῖς πεποιθότες σὺν αὐτοῖς ἔσονται πυρὶ αἰωνίῳ βασανιζόμενοι». εἶπεν ὁ μάρτυς οὕτω, καὶ δέχεται τοῦτον ἐσχάρα πεπυρακτωμένη δεινῶς καὶ φλέγει πικρῶς· ἀλλὰ παρεθάρρυνεν αὐτὸν ἡ τεκοῦσα πρὸς τοὺς ἀγῶνας· διὸ καὶ πρὸς τοὺς κολαστὰς ἐκεῖνος «Ἀπογεύσασθε» λέγει «τῶν ὠπτημένων τέως σαρκῶν, ἐμφορηθήσεσθε δὲ μετὰ ταῦτα καὶ τῶν λοιπῶν». πληροῦνται θυμοῦ καὶ τὸ πῦρ ὕλῃ σφοδρότερον ἀνάπτουσι τῷ δικαίῳ, ἐφ' ᾧ καὶ τὸ | πνεῦμα χερσὶν ἀγγέλων παρέθετο. col. 2

f. 177v

7. Τὴν φυλακὴν οὖν ἐξιὼν ὁ Ἱππόλυτος λάθρα θάπτει τοῦτον ἐντίμως καὶ παρά τινι γίνεται γυναικὶ καὶ παρ' αὐτῇ μεῖναι παρακαλεῖ μηδενὸς εἰδότος. ἡ δὲ συνθεμένη τοῦτον κρύψαι καὶ ὅρκοις τοὺς λόγους πιστωσαμένη, ἐπειδήπερ τοὺς εἰς ἀναζήτησιν αὐτοῦ πεμφθέντας εἶδεν, ἀπαγγέλλει τὸ δρᾶμα καὶ προδίδωσι τούτοις τὸν δίκαιον, μὴ μόνον τὸν Ἰούδαν ἐθέλουσα προδότην γνωρίζεσθαι, ὡς οὐδὲν γυναικὸς ἀπιστότερον. ἄγεται τοίνυν ὁ καλὸς Ἱππόλυτος πρὸς τὸν τύραννον, ἐγκαλεῖται τὴν ταφὴν Λαυρεντίου, ἀπαιτεῖται πρὸς τὴν ἄφεσιν τοῦ δῆθεν ἐγκλήματος τὴν τῆς θρησκείας μετάθεσιν· οὐ πείθεται καὶ σιδηραῖς σφαίραις τὰς σιαγόνας συντρίβεται, ἀλλὰ μὴν καὶ ὅλον διασπᾶται τὸ σῶμα. || κόρον οὐκ ἔσχε τῶν βασάνων ὁ κακομήχανος καὶ ἵπποις ἀγρίοις αὐτὸν προσδεθῆναι κελεύει καὶ τόποις αὐτοὺς ἐν τραχέσιν ἀπολυθῆναι. σὺν πολλῇ τοίνυν αὐτῶν

f. 178

7 εὐχὴ μόνη || 13 ἐπερρειδόμενοσ || 19 παρεθάρυνεν || 29 δράμα || 31 *videntur post* γνωρίζεσθαι *omissa esse* ἀλλὰ καὶ πάντας εἰδέναι *vel* ἀλλὰ καὶ πᾶσι δεῖξαι *vel sim.*

τῇ ὁρμῇ φερομένων καὶ ἄτακτα τρεχόντων κατὰ τοὺς τραχεῖς ἐκείνους καὶ ἀνάντεις τόπους, σάρκες μὲν ἀπεσπῶντο τῷ μάρτυρι, ὀστᾶ συνεθλᾶτο, ἁρμονίαι πᾶσαι διίσταντο καὶ οὐδὲν ἄτρωτον ὑπολέλειπτο τῶν μελῶν, οὔτε μὴν ἀστεφάνωτον. ἐν οἷς δὴ καὶ τὸ πνεῦμα χερσὶ παρέθετο τοῦ Θεοῦ καὶ τοῖς ἄλλοις συνηρίθμηται μάρτυσι καὶ τῆς αὐτῆς ἐκείνοις τὰ συναχθέντα λείψανα ταφῆς κεκοινώνηκε καὶ τῶν αὐτῶν ἐκείνοις βραβείων ἠξίωται.

8. Καὶ ταῦτα μὲν ὑμῶν, παναοίδιμοι, τὰ διὰ Χριστὸν ἆθλα καὶ τὰ παλαίσματα. ὑμεῖς δὲ τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ νέμοιτε col. 2 ταῖς πρὸς Χριστὸν ὑμῶν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ φιλο|θέῳ καὶ φιλομάρτυρι μακρὰν καὶ διαρκῆ τὴν ζωήν, ἰλύος παθῶν ἀπηλλαγμένην, ἀγαθῶν πάντων συμπεπλησμένην, ἡλίου φαῦσιν τοῦ νοητοῦ καὶ θείου λαμπρὸν προσηνὲς ἐπιφαίνουσαν τούτῳ, πάντων τῶν καλῶν τὴν ἀνέκφραστον χάριν καὶ βασιλείας Θεοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ια΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΕΥΠΛΟΥ.

1. Διοκλητιανὸς ἡνίκα καὶ Μαξιμιανὸς τῆς Ῥωμαϊκῆς εἶχον τὰ σκῆπτρα ἀρχῆς, τῶν ἄλλων βασιλέων οἱ ἀσεβέστεροι, πολλὴ τοῖς ἁπανταχοῦ ἄρχουσιν ἦν ἡ σπουδὴ τὰ μὲν τῶν χριστιανῶν κακοῦν τε καὶ διαφθείρειν, τὰ δὲ τῶν εἰδώλων αὔξειν τε καὶ ἐπαίρειν, τοῦτο τῶν τυράννων παρακελευσαμένων. ὅθεν καὶ διωγμὸς μέγας f. 178v κατὰ τῶν πιστῶν ἠγείρετο καὶ θλίψις || αὐτοῖς καὶ στένωσις ἐπετείνετο καὶ παντοίων κολάσεων εἴδη προσήγετο· καὶ ἦν ἰδεῖν τὴν ἐκκλησίαν Χριστοῦ ὡς ἱστὸν ἐπ' ὄρους, τὸ τοῦ προφήτου, καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ, καὶ τοὺς ὁμολογητὰς καὶ μάρτυρας ἀγωνιζομένους μέχρι καὶ αὐτῆς τελευτῆς καὶ τὰς ψυχὰς αὐτὰς προεμένους ὑπὲρ Χριστοῦ.

2. Ὧν εἷς ἐστι καὶ ὁ θαυμάσιος Εὔπλος, ὁ νῦν εἰς διήγησιν ἡμῖν προτεθείς. ὃς πατρίδα μὲν ἔσχε τὴν Κατάνην (πόλις δὲ αὕτη μία

3 οὐδὲ || 7 ἄθλα || 12 προσινὲσ || 21 τὲ bis
25 τὸ τοῦ προφήτου: Es. 30, 17.

τῆς Σικελίας), γεννήτορας δὲ τὸν τρόπον σεμνοὺς καὶ τὴν εἰς Χριστὸν πίστιν θερμούς. ὑπὸ τούτων οὖν καλῶς παιδευθεὶς ἅμα καὶ ἀναχθεὶς τῇ ἐκκλησίᾳ δίδοται καὶ τοὺς ἄλλους βαθμοὺς διελθὼν κατὰ τάξιν καὶ διάκονος αὐτῆς χειροτονεῖται καὶ κῆρυξ τοῦ εὐαγγελίου γνωρίζεται, ναὶ δὴ καὶ τὴν ἀρετὴν ὑψηλότατος δείκνυται καὶ ὅλως, ὡς εἰπεῖν, | ἄνθρωπος τοῦ Θεοῦ γίνεται. col. 2

3. Ἀλλ' οὕτως ἔχοντα καὶ οὕτω καλῶς διαπρέποντα τῷ τῆς πόλεως ἄρχοντι διαβάλλουσιν οἱ δυσσεβεῖς (Καλαισιανὸς ἡ κλῆσις αὐτῷ), σκαιῷ καὶ δεισιδαίμονι τυγχάνοντι καὶ κατὰ πολὺ τῆς εἰδωλικῆς πλάνης ἀντεχομένῳ. ὃς αὐτίκα τοῦτον παραστησάμενος, «Λέγε μοι σύ» ἔφη, «τίς ἡ κατασχοῦσά σε τοσαύτη πλάνη, ὅτι καὶ θεῶν ἀλογεῖς καὶ βασιλέων καταφρονεῖς καὶ τὰς ἐπηρτημένας τοῖς οὕτως ἔχουσι κολάσεις ἐν οὐδενὶ λόγῳ τιθεῖς; μή τις ἄρα σοι λογισμὸς ἔκφρων ἐνοχλεῖ καὶ διὰ ταῦτα βούλει κακῷ μόρῳ τὸ ζῆν ἀπολέσαι»; καὶ ὁ ἅγιος· «Οὐχί, δικαστά, οὐκ ἔκφρων ἐμοὶ λογισμὸς ἐνοχλεῖ, συνετὸς δὲ μᾶλλον πρόσεστι καὶ καλῶς εἰδὼς διακρίνειν τὰ πράγματα. συνετοῦ γάρ, οὐκ ἔκφρονος τὸ τοῦ ψεύδους προτι||μᾶν τὴν f. 179 ἀλήθειαν καὶ τοῦ σκότους τὸ φῶς. ὅθεν κἀγὼ τὴν πλάνην τῶν δαιμόνων τῶν παρ' ὑμῶν σεβομένων σκότος εἶναι καὶ ψεῦδος σαφῶς ἐπιστάμενος καὶ πρὸς ἀπωλείας βάραθρον συνωθοῦσαν τοὺς ταύτῃ κεκρατημένους, τὴν ἀλήθειαν ἠγάπησα καὶ τὸ φῶς τὸν Χριστόν, ὁδηγοῦντα πρὸς ζωὴν αἰώνιον καὶ ἀνώλεθρον τοὺς εἰς αὐτὸν πεποιθότας. δι' ἃ δὴ καὶ τῶν βασιλέων κατολιγωρῶ, μηδὲν ὑγιὲς κελευόντων, καὶ τῶν βασάνων ὑμῶν ἀλογῶ, προξένων μοι τιμῶν γεγενημένων μεγάλων, καὶ αὐτοῦ δὲ τοῦ θανάτου καταφρονῶ, ἀθανασίας αἰτίου μοι γινομένου».

4. Καὶ ὁ ἄρχων «Τούτων ἀφέμενος» ἔφη «τῶν ἀνοήτων λόγων, δίδαξον, ὅθεν ἄρα καὶ εἴης καὶ τί σου τὸ ὄνομα καὶ τί σου τὸ ἐπιτήδευμα, καὶ οὕτω προσιὼν τοῖς ἀνικήτοις θεοῖς, εἰ βούλει | πάντως col. 2 τὰ τοῦ ἐγκλήματος ἐκφυγεῖν, θυσίας προσένεγκε· καὶ γὰρ μὴ ποιοῦντά σε τοῦτο πικραὶ κολάσεις ἐκδέξονται καὶ κακῶς τὴν ζωὴν καταλύσεις». — «Οὐδ' ἂν εἴ τι καὶ ποιήσεις, ὦ ἄρχων», εἶπεν ὁ δίκαιος, «πεῖσαί με δυνήσῃ τῆς ἀληθοῦς ἀποστῆναι λατρείας καὶ δαίμοσι θυσίαν προσαγαγεῖν. λοιπὸν μὴ τρῖβε τὸν καιρόν. ὅμως ἐπεὶ καὶ περὶ τῶν ἄλλων, ὧν εἴρηκας, ἀπολογήσασθαι χρή, τῆσδε τῆς πόλεως ἐγὼ γέννημα, θρέμμα καὶ παίδευμα, Εὔπλος ὀνομαζόμενος καὶ διάκονος τυγχάνων τῆς ἐκκλησίας Χριστοῦ».

1 σικελλίασ || 4 κατατάξιν — κήρυξ || 8 *an* Καλβισιανός? || 11 κατασχοῦσαδ̂ || 12 οὕτ(ως) || 13 ἆρα || 14 διαταῦτα || 17 προτι|μὰν || 23 μὴ δὲν || 33 πεῖσαιμ̂

5. Οὕτως εἰπὼν δεσμεῖται χεῖρας καὶ πόδας τοῖς γόνασι καὶ ῥάβδοις ἀπηνῶς καταικίζεται καὶ πρὸς ἄρνησιν Χριστοῦ παρὰ τοῦ κακόφρονος ἐκκαλεῖται. μὴ πειθόμενος ἀναρτᾶται τῷ ξύλῳ καὶ *f. 179ᵛ* σιδηροῖς ὄνυξι ξέεται καὶ τοσοῦτον, ὡς ‖ [αἵματος] πεπληρῶσθαι τὸ ὑποκείμενον ἔδαφος καὶ ἰλίγγοῦ τοὺς παρεστῶτας. κατενεχθεὶς οὖν ἐκεῖθεν τῇ φυλακῇ δίδοται ἡμιθνὴς ὁ δίκαιος καὶ σχεδὸν ἄπνους. ἀλλ' ὁ Χριστός, ὑπὲρ οὗ ταῦτα ἔπασχε, φωνὴν οὐρανόθεν ἀφῆκε, «Θάρσει» λέγουσαν, «Εὔπλε, μετὰ σοῦ γάρ εἰμι». καὶ ἅμα φῶς ἐπέλαμψε τούτῳ, καὶ πᾶσα πληγὴ καὶ πᾶς μώλωψ καὶ πᾶν τραῦμα τοῦ μαρτυρικοῦ σώματος ἀπελήλατο, καὶ ἦν ὁ ἅγιος ὅλος ὑγιὴς ὡς τὸ πρότερον, δοξάζων ἐπὶ πᾶσι τὸν Θεὸν καὶ αἰνῶν.

6. Ἄγεται τοίνυν ὁ μάρτυς εἰς δευτέραν ἐξέτασιν· θυμοῦ προκάθηται γέμων ὁ ἄρχων· ἐκπλήττεται τῷ παραδόξῳ τῆς θέας καὶ «Ἵνα τί» φησίν, «Εὔπλε, μὴ θυσίαν προσάγεις θεοῖς; ὁρᾷς, ὅσα σου κήδονται καὶ ὡς νεκρὸν ὄντα σχεδὸν ἀνεζώωσαν».—«Οὐχ οὗτοι, παράνομε», ὁ μάρτυς ἔφη, «οἳ μηδὲ ἑαυτοῖς βοηθῆσαι δύνανται, | *col. 2* δαίμονες ὄντες κακοῦργοι, Χριστὸς δὲ ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὃς οὐρανὸν καὶ γῆν ἐποίησε καὶ πάντα τὰ ἐν αὐτοῖς». οὐκ ἦν καθεκτὸς ὁ παράνομος τούτων ἀκούσας· ἔνθεν τοι καὶ κελεύει, καὶ σφύραις σιδηραῖς ὁ μάρτυς τὰς κνήμας συντρίβεται καὶ τῇ εἱρκτῇ πάλιν ἐναπορρίπτεται φόρτος καθάπερ ἄψυχος καὶ στερεῖται τῶν ὅσα συνέχειν οἶδε τὸ σῶμα, ναὶ δὴ καὶ ὕδατος αὐτοῦ. ἀλλ' ὁ τῶν θαυμασίων Θεὸς πηγὴν ὕδατος εὐχῇ τοῦ δικαίου κατὰ τὸ μέσον ἀναδοθῆναι τῆς φυλακῆς εὐδοκεῖ, ἐξ ἧς μετασχόντες οἱ ἐν αὐτῇ δόξαν ἀπεδίδουν Θεῷ. ταύτην οὖν φασι καὶ πηγὴν ἰαμάτων ἐν ὑστέρῳ γενέσθαι καὶ νοσημάτων παντοίων ἀπαλλαγήν.

7. Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ πάλιν ὁ καλλίνικος τῷ βήματι τοῦ τυράννου προσάγεται, πάλιν εἰς θυσίαν τῶν βδελυ‖- *f. 180* κτῶν καλεῖται· οὐ πείθεται καὶ ὀβελίσκους ὀξεῖς πεπυρακτωμένους, φεῦ, ἐν ταῖς ἀκοαῖς ὑποδέχεται. σώζεται καὶ ἐκ τούτων τῇ δυνάμει Χριστοῦ καὶ τῇ διὰ τοῦ ξίφους τιμωρίᾳ καταδικάζεται. ἤχθης τοιγαροῦν, ὦ καλλίνικε μάρτυς, εἰς τὸν τῆς τελειώσεως τόπον, ἐτμήθης τὴν κεφαλὴν καὶ χερσὶν ἀγγέλου ἐναπέθου τὸ πνεῦμα. καὶ νῦν ταῖς οὐρανίαις συναγαλλόμενος πανηγύρεσι καὶ περὶ τὸν θρόνον στρεφόμενος τὸν δεσποτικὸν αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ φιλοχρίστῳ καὶ φιλομάρτυρι μήκιστον τὴν ζωὴν καὶ ἀπήμονα, ἡμέρας μακρᾶς τὴν ἀνέσπερον φαῦσιν, λαμπρὰν παμφαῆ τὴν ὄντως

4 αἵματος **inserui** ‖ 8 λέγουσα ‖ 12 Τοίνυν ‖ 16 μηδὲ ‖ 19 ἐνθέντοι ‖ 21 ἐναπορίπτετ(αι) ‖ 25 φασὶ ‖ 27 Ἡμέραι ‖ 31 δια(του)ξίφουσ.—Ἤχθηστοιγαροῦν

κατοικίαν, πάντων ἀγαθῶν ὅλως πεπληρωμένην καὶ βασιλείας ἀθανάτου τὸν κλῆρον· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει πᾶσα δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. |

Μηνὶ τῷ αὐτῷ ιβ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΦΩΤΙΟΥ ΚΑΙ ΑΝΙΚΗΤΟΥ. col. 2

1. Διοκλητιανοῦ τοῦ δυσσεβοῦς βασιλεύοντος αἱ μυσαραὶ τοῖς εἰδώλοις ἀνὰ τόπον πάντα ἐτελοῦντο λατρεῖαι καὶ πολλοὶ τῶν ἀνθρώπων οἱ μὲν δέει τῶν ἠπειλημένων βασάνων, οἱ δὲ δόξης καὶ δώρων ἐπιθυμίᾳ τὰ χείρονα ἠσπάζοντο τῶν κρειττόνων καὶ πάντες ἐχειροῦντο σχεδὸν τοῖς δαίμοσι καὶ πάντες ὑπήγοντο τῇ λοιμώδει τῶν εἰδώλων ἀπάτῃ. καὶ γὰρ οὗτος αὐτὸς ὁ παμβέβηλος τύραννος προκαθίσας εἰς μέσον, τῶν στρατευμάτων αὐτοῦ κυκλόθεν παρεστηκότων, καταπέλτας ἐκέλευσε προτεθῆναι, τήγανα καὶ σούβλας καὶ λέβητας, τροχοὺς καὶ τροχαντῆρας καὶ λοιπὰ ἄλλα κολαστήρια εἴδη, εἶτα καὶ λόγοις ἐχρήσατο πρὸς τὸ πλῆθος τούτοις, ὡς «Ἐγὼ μὲν οἶμαι πολλοὺς || ἐξ ὑμῶν εἶναι τοὺς εἰς τοὺς θεοὺς ἐξυβρίζοντας· f. 180v *ἀλλ' εἴ μου πείθοιντο τῇ εὐμενείᾳ, μεταβαλόντες τῆς γνώμης προσελεύσονται καὶ θυσίας αὐτοῖς προσκομίσουσιν· εἰ δ' οὖν, ἀλλὰ μετατρέψω τὴν πατρικὴν ταύτην παραίνεσιν καὶ βάψω ῥομφαίαν ἐμὴν ἐν αἵματι τούτων καὶ σπλάγχνα σπαράξω καὶ πᾶν μέλος αὐτῶν ἐκκόψω καὶ κεφαλὰς ἐκτεμῶ καὶ τὰ τῶν σαρκῶν ὑπολελειμμένα πυρὶ κατακαύσω».*

2. Πάσης οὖν τῆς συγκλήτου βουλῆς τὸν λόγον τοῦτον ἐνηχηθείσης καὶ ἄλλων ἄλλα διαψιθυριζόντων, μηδενὸς τολμῶντος παρρησιάσασθαι, μόνος Ἀνίκητος ὁ καλός, εἷς ἐκείνων τυγχάνων, λόγῳ σοφὸς καὶ βίῳ σεμνός, τὸν σεμνότατον ἔχων Φώτιον ἀδελφιδοῦν, ψυχῆς ἀναστήματι φησὶ πρὸς τὸν τύραννον· «Τὰς ἀπειλὰς ταύτας, ὦ βασιλεῦ, κατὰ τῶν σοὶ ποίει | κεχαρισμένων καὶ τὰ σιδηρᾶ ταῦτα col. 2 *βασανιστήρια εἰς καταστροφὴν τῶν εἰδώλων, ἐπεὶ τοὺς εἰς Χριστὸν πεποιθότας καὶ Θεὸν ὁμολογοῦντας αὐτὸν οὐδὲν τῶν τοιούτων*

8 ἀνατόπο̄| — λατρέιαι || 9 ἠπειλη|μμένων || 18 εὐμενί[α'] || 29 δοῦν || 21 ἐναίματι || 22 ἐκτέμω || 25 μήδεν[ὁ] || 27 ἀδελφι|δοῦν || 28 τύρα[ν]νον || 29 σιδηρ[ᾶ]

πτοῆσαι δυνήσεται». καὶ ὁ βασιλεὺς «Ἐλάνθανες, νὴ τοὺς θεούς, Ἀνίκητε», εἶπεν· «ὅμως εὐμενεῖς ὄντες συγγνωμονήσουσιν ἐφ' οἷς εἴρηκας, θυσίαν εἴ γε τούτοις προσενέγκαι σπουδάσεις». καὶ ὁ Ἀνίκητος «Εἴδωλα τούτους εἶπον, βασιλεῦ», ἔφη, «καὶ καλῶς· εἰσὶ γὰρ καὶ τὸ ὅλον ἄψυχα καὶ μηδὲν ἀγαθὸν συνεισενεγκόντα τῷ βίῳ. ὅμως εἰπέ, τί τῶν δρωμένων παρήγαγον; εἰ κινοῦνται, εἰ δρῶσιν, εἰ ἀκούουσιν, εἰπέ· οὐ νεκρὰ τῷ παντὶ καὶ ἀκίνητα; πῶς οὖν ἄνθρωπος νοῦν ἔχων θυσίαν ἐθελήσει τούτοις προσενεγκεῖν;» — «Τί οὖν, Ἀνίκητε; οὐ δοκεῖ σοι θεὸς ὁ Ζεὺς καὶ ὁ λαμπρότατος Ἀπόλλων, f. 181 ἵνα μὴ λέγω τοὺς ἄλλους;»—«Καὶ || πῶς θεός, ὦ βασιλεῦ, νομισθήσεται Ζεύς, ὃς Κρητῶν ἐγένετο τύραννος», ὁ μάρτυς ἔφη, «παρ' οἷς ἔστιν ἰδεῖν τάφον τὸν αὐτοῦ καὶ μέχρι τοῦ νῦν, ἵνα τἆλλα τούτου παρῶ τὰ παράνομα; ἢ πῶς Ἀπόλλων ὁ μαντικός, ὁ πολλοῖς ἀπωλείας αἴτιος τῷ λοξῷ τῶν χρησμῶν γινόμενος; ὃν καὶ λοξίαν Ἑλλήνων παῖδες κατονομάζουσι, μηδὲν ὀρθὸν μαντευόμενον. πῶς γὰρ ὁ δαίμων ὀρθόν τι λαλήσει καὶ πράξει»;

3. Καὶ ὁ τύραννος «Ἐπεὶ τοσοῦτον» ἔφη «κατεθρασύνθης τῶν θεῶν, παράνομε, καὶ ἡμῶν τοσοῦτον κατεφρυάξω πολλῆς ἐξ ἀνοίας, ἐγώ σε πείσω μὴ τοιαῦτα λέγειν τολμᾶν μηδὲ τοσοῦτον παρρησιάζεσθαι». καὶ ἅμα κελεύει, καὶ γυμνοῦται τὸ μαρτυρικὸν ἐκεῖνο σῶμα καὶ νεύροις ὠμοῖς καταξαίνεται καὶ τοσοῦτον, ὡς αὐτὴν τῶν σπλάγcol. 2 χνων τὴν οἰκονομίαν φανῆναι | καὶ τὴν γῆν ἐκείνην καταβαφῆναι τοῖς αἵμασιν. ὁ μέγας οὖν ἀθλητὴς Ἀνίκητος, οὕτω πάσχων δεινῶς καὶ οὕτω κατακρεουργούμενος ἀπηνῶς, ὡς ἄλλου πάσχοντος ἐγνωρίζετο καὶ σκότους υἱὸν ἀπεκάλει τὸν τύραννον καὶ τὴν γέενναν ἠπείλει τούτῳ καὶ τῆς φοβερᾶς ἡμέρας ἐκείνης τὰ δικαιωτήρια.

4. Ὁ τοίνυν παράνομος θυμοῦ πληρωθεὶς λέοντα παμμεγέθη θῆρα κατὰ τοῦ μάρτυρος ἐπαφίησιν· ἐκεῖνος δὲ προσιὼν τοῦ δικαίου τῇ γλώττῃ τοὺς πόδας ἀπέματτε. καὶ ἄφνω σεισμὸς γίνεται μέγας καὶ τὸ τοῦ Ἡρακλέος εἴδωλον πεσὸν εἰς γῆν διερράγη, τό τε βόρειον μέρος τῆς πόλεως ἅπαν συνέπεσε, καὶ πολὺ πλῆθος τῶν Ἑλλήνων ἀπώλετο. θεῶν οὖν ἀγανάκτησιν ὁ παμβέβηλος τὸ f. 181v πρᾶγμα νομίσας καὶ «Ὅτι μὴ τὸν εἰς αὐτοὺς» || εἰπὼν «ἐξυβρίσαντα μετήλθομεν τάχιον, τοῦτο πάντως συνέβη», ξίφει τούτου τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύει. ὡς οὖν ὁ σπεκουλάτωρ Βιβῖνος τὸ ξίφος κατὰ τοῦ μάρτυρος ἐπανέτεινε, ξηρὰν εὐθὺς εἶχε τὴν χεῖρα. μαίνεται τοῦτο κατιδὼν ὁ παράνομος καὶ τροχῷ τὸν μάρτυρα προσδε-

1 Καὶ — νητοὺσ || ibid. Ἐλάνθανες [ἀσεβῶν]? || 4 εἴδωλα || 5 et 15 μὴδὲν || 6 δρῶσι || 8 Τί || 10 νομησθήσεται || 12 τἀλλα τοῦτον || 17 Τύραννοσ || 18 ἐξανοίασ || 19 μὴδὲ || 27 παν|μεγέθη θῆρα || 30 διέρράγη || 35 βιβῖνοσ

θῆναι κελεύει καὶ πῦρ ὑπὸ τοῦτον στρωθῆναι καὶ στρέφεσθαι τὸν τροχόν. γέγονε τοῦτο, καὶ τῶν σχοίνων καυθέντων καὶ τοῦ πυρὸς διασκορπισθέντος ἀβλαβὴς ὁ δίκαιος διασέσωστο. εἶτα τί; λέβης ἐκδέχεται τοῦτον μολίβδου πλήρης παμφλάζοντος. ψυχρὸς ὁ μόλιβδος δείκνυται, καὶ ὁ μάρτυς ὡς ἐν δροσώδει πόᾳ τῷ λέβητι διῆγε. δυσφημεῖ τοῦτο κατιδὼν ὁ τύραννος καὶ τῶν αὐτοῦ θεῶν ἀσθένειαν καταγινώσκει.

5. Ὁ δέ γε τοῦ μάρτυρος ἀδελφιδοῦς, ὁ κάλλιστος Φώτιος, καταφιλεῖ προσ|δραμὼν αὐτὸν καὶ πρὸς τὸν τύραννον τὸ βλέμμα col. 2 περιαγαγὼν «Ἀναιδέστατε» λέγει «τύραννε, οὐ συνῆκας ἀκμήν, ὅτιπερ οἱ τιμώμενοι δαίμονες παρὰ σοῦ (οὐδὲ γὰρ λέγω θεοί) πίπτουσι καὶ ὄλλυνται τῇ δυνάμει Χριστοῦ καὶ οὐδὲ ἑαυτοῖς βοηθῆσαι δύνανται; πῶς οὖν αὐτὸς οὐ καταγέλαστος εἶ, ἐπὶ τούτοις τὴν πεποίθησιν ἔχων; ἴδε γάρ, κἀγὼ κατ' αὐτῶν ἀποδύομαι τῷ Χριστῷ τεθαρρηκώς, ἐφ' ᾧ καὶ ἀνίκητος ἔσομαι». τότε θυμωθεὶς ὁ κατάρατος ξίφει ἀναιρεθῆναι τοῦτον κελεύει. ὁ τοίνυν ὁρμήσας ἐπενεγκεῖν αὐτῷ τὴν πληγὴν τὸ ξίφος κατὰ τῶν ἰδίων γονάτων κατενεγκὼν τέμνει μὲν αὐτὰ (οἷα τὰ τοῦ Θεοῦ κρίματα) καὶ νεκρὸς αὐτίκα κομίζεται. ἐξαπορηθεὶς οὖν ὁ δύστηνος δεσμοῖς ὑποβάλλει τοὺς μάρτυρας καὶ τῇ φυλακῇ παραπέμπει.

6. Ἀπαγομένοις δὲ τούτοις Λουκιανὸς ὁ μάρτυς ἐξ ἀνατολῆς δέσμιος || πρὸς τὸν τύραννον ἐκπεμφθεὶς μετὰ τῶν ἑπομένων αὐτῷ f. 182 συναντᾷ κατὰ τὴν ὁδόν· οὓς καὶ κατασπασάμενος καὶ τὰς ἐπιφορὰς τῶν δεινῶν γενναίως ὑπομένειν στομώσας εἰσῆλθεν ἅμα τούτοις τὴν φυλακήν, τῶν στρατιωτῶν τοῦτο προστεταχότων, ἕως ἂν ἀνενεχθείη τὰ περὶ τούτου τῷ βασιλεῖ.

7. Τρεῖς ἡμέραι παρῆλθον, καὶ πάλιν ὁ τύραννος τῷ βήματι τούτου τὸν Ἀνίκητον παρεστήσατο καὶ τὸν Φώτιον καὶ πρὸς αὐτοὺς «Ἵνα τί» φησὶ «μὴ βούλεσθε, συνετοὶ ὄντες, τὸ θυμῆρες ἐμοὶ διαπράξασθαι καὶ τιμαῖς ἐντεῦθεν ταῖς μείζοσιν ἐνευδοκιμῆσαι καὶ περίβλεπτοι τοῖς πᾶσι γενέσθαι; πρώτους γὰρ ὑμᾶς, ἴστωσαν οἱ θεοί, θήσω τοῦ παλατίου καὶ τέκνα ἐμὰ καλέσω καὶ κληρονόμους καταλείψω τῆς βασιλείας, εἴ γέ μοι πεισθῆναι θελήσετε καὶ θυσίαν τοῖς θεοῖς προσοῖσαι». καὶ οἱ μάρτυρες «Ἔστωσαν» | εἶπον col. 2 «αἱ τιμαί σου σὺν σοὶ εἰς ἀπώλειαν, ἀναιδέστατε. ἡμᾶς γάρ, ὡς πολλάκις ἤκουσας, οὐκ ἴδοις δαίμοσί ποτε θυσίαν προσαγαγεῖν. λοιπὸν ποίει τὸ σοὶ παριστάμενον».

3 εἶτα || 8 ἀδελφιδοὺσ || 12 ὄλυνται || 23 συναντὰ || 29 τί φησι || 30 ἐνεὐδοκιμῆσαι || 31 τῆσ πᾶσι || 36 δαίμοσι ποτὲ

8. Ἀναρτῶνται ταῦτα εἰπόντες οἱ μάρτυρες θυμῷ τοῦ τυράννου καὶ ξέονται, λαμπάσι τε διακαίονται, εἶτα κατενεχθέντες καὶ λίθοις ὑπὸ τοῦ πλήθους βάλλονται, ἀλλὰ καὶ διασώζονται, πύργου δίκην τῶν λίθων περὶ αὐτοὺς ὑψωθέντων· μαίνεται καὶ πάλιν ταῦτα μαθὼν ὁ τύραννος καὶ πώλοις ἀγρίοις τοὺς αὐτῶν πόδας ἐκδήσας, ἀλλὰ καί τινα ξύλα πρὸς ὀξὺ λήγοντα, δι' ὧν οἱ πῶλοι κεντούμενοι τρέχειν ἔχοιεν ἅμα καὶ λακτίσμασι βάλλειν τοὺς ἀθλητάς, ἀφῆκε τὰ ἄλογα. τῶν δὲ τῇ πληγῇ τῶν ξύλων σφοδροτάτῳ f. 182v *κεχρημένων τῷ δρόμῳ οἱ καλλίνικοι, τῶν δεσμῶν ἀοράτως λυ||θέντων, ἀβλαβεῖς διέμειναν.*

9. Πάλιν οὖν εἰς τοὺς αὐτοῦ θεοὺς δυσφημήσας ὁ τύραννος σπαθίζεσθαι τοὺς ἁγίους εὐτόνως ἐκέλευσεν, ἅλας τε ταῖς πληγαῖς ἐπιπάττεσθαι καὶ πυρὶ πάλιν καίεσθαι. γεγονότων δὲ τούτων καὶ τῶν ἁγίων ὑπὸ τῆς παντοδυνάμου διασωθέντων χειρός, ὁ παράφορος βασιλεὺς φρουρᾷ πάλιν τούτους ἐγκατακλείει.

10. Διετοῦς δὲ χρόνου παρελθόντος καὶ πᾶσαν ἐν αὐτῇ θλίψιν, πᾶσαν κάκωσιν τῶν μαρτύρων ὑπομεινάντων, ἐξαγαγὼν αὐτοὺς ὁ τύραννος μετὰ ταῦτα, ἐπεὶ μὴ πειθομένους εἶχε, τὸ δημόσιον λουτρὸν ὑπεκκαυθῆναι κελεύει τρισὶν ἐν ἡμέραις κἂν τούτῳ τοὺς ἀθλητὰς ἐμβληθῆναι. διετηρήθησαν οὖν ἐμβληθέντες ἄφλεκτοι, τοῦ λουτροῦ διαρραγέντος καὶ ὑδάτων πλημμύρας ἀναδοθείσης. col. 2 *ἀπήγχετο τῷ θυμῷ Διοκλητιανὸς ταῦτα βλέπων | καὶ κάμινον ἀναφθῆναι προστάττει κἂν ταύτῃ ῥιφῆναι τοὺς μάρτυρας. ἀνάπτεται τοίνυν ἐφ' ἡμέραις πολλαῖς. ἄγονται παρὰ ταύτῃ οἱ καλλίνικοι μάρτυρες, εὔχονται τελειωθῆναι καὶ οὕτως εἰς αὐτὴν ἐμβάλλονται καὶ δὴ καὶ τὰ πνεύματα αὐτῶν τῷ κυρίῳ παρέθεντο, τοῦ πυρὸς μηδὲ τρίχα τούτων λυμηναμένου τὸ σύνολον. ταῦτα πέπρακται κατὰ τὴν Νικομήδους, Μαξιμιανοῦ μὲν τοῦ δυσσεβοῦς καὶ Διοκλητιανοῦ τὴν βασιλείαν διεπόντων.*

11. Τὰ τοίνυν λείψανα ὑμῶν, πανσέβαστοι μάρτυρες, χεῖρες εὐσεβῶν ἀνελόμεναι φιλοτίμως ἔν τινι τόπῳ τῆς ἐπαρχίας κατέθεντο. τοῦ διωγμοῦ δὲ παυσαμένου Δοκίτιος ἐπίσκοπος, ἀνὴρ ἀρεταῖς διαπρέπων, μεθ' ὕμνων καὶ φώτων τῷ παρ' αὐτοῦ δομηθέντι ναῷ κατὰ τὸν τόπον Βοάνης οὕτω λεγόμενον ἐγκατέθετο, νοσημά- f. 183 *των παντοίων ἀπαλ||λαγὴν καὶ δαιμόνων ἀποτροπήν. ὡς παριστάμενοι τοίνυν τὰ νῦν τῷ θρόνῳ Χριστοῦ τοῦ παντάνακτος, νέμοιτε*

2 *λαμπᾶσι τὲ* || 4 *ὑψωθεήτων* || 6 *πῶλοι* || 10 *διέμειν(αν)* || 11 *δυσφημίσασ* || 16 *δι|'ἐτούσ* || 18 *τύραν* (sup. ο) | 19 et 23 *κἂν* || 22 *ἀπήνχετο* || 26 *μὴδὲ* || 34 *ἐνκατέθετο* || 35 *παντων* (sup. οί) — *'Ωσ*

ταῖς ὑμῶν εἰς αὐτὸν εὐκτικαῖς ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ φιλομάρτυρι ἵλεω τὸν δικαστὴν ἐν ἡμέρᾳ τῆς δίκης, χώρας πραέων τὸν κλῆρον, ἀλήκτου ζωῆς τὴν χάριν, ἡμέρας ἀνεσπέρου τὴν φαῦσιν καὶ βασιλείας Θεοῦ τὴν ἐπίτευξιν· ὅτι αὐτῷ πρέπει δόξα καὶ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιγ'.

ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ ΜΑΞΙΜΟΥ.

1. Καὶ πῶς ἂν τὴν παρὰ τῶν φιλοκάλων μέμψιν ἐκκλίνοιμεν, μὴ τὸν ὁμολογητὴν καὶ πολὺν ἐν λόγῳ Μάξιμον τὸν κλεινὸν προτιθέντες εἰς μέσον καὶ τὰ μεγάλα τούτου καὶ ὑπερφυῆ κατὰ τῶν αἱρετικῶν ἀνδραγαθήματα, ναὶ δὴ καὶ τὴν ἄθλησιν αὐτὴν διηγού|μενοι; διηγητέον τοίνυν ἐκ πολλῶν ὀλίγα καὶ ὅσα τὴν τοῦ ἀνδρὸς col. 2 *παραστῆσαι δυνατὸν ἀρετὴν [καὶ τὴν] πρὸς τὴν ὀρθόδοξον πίστιν στερρότητα καὶ προθετέον εἰς ὠφέλειαν ταῖς φιλοθέοις ψυχαῖς.*

2. Οὗτος ὁ πολὺς ἐν λόγῳ καὶ τρόπων εὐσταθείᾳ καὶ καθαρότητι βίου περίδοξος (ἵνα τἄλλα παρῶ καὶ ἃ μηδὲν συντελεῖ πρὸς τὴν προκειμένην διήγησιν) κατὰ τοὺς χρόνους τοῦ τῆς Ῥωμαίων βασιλείας κατάρξαντος Κωνσταντίνου, ὃν Πωγωνάτον ἐκάλουν (ἔγγονος δὲ οὗτος τοῦ Ἡρακλείου), πρὸς τὰ τῶν αἱρετικῶν ἀπεδύσατο γενναίως παλαίσματα. ἀλλὰ χρὴ μικρὸν ἄνωθεν τὸν λόγον διαλαβεῖν· οἱ προβεβασιλευκότες τοῦδε τοῦ Κωνσταντίνου τὸ τῆς ἀρετῆς μέγεθος τοῦ ἀνδρὸς τιθέμενοι διὰ θαύματος καὶ τῷ τῆς αὐτοῦ γνώσεως, ὥσπερ εἰκός, μεγέθει καταπληττόμενοι || (καὶ γὰρ ἦν f. 183ᵛ *ἱκανὸς ὁ Μάξιμος ἔν τε ταῖς πολιτικαῖς διοικήσεσι καὶ τοῖς λόγοις, ἀπό τε τρόπων, ἀπό τε λόγων, ναὶ δὴ καὶ ἀπ' αὐτῶν τῶν χρόνων*

Vitas et passiones sanctorum, qui celebrantur m. Augusti diebus 13, 14, 16—24, 26—28 et 30, edidi e codd. *H* et *A* (v. praef.), imaginibus photographicis usus.

7—8 *Βίος καὶ μαρτύρι[ον τοῦ ὁ]|σίου πρ̄σ ἡμῶ[ν μα]ξί|μου τοῦ ὁμολο[γη]τοῦ A (litterae uncis inclusae membrana discissa perierunt).* || 11 *τὰ μεγάλα H, τὰ τοῦ μεγάλου A* || 14 *καὶ τὴν* addidi; *δυνατὸν παραστῆσαι πρὸς τὴν A* || 15 *προσθετέον H* || 17 *τἄλλα A, τᾶλα* (λ supra) *H; μὴ δὲν H* || 18 *Κατὰ H* || 20 *ἔ[γγονοσ] A* || 23 *διαθαύματοσ H*

πάλαι ταῖς τοῦ παλατίου σάκραις ὑπηρετούμενος) εἰς τὸ τοῦ πρωτοασηκρῆτις ὀφφίκιον ἀνεβίβασαν καὶ βουλευμάτων αὐτῶν κοινωνὸν ἐποιοῦντο καὶ λόγων αὐτοῖς ἀπορρήτων εἰδήμονα.

3. Καὶ ἦν οὕτω διαπρέπων ὁ θαυμάσιος ἐν ταῖς βασιλείοις αὐλαῖς καὶ παρὰ πάντων ἀγαπώμενός τε καὶ ἐπαινούμενος οὐ μόνον ἐντεῦθεν, ἀλλὰ δὴ καὶ μᾶλλον ἐκ τοῦ περιόντος τῆς ἀρετῆς. τίς γὰρ οὕτω τὸν ἄκομψον βίον, τίς τὸ ἀφιλότιμον, τίς τὸ ταπεινὸν καὶ λίαν ἐπιεικὲς ὡς οὗτος ἠγάπησε; δικαιοσύνης τε καὶ ἰσότητος τίς ἐραστὴς ὡς οὗτος; συμπαθής, ἀόργητος, τοῖς δεομένοις ἐπαρκῶν ὅση δύναμις ὁ Μάξιμος ἐγνωρίζετο, καὶ ἵνα συνελὼν εἴπω, ἄνθρωπος ἦν κατὰ τὸν | *col. 2* Ἰὼβ ἔργοις αὐτοῖς καὶ λόγοις δεικνύμενος.

4. Ἐπεὶ δὲ ἡ πονηρὰ καὶ ἔκφυλος δόξα τῶν αἱρετικῶν κατὰ τοὺς Κωνσταντίνου χρόνους ἓν θέλημα παρεισῆγε καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ ἐμοῦ Χριστοῦ τοῦ Θεοῦ, κἀντεῦθεν ἐταράττοντο μὲν οἱ ἐν τέλει, ἐκυμαίνετο δὲ ἡ ἐκκλησία καὶ σφοδρὸς ἀνερριπίζετο ταύτῃ πόλεμος, οὐκ ἀνασχόμενος οὗτος τοῖς ἀσεβέσι συνασεβεῖν καὶ κοινωνεῖν αὐτοῖς τῶν ἀπεικότων τούτων καὶ δυσσεβῶν ληρημάτων, τὰς κοσμικὰς ἀφεὶς ἀρχὰς καὶ τιμὰς καὶ πᾶσι χαίρειν εἰπὼν καὶ πάντα δεύτερα θέμενος εἵλετο μᾶλλον ἐν οἴκοις Θεοῦ παραρριπτεῖσθαι, ἢ ἐν τοῖς τῶν ἁμαρτωλῶν σκηνώμασιν ἐγκατοικεῖν. καὶ δὴ καὶ τὸ κατὰ τὴν Χρυσόπολιν καταλαβὼν μοναστήριον, οὗ καὶ καθηγητὴς ὕστερον γέγονεν, ἐν αὐτῷ τὴν κόμην ἀπέθετο καὶ τὸ μοναχικὸν ἠμφιάσατο.

f. 184 5. Ζήλῳ οὖν ὑπὲρ τῆς ὀρθο||δοξίας θείῳ πυρούμενος, πάντας ὁρῶν σχεδὸν ὑποκύπτοντας τῇ πλάνῃ καὶ μηδένα λόγον τινὰ τῆς εὐσεβείας ποιούμενον, καὶ τὴν μονὴν αὐτὴν καταλιπών, τὴν πρεσβυτέραν Ῥώμην κατέλαβε καὶ Μαρτίνῳ τῷ πάπᾳ ταύτης προσιὼν παρασκευάζει λόγοις ὀρθοδόξοις σύνοδον ἀθροίσαντα τοπικὴν τοὺς εἰσηγητὰς καὶ πρεσβευτὰς τοῦ ἀνοήτου τούτου δόγματος ἀναθέματι καθυποβαλεῖν. λόγους δὲ συγγραψάμενος οὗτος καὶ ἐπιστο-

2 ἀνεβήβασᾶ H || 6—8 ἐν|[τεῦθεν, ἀλλὰ δὲ καὶ μᾶλλον ἐκ τοῦ περιό]ντ[ος τῆς ἀρετῆς. τίς γὰ]ρ [οὕτω] τὸ ἄκομψον, τίς [τὸ ἀφ]ιλότιμον, τίς τὸ [ταπειν]ὸν καὶ λίαν ἐπι[εικὲς] ὡς οὗτος ἠγάπησε δικ[αιοσ]ύνης κτλ. A (**litterae uncis inclusae membrana discissa perierunt**). || 8 τε καὶ H, δὲ καὶ A || 11 ἔργοισ τὲ καὶ λόγοισ A || 14 χῦ καὶ θῦ — ἐταράττον μὲν A || 15—16 ἐκ[υμαίνετο δὲ] ἡ ἐκκλησί[α καὶ σφοδρὸς] ἀνερριπίζετο [ταύτῃ] πόλεμος, οὐκ ἀν[α]σχόμενος κτλ. A || 16 συνδάσειβεῖν H, **litteris δ et priore ι erasis** || 19—20 παραρριπτεῖσθαι θῦ ἢ ἐν σκηνωμασιν ἐγκατοικεῖν τῶν ἁμαρτωλῶν A (ἁμαρτολῶν H) || 21 καὶ **post** οὗ **om.** A || 22—23 τὸν μοναχὸν ἠμφιάσατο H || 25 ὑποκύπτοντασ σχεδὸν A || ibid. τινὰ **om.** H || 26 καὶ **om.** A || 28 παρασκεβάζει H || 29—30 καθϋποβαλεῖν ἀναθέματι A

λὰς οὐκ ὀλίγας ἐκθέμενος, γραφικαῖς ἀποδείξεσι τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν βεβαιούσας, πανταχοῦ τῆς οἰκουμένης ἐξέπεμψε, πολλοὺς δι' αὐτῶν κρατύνας καὶ βεβαιώσας καὶ πείσας μὴ συνθέσθαι τῷ παρανόμῳ δόγματι, τῇ τῶν πατέρων δὲ στοιχεῖν εὐσεβείᾳ καὶ τοῖς ἐκείνων ὅροις ἐμμένειν. καλῶς οὖν καὶ ὡς ἔδει τὰ περὶ τούτων οἰκονομήσας, | τῆς Ῥώμης ἀπάρας τὴν Κωνσταντί- col. 2 νου κατέλαβε σὺν ἅμα τοῖς δυσὶν αὐτοῦ μαθηταῖς τοῖς Ἀναστασίοις (τοῦτο γὰρ ἀμφοτέροις ἡ κλῆσις) καὶ τῷ ἰδίῳ μοναστηρίῳ παρέβαλε καὶ τῶν αὐτῶν εἴχετο καὶ λόγων καὶ ἐπιστολῶν, ὡς προλαβὼν ὁ λόγος ἐγνώρισε, στηρίζων δι' αὐτῶν τὸ ὀρθόδοξον.

6. Ἀλλ' ἡ σύγκλητος τῇ τοῦ βασιλέως ὁμοδοξοῦσα σφόδρα αἱρέσει εὐθύναις αὐτὸν καὶ ἐγκλήμασι καθυπέβαλεν, ὅτι, φησίν, ὑπεικόντων πάντων τῷ βασιλεῖ μόνος οὗτος ἀνθίσταται καὶ τοὺς ἄλλους πρὸς ἀποστασίαν κινεῖ, ἐναντία διὰ τῶν ἐπιστολῶν φρονεῖν μεταπείθων αὐτούς. ἐπὶ τούτοις οἱ κακόφρονες πέμπουσι κατὰ τὴν Θρᾴκην ἐν φρουρᾷ· ἦγχε γὰρ αὐτοὺς ὁ τῶν ἐκείνου λόγων ἔλεγχος καὶ ἀπέπνιγε· καὶ πεῖραν αὐτῷ προσάγουσι διά τινων ὁμοφρόνων αὐτοῖς. ὡς δὲ μηδαμῶς ἔπειθον, || τὴν χεῖρα τούτου, μεθ' ἧς καλλιγραφῶν f. 184v ἐτέλει τὰ θεῖα, τέμνουσι, φεῦ, οἱ παράνομοι. ἀλλ' ἐπεὶ τὴν γλῶτταν εἶχεν ὑπηρετοῦσαν ταῖς ἄλλων χερσί, τέμνουσι καὶ ταύτην, φεῦ, οἱ κατάρατοι, τοὺς ἐλέγχους μὴ φέροντες, ὡς δεδήλωται, καὶ οὕτως ὑπερορίαν ἐν Λαζικῇ τούτῳ καταδικάζουσιν.

7. Ἐν ᾗ χρόνοις ἐπὶ τρισὶν ὁ γεννάδας διακαρτερῶν πᾶσαν θλίψιν, πᾶσαν κάκωσιν, πᾶν εἴ τι λυπηρὸν ὑπέμενε διὰ τὴν εἰς Χριστὸν ὀρθόδοξον γνώμην· ταῖς οἰκείαις γὰρ τοῦ σώματος χρείαις αὐτὸς ὑπηρετούμενος ἦν, καίτοι πλήρης ὢν ἡμερῶν ὁ μέγας. μικρὸν οὖν ἐκεῖσε νοσήσας χερσὶν ἀγγέλων τὴν ψυχὴν παρατίθεται κἂν τῇ μονῇ κατατίθεται τοῦ ἐν ἁγίοις Ἀρσενίου, τῇ κατ' αὐτὴν τὴν χώραν τῶν Λαζῶν τυγχανούσῃ, πολλὰς θαυμάτων ἐνεργείας ἐφ' ἑκάστης τελῶν. φασὶ δέ τινες ὑγιᾶ μετὰ τὴν ἐκτομὴν ἐκ Θεοῦ τὴν γλῶτταν λαβεῖν καὶ τρανῶς τὸν λόγον ὑπαγορεύειν ἄχρι τῆς ἐν | βίῳ δι- col. 2 αγωγῆς. καὶ οὕτω μὲν οὗτος τὸν βίον καλῶς καὶ ἐνδόξως ἀπέλιπεν.

2 πί|πίστεωσ — βtβαιούσαισ H || 3 ἐξέπεμψε. Πολλοὺσ οὖν — βεβαιώσασ ἔπεισε A || 5 ἐκείνησ A || 7 σὺν — μαθηταῖς post παρέβαλε (v. 9) habet A || 9 καὶ ante λόγων om. A || 11—12 τῇ τοῦ [βασιλέωσ ὁ]μοδοξοῦσα [σφόδρα] αἱρέσει εὐ[θύναι]σ αὐτὸν καὶ ἐγκλη|μα[σι] καθυπεβαλεν A || 11 σφοδρὰ H || 12—13 φησὶ πάντων ὑπεικόντων A || 18 καλλιγραφῶν in margine add. H || 19 ἐτέλει H, ἦν A; θεία τέμνουσιν H; φεῦ om. H; οἱ παράφοροι A || 19—20 ἀλ[λ' ἐπεὶ τὴν] | Γλῶσσαν εἰ[χεν ὑπηρε]τοῦσαν ταῖς ἀλ[λων] χερ|σὶ τέμνουσι καὶ [τα]υτῆ A || 22 τούτου A || 23 τρισὶ διακαρτερῶν ὁ γεννάδασ A || 25 γνώμην H, πίστιν A || 27 καντῆ H || 30 Φασὶ AH || 31 λαβεῖν H, ἀπολαβεῖν A

8. Οἱ δέ γε δηλωθέντες δύο τούτου μαθηταί, ὁ μὲν πρεσβύτερος Ἀναστάσιος ἴσα τῷ διδασκάλῳ καὶ τὴν γλῶτταν καὶ τὴν χεῖρα τμηθεὶς μακρὰν ὑπερορίαν κατεδικάσθη, ὁ δέ γε νεώτερος καὶ ὁμώνυμος Ἀναστάσιος ἔν τινι τῶν κατὰ τὴν Θρᾴκην φρουρίων ἐκπεμφθείς, ἐπεὶ μὴ πειθόμενος ἦν τοῖς αἱρετικοῖς, τὸν βίον ἀπέλιπε· καὶ οὕτω τοὺς ἀσκητικοὺς καὶ μαρτυρικούς, ὡς εἰπεῖν, ἀγῶνας τετελέκασιν ἄμφω.

9. Σὺ δέ μοι, κάλλιστε Μάξιμε καὶ μάρτυς ἀπαράγραπτε καὶ θεῖε τῷ ὄντι τῆς ἀληθείας ἀγωνιστά, ταῖς ἀθανάτοις σκηναῖς ἐμφιλοχωρῶν μέμνησο τῆς Χριστοῦ ποίμνης καὶ τῶν ἀντιποιουμένων αὐτῆς καὶ χάρισαι ταῖς εἰς αὐτὸν εὐκτικαῖς ἱκεσίαις σου βασιλεῖ
f. 185 ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μέγιστα || κατ' ἐχθρῶν τὰ διανοήματα, χρηστὰ καὶ εὐσταθῆ τὰ ἐπενθυμήματα, ἀλήκτου τε δόξης τὴν χάριν καὶ βασιλείας Θεοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ ιδ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΜΑΡΚΕΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΠΑΜΕΙΑΣ ΤΗΣ ΣΥΡΙΑΣ.

1. Ὅτε Θεοδόσιος ὁ μέγας τῶν Ῥωμαϊκῶν εἶχε σκήπτρων τὸ κράτος, τότε καὶ Μάρκελλος ὁ τὰ θεῖα σοφὸς Ἀπαμείας τῆς Συρίας ἐπίσκοπος ἐγνωρίζετο. πλὴν ἄνωθεν μικρὸν χρὴ τὸν λόγον ἀγαγεῖν. τῆς Κυπρίων οὗτος ὁ κλεινὸς ἐξώρμητο νήσου καὶ γεννητόρων φιλοθέων βλαστὸς ἐγνωρίζετο. ὑφ' ὧν ἀναγόμενος ἅμα καὶ παιδευ-

2 διδασκάλῳ τὴν χεῖρα καὶ τὴν γλῶτταν A || 3 μικρὰν A; γε **om.** A || 6 ὡς εἰπεῖν **post** ἀσκητικοὺς **habet** A || 11 **sqq.** ***Epilogus in Δ*** (**post** ἱκεσίαις σου): τῷ πιστῶς τὴν ἐτήσιόν σου τελοῦντι μνήμην μέγιστα κατὰ τῶν νοητῶν ἐχθρῶν διανοήματα ἰσχυρὰ καὶ θείᾳ περικρατούμενα χάριτι, χρηστὰ καὶ εὐσταθῆ τὰ ἐπενθυμήματα, ἡμέρας | . . . . . ς τὴν λαμ[ψιν, λαμ]πρότητος | θ[είας] τὴν ἔλλαμψιν, π[άσ]ης εὐθυμίας τὴν δόσιν καὶ βασιλείας θῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. || 17 μάρτ(υρος) A || 20 θεία H || 22—23 ὁ κλειν̊ || οὔτοσ ἐξω[ρμητο νήσου] | καὶ γεννητό[ρων φιλο]|θέων βλαστὸσ ἐγν[ωρίζ]ετο A

όμενος, ᾗ προσῆκον ἦν, πᾶσαν ἐπιμελῶς διήνυε τὴν ἐπαινετὴν ἀρετήν, οὐχ ἥκιστα δὲ καὶ τῆς γνώσεως τῶν γραμμάτων ἐπεμελεῖτο. χαίροντες | τοίνυν ἐπὶ τούτοις οἱ τοῦτον τεκόντες, ἐπεὶ τῶν ἐπιφα- col. 2 *νῶν ἦσαν καὶ πλούτῳ κομώντων βαθεῖ, καὶ πρὸς ἀξιωμάτων αὐτὸν ἐλθεῖν κατηνάγκαζον ὄγκον, ναὶ δὴ καὶ μεγίστης ἀρχῆς κοσμικῆς δέξασθαι ζώνην. ἥν, ἵνα μὴ πατρικῶν λόγων καὶ συμβουλιῶν ὑπερόπτης φανῇ, κατεδέξατο, βασιλικῆς κελεύσεως εἰς τοῦτο προβαλλομένης αὐτόν. καὶ δῆτα καλῶς ἐν αὐτῇ διαπρέψας καὶ πᾶν εἴ τι δίκαιον θεαρέστως ἐκμελετήσας, ἐν ζυγῷ τε καὶ μέτρῳ τοῦτο διασταθμήσας καὶ τὴν ῥοπὴν τῷ πρέποντι χαρισάμενος μέρει πάντας ἐξέπληξε καὶ πάντας ὑπεραγαπᾶν αὐτὸν ἔπεισε καὶ μάλιστα τῇ καθαρότητι τοῦ βίου καὶ τῷ συνεχεῖ τοῦ ἐλέους, τῷ τε τῆς γλώττης ἠδεῖ καὶ τῷ ταπεινῷ τοῦ φρονήματος.*

2. *Ἀλλὰ ταύτην τὴν ἀρχὴν ἡ μείζων πάντως διεδέξατο καὶ ἀξία· τῆς Ἀπαμείας γὰρ ‖ ὁ σοφὸς πρόεδρος προχειρίζεται καὶ διδάσκαλος,* f. 185v *οὐχ ἁπλῶς οὕτως οὐδ᾽ οἷα φιλεῖ γίνεσθαι τοῖς πολλοῖς, ψήφῳ δὲ καὶ Θεοῦ κρίσει. τοῦ γὰρ πρὸ τούτου τὸν βίον ἀπομετρήσαντος ὁ ἄξιος ἐπεζητεῖτο τῷ θρόνῳ, καὶ πολλῶν ἄλλους λεγόντων καὶ ἄλλων ἑτέρους, τὸν Μάρκελλον ὁ λόγος ἐκάλει· πολὺς ἦν ὁ λόγος Μαρκέλλου, ἐν τοῖς ἁπάντων χείλεσιν ὁ Μάρκελλος ἔκειτο, Μάρκελλος ἐλέγετο, Μάρκελλος ἠκούετο. τῆς οὖν συμφώνου ψήφου ταύτης οὕτω κρατούσης, ἐπεὶ καὶ Θεὸς σύμψηφος ἦν (οὐδὲ γὰρ ἂν εἰς μίαν γνώμην συνῆλθον ἅπαντες, εἰ μὴ τοῦτο ἦν), πέμψαντες ἄγουσι τὸν δίκαιον οἱ τῆς πόλεως κατ᾽ ἄλλην μέν τινα δῆθεν χρείαν, τὸ δ᾽ ἀληθὲς κατὰ τὴν μεγάλην ταύτην καὶ ἧς ἔπρεπεν εἶναι τοιοῦτον ἀρχιερέα. γνωρίζουσι τούτῳ τὸ πρᾶγμα· πρὸς τὴν ἐγχείρησιν οὗτος τῆς ἀρχῆς ἀπαναίνεται· βιάζονται τοῦτον | καὶ πείθουσι, βίᾳ μέν, πείθουσι δ᾽* col. 2 *ὅμως. χειροτονεῖται παρὰ τῶν ἐκκρίτων τοῦ βήματος· τὴν Χριστοῦ ποίμνην ἐμπιστεύεται καὶ γίνεται ταύτης ποιμὴν καλὸς καὶ οὐ μισθωτός. ἐπανάγει τὸ ποίμνιον ἐπὶ χλόην πίστεως καὶ ἐφ᾽ ὕδωρ ἐκτρέφει καὶ ὁδηγεῖ καλῶς ἀναπαύσεως· τρέπει τοὺς νοητοὺς λύκους τῇ τοῦ πνεύματος σφενδόνῃ· πᾶσαν ἐκποδὼν ποιεῖ τὴν Ἑλλήνων θρησκείαν· τεμένη τούτων εἰς ἔδαφος κατασπᾷ, θείους οἴκους ἀνεγείρει θερμῶς· καὶ ὅλος ἦν τῇ πόλει ποθητὸς καὶ ἐπέραστος.*

2 *ἤκηστα H* ‖ 6 *ζώνιν — Ἵνα H; λόγων καὶ* **om.** *A* ‖ 9 *τὲ AH* ‖ 11 *ὑπεραγαπᾶν H* ‖ 14 *διέδέξατο H* ‖ 15 *πρόεδρος γνωρίζεται H,* **verbis** *καὶ διδάσκαλος* **omissis** ‖ 17 *κρίσει θῦ A* ‖ 19 *ἐκάλλει H; πολὺσ οὖν ὁ λ. A* ‖ 21 *ταύτ |οὕτω ψήφου A (ψῆφου H)* ‖ 22 *συνῆλθον A, ἦλθον H* ‖ 25 *post μεγάλην ταύτην* **nescio an aliquid omissum sit** ‖ 26—27 *[ἀρχῆς ἀπα]ναίνεται· βι[άζονται] τοῦτον καὶ π[είθο]υσι A* ‖ 32 *τῇ σφενδόνη τοῦ πνσ A; ἐκ ποδῶν H* ‖ 34 *θερμὼσ H; ὅλωσ A*

3. Ναὸν οὖν τινα τοῦ Διός, οἰκοδομῆς εὖ ἔχοντα καὶ τέρψεως ἀνεικάστου, ναὶ δὴ καὶ μεγίστων λίθων συμπήξει τε καὶ στερρότητι, δαίμων τις ὁ τούτῳ παραμένων οὐκ εἶα καταναλωθῆναι πυρί. πάσης οὖν μηχανῆς εἰς τοῦτο προβάσης καὶ πάσης ἐπινοίας, ὡς οὐδὲν
f. 186 *ἠνύετο καὶ δῆλον τοῦτο τῷ μεγάλῳ κατέστη, λαβὼν ἐ||κεῖνος ὕδωρ καὶ εὐλογήσας καὶ τοῖς εἰς καῦσιν συντεθεῖσι ξύλοις ἐπιρραντίσας ἀναφθῆναι παρευθὺ ἐποίησε τοῦτον. καὶ ἦν ἰδεῖν κηροῦ δίκην οὐ τὰ ξύλα μόνον, ἀλλὰ δὴ καὶ αὐτοὺς τοὺς λίθους ἀνάπτοντας καὶ μιᾷ ἐν ὥρᾳ τὸ εἰδωλικὸν ἐκεῖνο τέμενος συμπεσόν. ὅπερ οἱ τῶν εἰδώλων θεραπευταὶ κατιδόντες καὶ βρύξαντες ὡσανεὶ τοὺς ὀδόντας ἐπὶ τὸν ἅγιον συνέσχον τε αὐτὸν καὶ τῷ πυρὶ κατακοντίσαντες ἔκαυσαν.*

4. Ὅθεν καὶ τὸν τοῦ μαρτυρίου στέφανον καλῶς οὕτω, πανάριστε μάρτυς καὶ ἀρχιερεῦ Μάρκελλε, καὶ αἰσίως ἀπολαβὼν ταῖς μαρτυρικαῖς τὰ νῦν ἐναγάλλῃ χορείαις· αἴτησαι γοῦν ὑπὲρ βασιλέως ἡμῶν τοῦ πιστοῦ χαρισθῆναι τούτῳ μενόντων ἀγαθῶν τὴν ἀπόλαυσιν, ἰσχὺν κατὰ τῶν ἀντιπάλων καὶ κράτος, ἡλίου χύσιν τῆς τριττῆς θεαρχίας καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. |

---

col. 2 *Μηνὶ τῷ αὐτῷ ιε΄.*

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΑΝΣΕΠΤΟΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΑΕΙΠΑΡΘΕΝΟΥ ΚΑΙ ΘΕΟΤΟΚΟΥ ΜΑΡΙΑΣ.

1. Ἄρτι τῆς δεσποτικῆς οἰκονομίας Χριστοῦ καὶ [τῆς] πρὸς ἡμᾶς τοὺς δούλους συγκαταβάσεως, τῆς σαρκώσεως αὐτοῦ φημι, τῆς γεννήσεως, τῶν παραδόξων θαυμάτων, τοῦ σταυροῦ, τῆς ταφῆς

1 *γοῦν A; τινὰ H* || 1—2 *καὶ τέρψεω[ς ἀνεικάστου]* | , *ναὶ δὴ καὶ μεγ[ίστων λίθων]* | *συμπήξει τὲ κ[αὶ στερ]ρό|τητι A* || 2 *ἀνικάστου — τὲ H* || 3 *δαιμων τισ́ — οὐκεία H* || 6 *ἐπιραντίσασ H* || 7 *δήκην H* || 10 *καὶ βρύξαντ'* **in margine addita in** *H* || ibid. *ὠσάνεὶ H* || 11 *τὲ AH; τῷ* **om.** *A* || 14 *ἱερεῦ A; καὶ αἰσίως* **om.** *A* || 15 *τὰ νὺν H, τανῦν A* || 15 sqq. **Epilogus in A (post** *χορείαις*): *ταύταισ τοιγαροῦν καὶ ἡμᾶσ τοὺσ τιμῶντασ σε συναρίθμησον χάριτι καὶ φιλανίᾳ τοῦ κῦ' ἡμῶν ἰῦ χῦ, ᾧ πρέπει δόξα, κράτοσ, τιμὴ καὶ προσκύνησισ ἅμα τῷ ἀνάρχῳ πρὶ καὶ τῷ ζωοποιῷ καὶ παντοδυνάμω πνί νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνασ τῶν αἰώνων. ἀμήν.* || 24 *τῆς* **inserui** || 25 *φημὴ*

καὶ τῆς ἀναστάσεως πέρας ὡς ἔδει λαβόντων καὶ τῶν ἐπιγείων τοῖς οὐρανίοις ὡς ἐκείνῳ θελητὸν ἑνωθέντων, τοῖς φίλοις ἐπιφανεὶς ὁ σωτὴρ (τὰ πολλὰ γὰρ ἀθέατος αὐτοῖς ἦν μετὰ τὴν ἀνάστασιν) ἄλλα τε πολλὰ διαλέγεται καὶ τὴν τοῦ ἁγίου πνεύματος ἐπαγγέλλεται παρουσίαν· εἶτα καὶ μικρὸν ἔξω τῆς πόλεως ἀγαγών, εὐλογίας τε μεταδούς, βλεπόντων αὐτῶν εἰς οὐρανοὺς ἀναφέρεται καὶ ἀγγέλους ὁ καλὸς αὐτοῖς πέμπει ποιμὴν παρακλήτορας, εὐφροσύνης ἐμπιπλῶντας αὐτοὺς ἀρρήτου καὶ θαυμαστῆς.

2. Ταύτῃ τοι καὶ προσκυνήσαντες || ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ *f. 186v* μετὰ χαρᾶς μεγάλης, προσμένοντες τὴν τοῦ παρακλήτου πρὸς αὐτοὺς παρουσίαν καὶ τῇ εὐχῇ δι' ὅλου προσκείμενοι, ὥς φησιν ὁ Λουκᾶς. ἀπαριθμησάμενος γὰρ πρὸς ὄνομα τοὺς Χριστοῦ μαθητὰς εἶτα ἐπάγει· 'Καὶ οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ κυρίου καὶ τοῖς ἀδελφοῖς αὐτοῦ· συνῆν γὰρ πανταχοῦ καὶ αὐτὴ καὶ οὐδ' ὅλως τῶν καλλίστων πραγμάτων ἀπελιμπάνετο'.

3. Ἐπεὶ δὲ κατὰ τὸν καιρὸν τῆς πεντηκοστῆς οἱ ἀπόστολοι τῆς θείας τοῦ παρακλήτου χάριτος πληρωθέντες πρὸς τὸ κήρυγμα διεπέμποντο, τὴν Παρθένον καὶ Θεοτόκον, ἅτε τῷ ἠγαπημένῳ παραδοθεῖσαν, ὁ ἐν τῇ Σιὼν αὐτοῦ οἶκος εἶχε διαιτωμένην καὶ ὡς Θεοῦ μητέρα παρὰ πάντων καὶ τιμωμένην καὶ σεβομένην. ὡς δὲ καὶ θανάτου τὴν | ὑπέραγνον ὑπεργηράσασαν ἤδη μετασχεῖν ἔδει *col. 2* (καὶ τί γάρ, εἰ καὶ ὁ ταύτης υἱὸς ταφὴν ὡς θνητὸς ἑκουσίως ὑπέστη;), καὶ ὁ καιρὸς τῆς ἐκδημίας παρῆν, ἐκ τοῦ υἱοῦ ταύτην μέλλουσα πρὸς αὐτὸν ἀπιέναι δι' ἀγγέλου μυεῖται, ὥσπερ δὴ καὶ πρότερον, ἡνίκα τὴν σύλληψιν διὰ τοῦ ἀγγέλου μεμύητο. ὡς οὖν τὴν ἐκδημίαν ἔμαθε, χαίρει μέγα καὶ ἥδεται· καὶ τί γὰρ αὐτῇ γλυκύτερον τοῦ συνεῖναι τῷ υἱῷ καὶ συμβασιλεύειν; καὶ εὐθὺς ἐκέλευσε, καὶ φῶτα εἰσεκομίζετο, ἐσαροῦτο ὁ οἶκος, διεκοσμεῖτο ἡ κλίνη, θυμιάματα ἐπεβάλλοντο, τὸ συγγενὲς ὅσον ἦν καὶ τὸ γειτονοῦν ἐκαλεῖτο ταύτῃ κοινωνοῦν τῆς εὐφροσύνης· εὐπρεπὴς πρὸς τὴν ἔξοδον γίνεται· τὸ δι' ἀγγέλου ταύτῃ μυηθὲν παρὰ τοῦ παιδὸς ἐγνωρίζετο· δείκνυσι τὸ δοθὲν αὐτῇ παρ' ἐκείνου βραβεῖον· κλάδος ἦν φοί||νικος, *f. 187* ὥς τινες ἐξηγήσαντο, σύμβολον θανάτου, νίκης καὶ ζωῆς εἰκὼν ἀθανάτου.

4. Τοῦ καιροῦ οὖν ἤδη τῆς ἐκδημίας ἐφισταμένου ἡ μὲν ἔκειτο

4 τὲ—ἐπαγγέ|λεται || 6 τὲ || 7 ὁ καλὸσ αὐτοῖσ **alia manu in rasura** || 12 Ἀπαριθμησάμενοσ || 13 πρὸσκαρτεροῦν|τεσ || 15 συνὴν || 26 Τὴν ἐκδημίαν || 31 κοινωνοῦσα' || 33 παρεκείνου || 36 Τοῦ

12 Λουκᾶς: Act. 1, 14.

ἐπὶ κλίνης, Ἰωάννης δὲ παρῆν ὁ ταύτην παραλαβών, ὁ καὶ υἱὸς αὐτῆς ἄλλος ὀνομασθείς· τῶν Ἱεροσολύμων παρῆσαν οἱ πρόκριτοι· φίλαι ἅμα παρῆσαν καὶ συγγενεῖς καὶ ἡ παρθένος καὶ μήτηρ τῷ παρθένῳ Ἰωάννῃ μικρὰ διαλεχθεῖσα, «Τοὺς δύο χιτῶνας» εἶπεν, «οὓς ἐν ὅλῳ βίῳ σκέπην εἶχον σώματος, δυσὶ ταῖσδε γυναιξὶ δοθῆναι κελεύω». χῆραι δὲ ἦσαν καὶ μᾶλλον τῶν ἄλλων ἀγαπώμεναι ταύτῃ. ταῦτα ἔφη, καὶ οἱ παρόντες πολλὰ τῶν ὀφθαλμῶν μηνύματα τῆς λύπης κατέχεον δάκρυα. τίς γὰρ καὶ ἤνεγκεν ἀπαθῶς τοιαύτης στέρησιν γυναικός;

5. Εἶτα τί; κάτεισιν οὐρανόθεν ὁ καλὸς ταύτης υἱός, ψυχὴν col. 2 ἐκείνης τὴν θείαν ληψόμενος, | νεφέλαις ἀθροίζει τοὺς μαθητάς. εἶδε τούτους ἡ πάναγνος· ἔγνω δι' ὃ μετεκλήθησαν· αἰτήσεις ἐκεῖνοι ταύτῃ προσέφερον· ἀκουστὰς ἔθετο ἡ πάντιμος ταύτας· εὐλογίας αὐτοῖς μεταδίδωσι καὶ τὰ ἐξιτήρια φθέγγεται· «Ὑμεῖς δὲ ἀλλὰ χαίρετε» ἔφη, «τέκνα, καὶ μὴ πένθιμον ὅλως τὴν ἐκδημίαν, χαρᾶς δὲ μᾶλλον θέσθε πεπληρωμένην, ἐπεὶ καὶ πρὸς χαρὰν μεταβαίνομεν. καὶ σῶμα δὴ τοῦτο τὸ ἐμὸν ὅπως ταφῇ παραδῶτε κατὰ σχῆμα, ὃ ἂν ἐγὼ διάθωμαι ἐμαυτήν, μελήσει ὑμῖν· τοῦτο γὰρ ἐμοὶ βούλημα». εἶπε καὶ Πέτρον μετακαλεῖται, εἶτα τοὺς ἄλλους, καιομένων τῶν λύχνων. αὐτὴ τὰ χείλη διάρασα ἀγαλλιάσεως πνεύματι «Εὐλογῶ σε τὸν δωτῆρα τῶν ἀγαθῶν» ἔφη· «εὐλογῶ καὶ δοξάζω f. 187v τὸν αἴτιον τοῦ φωτός· τὸν τὴν ἐμὴν κοιλίαν οἰκήσαντα || εὐλογῶ· εὐλογῶ τὴν ἀγάπην, ἣν ἡμᾶς ἠγάπησας, καὶ μεγαλύνω σου τοὺς λόγους, οὓς ἐν ἀληθείᾳ λελάληκας, καὶ πιστεύω ὅτι ἃ εἴρηκας ἔσται μοι». οὕτως εἰποῦσα ἐπὶ τοῦ σκίμποδος ἀνακλίνεται· χεῖρας εἶτα διάρασα καὶ τὸ πάγκαλον σῶμα σεμνῶς σχηματίσασα, ἑώρακε γὰρ τὸν υἱόν, ἡδονῆς ὅλη γίνεται καὶ χαρᾶς καὶ «Γένοιτό μοι, κύριε, κατὰ τὸ ῥῆμά σου» πάλιν εἰποῦσα ἀφίησιν ὡς ἐν ὕπνῳ τὸ πνεῦμα, χερσὶ φίλαις τοῦτο τοῦ υἱοῦ παραθεῖσα.

6. Πλὴν ἵνα μή τις δι' ἕτερόν τι, μὴ διὰ τὴν τῆς Παρθένου κοίμησιν τὴν συνέλευσιν εἴποι γεγενῆσθαι τῶν ἀποστόλων, ἀπαράγραπτος μάρτυς ὁ ἀρεωπαγίτης Διονύσιος παραστήσεται· λέγει γὰρ ἐν τῇ πρὸς Τιμόθεον ἐπίσκοπον Ἐφέσου ἐπιστολῇ τάδε· «Πολλοὶ γὰρ τῶν ἱερῶν ἡμῶν ἀδελφῶν ἐπὶ τὴν θέαν τοῦ ζωαρχικοῦ καὶ col. 2 θεοδόχου συνεληλύθαμεν σώματος· | παρῆν δὲ καὶ Ἰάκωβος ὁ ἀδελφόθεος καὶ Πέτρος, ἡ κορυφαία καὶ πρεσβυτάτη τῶν θεολόγων ἀκρότης, καὶ μετὰ μικρόν, εἰ μὴ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, πολλοὺς οἶδα παρὰ σοῦ καὶ μέρη τινὰ τῶν ἐνθεαστικῶν ἐκείνων ὕμνων ἐπα-

7 Ταῦτα || 12 διὸ || 14 ἐξητ|ρια (ή supra lineam) || 19 εἶπεν || 25 σκί|ποδοσ || 28 ῥήμασου

κούσας». ἀλλὰ ταῦτα μὲν μεθ' ἑτέρων ἐκεῖνος. ἡμῖν δὲ ὁ λόγος πρὸς τὰ ἑξῆς ὁδευέτω.

7. *Κύκλῳ τὸ παρθενικὸν ἐκεῖνο σῶμα περιβαλόντες ὁ τῶν ἀποστόλων χορὸς καὶ πᾶν ὅσον ἦν ἀνδρῶν καὶ γυναικῶν ἔκκριτον ὕμνοις προπεμπτηρίοις ἐτίμων καὶ πᾶν μέλος εὐλαβῶς αὐτοῦ κατησπάζοντο, πόθον μὲν θεῖον δεικνύντες, ἀλλὰ δὴ καὶ ὠφελείας ἐπαπολαύοντες οἵας· τυφλοὶ ἐφωτίζοντο, ἠνωτίζοντο κωφοί, χωλῶν βάσεις ὑπεστηρίζοντο, ἀὴρ τῇ τῆς ψυχῆς ἀνόδῳ καὶ οὐρανὸς ἡγιάζετο, ναὶ δὴ καὶ γῆ τῇ καταθέσει τοῦ σώματος, ἀλλὰ καὶ ὕδατα τῷ ἐνταφίῳ ‖ f. 188 λουτρῷ τοῦ καθαρωτάτου σώματος ἁγιασμοῦ μετελάμβανον. εἶτα τί; σινδόσι καθαραῖς τὸ σκῆνος ἐκεῖνο τὸ καθαρὸν προσειληθὲν αὖθις τῇ κλίνῃ δίδοται, εἶθ' οὕτως αἴρεται, ἄγεται, λαμπάδες προηγοῦνται, ἕπονται, μύρα κενοῦνται, ὑμνοῦσιν ἄγγελοι, ἀπόστολοι καὶ πατέρες ᾄδουσιν, ἐκ Σιὼν ἡ νοητὴ Σιὼν ὤμοις ἀποστολικοῖς πρὸς Γεθσημανῆ τὸ χωρίον κομίζεται.*

8. *Τί οὖν γίνεται; ὡς λίαν ἔκτοπον· τῆς κλίνης κομιζομένης Ἰουδαίων ὁ μανικώτερος ἔπεισι σφοδρῶς κατ' αὐτῆς, ὡς εἰς γῆν αὐτὴν καταράξῃ καὶ ὕβριν ἐντεῦθεν, ἣν ὤδινε, τέκῃ. οὐκ ἠμέλησε δίκη· χεῖρες γὰρ ἐκείνου, αἳ τοῦ σκίμποδος ἐπελάβοντο, ἐξ ἀγκώνων ἐτέμνοντο. ἀλλ' ἡ χαρὰν τῷ κόσμῳ τεκοῦσα οὐκ εἴασε θανοῦσα μέχρι τέλους λυπεῖσθαι τὸν τολμητίαν· μετάνοια γὰρ αὐτὸν εἰσῄει, δάκρυά τε τῶν ὀμμάτων* | col. 2 *προῄει· καὶ τὴν κλίνην οἱ βαστάζοντες ἔστησαν· πρόσεισιν ὁ τὴν τομὴν ὑποστάς, τῶν τμημάτων τοῖς ἀγκῶσι προσαρμοσθέντων (Πέτρου τὸ ἐπίταγμα ἦν), καὶ τῶν χειρῶν ἴασις αὐτίκα παρηκολούθει.*

9. *Ἄγεται πρὸς Γεθσημανῆν ἡ πανύμνητος. τάφῳ τὸ πάντιμον αὐτῆς, ὅπου δὴ καὶ διώριστο, κατατίθεται σκῆνος. τί γάρ, εἰ καὶ υἱὸς αὐτῆς, Θεὸς ὤν, ἀνθρωπίνως ἐτάφη; πρὸς σκηνώματα μεταπέμπεται τὰ οὐράνια συνεσομένην αὐτῷ πάντως Χριστὸς τὴν μητέρα βουλόμενος. πιστοῖ τὸν λόγον Ἰοβενάλιος ὁ τῶν Ἱεροσολύμων ἐπίσκοπος, ἐξ ἀρχαίας καὶ ἀληθοῦς παραδόσεως τρεῖς ὅλας ἡμέρας λέγων τῷ τάφῳ τῆς Μαρίας τοὺς ἀποστόλους ἐμμεῖναι, θείας ὑμνῳδίας ἄνωθεν ὑπακούοντας. εἶτα μετὰ τὴν τρίτην, ἑνὸς τῶν ἀποστόλων, οὕτω συμβάν, ὑστερήσαντος ἢ καὶ βα‖* f. 188ᵛ *θυτέροις τρόποις οἰκονομίας τὴν μετάστασιν δήλην γενέσθαι τοῦ Θεοῦ εὐδοκήσαντος, οἱ ἀπόστολοι διανοιγῆναι τὸν τάφον εἰς προσκύνησιν τῷ ἀποστόλῳ κελεύουσιν. ἠνοίγη, καὶ ὁ θησαυρὸς οὐδαμοῦ, μόνα δὲ τὰ ἐντάφια, ὃν*

3 κύ|κλω ‖ 7 ἐπαπολάβō|τεσ ‖ 11 εἶτα ‖ 18 καταρράξει ‖ 19 ἀγκῶνων ‖ 26 γεθσημανὴν ‖ 29 *expectares* συνεῖναι, *nam hoc verbum pendet a* βουλόμενος ‖ 31 ἀληθοὺσ ‖ 34 συμβᾶν

τρόπον καὶ τοῦ παιδὸς κατὰ τὴν ἀνάστασιν. ἅτινα καὶ περιπτυξάμενος αὐτός τε καὶ λοιποὶ καὶ πλησθέντες εὐωδίας ἀφάτου καὶ χάριτος τὸν τάφον μὲν ἀσφαλίζονται, τὸ θαῦμα δὲ τοῖς ἑξῆς παραπέμπουσι. καὶ ταῦτα μὲν οὕτως.

10. Σὺ δέ, ὦ δέσποινα Θεοτόκε, τὸ πάντων ἀνθρώπων καταφύγιον καὶ καλλώπισμα, τὸ ἐμὸν ἐντρύφημά τε καὶ σεμνολόγημα, νέμοις βασιλεῖ Ῥωμαίων πιστῷ καὶ δικαίῳ, πᾶσαν ἐν σοὶ τὴν πεποίθησιν ἔχοντι, μῆκος ζωῆς καὶ βασιλείαν οὐρανῶν, ἰσχὺν ἀπροσμάχητον καὶ δυναστείαν, ἀγαθῶν ἁπάντων ἀφθονωτάτων τὴν
col. 2 *δόσιν, ἡλίου φαιδροῦ τὴν λάμψιν καὶ τὴν τέρ|ψιν καὶ τῆς ἄνωθεν εὐκληρίας τὴν χάριν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ις΄.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΕΞ ΕΔΕΣΗΣ ΑΝΑΚΟΜΙΔΗΝ ΠΡΟΣ ΤΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΗΣ ΑΧΕΙΡΟΠΟΙΗΤΟΥ ΜΟΡΦΗΣ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

1. Ἄρτι τοῦ ἐμοῦ Χριστοῦ καὶ Θεοῦ τὰς κατὰ γῆν διατριβὰς ποιουμένου καὶ τῶν μεγίστων αὐτοῦ καὶ παραδόξων θαυμάτων πᾶσαν, ὡς εἰπεῖν, διειληφότων τὴν οἰκουμένην, οὐκ ἦν ὅστις οὐ περὶ τούτων λέγων καὶ ἀκούων ἐφαίνετο. τῷ τοι καὶ ὁ τοπάρχης Ἐδέσης Αὔγαρος, τῶν τοιούτων κατήκοος γεγονώς, ἐπεὶ δεινοῖς καὶ χαλεποῖς νοσήμασι κατετήκετο καὶ πονήρως εἶχε τὸ σῶμα λέπρας ἐπαναστάσει καθ' ὅλης σαρκός, ὥς φασι, καὶ ἀρθρίτου φορᾷ
f. 189 *κατά τε χειρῶν ἅμα καὶ τῶν || ποδῶν καὶ μὴ οἷός τε ἦν τὸν θεραπευτὴν τῶν τοιούτων ὀφθαλμοῖς αὐτοῖς κατιδεῖν καὶ μικρὰν ἀνακωχὴν τῶν ἐκτηκουσῶν αὐτὸν ὀδυνῶν ἐφευρεῖν, δεῖν ἔγνω γράμμασι τὸν πόθον ἀφοσιώσασθαι καὶ διὰ τούτων δεηθεὶς ποσῶς θεραπείας τυχεῖν· πέπειστο γάρ, ὡς δυνατός ἐστιν ὁ τῶν ᾀδομένων ἐκείνων θαυμάτων ποιητὴς καὶ μακρόθεν αὐτῷ βουλόμενος ἰάσασθαι τὰ συντρίμματα.*

2 *αὐτὸσ τὲ* || 22 *τῶτοι* || 24 *πονήροσ* || 25 *ἀρθρήτου* || 26 *οἷοσ τὲ* || 27 *ἀνακοχὴν* || 29 *διατούτων* || 32 *συντρίμα*[α]*τ*

2. Τῷ ζωγράφῳ τοίνυν Ἀνανίᾳ τὴν ἐπιστολὴν ἐγχειρίζει καὶ πρὸς τὸν ἐμὸν Ἰησοῦν θερμῶς τὸ τάχος ἐκπέμπει τοῦτο μὲν κομίσοντα ταύτην, τοῦτο δὲ καὶ τὴν μορφὴν διαχαράξοντα τούτου, μὴ πρὸς ἐκεῖνον βουληθέντος σκυλῆναι. φθάνει τοιγαροῦν ὁ Ἀνανίας τὴν Ἱερουσαλήμ, ἀποδίδωσι τὴν ἐπιστολὴν τῷ Χριστῷ, δέχεται τὰ ἀντίγραφα, ἀγωνίζεται τὴν θείαν αὐτοῦ μορφὴν ὑλικοῖς χρώμασιν ἐν χάρτῃ λαβεῖν· ἀπορεῖ κρείττονος πάντως | λόγοις οἰκο- col. 2 νομίας. ὁ γνώστης τῶν κρυπτῶν καὶ τῶν ὅλων Θεὸς τὸ λάθρα γινόμενον φανεροῖ· καὶ ὅπως; ὕδωρ αἰτεῖ, τὸ πρόσωπον νίπτει, μανδηλίῳ τοῦτο ἐκμάττει, ὢ τοῦ θαύματος, καὶ τὸ ἁπλῶς ὕδωρ εἰς χρωμάτων καταπήγνυται θέσιν καὶ τὴν θείαν μορφὴν τὸ μανδήλιον ἀπαράλλακτον δέχεται.

3. Τοῦτο γοῦν ὁ δεσπότης Χριστὸς ταῖς Ἀνανίου χερσὶν ἐπιθεὶς «Ἀπόδος» ἔφη «τῷ ἀποστείλαντί σε καὶ πρὸς τούτῳ τὴν ἐγκεχειρισμένην σοι πρὸς τοῦτον ἐπιστολήν». ἅτινα λαβὼν Ἀνανίας πῶς ἂν εἴποις ἡδέως ἐκτρέχει πρὸς τὸν Αὔγαρον καὶ χερσὶν ἐκείνου κατατίθησι ταῦτα. ἅπερ ἐκεῖνος δεξάμενος καὶ τὴν μὲν ἀναγνούς, τὸ δέ γε θεῖον μανδήλιον ἐν ὅλῳ προσάψας τῷ σώματι καὶ σχετικῶς αὐτὸ προσκυνήσας (μεγάλα τὰ ἔργα σου, κύριε, καὶ τίς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου;), τῶν ἀνιάτων ἐκείνων καὶ || χρονίων παθῶν ἠλευθέρωτο. σπογγιὰν γὰρ ἦν ἰδεῖν ἐκεῖνο τὸ f. 189v θεῖον ἔκμακτρον ταῖς νόσοις γενόμενον, μηδ' ἴχνος αὐτῶν μικρᾶς ἁφῆς ἐν ἐκείνου καταλεῖψαν τῷ σώματι. ἐξέπληξε τοῦτο τὸν Αὔγαρον, ἐκθάμβους τοὺς ὁρῶντας ἐποίησε καὶ χαρᾶς οὐκ ἔστιν εἰπεῖν ὅσης αὐτοὺς ἐνέπλησεν. ἔνθεν τοι καὶ πάντες τοὺς νοσοῦντας αὐτῶν τῷ θείῳ τούτῳ μανδηλίῳ προσάγοντες ὑγιεῖς ἀπελάμβανον.

4. Χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ Θαδδαίου τοῦ ἀποστόλου μετὰ τὸ σωτήριον πάθος καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν ἀνάληψιν τοῦ Χριστοῦ καὶ Θεοῦ καὶ τὴν τοῦ ἁγίου πνεύματος κάθοδον εἰς Ἔδεσσαν ἀφικομένου πρὸς Αὔγαρον καὶ τὸν λόγον αὐτὸν τῆς ἀληθείας διδάσκοντος, ἐκεῖνος οὐμενοῦν οὐκ ἀνεβάλετο, ἀλλὰ καὶ θερμῶς προσῆλθε τῷ λόγῳ καὶ πανοικὶ τοῦ θείου βαπτίσματος κατηξίωται. ἔνθεν τοι καὶ τιμᾶσθαι τὸ δεσποτικὸν ὁ|μοίωμα col. 2 παρὰ πάντων ἐθέλων ὁ Αὔγαρος, προσκυνεῖσθαί τε καὶ πᾶσι δῆλον καθίστασθαι, τί ποιεῖ; τὸ πρὸ τῆς δημοσίας πύλης τῆς πόλεως ἱδρυμένον ἑλληνικὸν ἄγαλμα καθελών, τὴν ἀχειρότευκτον ταύτην

3 διά|χαράξοντα || 7 πάντ͞ || 13 γοῦν—ἐπιθεὶσ || 20 ὕμνων || 21 σπονγιὰν || 22 μὴδ' || 23 καταλείψαν — Ἐξέπληξε || 25 et 33 ἐνθέντοι || 30 ἔδεσ͞αν || 31 οὔμενοῦν

εἰκόνα καλῶς ἀνεστήλωσε, θεσπίσας εἰς ἅπαν αὐτοῦ τὸ ὑπήκοον πάντα ἄνθρωπον τὸν εἰσιόντα διὰ τῆσδε τῆς πύλης καὶ ἐξιόντα, τὴν τιμητικὴν πρότερον ἀπονέμοντα τῇ θείᾳ μορφῇ προσκύνησιν οὕτω τῆς προκειμένης ἅπτεσθαι, ἐπιγράψας αὐτῇ ταῦτα τὰ γράμματα· «Χριστὲ ὁ Θεός, ὁ εἰς σὲ ἐλπίζων οὐκ ἀποτυγχάνει ποτέ».

5. Χρόνος διῆλθε πολύς, καί τις τὴν ἀρχὴν τῆς πόλεως εἰδωλολάτρης παραλαβὼν τὴν μὲν θείαν καὶ δεσποτικὴν μορφὴν καθελεῖν ἠβουλήθη, δαιμονικὴν δέ τινα στήλην ἀντ' ἐκείνης ἐνιδρῦσαι *f. 190* *τῷ τόπῳ. τοῦτο γνοὺς ὁ τῆς πόλεως Ἐδέσης ἐ||πίσκοπος τὴν ἐνδεχομένην καὶ οἵαν ὁ καιρὸς ἐδίδου περὶ τούτου τίθεται πρόνοιαν. ἐπειδὴ γὰρ καμάρας εἶδος ὁ τόπος ἔσωζεν, ᾧ τὸ θεῖον ἵδρυτο μόρφωμα, βάσιν ἐχούσης κάτωθεν, θρυαλλίδα τάχος ἀνάψας καὶ θεὶς ἐν αὐτῇ, κέραμόν τε φρονίμως ἔξωθεν περιθεὶς καὶ τιτάνῳ διαχρίσας καλῶς, εἶτα καὶ πλίνθῳ τὸν τόπον ἀναπληρώσας, εἰς ὁμαλὴν ἐπιφάνειαν τὸ τεῖχος ἀπηύθυνε καὶ οὕτως ἔστησε τῆς ὁρμῆς ἀγνοοῦντα τὸν δυσσεβῆ.*

6. Τί τὸ ἐντεῦθεν; ἠγνοήθη τῷ χρόνῳ τὸ μέγα τοῦτο καλόν. οἱ Πέρσαι τὴν πόλιν ἑλεῖν παρεγένοντο. εἰς ἀμηχανίαν κατέστη τοῖς πολίταις τὰ πράγματα. πρὸς Θεὸν λοιπὸν καταφεύγουσι καὶ λύσιν αἰτοῦσι τῶν περιστάσεων καὶ μέντοι δὴ καὶ εὑρίσκουσι. μιᾷ γὰρ τῶν νυκτῶν Εὐλαλίῳ τῷ τῆς πόλεως ἐπισκόπῳ γυνή τις ἐνδοξο- *col. 2* *τάτη ὄναρ ἐπιφοιτᾷ, «Τὴν ἐπάνω» λέγουσα «τῆσδε τῆς | πύλης κεκρυμμένην εἰκόνα τῆς ἀχειροτεύκτου καὶ δεσποτικῆς μορφῆς τοῦ Χριστοῦ τάχος λαβών, αἰσίως ἅπαντα καταπραχθήσεται τὰ βεβουλημένα σοι.» τούτων ἐκεῖνος ἀκούσας καὶ τὸν ὑποδειχθέντα τόπον καταλαβών, φόβῳ τε καὶ πόθῳ θερμῶς ἀνορύξας, ὢ τοῦ θαύματος, εὑρίσκει τὴν δεσποτικὴν μορφὴν ἀδιαλώβητον τῷ παντὶ καὶ τὴν θρυαλλίδα τὰ φῶς συντηροῦσαν ἐν τοσούτῳ χρόνῳ καὶ μὴ σβεσθεῖσαν, ἔτι μὴν καὶ τὸ πρὸς φυλακὴν αὐτῆς ἐπιτεθὲν κεραμίδιον, ἑτέραν μορφὴν ἔχον παρομοίαν τῇ πρωτοτύπῳ. τῇ ὀπτασίᾳ γοῦν κατακολουθῶν ὁ ἐπίσκοπος, πρὸ τῶν πολεμίων Περσῶν ταύτην ἱστῶν, φυγάδας αὐτοὺς ἀπετέλει καὶ ἀπράκτους ὑποστρέφειν ἐποίει, χείρονα πάντως ὧν ἤλπιζον δρᾶσαι πάσχοντας. καὶ ταῦτα μὲν οὕτως.*

f. 190v *7. Ἐπεὶ δὲ τῇ βασιλίδι τῶν πόλεων, εἰς || ἣν τὰ πανταχόθεν ἄκρα συντρέχει καὶ ᾗ πάντα τὰ καλὰ τεθησαύρισται, μετὰ τῶν ἄλλων ἔδει καὶ ταῦτα τὰ θεῖα προσεῖναι, τὸ δὲ καὶ Θεὸς πάντως εὐδόκησεν ὁ τῶν ἀγαθῶν παροχεύς, τί γίνεται; ὁ τῆς Ῥωμαϊκῆς*

6—7 *εἰδωλολάτρισ* || 8 *ἐνιδρύσαι* || 11 *Ἐπειδὴ — καμάροσ* || 12 et 28 *θρυαλίδα* || 14 *πλήνθω — ὁμαλῆ* || 17 *Ἡγνοήθη* || 27 *Εὑρίσκει* || 28 *το|σοῦτωι* || 30 *γοῦν* || 33 *δράσαι*

ἀρχῆς τὰ σκῆπτρα διέπων—Ῥωμανὸς δὲ οὗτος ἦν ὁ καλός,—ἐπιποθῶν τούτων ἐν μεθέξει γενέσθαι, τῷ τὴν Ἔδεσαν τηνικαῦτα κρατοῦντι Σαρακηνῷ γράμματα στέλλει, ἐφ' ᾧ ταῦτα πέμψειε πρὸς αὐτόν· ᾔδει γάρ, ὡς ἀνταιτήσεται πάλιν οὗτος τὴν τῶν κρατουμένων ὑπ' αὐτοῦ Σαρακηνῶν ἀπόλυσιν· καὶ ὃς εὐθὺς κατανεύει πρὸς τοῦτο Θεοῦ νεύσει τοῦ μεγάλα ποιοῦντος καὶ παράδοξα θαύματα, τοὺς Σαρακηνοὺς εἴ γε χαρίσεται τούτῳ. ἐκπέμπει τοίνυν ὁ βασιλεὺς αὐτίκα δύο χιλιάδας ἀργυρίου πρὸς μυριάδι μιᾷ καὶ διακοσίους Σαρακηνούς, οὓς | ἔτυχε τότε κρατῶν. ἃ δὴ καὶ δεξάμενος ὁ ἀμηρᾶς col. 2
καὶ λίαν αὐτοῖς ὑπεραγασθεὶς τοῖς συνεληλυθόσιν ἐπισκόποις ἐν τούτῳ τὰ τίμια τοῦ Χριστοῦ καὶ ἀχειροποίητα δίδωσιν ἐκτυπώματα, ἔτι τε καὶ αὐτὴν τὴν χριστογράφον ἐπιστολήν. οἵτινες ταῦτα λαβόντες, πίστει τε καὶ πόθῳ κατασπασάμενοι πρὸς τὴν βασιλεύουσαν ἐσώσαντο, πολλῶν τῇ συγκομιδῇ τούτων τελεσθέντων θαυμάτων. λέγεται γάρ, ὅτι καὶ τὸ δαιμόνιον φῦλον ἐλαυνόμενόν πως ὑπὸ τῆς θείας ἰσχύος τότε «Ἀπόλαβε» βοᾶν «ἡ Κωνσταντίνου τὴν δόξαν σου καὶ σύ, βασιλεῦ, τὸ τῆς πορφύρας, ἐν ᾗ γεγέννησαι».

8. Τοῖς βασιλείοις οὖν ὅμως καλῶς ἐναποτεθέντος τοῦ ἱεροῦ τούτου καὶ θαυμαστοῦ θησαυροῦ (πεντεκαιδεκάτην ἦγεν ὁ Αὔγουστος μήν, ἐν ᾗ καὶ τὴν κοίμησιν τῆς πανάγνου μητρὸς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τῆς Θε||οτόκου καὶ ἁγίας Μαρίας ἑορτάζειν f. 191
ἡμῖν σύνηθες), σπουδῇ καὶ πατριάρχης αὐτὸς καὶ ὅσον ἄλλο ἔκκριτον τοῦ τε βήματος καὶ τῶν ἐν τέλει συνδραμόντες εἰς τοῦτο τιμητικῶς τε σὺν ἅμα βασιλεῖ προσκυνήσαντες κατησπάσαντο καὶ χαρᾶς ὅτι πλείστης ἐμφορηθέντες ἑόρτιον ἡμέραν καὶ ταύτην μέν, ἀλλὰ καὶ τὴν ἐπιοῦσαν ἐκτετελέκασιν. ἔκτοτε γοῦν πανήγυριν φαιδρὰν τὴν ἀνέλευσιν ποιούμεθα τῆς θεανδρικῆς μορφῆς τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, αἰτούμενοι χαρισθῆναι βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ ὀρθοδόξῳ μήκιστον ζωὴν καὶ ἀτάραχον, ἰσχυρὰν κατ' ἐναντίων τὴν χεῖρα, ἄληκτον κλέος καὶ καλῶν ἀφθονίαν, ἡλίου λαμπροῦ τὴν φαῦσιν καὶ τὴν αἴγλην καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ πρέπει πᾶσα τιμὴ καὶ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. |

---

2 τηνικαύτα || 3 σαρακινῷ et 5 σαρακινῶν || 4 ἀντετήσεται || 7 χαρίσαιτε || 12, 13, 14 τὲ || 15 φύλον || 17 γεγένησαι || 19 πέντε 'ς δεκάτην || 23 σύνδραμόντεσ || 26 Ἔκτοτε γοῦν

col. 2 *Τῇ αὐτῇ ἡμέρᾳ, ἤγουν εἰς τὰς ιϛ'.*

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΔΙΟΜΗΔΟΥΣ.

1. Καὶ τὸν κλεινὸν Διομήδην καλὸν εἰς ὑπόθεσιν προθεῖναι τῷ λόγῳ· ἔχει γὰρ μετὰ τῆς διηγήσεως αὕτη πολὺ καὶ τὸ χάριεν. ἔφυ μὲν ὁ μέγας οὗτος χώρας τῆς Κιλίκων, πόλεως ἐπιφανοῦς τῆς Ταρσοῦ, ἔσχε δὲ γεννήτορας ἀγαθοὺς καὶ τρόποις ἐναρέτοις κεκοσμημένους. καὶ ἰατρὸς δὲ ἦν ὁ καλὸς Διομήδης οὐ σωμάτων μόνον αὐτῶν, ἀλλὰ δὴ καὶ ψυχῶν, καὶ τὰς ἰατρείας οὐ τῇ τέχνῃ μόνῃ θαρρῶν ἐποίει, τῇ ἐπικλήσει δὲ μᾶλλον Χριστοῦ· παρ' ὃ καὶ πᾶσαν νόσον ἰᾶτο καὶ πᾶσαν ἐθεράπευε μαλακίαν· τὸν πλοῦτον δὲ τῆς χάριτος αὐτῆς καὶ τῆς γνώσεως τὸ τοῦ βίου καθαρὸν καὶ τὸ πρὸς ἅπαντας συμπαθὲς διὰ τῆς τοῦ ἀγαθοῦ πνεύματος ἐπιλάμψεως αὐτῷ προσεξένησεν.

2. Οὗτος τὴν Νικαέων καταλαβὼν μεγαλόπολιν καὶ ἄλλην αὐτὴν||
f. 191v *ὥσπερ Ταρσὸν ἀγαπήσας, ἐνευδοκιμοῦσαν τότε τοῖς ἐπιδόξοις, τῶν συνήθων εἴχετο πρὸς ἅπαντας εὐεργεσιῶν καὶ τοῦ ἀγαθοεργεῖν οὐκ ἀπελιμπάνετο (Διοκλητιανὸς ἐκράτει τότε καὶ Μαξιμιανὸς οἱ [illegible]τάρατοι)· περιιὼν γὰρ τὴν πόλιν ἅπασαν τοῦτο μὲν τὰς νόσοι¸ τῶν πολιτῶν, τοῦτο δὲ καὶ τὰς ψυχὰς ὅση δύναμις ἐθεράπευε ποτὲ μὲν τοῖς ἐκ τῆς τέχνης, ποτὲ δὲ καὶ τοῖς τῆς πίστεως βοηθήμασιν ἐπανάγων αὐτοὺς καλῶς πρὸς τὴν θεοσέβειαν, καίπερ ἀγχίθυρον ἔχων κατὰ τὴν Νικομήδους τὸν δυσσεβῆ βασιλέα, τῆς ἀνυποκρίτου πρὸς Χριστὸν ἀγάπης καὶ πίστεως ἔξω τούτῳ βαλλούσης τὸν φόβον· ἠγάπα γάρ, ὡς ἔδειξε, τὸ παθεῖν δι' αὐτόν. τί οὖν πρὸς τοῖς ἄλλοις ἐποίει; τὰς φυλακὰς αὐτὰς εἰσιὼν ⟨καὶ⟩ πάντας μὲν τοὺς ἐν αὐταῖς ὅση δύναμις ἐθεράπευε καὶ τὴν ἔνδειαν αὐτοῖς τῶν ἀναγκαίων*
col. 2 *παρεμυθεῖτο | καὶ πάντα δὲ δαψιλῶς ἦν τὰ πρὸς ἐπάρκειαν χορηγῶν καὶ μάλιστα τοῖς διὰ Χριστὸν ἐναθλοῦσι καὶ τὰ δι' αὐτὸν στίγματα περιφέρουσιν ἐν τοῖς σώμασιν.*

3—4 *καλὸν εἰς μέσον προθεῖναι τῷ λόγῳ καὶ ὑπόθεσιν τοῦτον ποιήσασθαι* A || 6 *ἐνάρέτοισ* A || 8 *αὐτῶν* om. H || 9 *παρὸ* AH || 10 *ἐθεράπευε* om. H || 13 leg. *προὐξένησεν*? || 15 *ἐνεὐδοκιμοῦσαν* H || 16 *ἀγαθοἐργεῖ* | *οὐκαπελι μπάνετο* H || 23 *ἔξω βαλλούσησ τὸν φόβον τούτῳ* A || 25 *καὶ* delevi || 27 *πρὸσ ἐπάρκειαν αὐτοῖσ ἐπιχορηγῶν* A || 28—29 *τοὺσ — ἐναθλοῦντασ — περιφέροντασ* H

3. Ἰχῶρας μὲν γὰρ τῶν τραυμάτων αὐτῶν ἀπέσμηχε, λουτροῖς θερμοῖς ἐκκαθαίρων καὶ τὰ ἐκ τῆς τέχνης ἐπιτιθέμενος βοηθήματα· ἀλλὰ καὶ λόγοις ὑπεστήριζε πρὸς τοὺς ἀγῶνας καὶ τὰ ἐπηγγελμένα δὲ παρὰ Θεοῦ τοῖς οὕτω πάσχουσιν ἀγαθὰ τῷ λόγῳ τούτοις προσυπεδείκνυεν ὡς ἀθάνατα, ὡς ἀίδια, ὡς τέλος μὴ ἔχοντα. τούτῳ γοῦν τῷ τρόπῳ τῆς ἰατρείας ἀκωλύτως εἰσῄει τὰς φυλακὰς καὶ παρεθάρρυνεν, ὡς εἴρηται, τοὺς ἁγίους καὶ πρὸς τοὺς ἀγῶνας ἀλείφων στερροτέρους ἐποίει, τῶν φυλάκων ἀνέτους αὐτῷ χαριζομένων τὰς πύλας διά τε τὸ πολλάκις αὐτοὺς ὑπ' αὐτοῦ τυχεῖν θεραπείας καὶ τὸ καὶ χρήματα ἔστιν ὅτε || λαβεῖν. παρείχοντο γὰρ αὐτῷ ὑπὸ τῶν f.192 *εὐπορούντων πιστῶν ἐπὶ τούτῳ, καὶ ἦν ταῦτα καὶ τοῖς διδοῦσι καὶ τοῖς λαμβάνουσι φίλα.*

4. Ἀλλὰ τούτων οὕτω πραττομένων οὐκ ἦν ἠρεμεῖν τὸν ἐξ ἀρχῆς τοῖς ἀγαθοῖς ἀντικείμενον· ἀναφέρει γὰρ διὰ τῶν ὑπηρετουμένων αὐτῷ τῷ ἀδίκῳ καὶ πονηρῷ βασιλεῖ, ὡς εἴη τις ἰατρὸς ἐν τῇ Νικαέων, Διομήδης ὀνομαζόμενος, πᾶσαν, ὡς εἰπεῖν, τὴν πόλιν τῆς τῶν θεῶν ἀποστήσας λατρείας καὶ τῷ ἐσταυρωμένῳ προσαγαγών. αὐτίκα τοίνυν ὁ τοῦ πονηροῦ δαίμονος πονηρότατος ὑπηρέτης δέσμιον αὐτὸν κελεύει ἀχθῆναι κατὰ τὴν Νικομήδους. ἤγετο τοιγαροῦν χαίρων καὶ ἀγαλλόμενος καὶ πολλὰ τοῦ Θεοῦ δεόμενος μὴ παριδεῖν αὐτὸν ἐν ταῖς θλίψεσι, μὴ χώραν δοῦναι τῷ δυσσεβεῖ παρατρέψαι τοῦτον ὅλως τῆς ἀληθείας. ἔμελε δὲ τούτῳ καὶ περὶ τῶν ἄλλων ἁγίων καὶ μεῖναι καὶ αὐτοὺς ηὔχετο στερροὺς καὶ ἀμετακινήτους | ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως. col. 2

5. Καὶ ὅρα μοι ξένον τινὰ μαρτυρίου τρόπον καὶ ὑπερέκπληκτον. νῦν καιρὸς καὶ ἡμᾶς εἰπεῖν κατὰ τὸν Δαυίδ· «Ὡς ἀνεξερεύνητα τὰ κρίματα τοῦ Θεοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». ἀγόμενος γὰρ δέσμιος ὑπὸ τῶν σταλέντων στρατιωτῶν κατενεχθῆναι βραχὺ τοῦ ὀχήματος ἐξαιτεῖ· κἀκεῖνοι τῶν τοῦ σώματος ἀναγκαίων χάριν ὑπολαβόντες γενέσθαι τὴν αἴτησιν, κατενεχθῆναι τοῦτον ἐκέλευσαν. κατενεχθεὶς οὖν καὶ μικρὸν παρεκκλίνας τὴν ὁδὸν ὁ θαυμάσιος τὰ γόνατα θεὶς προσηύχετο (ἔγνω γὰρ πάντως τῇ τοῦ ἀγαθοῦ πνεύματος χάριτι τὸ μέλλον εἰς αὐτὸν γεγενῆσθαι) καὶ οὕτω ποιῶν παρέδωκε τὴν ψυχὴν τῷ κυρίῳ. οἱ τοίνυν στρατιῶται χρο-

4—5 *πρὸ(σ)|ὑπεδείκνυεν H, προσεπεδείκνυεν A* || 6—7 *παρεθάρυνεν H* || 10 *καὶ* om. *A* || 10—11 *ὑπὸ τῶν εὐπορούντων αὐτῶ A* || 13 *οὔτωσ—ἐξαρχῆσ H* || 15 *τίσ AH* || 19 *ἀχθῆναι κελεύει καὶ τὴν A* || 22 *ὅλως* om. *A; ἔμελλε AH* || 23 *ναὶ μὲν καὶ μεῖναι A* || 23—24 *ἀκινήτουσ H* || 25 *ὑπερἔκπληκτον H* || 26 *εἰπεῖν καὶ ἡμᾶσ A* || 30 *γενέσθαι* om. *A* || 31 *παρἔκλῖνασ H*

νίζοντα τοῦτον ἐν τῇ εὐχῇ κατιδόντες διελογίζοντο, τί ἄρα τὰ τῆς βραδυτῆτος εἶναι θέλοι τῷ μάρτυρι. ὡς οὖν προσιόντες εἶδον *f. 192v* αὐτοῦ τῶν δεσμῶν ἀνειμένας || τὰς χεῖρας καὶ τοὺς ἀγκῶνας τῇ γῇ προσερηρεισμένους, ἐξεπλήττοντο, διηπόρουν, οὐκ εἶχον ὅ τι καὶ συλλογίσονται.

6. Ἀποβάντες οὖν τῶν ἵππων καὶ διαναστῆσαι τοῦτον ἐπιχειρήσαντες, ὡς ἀκίνητον εἶδον καὶ νεκρὸν χρηματίζοντα, διεμερίζοντο τὸν νοῦν καθ' ἑαυτούς, τί καὶ πράξουσι. φόβος μὲν γὰρ εἶχεν αὐτοὺς ὁ βασιλικός, εἰ τοῦτον καταλείψαιεν, ἀνθεῖλκε δὲ λογισμὸς ἕτερος, ὡς τί ἄρα καὶ ἔσται νεκρὸς αὐτῷ κομιζόμενος. ὅμως νικᾷ τοῦτο τὸ τὴν κεφαλὴν τοῦ μάρτυρος ἀποτεμόντας τῷ τυράννῳ κομίσαι, ἵν' ἔξω συντηρήσωσιν ἑαυτοὺς ὑπονοίας. γίνεται τοῦτο, καὶ μάρτυς ἀπαράγραπτος ὁ Διομήδης γνωρίζεται. εἰ γὰρ καὶ προήθλησε ταῖς τῶν ἁγίων ἐπισκέψεσι καὶ ταῖς εἰς αὐτοὺς παραινέσεσιν, ἔτι τε καὶ τῇ τοῦ μαρτυρίου ἐλπίδι καὶ τῷ προθύμῳ τῆς *col. 2* ψυχῆς καὶ γενναίῳ, ἀλλ' οὖν καὶ τομὴν ὑπέστη | μαρτυρικὴν κρίμασιν, οἷς οἶδεν ὁ Θεός, καὶ τέλειος ἀνηγόρευται στεφανίτης. τμηθείσης οὖν τῆς παντίμου τούτου κεφαλῆς εὐθὺς οἱ στρατιῶται τὰς ὄψεις περιετμήθησαν καὶ περιῆγον τυφλοί, μηδὲ τὸ σύνολον καθορῶντες τὸ φῶς.

7. Περιαγόμενοι τοίνυν σὺν τῇ μαρτυρικῇ κεφαλῇ τὴν Νικομήδους κατέλαβον καὶ τῷ βασιλεῖ προσιόντες τὸ πρᾶγμα γνωρίζουσι καὶ τὴν κεφαλὴν αὐτῷ προσκομίζουσι. καὶ ὅς, εἰ καὶ διὰ θαύματος τὸ πραχθὲν ἐποιήσατο, ὅμως μηδέν τι προσθέμενος τῷ λοιπῷ σώματι ταύτην ἀποδοθῆναι κελεύει, τὸ αἰδέσιμον τοῦ ἀνδρὸς ἐκ ταύτης καταμαθών. αὐτίκα γοῦν οἱ στρατιῶται τὸν τόπον ἐκεῖνον, εἰς ὃν τὸ μαρτυρικὸν ἔκειτο λείψανον, τάχος καταλαβόντες (ἐτήρει γὰρ αὐτὸ τῆς Νικαέων ὁ λογιστὴς παραδεδομένον αὐτῷ παρὰ τού-*f. 193* των διὰ τὸν τοῦ τυράννου φόβον) || ἅμα τῷ συνάψαι τὴν κεφαλὴν τῷ τοῦ μάρτυρος σώματι καὶ τὸ βλέπειν ἀπέλαβον ὡς τὸ πρότερον καὶ τὴν θεογνωσίαν ἠσπάσαντο καὶ Θεὸν τὸν Χριστὸν ὡμολόγησαν καὶ τὴν ἑλληνικὴν ἀπεβάλοντο πλάνην, ἀλλὰ δὴ καὶ πολλοὺς ἄλλους μεταστήσαντες ἐξ αὐτῆς τῷ Χριστῷ προσηγάγοντο.

8. Πετρωνία γοῦν τις γυνὴ πλούτῳ κομῶσα βαθεῖ, χρήμασι τὸν λογιστὴν ἡττήσασα τὸ μαρτυρικόν σου λαμβάνει σῶμα, πανάριστε,

1 ἐν *om.* A; τὸ τῆσ A || 2 θέλει A; προϊόντεσ H || 4 οὐκεῖχον H || 7 διεμέριζον A || 8 μὲν *om.* A || 17 οἷσ εἶδε θεὸσ καὶ τέλειοσ ἑκατέρωθεν ἀνηγόρευται A || 19 συναπετμήθησαν A; μηδὲ AH || 21 περιαγόμ[ε]|νοι H || 24 ἐποιήσατο H, ἐκομίσατο A; μὴ δέντι H || 28 παρ' αὐτῶν A || 34 γοῦν τίσ H || 35 ἡττήσατο H

καὶ πολυτίμοις ἐν σινδόσιν εἱλίξασα καὶ μύροις ἀλείψασα (καὶ γὰρ ἀπέλαυσέ ποτε τῆς ἀπὸ σοῦ θεραπείας ἐφ' αἷς εἶχε περιωδυνίαις τοῦ σώματος) φιλοτίμως κατέθετο. καὶ νῦν τοὺς οὐρανοὺς κατοικῶν, πανaοίδιμε, καὶ τῷ δεσποτικῷ σὺν ἀγγέλοις παριστάμενος θρόνῳ αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μονῶν τῶν ἄνω τὴν καλὴν κατοικίαν, | col. 2 *κράτος καὶ ἰσχὺν κατὰ τῶν ἐναντίων, ἀΰλου φωτὸς τὴν μέθεξιν, ἡλίου νοητοῦ τὴν ἀνέσπερον φαῦσιν, πάντων ἀγαθῶν τὴν δαψίλειαν καὶ βασιλείας τῆς ἄνω κληρουχίαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ ιζ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΣΤΡΑΤΩΝΟΣ, ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΕΥΤΥΧΙΑΝΟΥ.

1. Τῆς Νικομήδους τὰ κάλλιστα θρέμματα, τοὺς στρατιώτας Χριστοῦ καὶ ὁπλίτας τοὺς νῦν ἡμῖν εἰς διήγησιν προτεθέντας τίς οὐκ ἂν ἀγάσαιτο καὶ εἰς θαῦμα θήσειε, τὸ θαρραλέον αὐτῶν καὶ ἀήττητον ἐκπληττόμενος καὶ τὸ πρὸς Χριστὸν ἐκθειάζων τῆς ἀγάπης διάπυρον, πῶς μηδὲν βασιλικὰς ἀπειλὰς ἡγησάμενοι, πῶς ἐν οὐδενὶ λόγῳ φόβον ἀρχόντων θέμενοι καὶ πῶς κολάσεων αὐτῶν ἀφειδή||σαντες παρρησίᾳ τὸν Χριστὸν Θεὸν ἐκήρυττον ἀληθῆ καὶ f. 193v *πάντας ἐξῆγον τῆς εἰδώλων ἀπάτης καὶ πάντας προσῆγον αὐτῷ διὰ τοῦ κηρύγματος; ἀλλὰ μικρόν τι πρὸς αὐτὴν χρὴ τὴν ὑπόθεσιν τὸν λόγον ἀγαγεῖν.*

2. Οἱ τρεῖς οὗτοι τῆς ζωαρχικῆς τριάδος θεραπευταὶ Στράτων, Φίλιππος καὶ Εὐτυχιανός, οἱ καλῶς ἐν μάρτυσι λάμψαντες καὶ πᾶσαν ὡς εἰπεῖν τὴν γῆν τοῖς ἄθλοις φωταγωγήσαντες, θεάτρου συγκροτουμένου παρὰ τοῦ ἄρχοντος ἐπίτηδες ἀνῄεσαν εἰς αὐτὸ καὶ

1 *πολιτίμοισ* A; *ἐλίξασα* H || 2 *ἀπήλαυσε* A: *ποτὲ—ἐφαῖσ—περιώδυνίαισ* H || 4 sqq. ***Epilogus in A*** *(post πανaοίδιμε): τῷ δεσποτικῷ σὺν ἀγγέλοις παρίστασαι θρόνῳ, βραβεύων ἡμῖν ταῖς ἱκεσίαις σου τὴν κληρουχίαν τῆς βασιλείας τῶν οὐρανῶν ὅτι τῷ Θεῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.*

16 *θήσειεν* ***H*** || 17 *ἀήττητõ* ***H*** || 18 *μὴδὲν* *H* || 22 *κηρύγματοσ* *H*, *βαπτίσματοσ* ***A*** || 24 *Τρεῖσ — ζωάρχϊκῆσ* *H* || 25 *καλῶσ* *H*, *καλὸν* ***A***

τὸν συνηγμένον λαὸν τοῖς θείοις ἐκδιδάσκοντες λόγοις (τοῦτο γὰρ ἔργον αὐτοῖς ἀδιάλειπτον) τῆς εἰδωλομανίας ἐξέσπων καὶ τῇ Χριστοῦ ποίμνῃ καλῶς, οἷά τινες καλοὶ ποιμενάρχαι, προσῆγον. ποτὲ γοῦν κενὸν ὁ ἄρχων τὸ θέατρον θεασάμενος καὶ ὡς εἰκὸς διαπορού- col. 2 *μενος, ᾧτινι τρόπῳ τοῦτο γένοιτο καὶ πῶς | παρὰ πᾶσαν ἐλπίδα συνθήματος ὥσπερ ἔκ τινος ἀπολειφθεῖεν οἱ ὄχλοι, διερωτῶν μανθάνει παρὰ τῶν τῆς πλάνης ὑπασπιστῶν, ὡς ὑπό τινων Γαλιλαίων συνεχῶς διδασκόμενοι τῶν πατρίων ὑπερεῖδον ἠθῶν καὶ ὅλοι τῷ Ναζωραίῳ προσῆλθον, τῶν βασιλικῶν προσταγμάτων κατορχησάμενοι.*

3. *Μαίνεται τούτων ἀκούσας ὁ ἄρχων καὶ συλληφθῆναι τούτους κελεύει καὶ προσαχθῆναι τῷ βήματι. καὶ δὴ καὶ συλληφθέντας καὶ προσαχθέντας «Ὅθεν ἐστὲ» λέγει πρὸς αὐτοὺς ἐκεῖνος, «κατάρατοι, καὶ τίνες ὑμῶν αἱ κλήσεις καὶ τίς ἡ θρησκεία, τὸ τάχος εἴπατε, πρὶν ὑμῶν τὰς σάρκας θήσω πρὸ τῶν ποδῶν».—«Τῆς Νικομήδους ἡμεῖς» εἶπον οἱ μάρτυρες, «Στράτων οὗτος καὶ οὗτος Φίλιππος, Εὐτυχιανὸς ὁ τρίτος καλούμεθα καὶ χριστιανοὶ καὶ Χριστοῦ δοῦλοι* f. 194 *τυγ||χάνομεν».—«Καὶ ἵνα τί μὴ τῇ ὑμῶν ἀρκούμενοι πλάνῃ» φησὶν ὁ ἄρχων «ἔκθεσμά τινα παρεισάγοντες ἀναπείθειν ἐπιχειρεῖτε τὸν ὄχλον ὡς Θεῷ προσέχειν τῷ Γαλιλαίῳ;» —«Ὅτιπερ» οἱ ἅγιοι εἶπον «κηδόμεθα τούτων ὡς ὁμοφύλων καὶ θέλομεν μὴ τῇ ψυχοφθόρῳ τῶν δαιμόνων ἀπάτῃ τούτους ἐμμεῖναι, πρὸς τὸ φῶς δὲ βλέψαι τῆς ἀληθείας καὶ τὸν ἀληθῆ Θεὸν ἐπιγνῶναι καὶ ῥυσθῆναι τούτους τῶν ἐπηρτημένων τοῖς τὰ εἴδωλα προσκυνοῦσι κολάσεων».—«Ἀλλὰ τῶν σαπρῶν τούτων ἀφέμενοι λόγων» ὁ ἄρχων ἔφη, «θύσατε τοῖς θεοῖς προσιόντες, ἵνα καὶ βασιλεὺς αὐτὸ τοῦτο μαθὼν πολλῶν ὑμᾶς τιμῶν τε καὶ δωρεῶν ἀξιώσῃ, κἀγὼ δὲ φίλους ποιήσω καὶ συνήθεις». καὶ οἱ ἅγιοι· «Σὺν ὑμῖν ἴτωσαν αἱ τιμαὶ ὑμῶν εἰς ἀπώλειαν· οὐδὲ γὰρ ἀποστήσεις τούτοις ἡμᾶς, κακότροπε, τῆς εἰς Χριστὸν* col. 2 *ἀγάπης· μὴ ἴδοι ἥλιος | τοῦτο, μὴ θεάσαιτο γῆ. ποίει τοιγαροῦν τὸ τοῖς βασιλικοῖς σου δόγμασι παριστάμενον».*

4. *Τότε θυμωθεὶς ὁ ἀνόσιος θηρσὶν ἐκδοθῆναι τούτους κελεύει. ἄγονται τοίνυν ἐπὶ τὸ στάδιον, δεσμοῦνται χεῖρας καὶ πόδας, ἐπαφίενται τούτοις οἱ θῆρες καὶ — ὢ τῶν παραδόξων σου τεράτων,*

3 καλῶσ *om.* **A** || 6 ὥσπερ ἔκ τινοσ συνθήματοσ ἀπολειφθεῖεν **A**; ἔκτειν H || 8 πατριῶν ἐθῶν ὑπερεῖδον **A** || 9 ναζηραίῳ **A**, ναζορέαίω H || 11 τού|Των H || 13 ὅθεν H, πόθεν **A** || 16 στρατώνικοσ H || 17 δοῦλοι χῦ **A** || 18 πλάνοι H || 19 ἔκθεσμα τινὰ H || 20 ὡς *om.* H; εἶπον Οἱ ἅγιοι **A** || 24 Τῶν H || 26 αὐτὸσ **A** || 27 τιμῶν τὲ H; ποιήσομαι **A** || 28 ἤτωσαν AH || 29 τούτοις *om.* **A** || 30 τοῦτο ἥλιοσ — θεάσοιτο **A** || 31 σου *om.* H || 34 τεράτων H, θαυμάτων **A**

Χριστὲ βασιλεῦ,—πρὸ τῶν ποδῶν ἔκειντο τῶν μαρτύρων οἱ θῆρες, περιλείχοντες αὐτούς, περισαίνοντες, περικυκλοῦντες, τιμῶντες ὥσπερ καὶ προσκυνοῦντες. ἠγανάκτησε τοῦτο κατιδὼν ὁ παράνομος καὶ ξαίνει, φεῦ, τὰς σάρκας αὐτῶν ταῖς μάστιξι καὶ τοσοῦτον, ὡς περιλιμνασθῆναι τοῖς αἵμασι τούτων τὸ ὑποκείμενον ἔδαφος, αὐτοὺς δὲ φόρτον ἄψυχον ὡσανεὶ τῇ φυλακῇ κομισθῆναι.

5. Τῇ ἑξῆς οὖν πυρὰν ὅτι μεγάλην ἀναφθῆναι τῆς πόλεως ἔξω κελεύει. παρίστησι τούτους αὖθις ἐπὶ τοῦ βήματος καὶ θύειν || ἀναγ- *f. 194v* *κάζει τοῖς δαίμοσιν· «Εἰ γὰρ μὴ βούλοισθε» φησὶ «τοῖς τοῦ βασιλέως ὑπείκοντες δόγμασι θυσίαν προσοῖσαι τοῖς μεγίστοις θεοῖς, τὸ πῦρ ὑμᾶς ἐκδέξεται τοῦτο», δείξας αὐτὸ τῇ χειρί. τῶν δὲ μαρτύρων «Μὴ γένοιτο ἡμῖν» εἰπόντων «ἀρνήσασθαί σε, Χριστὲ βασιλεῦ», καὶ πρὸς τὸν τύραννον «Μὴ ἔλπιζε τοῦτό ποτε, παράνομε, κατιδεῖν», ἐκεῖνος ὀργῇ ἀσχέτῳ ληφθεὶς τῷ πυρὶ τούτους ἐκδοθῆναι κελεύει.*

6. Ἄγεσθε τοίνυν ἐπὶ τὴν πυράν, ἀοίδιμοι, περιτίθεσθε δεσμὰ καὶ ταύτῃ παρὰ τῶν δυσσεβῶν ἐκδίδοσθε χαίροντες, ἐν ᾗ καὶ τὸ μαρτυρικὸν τελέσαντες στάδιον τοῖς τῆς μαρτυρίας στεφάνοις κατεκοσμήθητε. καὶ νῦν τῷ δεσποτικῷ παριστάμενοι θρόνῳ καὶ τῶν πόνων ἀπολαμβάνοντες τοὺς μισθοὺς νέμοιτε ταῖς εἰς Θεὸν ὑμῶν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ φιλο|χρίστῳ καὶ φιλομάρτυρι μήκιστον *col. 2* *τὴν ζωὴν καὶ ἀτάραχον, ἰλύος πάσης ἀπηλλαγμένην, ἥσυχον καὶ ἤρεμον τὴν βασιλείαν, λαμπροῖς τροπαίοις κατ᾽ ἐχθρῶν κοσμουμένην, πάντων ὡς εἰπεῖν τῶν καλῶν ἀφθονίαν καὶ τῆς ἄνωθεν λήξεως τὰς ἐπαύλεις ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

3 *Ἠγανάκτησε* *ΑΗ* || 4 *αὐτῶν τὰσ σαρκασ* *Α* || 6 *φυλακῇ* *Η*, *φρουρᾷ* *Α* || 8 *τούτους* om. *Η* || 9 *Γὰρ* *Η* || 10 *δόγμασιν* *Α* || 12 *ἀρνήσεσθαί* *Α* || 13 *τοῦτο ποτὲ* *ΑΗ* || 14 *ὀργὴ* *Α* || 15 *Τοίνυν* *Η*, *Ἐπὶ* *Α*; *παναοίδιμοι δεσμὰ περιτίθεσθε* *Α* || 18—24 *καὶ νῦν — ἐπαύλεις* om. *Α* || 24—25 *ᾧ πρέπει δόξα, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.* *Α*

Μηνὶ τῷ αὐτῷ ιη'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΛΑΥΡΟΥ ΚΑΙ ΦΛΩΡΟΥ.

1. Καὶ τὸ τῆς καλῆς ξυνωρίδος ταύτης τῶν αὐταδέλφων διὰ Χριστὸν μαρτύριον, Λαύρου φημὶ καὶ Φλώρου τῶν ἡττήτων, εἰς μέσον προθεῖναι τοῖς φιλομάρτυσιν οὐκ ἐπαινετὸν μόνον, ἀλλὰ καὶ λίαν ὠφέλιμον· ἔχει γὰρ μετὰ τῆς μαρτυρίας πολὺ καὶ τὸ χάριεν. οὗτοι τοιγαροῦν οἱ θαυμάσιοι δίδυμοι τίκτονται τοῖς γεννή- f. 195 *τορσιν· τῷ τοι καὶ ὁμοφρόνως τὴν || ἀρετὴν μᾶλλον τῶν ἄλλων ἠσπάζοντο καὶ ὁμογνώμως τοῖς αὐτῆς κάλλεσιν ἐνετρύφων· τὴν λιθοξόων δὲ ἐκπαιδεύονται τέχνην· Πρόκλος αὐτοῖς καὶ Μάξιμος ἐγνωρίζοντο οἱ διδάσκαλοι. ἀλλ' οὗτοι μὲν τὸν ὑπὲρ Χριστοῦ τελέσαντες καλῶς ἀγῶνα καὶ τὸν τῆς νίκης στέφανον ἐκομίσαντο· Λαῦρος δὲ καὶ Φλῶρος οἱ γενναιότατοι τὰς ἐν Βυζαντίῳ διατριβὰς καταλιπόντες τὴν τῆς Δαρδανίας χώραν ἐν τῷ Ἰλλυρικῷ κατέλαβον καὶ τὴν πόλιν Οὐλπιανῶν εἰσιόντες παρὰ Λύκωνι τῷ ἡγεμόνι τὴν οἰκείαν τέχνην εἰργάζοντο. Ἁδριανὸς ἐβασίλευε τότε. χρόνων οὖν πολλῶν παρεληλυθότων Λικίνιος, ὁ τῆς βασιλίσσης Ἐλπιδίας υἱός, γράμματα στέλλει πρὸς Λύκωνα, Λαῦρον αἰτῶν καὶ Φλῶρον τοὺς ἀοιδίμους (περίφημοι γὰρ οἱ ἄνδρες) σταλῆναι πρὸς αὐτόν, ἐφ' ᾧ, φησί, ναὸν οἰκοδομήσαιεν τοῖς θεοῖς πρός τε κάλλος καὶ μέγεθος |* col. 2 *τοῖς ἁπάντων ἀξιοθέατον ὀφθαλμοῖς.*

2. Στέλλει τοίνυν ἐκεῖνος αὐτίκα τούτους πρὸς αὐτὸν σὺν ἑτέροις οὐκ ὀλίγοις ἐργάταις· καὶ ὁ Λικίνιος ἀσμενέστατα τούτους ἀποδεξάμενος τὴν οἰκοδομὴν αὐτίκα τοῦ ναοῦ διαγράφει καὶ χρήματα τούτοις δίδωσι πλεῖστα καὶ φιλοτιμίας ἄλλας εἰς τὸ ταχέως ἅμα καὶ καλῶς τὸ ἔργον ἐκτελεσθῆναι, προσυποσχόμενος καὶ ἕτερα

2 *φλώρου καὶ λαύρου* A, *φλῶρου* H || 6 *προθῆναι* H || 7 *πολὺ* om. A || 8 *Οὗτοι τοιγαροῦν* AH; *τοῖς γεννήτορσι τίκτονται* A || 9 *τῶτοι* A, *τώ τοι* H; *μᾶλλον* om. H || 10 *κάλεσιν* H || 11 *δὲ* om. H || 12 *ἐγνωρίζοντο* om. A || 14 *καταλιπόντεσ διατριβὰς* A || 15 *δαρδανείασ* AH || 16 *ἰιόντεσ* H || 18 *πολλῶν* H, *οὐκ ὀλίγων* A || 18, 24 *λικίννιοσ* A || 19 *αἰτὸν* H || 27 *πρὸσύποσχόμε|νοσ* H

δώσειν, εἴ γε κατὰ νοῦν αὐτῷ καὶ σκοπὸν τὸ ἔργον τελέσαιεν. ἄρχονται τοιγαροῦν τῆς οἰκοδομῆς οἱ γενναῖοι καὶ ἡμέρας μὲν εἴχοντο τοῦ ἔργου, νυκτὸς δὲ ταῖς εὐχαῖς ἐσχόλαζον καὶ δεήσεσι καὶ τὰ χρήματα τοῖς ἐνδεέσιν οἱ κάλλιστοι ἐργάται παρεῖχον. πλὴν ἐντεῦθεν ἄρχονται καὶ τῶν σημείων οἱ μάρτυρες. Ἀναστασίου γάρ τινος τῶν βδελυκτῶν εἰδώλων ἱερέως υἱὸν (Ἀλέξανδρος ἦν ἡ κλῆσις αὐτῷ) ἐκεῖσέ που παρε||στηκότα λίθου τις ψηφὶς ἐκπηδήσασα τὸν ἕνα f. 195v *τῶν ὀφθαλμῶν ἀπετύφλωσεν. ἐφ' ᾧπερ ὁ πατήρ, οἷα πατὴρ ἀδημονῶν καὶ λυπούμενος, τῷ Λικινίῳ κατὰ τῶν αὐταδέλφων γνωρίζει τὸ πρᾶγμα· καὶ ὃς ἀκούσιον εὑρηκὼς τὸ ἁμάρτημα ἀφῆκεν αὐτοὺς τῆς εὐθύνης. ἀλλ' οἱ ἅγιοι τὸν Ἀλέξανδρον, λόγοις πρότερον τὴν πίστιν καλῶς ὑποθέμενοι, ἐπειδὴ συγκατατιθέμενον εὗρον, ἀποδιδοῦσι τούτῳ τὸ φῶς ἐν Χριστῷ· καὶ θαῦμα γίνεται τῷ πατρί, καὶ πιστεύει καὶ οὗτος καὶ τῇ Χριστοῦ ποίμνῃ προστίθεται σὺν υἱῷ.*

3. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. τῆς οἰκοδομῆς τοῦ ναοῦ τέλος ἤδη λαβούσης καὶ τοῦ Λικινίου βδελυγμάτων τοῦτον πληρώσαντος οἱ καλλίνικοι μιᾷ τῶν νυκτῶν τοὺς πένητας ἐκείνους, οἷς ἐδίδουν τὰ χρήματα, συναγαγόντες καὶ κηροὺς ἀνάψαντες τὸν ναὸν τοῦτον κατέλαβον ψάλλοντες, προηγούμενον τὸ ὅπλον ἔ|χοντες col. 2 *τοῦ τιμίου σταυροῦ. εἶτα σχοίνους τῶν εἰδωλικῶν τραχήλων ἐκδήσαντες εἰς γῆν, φεῦ, τοὺς θεοὺς κατέρραξαν καὶ συντριβὴν αὐτῶν μεγίστην εἰργάσαντο. καὶ ἦσαν οὕτω δι' ὅλης τῆς νυκτὸς αἰνοῦντες καὶ εὐλογοῦντες τὸν κύριον. οὐκ ἔλαθε τὸν Λικίνιον τοῦτο (πῶς γάρ;), καὶ συσχεθῆναι πάντας κελεύει καὶ κάμινον ἀναφθῆναι μεγάλην καὶ ἐν ταύτῃ τούτους ἅπαντας πλὴν τῶν αὐταδέλφων μόνων βληθῆναι. γέγονε τοῦτο, καὶ Θεῷ παρέθεντο τὰ πνεύματα χαίροντες.*

4. Ἄγει τοίνυν τοὺς μάρτυρας ὁ Λικίνιος εἰς ἐξέτασιν, αἰτιᾶται τὰ πεπραγμένα, συγχωρεῖν αὐτὰ λέγει, εἰ μόνον θύσαιεν τοῖς θεοῖς. οὐ πείθονται· καὶ ξαίνει τούτων ὠμοῖς νεύροις τὰς σάρκας ἐπὶ τοσοῦτον, ὡς αἵματος ἅπαν ἐκεῖνο πληρωθῆναι τὸ ἔδαφος. εἶτα στρατιώταις αὐτοὺς παραδοὺς πρὸς τὸν ἀνθύπατον ἀπαχθῆναι κελεύει. ἀγόμενοι τοιγαροῦν καὶ ἕτερον || τελοῦσιν οὐκ ἔλαττον f. 196 *τοῦ πραχθέντος κατόρθωμα· τοὺς στρατιώτας αὐτοὺς (δέκα δὲ ἦσαν τὸν ἀριθμόν) πρὸς τὴν εἰς Χριστὸν μετάγουσι πίστιν, καὶ ψυ-*

2 *Τοιγαροῦν* A, *τοιγαροῦν* H; *εἴχοντο* H || 4 *παρεῖχον ἐργάται* A || 7 *τίσ* AH || 8 *οἷα πατὴρ* om. H || 9 *λικιννίῳ* A || 14 *προστήθεται* H || 16 *λικιννίου* AH || 20 *τιμίου* H, *σοίου* A || 21 *κατέρρεξαν* A || 23 *καὶ εὐλογοῦντες* om. A; *λικίννιον* AH || 25 *καὶ ἐν* H, *κἀν* A; *μόνων* om. A || 21 *τὰ πνᾶτα παρέθεντο* A || 28 *λικίννιοσ* AH || 30 *πίθονται* H; *ξένει* A

χῶν οἰκοδόμοι δειχθέντες καὶ μᾶλλον οἱ μάρτυρες· ὅμως παραστάντες τῷ Λύκωνι, τί ἄρα καὶ εἴη τὰ πεπραγμένα τούτοις ἠτάζοντο. καὶ οἱ ἅγιοι «Τὸ ἔργον ἐτελέσαμεν» εἶπον, «τὸν ναὸν ἡγιάσαμεν, τοὺς θεοὺς συνετρίψαμεν, τοὺς στρατιώτας, οὓς ὁρᾷς, τῷ Χριστῷ προσηγάγομεν καὶ νῦν ἑστήκαμεν πρὸς τὴν σὴν ἐξουσίαν. ποίει τοίνυν τὸ σοὶ παριστάμενον». ἤκουσεν ὁ ἀνθύπατος καὶ τότε μὲν τῇ φυλακῇ τούτους δίδωσι, πρωΐας δὲ γενομένης ἄγει πάλιν μόνους τοὺς ἁγίους πρὸς τὴν ἐξέτασιν, καὶ «Εἰ μὴ θυσίαν τοῖς θεοῖς» φησὶ «τῇ σήμερον προσενέγκοιτε, διαφόροις ὑμᾶς βασάνοις ὑποβαλὼν οὕτω καὶ πικρὰν ὑμῖν τελευτὴν προσενέγκω».

col. 2 5. Καὶ οἱ ἅγιοι· «Πᾶν εἴ τι βούλει ποίει, | ἀνθύπατε· ἡμᾶς γὰρ οὐχ ἕξεις τὸ σύνολον τῷ σῷ καθυπηρετουμένους θελήματι. μὴ τοίνυν τὸν χρόνον τρῖβε μηδὲ λόγους κίνει, πτηνῶν δίκην οἰχομένους ἀφ᾽ ἡμῶν». τότε κελεύει τὸ τοῦ δαίμονος ἐργαστήριον ὁ κατάρατος ἄρχων ἐν ὅτι βαθυτάτῳ φρέατι τούτους ἀπορριφῆναι. ἤχθησαν οὖν κατὰ τὸν τόπον οἱ μάκαρες καὶ στάντες εἰς προσευχήν, «Κύριε» εἶπον «ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, ἐπάκουσον τῆς δεήσεως ἡμῶν, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν· καὶ γενέσθω τὸ ὕδωρ τοῦτο λουτρὸν ἡμῖν παλιγγενεσίας τῇ τοῦ παναγάθου σου πνεύματος χάριτι· δέξαι δὲ καὶ τὰς ψυχὰς ἡμῶν ἐν εἰρήνῃ καὶ ἀνάπαυσον ἡμᾶς ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς τῶν ἁγίων σου· καὶ τοῖς ἐπιτελοῦσι δι᾽ ἔτους τὴν τῆς μαρτυρίας ἡμῶν μνήμην χάρισαι τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον». ||

f. 196v 6. Ταῦτα εἶπον, καὶ φωνὴ κατηνέχθη τῶν οὐρανῶν, «Δεῦτε» λέγουσα «πρός με οἱ ἐργάται τοῦ ἀμπελῶνός μου, κἀγὼ ἀναπαύσω ὑμᾶς». ταύτης τῆς φωνῆς ἐνεχθείσης θάρσους οἱ μάρτυρες ὑπεπλήσθησαν καὶ χαίροντες τῷ βυθῷ παρεδόθησαν· οἱ τοίνυν τῆς ἀληθείας ἐχθροὶ λίθοις ἀναχώσαντες τὸ φρέαρ ὅλον, τοῦτο τοῦ τυράννου κελεύσαντος, ἐκεῖθεν ἀνέστησαν.

Χρόνοι παρῆλθον ἔκτοτε πλεῖστοι, καὶ τοῦ διωγμοῦ παυσαμένου, καλλίνικοι μάρτυρες, τινὲς τῶν φιλοχρίστων τὸν τόπον καταλαβόντες, οὗ δὴ τὸ φρέαρ ἦν, καὶ ἀνορύξαντες ἀνάγουσιν ὑμῶν ἐκεῖθεν

3 Ἅγιοι *H* || 7 *et* 9 τῇ *om.* *A* || 8 πρὸσ *H*, εἰσ *A*; εἰμὶ *pro* εἰ μὴ *H* || 9 ἡμᾶσ *A* || 10 καὶ *om.* *A* || 11 εἴ τι καὶ βούλει *A*; γὰρ *om.* *H* || 12 οὐχ ἕξει — καθυπηρετουμένουσ *A* || 13 τρῖβε τὸν χρόνον *A*; μηδὲ *H* || 14 ἀφ᾽ ἡμῶν *A*, ἡμῶν *H* || 16 μάκαρεσ *H*, μάρτυρεσ *A*: προσευχὴν *H* || 19 παλινγενεσίασ *H* || 20 δέξαι *H*, πρόσδεξαι *A* || 21 ζόντων *H* || 26 ἀμπελῶνοσμου *H* || 27—30 *pro* οἱ μάρτυρες— ἀνέστησαν *haec habet* *A*: οἱ μάρτυρες ὑποπλησθέντες τῷ φρέατι ἐναπορρίπτονται καὶ γῇ πολλῇ συγκαλυφθέντες τὰς ἁγίας αὐτῶν ψυχὰς ἀνέθεντο τῷ κῷ΄. || 28 Οἱ *H* || 31 χρό|Νοι *H* || 33 οὗ *H*, ποῦ *A*

τὰ λείψανα, εὐωδίαν οὐκ ἔστιν εἰπεῖν ὅσην καὶ χάριν ἐκπέμποντα. ὅτε δὴ καὶ Ζωτικός, ὁ τοῦ ἄρχοντος ἀδελφιδοῦς, τυφλοὺς ἔχων τοὺς ὀφθαλμοὺς ἀνέβλεψε καὶ βαπτισθεὶς ἐπίστευσεν εἰς Χριστόν, ἀλλὰ καὶ πλεῖστα | ἄλλα καὶ μέγιστα διαπέπρακτο θαύματα παρ' ὑμῶν. ὡς col. 2 *τῷ δεσποτικῷ τοίνυν παριστάμενοι θρόνῳ νέμοιτε ταῖς εἰς Χριστὸν ὑμῶν εὐπροσδέκτοις πρεσβείαις βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ φιλαγίῳ μόνιμον καὶ διαρκῆ καὶ πᾶσι πλήρη καλοῖς τὴν ζωήν, ἰσχὺν ἀπροσμάχητον καὶ δυναστείαν, ἡλίου λαμπροῦ καὶ νοητοῦ τὴν λάμψιν, πάντων τῶν τερπνῶν καὶ ἀγαθῶν τὴν δρέψιν καὶ τῆς ἀγήρω βασιλείας τὴν λῆξιν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει πᾶσα δόξα καὶ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν».*

Μηνὶ τῷ αὐτῷ ιθ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΝΔΡΕΟΥ ΤΟΥ ΣΤΡΑΤΗΛΑΤΟΥ.

1. Τὸν θαυμαστὸν Ἀνδρέαν τὸν στρατηλάτην μέγιστον ὄντα καὶ περίδοξον ταῖς θείαις ἀρεταῖς μέγιστον ἐντεῦθεν ἔσχε καὶ ἡ κατὰ τῶν ἐναντίων συμπλοκὴ καὶ παράταξις. οὐκ ἔστι γάρ, ὅτῳ ἂν ἐντύχῃ || στίφει πολεμικῷ, μὴ ἔτρεψε τοῦτο καὶ κατὰ κράτος ἐνίκη- f. 197 *σεν. ἔνθεν τοι καὶ πολέμου κατ' ἐκεῖνο καιροῦ Περσικοῦ κατὰ Μαξιμιανοῦ τοῦ δυσσεβοῦς κινηθέντος, ἐπείπερ οὗτος ἀπηγόρευσε πρὸς τὸ στράτευμα καὶ δέει συνείχετο μή πού τι καὶ τῶν ἀπροσδοκήτων τούτῳ συμβῇ, τῶν Ἀνδρέου στρατηγημάτων ἐπιμνησθεὶς τάχος αὐτὸν μεταπέμπεται καὶ τῶν ἀνδραγαθημάτων ἀναμνήσας αὐτὸν καὶ πλεῖστα παραθαρρύνας καὶ τὸν Περσικὸν αὐτῷ προσαναθέμενος πόλεμον καὶ πολλὰ προσυποσχόμενος δώσειν καλὰ τῇ κατορθώσει, δόξαν, πλοῦτον, εὔκλειαν καὶ τἄλλα τὰ τοῦ κόσμου τερπνά, στέλλει πρὸς τὴν τῶν ἐναντίων παράταξιν.*

2. Ὁ δὲ πλήθους μὲν στρατιωτικοῦ καὶ ὅπλων καὶ λοιπῆς ἄλλης συμμαχίας καταφρονήσας, πρὸς μόνον δὲ Θεὸν τὸν δυνάμενον σώζειν θέμενος τὴν ἐλπίδα, | τάχος κατὰ τῶν ἀντιτεταγμένων col. 2 *ἐχώρει. ἤδη δὲ μέλλων συμπλοκὴν τῆς μάχης ποιῆσαι, λόγοις τὸ ὑπήκοον θεοπειθέσιν ἐθάρρυνε καὶ μᾶλλον οὓς ἀρχῆθεν εἶχε καὶ*

3 sqq. ***Epilogus in*** *A: ἐπίστευσεν εἰς Χριστόν, ᾧ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.* || **15** *ἀνδρέα H* || **15—16** *ὄντα ταῖσ θείαισ ἀρεταῖσ καὶ περίδοξον A* || **16** *ἔσχεν H* || **17** *ὅτι ἂν* **(iota evanido)** *H* || **18** *ἐντύχοι A; κατακράτοσ H* || **19** *ἔνθέν τοι AH* || **21** *μήπου τί A, μή πουτι H* || **24** *παρ[a]|θαρύνασ H* || **25—26** *δοῦναι τῇ κατορθώσει καλὰ A* || **26** *τἄλλα A, τᾶλλα H* || **32** *ἐθάρυνε H*

τῇ πίστει καὶ τοῖς πολεμικοῖς ἀνδραγαθήμασι σύμπνοας, «Μὴ δὴ» λέγων, «ὦ στρατιῶται, περὶ τὸν πόλεμον δειλανδρήσητε, μηδὲ φόβος ὑμᾶς συσχέτω τοῦ πλήθους τῶν ἐναντίων· οὐκ ἀνέγνωτε, πῶς διώξεται χιλίους εἷς καὶ δύο μετακινήσουσι μυριάδας; ἢ οὐ πεῖραν ἔσχετε τῶν πραγμάτων, πῶς ἐπὶ τῷ ὀνόματι Χριστοῦ πᾶσαν ἐναντίων ἐτροπωσάμεθα φάλαγγα μέχρι τῆς σήμερον ἐν ταῖς πολεμικαῖς συμμίξεσί τε καὶ προσβολαῖς; δεῦτε τοιγαροῦν, τὸν ὄντως Θεὸν ἐπικαλεσώμεθα πρὸς βοήθειαν, καὶ ὄψεσθε τὴν ἄμαχον αὐτοῦ καὶ ἀνίκητον δύναμιν».

3. Ταῦτα ὁ μὲν Ἀνδρέας εἶπε· τὸ δὲ στρατιωτικὸν ἅπαν θείας, ὡς εἰπεῖν, ἐμπνευσθὲν τῆς ἰσχύος μετὰ πολλοῦ τοῦ θάρσους ὁρμή- f. 197v σαντες τρέπουσί τε τὰς παρατάξεις τῶν ἐναντίων || καὶ μεγάλην κατ' αὐτῶν λαμβάνουσι νίκην. ταύτης γοῦν τῆς νίκης μάρτυρας τοὺς οἰκειοτέρους αὐτῷ ποιησάμενος προσάγει τῷ Χριστῷ διὰ τῆς νουθεσίας καὶ τελείους αὐτοὺς ἀπεργάζεται λάτρας τῆς θεαρχικῆς καὶ μεγάλης τριάδος. τούτων δὲ οὕτω πραχθέντων πῶς οἴεσθε τὸν πονηρὸν καὶ τοῖς καλοῖς εἰωθότα βασκαίνειν ὑπενεγκεῖν τὴν ἧτταν, καὶ δῆμον τοσοῦτον ὁρῶντα Χριστῷ διὰ τοῦ στρατηλάτου προσαχθέντα καὶ προέσθαι δι' αὐτὸν καὶ ψυχὰς αὐτὰς ἐπειγόμενον; τῷ τοι καὶ σκάνδαλα τρίβου τοῦ μάκαρος ἐχόμενα τίθησι, καὶ μᾶλλον ὁρῶν αὐτὸν καὶ τὴν κατὰ τῶν ὑπηρετουμένων αὐτῷ δαιμόνων ἐξουσίαν λαβόντα· πολλοὺς γὰρ ἐξ ἀνθρώπων ἀπήλασε καὶ πολλοὺς ὄρεσιν ἀβάτοις διαιτᾶσθαι κατέκρινεν. ἃ δὴ καὶ μᾶλλον ἐτίτρωσκε τὸν κακοῦργον.

4. Καὶ δῆτα πρὸς Ἀντιόχειαν διαβάντα τὸν στρατηλάτην μετὰ col. 2 τὴν νίκην διαβάλλει ⟨τοῦτον⟩ πρὸς Ἀντίοχον τὸν ἀνόσιον τύραν|νον διά τινων τῶν ὑπηρετουμένων αὐτῷ, ὡς εἴη τὰ χριστιανῶν Ἀνδρέας φρονῶν καὶ Θεὸν τὸν ἐσταυρωμένον ὁμολογῶν καὶ ὡς παρ' οὐδὲν τίθεται τὴν τῶν θεῶν θεραπείαν. εὐθὺς οὖν ἐκεῖνος διὰ τῶν σταλέντων ἐπὶ τοῦτο παντοίως ἀκριβωσάμενος καὶ οὕτως ἔχειν μεμαθηκὼς γράμμασι τοῦτον διαφοβεῖν ἐπεχείρει καὶ συνταράττειν, «Οἶδας» δηλῶν, «Ἀνδρέα, οἷος ἐγὼ περὶ τοὺς σεβομένους Χριστόν, βαρὺ πνέων, βαρὺ κολάζων, δεινῶς τούτους ἐξαναλίσκων· ἵν' οὖν μὴ τὰ ὅμοια πάθῃς καὶ αὐτός, ἐπίσχες σου τὴν ἐπὶ τούτοις ὁρμὴν καὶ πρόσιθι τοῖς θεοῖς. τί γὰρ δὴ καὶ σκοπῶν τὸν ὑπὲρ τοῦ

1 μήδὲ H || 2 δειλανδρήσηται A; μήδὲ H || 3 οὐκανέ|γνωτε H || 4 εἰσ χιλίουσ A; πεῖραν H || 5 ἔχετε — ἐναντίαν A || 7 τοιγαροῦν H || 8 τὴν om. A || 10 ὁ om. A; εἶπεν H || 11 ἐμπνευσθέντεσ A || 13 γοῦν H; τοὺς om. A || 14 τῷ om. A || 17 καλλοῖσ H || 19 ἐπειγόμενον A, προϊέμενον H; τῶτοι A, τῶ | Τοι H || 22 γὰρ om. H || 25 τοῦτον eieci || 28 Ἐυθὺσ H || 29 ἐπὶ τούτῳ A || 30 γράμμασιν H || 32 δεινῶσ H || 33 πάθησ A, πάθοισ H

Γαλιλαίου λόγον προβάλλῃ;» πρὸς ταῦτα πάλιν ὁ τοῦ Χριστοῦ στρατιώτης «Οὐ φοβήσεις με τούτοις» ἀντεδήλωσε, «τύραννε, γενναιότερον δὲ καταστήσεις, ὡς ἂν κἀγὼ μετὰ πάντων νικήσας σου τὰς ἐπινοίας καὶ τὰς κολάσεις στεφανηφόρος σὺν αὐτοῖς παραστήσομαι τῷ Χριστῷ καὶ τῶν αὐτῶν ἐκείνοις || ἀπολαύσω καλῶν». καὶ ἅμα f. 198 *γνωρίζει τοῖς πιστοῖς στρατιώταις τὰ γεγραμμένα.*

5. *Ὁ τοίνυν ἀλαζὼν ἐκεῖνος καὶ ἄθεος δέσμιον τὸν Ἀνδρέαν εἰσαχθῆναι κελεύει παρ' αὐτῷ. πλεῖστα γοῦν αὐτὸν μεταπείσειν ἐπιχειρῶν, ἐπειδήπερ ὁ καλὸς στρατιώτης τρανῶς εἰς μέσον Θεὸν τὸν Χριστὸν ὡμολόγησεν, ὁ σκολιὸς ἐκεῖνος κατειρωνευόμενος ὥσπερ αὐτοῦ φησὶ πρὸς τοὺς δορυφόρους· «Ἐπειδὴ πολλὰ φαίνεται καμὼν Ἀνδρέας ἐν τοῖς πολέμοις, ἀναπαύσεως αὐτῷ κατασκευάσωμεν τόπον». καὶ εὐθὺς ἐκέλευσε, καὶ κλίνη γέγονε σιδηρᾶ καὶ πῦρ ὑπεστρώθη ταύτῃ πολύ, ὥστε καὶ σπινθῆρας ἐκεῖθεν ἐκπέμπεσθαι, καὶ οὕτως ὥσπερ ἐπί τινος στρωμνῆς ὁ δίκαιος ἐπ' αὐτὴν ἀνεκλίθη. πέφλεκτο τοιγαροῦν τὸ καρτερικὸν ἐκεῖνο σῶμα δεινῶς καὶ δριμείαις ὀδύναις ὁ μάρτυς ἐβάλλετο. ἀλλ' ἡ τοῦ πνεύματος θεία δρόσος ἀναψυχὴν αὐτῷ παρέσχετο καὶ ἀνάψυξιν, τοῦ | πυρὸς μεταβληθέν-* col. 2 *τος ἐπὶ τούτῳ.*

6. *Ὁ τοίνυν παράνομος τοὺς πεπιστευκότας ἀγαγὼν στρατιώτας ξύλοις ἐκέλευσε τὰς αὐτῶν χεῖρας προσηλωθῆναι, πυνθανόμενος αὐτῶν ὁ κακοῦργος, εἰ πρὸς ἡδονὴν ἔχουσι τοῦτο. ἐπεὶ δὲ ἤκουσε χαίρειν αὐτοὺς ἐν τούτοις, ἅτε μιμητὰς τοῦ ἐν σταυρῷ τὰς χεῖρας τανύσαντος γεγενημένους Χριστοῦ, ἐπὶ τὸν δίκαιον πάλιν τρέπει τὸν λόγον καὶ εἰ μεταμεμέλητο τῶν δεδογμένων διερωτᾷ καὶ τῆς χριστιανῶν μετάθοιτο πίστεως. τοῦ δὲ τῶν εἰς τέλος τὴν ὑπομονὴν ποιουμένων εἰπόντος εἶναι τὸ σώζεσθαι, ὁ τύραννος τῇ φρουρᾷ τοῦτον ἀπαχθῆναι κελεύει καὶ ἅμα γράμμασι Μαξιμιανῷ τῷ δυσσεβεῖ βασιλεῖ πάντα γνωρίζει τὰ κατ' αὐτόν. ἐκεῖνος δὲ συνδιασκεψάμενος γράφει πρὸς αὐτὸν οὕτως, ὡς «Εἰ μὲν λόγοις τισὶ πιθανοῖς δυνήσῃ τοῦτον εἰς τὴν ἡμῶν γνώμην ἀναγαγεῖν, εὖ ἂν ἔχοι, εἰ δ' οὖν, ἵνα μὴ στάσις καὶ· παρ' ἑτέρων γένοιτο διὰ τὸν ἄνδρα, || πολλῶν κατορθωμάτων γινωσκόμενον αἴτιον, τέως μὲν* f. 198v *τῆς αἰτίας ταύτης ἀπόλυσον, ἐν κρυπτῷ δὲ μετ' ὀλίγον ὡς ἐφ' ἑτέρῳ πλημμελήματι τοῦτον μέτελθε μετὰ τῶν σὺν αὐτῷ».*

1 *προβάλη* H || 7 *ἀλάζων — ἀνδρέ* H || 8 *παρ' αὐτῷ* H, *πρὸσ αὐτὸν* A; *πλείστα γοῦν* H || 9 *ἐπιδήπερ* H || 10 *ἐκεῖ°* A || 13 *εὐθὺσ* H, *εὐθέωσ* A || 15 *ἐπ' αὐτὴν: ἐπ' αὐτῆς?* || 17 *θεῖα* A || 18—19 *μεταβληθέντοσ τοῦ πυρὸσ ἐπὶ τοῦτο* A || 22 *Ἐπεὶ* H || 24 *γινομένουσ* A || 25 *μεταμέλητο* H || 26 *μετατίθοιτο* A || 29 *σὺνδιασκεψάμενοσ* H

26—27 *τῶν εἰς τέλος — σώζεσθαι:* cf. Matth. 10, 22 et 24, 13; Marc. 13, 13.

7. Δέχεται τὴν γραφὴν ὁ Ἀντίοχος, ποιεῖ τὰ κεκελευσμένα καὶ τῆς φυλακῆς ἐξάγει τὸν μάρτυρα καὶ τοὺς ἄλλους τῶν δεσμῶν ἀπολύει, ἀμερίμνως διάγειν ἐπιτρέψας αὐτούς. οὐκ ἔλαθε τοῦτο τὸν στρατηλάτην, θεία γάρ τις ὄψις δῆλον αὐτῷ τὸν δόλον ἐποίησε, καὶ παραλαβὼν τοὺς σὺν αὐτῷ τὴν Ταρσέων πόλιν κατέλαβε καὶ Πέτρῳ τῷ ταύτης ἀρχιερεῖ προσιὼν δέχεται σὺν αὐτοῖς τὴν χάριν τοῦ θείου βαπτίσματος. οὔπω γὰρ ἦν φωτισθείς. ὁ τοίνυν Ἀντίοχος τὴν ἀπανάστασιν Ἀνδρέου μαθὼν καὶ τῶν σὺν αὐτῷ πρὸς Σέλευκον γράφει, διέποντα τηνικαῦτα τὴν Κιλικίαν, τάχος δεσμίους αὐτῷ τοὺς ἄνδρας ἐξαποστεῖλαι· «Εἰ δέ τι» φησὶ «νεωτερισμοῦ col. 2 *ποιοῦντας κατίδοις, ξίφεσι | στρατιωτικοῖς αὐτοὺς ἐξανάλωσον».*

8. Μυεῖται καὶ τὰ περὶ τούτου ὁ καλὸς τοῦ Χριστοῦ στρατιώτης παρὰ τῆς τοῦ ἀγαθοῦ πνεύματος χάριτος καὶ εὐθὺς ἅμα Νόννῳ τῷ ἐπισκόπῳ Βεροίας καὶ τοῖς λοιποῖς ἐπὶ τὴν Ταξινῖτιν ὥρμησε χώραν. τοῦ Σελεύκου δὲ διώκοντος ὅση δύναμις ὁ μακάριος ὑπεραναβὰς τὸν Ταῦρον καὶ διὰ τῆς Ταμαληνῆς διελθὼν χώρας, εἰς τὰ μέρη τε γενόμενος τῆς Μελιτηνῆς τοῖς λεγομένοις Χαυσόριον καὶ Χαράβαθον παρενέβαλε τόποις. διαποροῦντος οὖν τοῦ Σελεύκου, μὴ εἰδότος, ποίαν ὁ στρατηλάτης ἐτράπετο τὴν ὁδόν, Μαρτῖνός τις οὕτω καλούμενος κατεμήνυσε τὴν ὁδόν· καὶ δὴ καταδραμὼν ὁ Σέλευκος ἐν τῷ δηλωθέντι Χαυσορίῳ τὴν ὁρμὴν ἐποιεῖτο. ὅπερ γνοὺς ὁ θειότατος μάρτυς πρὸς τὰ στενὰ τοῦ Ταύρου θείας ἐκ προνοίας ἐχώρει· τοῦτον γὰρ ᾔδει τὸν τόπον τὸ τέλος τῆς αὐτῶν μαρτυρίας ἰδεῖν.

f. 199 *9. Ἐπεὶ δὲ ὁ Σέλευκος καταλαβὼν ἐ||κείνους τοὺς τόπους μακρόθεν τοὺς μάρτυρας αὐλιζομένους εἶδεν, ἐπαφίησιν αὐτοῖς ξιφήρεις ἄνδρας καὶ δεινοὺς τὴν ὀργήν. οὓς οἱ μάρτυρες θεασάμενοι ἔστησαν εἰς προσευχὴν καὶ μετὰ τὸ τελέσαι ταύτην «Κύριε» εἶπον «Ἰησοῦ Χριστέ, δέξαι τὰ τῶν δούλων σου πνεύματα καὶ ἀξίωσον τῆς σῆς βασιλείας μετόχους ἡμᾶς γενέσθαι καὶ κληρονόμους. ἐπὶ σοὶ γὰρ καὶ τῷ σῷ ἐλέει θαρρήσαντες ἑαυτοὺς εἰς σφαγὴν ἐκδιδόαμεν».*

10. Οὕτως αὐτῶν εὐξαμένων ἦλθον οἱ στρατιῶται θηρίων, ὡς εἰπεῖν, ἀνημέρων δεινότεροι καὶ πάντας ἄρδην τοῖς αὐτῶν ἀπέ-

3 *οὐκέλαθε H* || 4 *τις* om. *A* || 5 *Καὶ παραλαβὼν H* || 7 *φωτισθεὶσ H, βαπτισθεὶσ A* || 11 *στρατιωτικοῖσ ξίφισιν A* || 12 *τοῦ* om. *H* || 14 *ταξινίτην H, ταξινίτιν A* || 15—16 *τὸν ταῦρον ὑπεραναβὰσ A* || 16 *ταμαλινῆσ A* || ibid. *χώρασ H, ἐνορίασ A* || 17 *τὲ AH; μελιτινῆσ AH* || 19 *ποῖαν A; μαρτῖνοσ τίσ AH* || 21 *γνοῦσ A* || 25 *ἐ|Πεὶ H* || 26—27 *ἄνδρασ ξιφήρεισ A* || 30 *ἡμᾶς* om. *H* || 31 *εἰς σφαγὴν* om. *A; ἐκδίδομεν A*

κτειναν ξίφεσι. κατ' ἐκεῖνον δὲ· τὸν τόπον, ἐν ᾧ τὸ τοῦ μάρτυρος Ἀνδρέου κατέρρευσεν αἷμα, πηγὴ ἀνεδόθη, παντοίων νοσημάτων ἰατήριον ἄμισθον, ἥτις μέχρι καὶ τήμερον μένει, τὰ πρὸς θεραπείαν πᾶσι παρέχουσα νάματα, δαίμονας ἀπελαύνουσα καὶ πᾶσαν ἄλλην φυγαδεύουσα νόσον. Πέτρος δὲ ὁ τῆς Ταρσέων ἐ|πίσκοπος καὶ Νόννος *col. 2* ὁ τῆς Βεροίας φιλοτίμως μετὰ τῶν ὑπ' αὐτοὺς τὰ μαρτυρικὰ κηδεύσαντες ὑμῶν, ὦ παναοίδιμοι μάρτυρες, σώματα ταφῆς ἠξίωσαν πρεπόντως.

11. Καὶ νῦν ταῖς οὐρανίαις ἐμφιλοχωροῦντες σκηναῖς νέμοιτε παντὶ τῷ αἰτοῦντι τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον, ἀλλὰ δὴ καὶ βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι μόνιμον καὶ διαρκῆ τὴν ζωήν, ἰσχυρὰν κατὰ τῶν ἀντιτεταγμένων τὴν χεῖρα, χαρᾶς τρόπαια καὶ νίκας ὁλοκράτους, ἡλίου τερπνοῦ καὶ νοητοῦ τὴν φαῦσιν, [ἀγαθῶν] πάντων τὴν ἀπόλαυσιν ἄκρως καὶ τῆς ἄνωθεν βασιλείας τὴν χάριν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΒΑΣΣΗΣ ΚΑΙ ΤΩΝ ΤΡΙΩΝ ΥΙΩΝ ΑΥΤΗΣ ΑΓΑΠΙΟΥ, ΘΕΟΓΝΙΟΥ ΚΑΙ ΠΙΣΤΟΥ.

1. Τὰ κατὰ τὴν μεγάλην μάρτυρα || Βάσσαν δίκαιον ἄρα πρὸς δι- *f. 199v* ήγησιν ὑφαπλῶσαι ταῖς φιλοθέοις καὶ φιλομάρτυσιν ἀκοαῖς· ἔσται γὰρ πάντως τοῦτο πολλοῖς ὠφελείας ὑπόθεσις. ἔφυ μὲν γὰρ ἡ καλλίπαις αὕτη καὶ καλλίμαρτυς πόλεως μὲν Ἐδέσης τῆς καθ' Ἑλλάδα, προγόνων δὲ τὴν εἰς Χριστὸν πίστιν θερμῶν καὶ τὸν ζῆλον τὸν ἔνθεον. συνήφθη δὲ Οὐαλερίῳ τινὶ πρὸς γάμου κοινωνίαν, ἀνδρὶ δυσσεβεῖ καὶ τῶν εἰδώλων θεραπευτῇ· ἱερεὺς γὰρ αὐτῶν ἐχρημάτιζε. τίκτει τοιγαροῦν ἐξ αὐτοῦ παῖδας ἡ Βάσσα τρεῖς, Θεόγνιον, Ἀγάπιον καὶ Πιστὸν τούτους ἐπονομάσασα· οὓς καὶ καλῶς ἀνέτρεφε καὶ καλῶς ἐπαίδευε καὶ τὴν ἀληθῆ πίστιν ἐδίδασκεν. ἄρτι δὲ τοῦ παρανόμου καὶ σκαιοῦ Μαξιμιανοῦ τὴν βασίλειον ἀρχὴν διέποντος

3 ἰατρεῖον *A*, ἰατίριον *H*; προσθεραπείαν *H* || 8 πρεπόντωσ *H*, φιλοτίμου *A* || 9 φιλοχωροῦντεσ *A* || 11—15 ἀλλὰ δὴ — τὴν χάριν *om. A* || 14 ἀγαθῶν *inserui* || 16 ᾧ πρέπει δόξα , τιμὴ καὶ προσκύνησισ νῦν καὶ ἀεὶ καὶ εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων. ἀμήν *A* || 18 μάρτυρος *om. H* || 19 θεογνίου, ἀγάπιs *A* || 22 γὰρ *om. H* || 23 καθελλάδα *H* || 25 οὐαλλερίω *AH* || 27 θεόγνιν *A*

καὶ διατάγματα κατὰ πᾶσαν χώραν καὶ πόλιν προθέντος, ἐφ' ᾧ col. 2 *θυσίας οἱ ἄνθρωποι τοῖς δαίμοσι προσφέροιεν, ὁ τῆς Ἑλλά|δος ἀνθύπατος Κλαύδιος, δεινὸς ἀνὴρ καὶ μεστὸς ἀσεβείας, εὐθὺς ἐχώρει πρὸς τὰς θυσίας καὶ πάντας ἠνάγκαζε συνέρχεσθαι τούτῳ καὶ τῶν μεμολυσμένων ἐκείνων κρεῶν καὶ τοῦ οἴνου μεταλαμβάνειν.*

2. Ἐπεὶ οὖν Οὐαλέριος, ὁ τῆς Βάσσης ἀνήρ, αὐτήν τε καὶ τέκνα πρὸς τὰς θυσίας ἐκάλει, ἥδε μηδὲ οὓς αὐτῷ παρεῖχε πρὸς τοῦτο· μεθ' ὃ πολλὰ προτεινάμενος οὐκ ἴσχυσε τούτους τοῦ ὀρθοῦ μεταθεῖναι σκοποῦ, σφαδάζων τῷ θυμῷ τῷ ἀνθυπάτῳ τούτους προσάγει, γνωρίσας τὰ κατ' αὐτούς· καὶ ὃς αὐτίκα παρίστησι τούτους τῷ βήματι· καὶ πρότερον μὲν λόγοις τούτους ἐπιχειρήσας πεῖσαι προσελθεῖν τοῖς εἰδώλοις καὶ θῦσαι, ἐπεὶ μὴ ἔπεισε, τὸν ἕνα τούτων (ὁ πρῶτος δὲ ἦν) ἐπ' ὄψεσι τῆς μητρὸς καὶ τῶν ἄλλων ξέεσθαι κρεμασθέντα κελεύει. ξεόμενον δὲ τοῦτον ὑπεστήριζέ πως ἡ μήτηρ λόγοις μητρικοῖς καὶ «Μικρὸν» ἔλεγε, «τέκνον, ὑπόμεινον, ἵνα μέγα στεφα- f. 200 *νωθῇς || καὶ τῶν ἀκηράτων ἀγαθῶν κληρονόμος ἀναδειχθῇς». ἐπὶ τοσοῦτον οὖν οἱ ξυστῆρες καθίκοντο τῶν σαρκῶν αὐτοῦ, ὡς γυμνὰ τούτων φαίνεσθαι τὰ ὀστᾶ, καὶ τὴν γῆν ἐκείνην τοῦ αἵματος πεπληρῶσθαι. ἐν ταύτῃ γοῦν τῇ βασάνῳ τὸ πνεῦμα Θεόγνιος χερσὶν ἀγγέλων παρέθετο.*

3. Ἄγεται τοίνυν ὁ δεύτερος (Ἀγάπιος οὗτος ἦν ὁ καλός) καὶ πρὸς θυσίαν παρακαλεῖται. ὁ δὲ «Μή μοι» ἔφη «γένοιτο τὴν ἀλήθειαν ἐγκαταλιπεῖν καὶ δαίμοσι θῦσαι· οὐκ ἀρνήσομαί σε, Χριστὲ βασιλεῦ, οὐκ ἀρνήσομαί σε, κάλλιστε καὶ φίλτατε ἀδελφέ, ἀλλὰ προθύμως σοι συμπορεύσομαι». τότε κελεύει ὁ κατάρατος ἄρχων, καὶ ἀποδέρεται, φεῦ, τὴν κεφαλὴν ὁ γενναῖος, ἄχρι καὶ τοῦ στήθους αὐτοῦ τῆς δορᾶς ἐκσπασθείσης· καὶ οὕτω καὶ οὗτος μακαρίως ἐτελειώθη. ὁ τρίτος κατὰ τάξιν παρίσταται, ὁ ἐπωνύμως Πιστὸς κληθεὶς καὶ φιλόθεος· ὃς ὄνομα διερωτώμενος, ὅπως ἄρα καλοῖτο, col. 2 *«Πιστός» | ἔφη «παρὰ τῆς τεκούσης ὠνόμασμαι, πιστῆς οὔσης καὶ αὐτῆς τῷ ὄντι καὶ σώφρονος, ὃ δὴ πάντως ἐκ τῆς τῶν ἑκατέρων παίδων προσωνυμίας ἐστὶ μαθεῖν. ἡ γὰρ ἀγάπη πίστιν ἔχουσα θεογνωσίας ἀρραγὴς θεμέλιος ἀναδείκνυται. ποίει τοιγαροῦν τὸ σοὶ παριστάμενον· οὐδὲ γάρ μου τὸν πύργον διασείσεις τῆς πίστεως».*

1 *πόλιν καὶ χώραν* A || 4 *Καὶ πάντασ* H || 6 *οὐάλλέριοσ — αὐτὴν τὲ* H || 7 *μὴ δὲ* AH || 8 *μεθὸ* AH || 8—9 *μεταθῆ*[gl] H || 11 *ἐπιχειρῆσαι πείσασ* A || 12 *καὶ θῦσαι om.* A || 15 *τέκνιον* H || 16 *ἀθανάτων ἀγαθῶν* A; *ἐπιτοσοῦτον* H || 17 *οὖν om.* H; *καθήκοντο* AH || 18—19 *πεπληρῶσθαι τοῦ αἵματοσ* A | 19 *θεόγνισ* A || 22 *γένοιτο ἔφη* A || 23 et 24 *οὐκαρνήσομαί* H || 26 *ἀπεκδέρεται* A || 29 *διερωτόμενοσ* A || 30 *πιστὴσ* H || 33 *ἀραγεὶσ* H

4. Τινὲς οὖν τῶν παρισταμένων λόγοις ἐπεχείρουν ἐπαγωγοῖς μεταπείσειν αὐτόν, «Μὴ δὴ» λέγοντες, «μειράκιον κάλλιστον, μὴ δὴ πατρικοὺς ἀθετήσῃς θεσμοὺς καὶ θεοὺς αὐτούς, οἵ σε τοῖς πατρικοῖς κόλποις ὡς εἰπεῖν ἀνεθρέψαντο· τί γάρ σοι καὶ τῇ τῆς μητρὸς παρεφθαρμένῃ πίστει; θέλησον τοίνυν γενέσθαι φίλος θεῶν καὶ μάλιστα τοῦ Διὸς καὶ θῦσαι τούτοις καὶ ζῆσαι καλῶς σὺν ἡμῖν· ἀξιώσει σε γὰρ ὁ ἄρχων καὶ βασιλεὺς αὐτὸς πολλῶν δωρεῶν καὶ τιμῶν». ταῦτα εἰπον, καὶ ὁ κλεινὸς οὗτος Πιστός «Ἀπόστητε» ἔφη «ἀπ' ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας· || οὐ γὰρ οἴδατε συμβουλεύειν καλῶς· f. 200v τίς γὰρ νοῦν ἔχων ἄνθρωπος τὸ σκότος ἀνθαιρήσεται τοῦ φωτός»; τότε οἱ ματαιόφρονες θυμῷ ληφθέντες συνθλῶσι τούτου τὰ σκέλη καὶ τοὺς βραχίονας. ὁ δὲ πρὸς Θεὸν ἀνατείνας τὰ ὄμματα καὶ εὐχόμενος, εὐχαρίστως τε τὰς βασάνους καὶ σταθηρῶς ὑπομένων τέμνεται τὴν κεφαλὴν καὶ οὕτω πληροῖ καὶ αὐτὸς τὸ μαρτύριον.

5. Ἡ τοίνυν εὐγενεστάτη τούτων μήτηρ ἡ καλλίνικος Βάσσα τῇ φυλακῇ παραδίδοται, ἐν ᾗ τὰς πρὸς Θεὸν ποιουμένη εὐχὰς τὸν δρόμον ᾐτεῖτο καὶ αὐτὴ τοῦ μαρτυρίου τελέσαι. ἡμέραι διῆλθον ἑπτά, καὶ Ἰουκεντῖνος ὁ βικάριος, ὃς ἦν τότε συνὼν τῷ Ἀκυλίνῳ διά τινα πράγματα, μέλλων ἐπὶ Μακεδονίαν ἀπᾶραι (ταύτης γὰρ διεῖπε τὴν ἀρχήν) λαμβάνει μεθ' ἑαυτοῦ τὴν ἁγίαν· καὶ ἅμα τῷ καταλαβεῖν τὴν ἐπαρχίαν αὐτοῦ παραστησάμενος αὐτὴν «Ἔγνως» εἶπεν, «ὦ Βάσσα, πάντως τὴν μω|ρίαν τῶν σῶν υἱῶν, ὅπως δι' ἀπείθειαν col. 2 τὸν θάνατον ἐπεσπάσαντο· ἀλλὰ σὺ μηδαμῶς ἐθελήσῃς τῇ ἐκείνων ἀνοίᾳ καθυπαχθῆναι· προσελθοῦσα δὲ θῦσον καὶ ζήσεις σὺν ἡμῖν καὶ τὸ φῶς τοῦτο κερδήσεις τὸ ἡδὺ καὶ ἐπέραστον». καὶ ἡ μάρτυς «Μή σοι εἴη καλῶς, ἀνόσιε», εἶπεν, «ἵν' ἐγὼ τοῖς σοῖς λόγοις πεισθεῖσα θυσίαν προσοίσω δαίμοσι.» μαίνεται τούτων ἀκούσας ὁ δυσσεβὴς καὶ λέβητα μέγιστον ὅτι καὶ βαθύτατον κομισθῆναι κελεύει, πληρωθῆναί τε τοῦτον ὕδατος καὶ ξίφη ἀμφίκοπα τούτῳ προσεμπαρῆναι καὶ ταύτην ῥιφῆναι κατ' αὐτῶν, ἵν' ὑπὸ τούτων μὲν τεμνομένη, παρὰ δὲ τοῦ ὕδατος αὐτοῦ συμπνιγομένη θᾶττον τὴν ζωὴν ἀποθήσει.

6. Γίνεται τοῦτο, καὶ σώζεται παραδόξως ἡ μάρτυς καὶ πάλιν τῷ τοῦ τυράννου παρίσταται βήματι. μαγείαν οὖν ἐκείνου κρίναν-

1 ἐπαγογοῖσ *A* || 6 μάλλιστα *H*; θῦσαι *A* || 8 ἔφη *H*, εἶπεν *A* || 11 λειφθέντεσ *H* || 13 τὲ *AH* || 16 τούτων *A*, τούτου *H* || 17 εὐχὰσ ποιουμένη *A* || 18 τοῦ μαρτυρίου καὶ αὐτὴ *A* || 19 ὃσ συνῆν τότε *A* || 20 ἀπάραι *AH*; ταύτησ διεῖπε καὶ γὰρ *A* || 21 Καὶ ἅμα τὸ *H* || 24 ἠσπάσαντο — θελήσης *A* || 26 ἡδὴ καὶ ἀπέραστον *H* || 28 δαίμοσι προσοίσω θυσίαν *A* | 30 πληρωθῆναι τὲ *H* || 33 ἀποθήσῃ *A*

f. 201 τος τὸ παράδοξον τοῦτο καὶ πρὸς θυσίαν αὐτὴν || αὖθις ἐκκαλοῦντος, τὸ στερρὸν ἐκείνη τῆς ψυχῆς ἀμετάθετον ἔχουσα καὶ αὖθις ἐκερτόμει τοὺς αὐτοῦ θεοὺς καὶ διεχλεύαζε· τότε θυμῷ ληφθεὶς ἀμέτρῳ ὁ βέβηλος ἄρχων πυρὰν ὅτι μεγίστην ἀναφθῆναι κελεύει καὶ τὴν μάρτυρα ταύτῃ παραδοθῆναι. καὶ δὴ γέγονε καὶ τοῦτο· καὶ πάλιν ἡ μάρτυς ἀπαθὴς ἐδείκνυτο καὶ μέσον τοῦ πυρὸς εὐλογοῦσα Χριστόν. μερίζει τοίνυν τὸ πῦρ δυνάμει Χριστοῦ τὴν ἰδίαν ἐνέργειαν καὶ ταύτῃ μὲν δρόσος ἐγένετο, καῦσις δὲ καὶ φλόγωσις τοῖς παρεστῶσιν. ἀνάπτει τὸν θυμὸν ὁ κακοῦργος καὶ λίθοις ταύτην συγχωσθῆναι προστάττει. ῥύεται Θεὸς καὶ τούτων αὐτήν, μηδενὸς αὐτῆς ἀψαμένου. τῷ βήματι τοῦ δυσσεβοῦς προσάγεται πάλιν καὶ πρὸς θυσίαν τῶν δαιμόνων καλεῖται· τρόπον τινὰ τὸν κολαστὴν ἐπὶ τούτῳ προσαπατᾷ καὶ τὸν ναὸν τῶν εἰδώλων καταλαμβάνει· δράττεται τοῦ Διὸς καὶ πρὸς τὴν γῆν αὐτὸν καταράσσει col. 2 καὶ | συντρίβει κατὰ λεπτόν. «Ἴδε σου» λέγει πρὸς τὸν τύραννον «τὴν δύναμιν τῶν θεῶν· οὐκ ἀσθενεῖς ἄρα οὗτοι καὶ μηδὲ ἑαυτοῖς βοηθῆσαι δυνάμενοι»; τότε τὸν θυμὸν ὑπεκκαύσας ἐκεῖνος πρὸς τὸ στάδιον αὐτὴν ἀπαχθῆναι κελεύει καὶ θηρία κατ᾽ αὐτῆς ἀφεθῆναι. τῶν θηρίων οὖν ἀπολυθέντων καὶ ταύτης μηδαμῶς ἀψαμένων, ἀνελόντων δὲ μᾶλλον τῶν παρισταμένων τινάς, τῷ θυμῷ πάλιν κατασχεθεὶς ὁ τύραννος κελεύει τῷ βυθῷ τῆς θαλάσσης ταύτην ἀπορριφῆναι.

7. Ῥίπτεται τοίνυν κατὰ τὸ μεσαίτατον αὐτῆς ὑπὸ τῶν στρατιωτῶν, καὶ ἄγγελοι φωτὸς δέχονται ταύτην καὶ σκάφῃ ἐνθέμενοι διέσωσαν ἀβλαβῆ· καὶ οὗτοι μὲν ἐκπλαγέντες καὶ ὑποστρέψαντες ἀπαγγέλλουσι τῷ Ἰουκεντίνῳ ταῦτα. μεθ᾽ ἡμέρας δέ τινας κατὰ τὴν νῆσον Ἁλόνην ἡ μάρτυς ἐξάγεται. ἦν Φίλιππός τις σκρινιάριος τοῦ τῆς Ἑλλάδος ἀνθυπάτου κατιδὼν καὶ γνωρίσας ἀπαγγέλ- f. 201v λει || τῷ βικαρίῳ Ἰουκεντίνῳ τὴν Μακεδονίαν καταλαβών, ὡς εἴη παρὰ τοῖς χριστιανοῖς ἡ Βάσσα κατὰ τὴν νῆσον Ἁλόνην. γράφει τοίνυν ἐκεῖνος αὐτίκα Φλαβίῳ Λαοδικίῳ τῷ τῆς Ἑλλησπόντου διοικητῇ πάντα τὰ κατ᾽ αὐτὴν καὶ ὡς οὐ χρὴ ταύτην ζῶσαν ὁρᾶσθαι, τοσαύταις γοητείαις ἁλοῦσαν. αὐτίκα τοίνυν τὴν Ἁλόνην

1 ἐκκαλουμένου *A* || 2—3 τοὺσ αὐτοῦ καὶ αὖθισ θεοὺσ ἐκερτόμει *A* || 5 καὶ δὴ *om.* *H* || 7 ἰδίαν *H*, οἰκείαν *A* || 8 καύσισ *H*; καὶ *post* δὲ *om.* *A* || 10 συδχωσθῆναι—Ῥύεται *H* || 14 καταλαμβάνει—αὐτὸν *om.* *A* || 15 καταλεπτὸν *H* || 16 μὴ δὲ *AH* || 17 ἐκεῖνοσ *H* || 20 ἀνελώντων *H* || 20—21 τῷ θυμῷ—κελεύει *om.*, *mox* ταύτην ὁ κακοῦργοσ ἀπορριφῆναι κελεύει *A* || 23 μεσέτατον *H* || 24 ἐν σκάφει θέμενοι διέσωζον *H* || 25 ἐκπλαγέντες ἀπαγγέλλουσιν ὑποστρέψαντεσ *A* || 27 ἡ μάρτυς *om.* *H* || 28 ἀπαγγέλει *H* || 30 τοῖς *om.* *H*; βᾶσσα *H* || 31 ἐκεῖ *pro* ἐκεῖνος *H*; ἑλισπότου *H* || 33 τοίνυν *om.* *H*

οὗτος καταλαβὼν καὶ τὴν μάρτυρα ζητήσας καὶ παραστησάμενος εἰς ἐξέτασιν καὶ πρὸς θυσίαν ἐκκαλεσάμενος τῶν εἰδώλων, ἐπεὶ μὴ πείθειν εἶχε, συντριβῆναι κελεύει ξύλοις ἁδροῖς ἅπαν αὐτῆς τὸ σῶμα καὶ οὕτω τὴν κεφαλὴν ἐκκοπῆναι.

8. Γέγονε τοῦτο, καὶ τὴν κεφαλήν, ὦ καλλίστη μάρτυς Βάσσα, ξίφει τμηθεῖσα τὸ πνεῦμα παρέθου χερσὶ Θεοῦ τοῦ πλάσαντος. Σωφρόνιος δέ σου ὁ ἱερεὺς τὸ πάντιμον ἀναλαβόμενος σῶμα φιλοτίμως ἔθαψε. καὶ νῦν οἰκοῦσα σὺν τοῖς φιλτάτοις τέκνοις τοὺς οὐρανοὺς καὶ | τῶν πόνων ἀπολαμβάνουσα τοὺς μισθοὺς αἴτησαι δοθῆναι col. 2 βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ φιλομάρτυρι μονῶν ἀϊδίων τὰς καλὰς καταπαύσεις, ἰσχὺν ἀρραγῆ κατὰ τῶν ἐναντίων, ἡλίου φαιδροῦ τὰς τηλαυγεῖς βολίδας, λειμώνων θείων τὰς ἡδυτάτας τέρψεις, πάντων ἀγαθῶν τὴν μέθεξιν πλουσίαν καὶ τῆς ἀγήρω ζωῆς τὴν μετουσίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κα΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΥΡΩΝΟΣ ΤΟΥ ΕΝ ΚΥΖΙΚΩ.

1. Τῆς ἐπιφανείας τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς κατὰ σάρκα γεγενημένης ἐκ τῆς πανάγνου παρθένου καὶ Θεομήτορος, ἥντινα καὶ Χριστοῦ γέννησιν ὀνομάζομεν, θεοφιλῶς ἐν τῇ καθολικῇ τῶν χριστιανῶν ἐκκλησίᾳ τελουμένης καὶ πάνυ λαμπρῶς, || ὁ ἐναγὴς καὶ βέβηλος Ἀντίπατρος, τῆς Ἀχαίας τότε f. 201 bis τὴν ἀρχὴν ἐν χερσὶν ἔχων, Δεκίου τοῦ δυσσεβοῦς βασιλεύοντος, θὴρ ὥσπερ ἀτίθασσος σὺν πλήθει στρατιωτῶν εἰσιὼν τὸν ναὸν τὴν τοῦ Χριστοῦ ποίμνην διασκορπίζει καὶ πολλοὺς τῶν πιστῶν συλλαμβάνεται. Μύρων οὖν ὁ θαυμάσιος, ἱερεὺς ὢν τηνικαῦτα τῆσδε τῆς ἐκκλησίας, τῷ γένει λαμπρός, τοῖς τρόποις χρηστός, τὸν βίον σε-

5 Βάσσα *om.* A, βᾶσσα H || 6 χερσὶ θεοῦ τοῦ πλάσαντοσ παρέθου τὸ πνεῦμα A || 7 ὁ ἱερὸσ — ἀνελόμενοσ A || 8—15 **Epilogus in A:** φιλοτίμως ἔθαψεν εἰς δόξαν πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος, τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, ᾗ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. || 12 ἡδυτάτουσ H || 15 ἀμὴν *om.* H || 24 ἐγχερσὶν ἔχων H, ἐγκεχειρισμένοσ A || 25 συνπλήθει στρατιωτῶν H || 26 συλλαμβάνεται τῶν πιστῶν A

μνός, πάντα φόβον ἔξω βαλὼν τῇ πρὸς Χριστὸν ἀγάπῃ, πρόσεισι τῷ ἀνθυπάτῳ γενναίᾳ ψυχῇ καὶ στηλιτεύει τούτου τὴν ἀπόνοιαν καὶ τὸ τῆς γνώμης ἀνήμερον καὶ κύνα τοῦτον ἀποκαλεῖ καὶ πολέμιον καὶ θῆρα.

2. Εἶτα καὶ πρὸς τὸ πλῆθος ἐπιστραφεὶς «Ἄνδρες» λέγει «φιλόχριστοι, στῆτε γενναίως ὑπὲρ τῆς ἀμωμήτου πίστεως· μηδεὶς ὑμῶν πρὸς τὰς ἀπειλὰς τοῦ τυράννου, μηδεὶς πρὸς τὰς ὑποσχέσεις col. 2 *ὅλως ὑποχαυνούσθω· πα|ρίσταται γὰρ ἡμῖν ὁ Θεὸς βοηθῶν καὶ γέρα προτεινόμενος ἀείμονα καὶ ἀθάνατα». τούτοις αὐτοῦ τοῖς λόγοις τὸ πλῆθος ὑποστηρίξαντος, ὁ δεινὸς ἐκεῖνος Ἀντίπατρος θυμοῦ γεμισθεὶς συσχεθῆναι καὶ τοῦτον κελεύει, πάλαι φίλον αὐτοῦ τυγχάνοντα καὶ συνήθη, καὶ ἅμα πλησίον που τοῦ ναοῦ τοῦ Διονύσου κατὰ τὸν φόρον λεγόμενον γενόμενος παρίστησι τοῦτον τῷ βήματι καὶ τὴν τοσαύτην παρρησίαν αἰτιασάμενος, «Θῦσον, Μύρων», λέγει, «τοῖς ἀθανάτοις θεοῖς, ἵνα μὴ κακῶς ἀπολῇ ὡς εἷς τῶν κακούργων».*

3. «Θύσω» εἶπεν ὁ Μύρων, «ἀλλὰ τῷ Θεῷ μου θυσίαν αἰνέσεως· δαίμοσι γὰρ καὶ κωφοῖς ξοάνοις ἀνθρώπων χερσὶ κατασκευασθεῖσιν οὔποτε Μύρων θυσίαν προσοίσει». αὐτίκα τοίνυν ἀναρτᾶται τῷ ξύλῳ καὶ ξέεται τὰς σάρκας ὁ μάρτυς πικρῶς, ὥστε τὴν ὑποκειμένην γῆν ἐμβαφῆναι τῷ τούτου αἵματι. μηδένα οὖν οἶκτον αὐτοῦ λαβὼν ὁ f. 201ᵛ bis *κατά||ρατος ἄρχων κάμινον ἀναφθῆναι κελεύει, πίσσῃ τε καὶ ἐλαίῳ καὶ κληματίδι τὴν φλόγα ταύτης ἐκτραφῆναι φρικτῶς, καὶ τοῦ ξύλου τοῦτον καταγαγών, «Ταύτῃ σε, Μύρων», εἶπεν, «ἐμβαλὼν κατακαύσω, εἰ μή γε θεοῖς ἀπονείμῃς τὸ σέβας».—«Οὐ θύσω τούτοις» ὁ μάρτυς ἔφη, «παράνομε, χριστιανὸς ἐκ πρώτης τριχὸς καὶ Χριστοῦ δοῦλος καὶ μύστης ὤν».*

4. Τότε κελεύει τῷ πυρὶ τοῦτον ἀκοντισθῆναι. ἀπαγόμενος οὖν προσηύχετο «Κύριε», λέγων, «ἔπιδε ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου, μὴ εἴποι ὁ ἐχθρός· Εὖγε, εὖγ' εἶδον οἱ ὀφθαλμοί μου». ταῦτα ἔφη καὶ ἅμα τῷ πυρὶ παρεδόθη. καὶ ἦν ἰδεῖν τὸ παράδοξον τότε τὸν μὲν ὡς ἐν δροσώδει πόᾳ ἐμπεριπατοῦντα τῇ καμίνῳ καὶ ᾄδοντα τὸν ἐπινίκιον ὕμνον, τοὺς δὲ περὶ ταύτην φλογιζομένους, ὡς καὶ πολλοὺς col. 2 *αὐτῶν τὴν ψυχὴν ἀπορρῆξαι. ὅπερ | θεασάμενος καὶ αὐτὸς ὁ*

3 *κῦνα* *A* || 4 *καὶ om.* *H* || 6 et 7 *μὴ δεισ* *H* || 8 *ὑποχαυνοῦσθω* *H*; *ὁ ante Θεὸς om.* *A* || 12 *ποῦ* *H*, *om.* *A* || 14 *λέγει, μύρων* *A* || 15 *ὡσ εἰσ ἀπολῇ* *A* || 17 *κατάσκευ|ασθεῖσιν* *H* || 19 *ὁ μάρτυς om.* *A* || 20 *τῷ αἵματι τούτου* *A*; *μὴδένα οὖν* *H* || 21 *τὲ* *AH* || 22 *τὴν φλόγα om.* *A* || 24 *ἀπονείμοισ* *A* || 25 *ἔφυ — χριστιανὸσ ὢν — καὶ μύστησ* *A* || 28 *Ἔπιδε* *H* || 29 *ἕνεκα* *A*; *εἴποιεν* *H* || 30 *εὖγε εἶδον* *H* || 32 *τὸν ἐπινίκιον om.* *H*

ἀνθύπατος ἐξεπλάγη τῷ θαύματι καὶ δέους πλησθεὶς ἀνεχώρησε, κελεύσας ἐξενεχθῆναι τὸν ἅγιον καὶ τῇ φυλακῇ δοθῆναι. τῇ ἑξῆς οὖν παρίστησιν αὖθις τοῦτον τῷ βήματι καὶ πάλιν πρὸς θυσίαν καλεῖ. καὶ ἐπεὶ μὴ πειθόμενον εἶχεν, ἀποδαρῆναι τὸ δέρμα προσέταξε· καὶ ἅμα δημίων χεῖρες εἶχον αὐτὸν καὶ μαχαιρίσι, φεῦ, ἀνηλεῶς τὸ ἐκείνου δέρμα κατέτεμνον, λώρους ἀπὸ τῶν ὤμων αὐτοῦ καὶ μέχρι τῶν ποδῶν ἀποσπῶντες. ὁ δέ, ὢ ψυχῆς ἀνδρείας καὶ γενναίου φρονήματος, «Ὑπομένων ὑπέμεινα τὸν κύριον» ἔψαλλε «καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου».

5. Οὕτω ψάλλων οὐ μόνον οὐδὲν ὑπέμεινεν ἀγεννές, ἀλλὰ καὶ λῶρον ἕνα τῶν οἰκείων ἀποσπάσας σαρκῶν ἐπιρρίπτει τῷ ἡγεμόνι, «Δέξαι τοῦτο» εἰπών, «αἱμοβόρε κύων, καὶ φάγε, ἀνθρωπείων || ὀρε- f. 202 γόμενος σαρκῶν». ἐκκαίεται τούτοις τὸν θυμὸν ὁ κακοῦργος καὶ τὰς ὑπολειφθείσας σάρκας τῷ μάρτυρι τοῖς ὄνυξιν ἐγκελεύεται τέμνεσθαι. πιπτουσῶν οὖν αὐτῶν ἐν τῇ γῇ τῷ ξέεσθαι ὀστᾶ μὲν καὶ ἁρμονίαι διεγυμνοῦντο, σπλάγχνα δὲ καὶ τῶν κρυφίων ἡ σύνθεσις διεφαίνετο, καὶ ἦν ὅλως θέαμα δεινὸν καὶ ὀφθαλμοῖς ἀνημέροις. ἤλγησεν ἂν ἰδοῦσα καὶ φύσις ἄψυχος τὸ γινόμενον. ἀλλ' ὁ μάρτυς «Ὁ βασιλεύων εἰς τοὺς αἰῶνας» ἔλεγεν εἰς ἐπήκοον, «ὁ δοξαζόμενος ὑπὸ πάσης ἀγγελικῆς δυνάμεως, Χριστὲ βασιλεῦ τοῦ παντός, πρόστηθί μου τοῦ δούλου σου καὶ τῶν σῶν ἀγαθῶν ἐν μετοχῇ με ποίησον γενέσθαι». ἦλθεν οὖν οὐρανόθεν φωνή, «Ἡτοίμασταί σοι, Μύρων, τόπος εἰρήνης καὶ εὐφροσύνης» λέγουσα· «ἤδη γὰρ τὸν δρόμον τετέλεκας, τὴν πίστιν τετήρηκας».

6. Ταύτης τῆς φωνῆς καὶ ὁ κακομήχανος ἐπακούσας γοητείαν ἐκάλει τὸ | πρᾶγμα καὶ «Θῦσον τοῖς θεοῖς, ὦ κακὴ κεφαλή», λέγει· col. 2 «εἰ δ' οὖν, ἀλλὰ θηρίοις ὑποβληθήσῃ, καὶ οὐδέν σοι τὸ παράπαν αἱ τοιαῦται τερατεῖαι προσωφελήσουσιν».—«Οὐ θύω» φησὶν ὁ μάρτυς· «Χριστιανὸς γάρ εἰμι». ταῦτα εἰπόντα δέχεται τοῦτον ἡ φυλακή, τὰ θηρία ἑτοιμάζονται, καὶ τῇ ἑξῆς ἄγεται πάλιν ὁ μάρτυς ἐπὶ τὸ στάδιον· ὃν ἰδὼν ὁ τύραννος ὑγιῆ μὲν τῷ σώματι, φαιδρὸν δὲ τῷ προσώπῳ καὶ κάλλει διαπρεπῆ, «Πολλαί σου» λέγει «πάλιν, Μύρων, αἱ γοητεῖαι· ἵν' οὖν μὴ τοῖς θηρίοις γένῃ βορά, θῦσον τῷ Διονύσῳ καὶ ἀπαλλάγηθι τούτων». μὴ πειθομένου τοίνυν τοῦ μάρ-

2 φυλακὶ H || 3 παρίστησι τοῦτον αὖθισ A || 5—6 ἀνιλεῶσ A || 6 λώρουσ αὐτοῦ ἀπὸ κτλ. H || 7 τῶν om. A || 10 ἀγενὲσ H || 11 σαρκῶν ἀποσπάσασ A || 12 κύων: sic AH || 12—13 σαρκῶν ὀρεγόμενοσ A || 16 διεγυμνοῦτο H || 17 δεινὸν H, οἰκτρὸν A || 18 ἄψυχ̊ H || 21 ἀγαθὸν ἐμμετοχῆ H || 22 γενέσθαι ποίησον A || 26 θύσον H || 33 τῷ om. A || 34 τοῦ μάρτυρος om. H

8—9 ὑπομένων — δεήσεώς μου: Psalm. 39 (40), 1—2.

τυρος τοῖς λόγοις τοῦ καὶ θηρίων αὐτῶν ὠμοτέρου, λέαινα ἐπαφίεται κατ᾽ αὐτοῦ. ἡ δὲ δρόμῳ τοῦτον καταλαβοῦσα περιέλειχέ τε καὶ ὡσανεὶ κατησπάζετο· εἶτα δὲ καὶ τὰ δεσμὰ τούτου, τὸ παράδοξον, τοῖς ὀδοῦσι διέκοψεν.

7. Τότε τὸ πλῆθος συνιέντες τὸ ἰσχυρὸν τῆς δυνάμεως τοῦ Χριστοῦ, f. 202v *|| «Μέγας ὁ Θεὸς» ἐβόησαν, «ὃν ὁ Μύρων κηρύττει· ἀπόλυσον, ἀνθύπατε, τὸν ἀναίτιον, ὃν καὶ θῆρες καλῶς ποιοῦντες ᾐδέσθησαν». φοβηθεὶς οὖν ἐκεῖνος, μή τι νεωτερισθείη κατ᾽ αὐτοῦ, πέμπει τὸν ἅγιον ἐν Κυζίκῳ πρὸς τὸν τὴν ἀρχὴν ταύτης διέποντα, ὡς ἂν ὑπ᾽ αὐτοῦ τῷ ξίφει τελειωθῇ. ὃν ἐκεῖνος δεξάμενος μετὰ τῶν ὑπομνημάτων, ἐπεὶ μὴ πειθόμενον εἶχε, δίδωσι κατ᾽ αὐτοῦ τὴν ἀπόφασιν. φασὶ δὲ τὸν Ἀντίπατρον ἑαυτὸν ὑπὸ δαίμονος ὀχλούμενον ἀνελεῖν.*

8. Τέμνῃ τοιγαροῦν, καλλίνικε ἱερόμαρτυς Μύρων, τὴν πάντιμόν σου καὶ σεπτὴν κεφαλὴν καὶ θάπτῃ φιλοτίμως ὑπὸ τῶν φιλοθέων. νῦν οὖν ὡς παριστάμενος τῷ δεσποτικῷ θρόνῳ Χριστοῦ ὡς ἱερεύς, ὡς μάρτυς, ὡς τῆς ἀληθείας ἀγωνιστής, μέμνησο βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ φιλοχρίστου καὶ φιλομάρτυρος καὶ χάρισαι τούτῳ ταῖς εἰς Θεὸν col. 2 *| ἱκεσίαις σου μακράν, ἄλυπον τὴν ζωὴν καὶ τὸ κράτος, ἰσχυράν, ἀπρόσμαχον τὴν δυναστείαν, χαρὰν ἐς ἀεὶ καὶ τρόπαια καὶ νίκας, ἀγαθῶν δαψίλειαν καὶ κλέος μέγα, ἡλίου φαῦσιν καὶ φωτὸς μετουσίαν, λαμπράν, παμφαῆ τὴν ἄνω κατοικίαν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι [αὐτῷ] πρέπει δόξα, κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. ἀμήν.*

---

1 *καιθηρίων — λαίεῦ[α] H: κατ᾽ αὐτοῦ ἐπαφίεται A* || 4 *διέκοψε AH* || 5 *τὸ ἰ. τῆς δυνάμεως H, τὴν δύναμιν A* || 7 *καλῶς* om. *A* || 11 *δίδοσι H* || 14 *ἱερομάρτυσ A* || 15 *καὶ σεπτήν σου A* || 21 *φαύσιν H* || 15—24 **Epilogus in A:** *θάπτῃ φιλοτίμως ὑπὸ τῶν φιλοθέων εἰς δόξαν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τῆς ὁμοουσίου καὶ ζωαρχικῆς καὶ ἀδιαιρέτου τριάδος, ᾗ πρέπει ἡ τιμὴ καὶ ἡ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κβ΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΑΓΑΘΟΝΙΚΟΥ.

1. Μαξιμιανοῦ τοῦ τυράννου τὴν βασίλειον ἀρχὴν ὡς οὐκ ὤφελε κατὰ τὴν Νικομήδους διέποντος ὁ κόμης Εὐτόλμιος τὴν κατὰ χριστιανῶν ἐξουσίαν ἐλάμβανε καὶ πολλοὺς αὐτῶν ὁ πάντολμος τῆς ζωῆς ἀπεστέρει· ἔνθεν τοι καὶ Ζωτικὸν τὸν καλὸν διαβληθέντα τούτῳ, ὡς εἴη χριστιανός, σὺν τοῖς αὐτοῦ μαθηταῖς ἀναιρεῖ. Μαξιμιανοῦ τοίνυν τοῦ δυσσεβοῦς πρὸς τὴν || Θρᾴκην ἐξωρμηκότος ὁ κόμης *f. 203* Εὐτόλμιος τὴν Νικομήδους κατέλαβεν, ἐν ᾗ καὶ μαθών, ὡς Πρῶτος πρίγκιψ διά τινος Ἀγαθονίκου σοφοῦ προσηνέχθη Χριστῷ καὶ ἔστι σὺν αὐτῷ παρά τινι τῶν τῆς πόλεως ἀγρῶν, στέλλει στῖφος στρατιωτῶν ἐφ᾽ ᾧ τούτους συσχόντες ἀγάγωσι πρὸς αὐτόν.

2. Ἀχθέντων οὖν τῶν ἁγίων ὁ κόμης ἐν τῇ Λάμψῳ (τόπος δὲ οὗτος οὕτω καλούμενος) προκαθίσας «Ποῦ οἱ τὰ θεσπίσματα» λέγει «τῶν αὐτοκρατόρων ἀθετοῦντές εἰσιν;» ἡ τάξις ἔφη· «Ἑστήκασι, κύριε». κἀκεῖνος «Τίς οὗτος;» ἀπιδὼν πρὸς τὸν Ἀγαθόνικον ἔφη. κἀκεῖνοι «Ἀγαθόνικος» εἶπον «οὗτος ὁ τῶν χριστιανῶν ἔξαρχος, ὃς γένους ἀπὸ μεγίστου τυγχάνει· Ἱππασίου γὰρ ἀπόγονος τοῦ μεγάλου καθέστηκε, Ἀσκληπίαδου δὲ τοῦ ἐπάρχου γέννημα, σὺν μητρὶ διάγων κατὰ τὴν κώμην Κυβένων· ὃν ἀναπεῖσαι τὸν τῆς ἐνθάδε συγκλήτου πρίγ|κιπα τῇ σῇ πρὸ μικροῦ ἀπηγγέλη λαμπρότητι. καὶ οὗτος ὁ πρίγκιψ», *col. 2* σημηνάμενοι καὶ τοῦτον τῇ χειρί· καὶ ὁ κόμης «[Εἰ] ταῦτα οὕτως ἔχει» πρὸς τὸν Ἀγαθόνικον ἔφη «καὶ εἰ γένους οὕτως ἐκ περιφανοῦς καὶ μεγίστου τυγχάνεις καὶ φίλου τῆς τῶν βασιλέων θρησκείας, ἵνα τί τοὺς τῶν θεῶν θεραπευτὰς ἀφιστῶν αὐτῶν τῷ ἐσταυρωμένῳ προσάγεις;» — «Ὅτι Θεὸς οὗτός ἐστιν ἀληθὴς καὶ

2 μάρτυροσ A || 4 ὤφειλε A || 7 ἔνθέν τοι H, Ἔνθέν τοι A; καλὸν H, κλεινὸν A || 9 ὁ κόμισ H, ὁ ῥηθ(εὶς) A || 11 πρῶτοσ H, ὁ ταύτησ A || 12 ἐστὶ H || 13 πρὸσ ἑαυτὸν A || 15 προκαθίσας *om.* H || 16 ἀθετοῦντεσ εἰσὶν AH || 17 κακεῖνοσ H || 19 ἀπομεγίστου H; ἱππο̃στασίου γὰρ ἀπόγονοσ ἐστὶ τοῦ μεγάλου A || 22 προμικροῦ H, ἀνηγγέλη A || 23 σημεινά|μενοι H; τῇ *om.* H; Εἰ *inserui* || 24 καὶ πρὸσ A || 25 ἐκ μεγίστου καὶ περιφανοῦσ τυγχάνοισ A || 26 ἱνατί A || 27 ἐστιν *om.* A

μέγας» φησὶν Ἀγαθόνικος «καὶ αὐτὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα· οἱ γὰρ θεοί σου βδελύγματά εἰσι, δαιμόνων ἀπατηλῶν ἀφιδρύματα· ὧν καὶ Βαβύλας ὁ ἀρχιερεὺς καὶ μάρτυς ἐπὶ Νουμεριανοῦ κατέπτυσεν ἐν Ἀντιοχείᾳ καὶ δὴ καὶ Ῥωμανὸς κατεγέλασεν ὁ μάρτυς, ὃς καὶ τὴν θεολόγον ἐκείνην ἀποτέτμητο γλῶτταν πρὸς τοῦ ἐμοῦ πατρὸς τοῦ ἐπάρχου Ἀσκληπιάδου,
f. 203v νηπίῳ τηνικαῦτα ὄντι μοι καὶ αὐτοῖς ὀφθαλμοῖς καθο‖ρῶντι τὰ πεπραγμένα· τότε γὰρ καὶ Ἄνθιμος ὁ κλεινὸς τὸν διὰ Χριστὸν ἀγῶνα ἐπὶ Μαξιμιανοῦ τοῦ τυράννου τετέλεκεν, ἐλέγξας τὴν αὐτοῦ κακογνωμοσύνην καὶ ἀθεότητα· ἅτινα δὴ ταῦτα καλῶς ἐγὼ μνηθεὶς σὺν ὅλῳ τῷ οἴκῳ καὶ τῇ τεκούσῃ προσῆλθον Χριστῷ· τῷ τοι καὶ ὅσους δεδύνημαι τῆς πλάνης ἀποσπῶν τούτῳ προσάγω καλῶς ποιῶν· εἴθε γὰρ καὶ ἐπείθου μοι καὶ αὐτός, καὶ ἐσώθης ἂν πάντως καὶ τῆς μακαρίας ζωῆς ἐκληρονόμησας τὴν εὔκλειαν».

3. Τούτων ἀκούσας ὁ ἄρχων τῶν λόγων «Χρὴ» φησὶ τοῖς συνειλεγμένοις «πρὸς βασιλέα τοῦτον πεμφθῆναι, ἵν' ἐκεῖνος αὐτὸν μετέλθοι καθὰ καὶ δεῖ». τοῦτο τοιγαροῦν εἰπὼν μαστίζει μὲν αὐτόν, εἶτα σὺν τῷ πρίγκιπι καὶ ἄλλοις δὴ τοῖς πεπιστευκόσι Χριστῷ ταῖς Ἀγαθονίκου διδαχαῖς προπέμπει τῷ βασιλεῖ δεσμίους, κατὰ
col. 2 τὴν Θρᾴκην διάγοντι, εἶτα καὶ αὐτὸς κατόπιν ἀπαίρει· | γενόμενος οὖν κατὰ τὸ ἐμπόριον Κάρπην οὕτω καλούμενον Ζωτικὸν τὸν καλὸν καὶ τοὺς αὐτοῦ μαθητὰς ἀναιρεῖ, εἶτα κατά τινα κώμην λεγομένην Ποταμοὶ παρελθών, τῶν ἑπομένων ἁγίων Ζήνωνα καὶ Θεοπρεπῆ καὶ Ἀκίνδυνον καταπέλταις προσηλώσας ἀνεῖλε, μὴ πειθομένους τοῖς αὐτοῦ θεοῖς θυσίαν προσενεγκεῖν· ἐκεῖθεν οὖν τὴν Χαλκηδόνα καταλαβὼν ὁ κακότροπος Σευηριανὸν τὸν γηραιὸν τιμωρεῖται, διαβληθέντα τοῦτον αὐτῷ καὶ μὴ εἴξαντα τοῖς δόγμασι τῶν κακούργων καὶ δυσσεβῶν βασιλέων, ἀλλὰ παρρησίᾳ τὸν Χριστὸν Θεὸν ὁμολογοῦντα καὶ τέλος τὴν διὰ ξίφους αὐτῷ τελευτὴν ἐπάγει.

4. Κατὰ τὸ Βυζάντιον δὲ τῷ Εὐτολμίῳ τάχος ἐκεῖθεν ἀφικομένῳ τὸν Ἀγαθόνικον καὶ τοὺς συνδεσμώτας μετὰ τοῦ πρίγκιπος οἱ στρατιῶται ⟨τούτῳ⟩ προσάγουσιν, αὐτοῦ τοῦτο κελεύσαντος· πά-
f. 204 λιν οὖν ἐρωτήσεις, πάλιν ἀπειλαί, πάλιν φόβοι καὶ ‖ δείματα· ὧν μικρὰ ἢ οὐδὲν ἐκείνου φροντίσαντος ὁ δυσσεβὴς ἔξω τῆς πόλεως

2 πάντα τὰ ἐν αὐτοῖς A; βδελύγματά | εἰσὶ H || 4 ἐναντιοχεία H || 5 ἀποτέμνεται A || 6 γλῶσσαν A || 7 ὀφθαλμοῖσ αὐτοῖσ A; Καὶ — καθο|καθορῶντι H || 9 τυράνου H || 11 τῷ om. H || 12 τώ τοι H, τῶτοι A || 13 γὰρ εἰ ἐπείθου—ἐσ(ω)|θεισ H || 14 ἐκληρονό|μησ H || 19 δεσμίουσ προπέμπει A || 22 εἰτά τινα κώμην καλουμένη̃ A || 27 διαβληθέντα τούτω A || 27—28 τῶν — βασιλέων H, τῶν κρατούντων A || 28—29 ἀνομολογοῦντα A || 30 ἐκεῖθεν om. A || 32 τούτῳ eieci; Πάλιν H

γενόμενον κελεύει σπαθίζεσθαι· κατακρεουργεῖται τοίνυν τὸ μαρτυρικὸν Ἀγαθονίκου σῶμα, τοῖς τιμίοις αἷμασιν ἡ γῆ πιαίνεται τούτου· εὐχὴ πρὸς Θεὸν καὶ δέησις ἐξακούεται, «Μὴ δὴ παρίδῃς ἡμᾶς, Χριστέ,» λέγοντος, «καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ τῆς ἀφράστου καὶ ἀθανάτου καταξίωσον βασιλείας».

5. Τούτων οὕτως ἐχόντων ἀπάρας ἐκεῖθεν ὁ κόμης τὸν Μαξιμιανὸν κατέλαβε καὶ πάντα τὰ κατὰ τὸν Ἀγαθόνικον καὶ τὸν πρίγκιπα καὶ τοὺς συνδεσμώτας ἁγίους ἀπαγγέλλει κατὰ λεπτόν. καὶ ὃς ἅμα τοῦτον παραστησάμενος ἀνεγίνωσκε τοῖς ὑπομνήμασι καὶ ταῖς ἐρωτήσεσιν, ἀλλὰ δὴ καὶ τῷ χαρακτῆρι προσήκειν αὐτῷ τὸν Ἀγαθόνικον κατὰ γένος, καί φησι πρὸς αὐτόν, ἵνα τοῖς αὐτοῦ χρήσωμαι λόγοις· «Ἀγαθό|νικε, τί ὧδε;» ὁ δὲ «Διὰ Χριστὸν» ἔφη «τὸν κύριόν col. 2 *μου καὶ ῥύστην» καὶ ἅμα καταλέγειν ἤρξατο τὴν αὐτοῦ δύναμιν καὶ τὸ σαθρὸν τῶν εἰδώλων· τότε δίδωσιν ὁ δυσσεβὴς οὗτος κατ' αὐτοῦ τὴν ἀπόφασιν, ἀλλὰ μὴν καὶ κατὰ τῶν λοιπῶν τῶν συνόντων αὐτῷ. χαίρων οὖν ὁ μάρτυς σὺν αὐτοῖς πρὸς τὸν τῆς τελειώσεως ἀπαγόμενος τόπον «Εὐλογητὸς κύριος» ἔψαλλεν, «ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν· ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν· ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν».*

6. Ταῦτα ηὔξω, πανάριστε καὶ καλὲ μάρτυς καὶ θαυμαστὲ Ἀγαθόνικε, καὶ τὴν κεφαλὴν ἀπετμήθης σὺν πρίγκιπι τούτῳ καὶ τοῖς συνάθλοις σου· αἴτησαι τοίνυν, παρρησίαν ὡς ἔχων πρὸς τὸν ὑπὲρ οὗ τὸ τίμιον ἐξέχεας αἷμά σου, δοθῆναι βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλομάρτυρι καὶ πᾶσιν ἐμπρέποντι τοῖς || καλοῖς μακρότητα ζωῆς f. 204v *καὶ καλῶν ἀφθονίαν, ἰσχύος Θεοῦ τὴν ἀνίκητον χάριν, ἀρραγῆ, ἀκλόνητον τὴν βασιλείαν, ἡδεῖαν, τερπνὴν καὶ κακῶν ἀνωτέραν, πάντων ὡς εἰπεῖν ἀγαθῶν μετουσίαν καὶ τῆς ἐκεῖθεν δόξης τὴν εὐκληρίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα, κράτος, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

---

1 *Κατακρεουργεῖται AH* || 8 *ἀπαγγέλει καταλεπτὸν H* || 9 *Ἅμα H* || 11 *καταγένοσ H; καὶ φησὶ—χρήσομαι A* || 16—17 *τόπον ἀπαγόμενοσ A* || 21 *καλλὲ H; καὶ* **ante** *καλὲ* **om.** *A* || 23—30 **Epilogus in A** *(***post** *τοῖς συνάθλοις σου): καὶ πρὸς ὃν ἐπόθησας χν̅ καὶ ὑπὲρ οὗ τὸ σὸν ἐξέχεας αἷμα ἐξεδήμησας· ᾧ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.*

17—20 *Εὐλογητὸς — τὴν γῆν:* cf. Psalm. 123 (124), 6—8.

Μηνὶ τῷ αὐτῷ κγ'.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΕΝΔΟΞΩΝ ΜΑΡΤΥΡΩΝ ΕΙΡΗΝΑΙΟΥ, ΩΡ ΚΑΙ ΟΡΟΨΕΩ.

1. Τὸν τῆς εἰρήνης ἐπώνυμον καὶ γενναιότατον μάρτυρα Εἰρηναῖον τὸν μέγαν ἡ τοῦ Σιρμίου πόλις πρόεδρον ἔσχε καὶ πολιοῦχον, καλῶς τὴν ἐκκλησίαν ποιμαίνοντα καὶ καλῶς Θεῷ τὴν λογικὴν λατρείαν προσάγοντα. Διοκλητιανοῦ τοίνυν καὶ Μαξιμιανοῦ τῶν τυράννων διωγμὸν ὅτι μέγιστον κατὰ Χριστιανῶν κινησάντων καὶ πλῆθος col. 2 *ὅτι πολὺ τούτων | ἢ μᾶλλον εἰπεῖν ἅπαντας συλλαμβανομένων καὶ τιμωρίαις ξέναις εἰς ὑπερβολὴν κακίας καθυπαγόντων τοῦτο μὲν δι' ἑαυτῶν, τοῦτο δὲ καὶ διὰ τῶν ὑπηρετουμένων ὁμοφρόνων αὐτοῖς, διαβάλλεται τῷ τῆς χώρας Παννονίας ἄρχοντι Πρόβῳ καὶ ὁ καλὸς οὗτος Εἰρηναῖος ὁ πάνυ καὶ συλληφθεὶς τῷ βήματι τούτου προσάγεται.*

2. Καὶ τί γίνεται; πρὸς θυσίαν τῶν εἰδώλων καλεῖται. «Εἴπερ γάρ, ὦ ἄνθρωπε, θῦσαι τοῖς θεοῖς θελήσεις» ὁ Πρόβος ἔφησε τῷ δικαίῳ, «μέγιστον ἀναδείξω σε, γράψας τῷ βασιλεῖ, καὶ μεγάλων πραγμάτων διοικήσεις ἐμπιστευθήσῃ· εἰ δ' οὖν, ἀλλὰ τιμωρίαι σε διαδέξονται μηδὲ λόγῳ ῥηταί». ἔφη, καὶ ὁ ἅγιος «'Αλλ' οὐδὲ ζῆν αἱροῦμαι σὺν ὑμῖν, ἡγεμών», εἶπε, «μή τί γε συνδιάγειν καὶ συνδο- f. 205 *ξάζεσθαι». ταῦτα τοῦτον εἰπόντα δεσμὰ λαμβάνουσιν εὐθὺς || καὶ τὸ δεσμωτήριον.*

3. Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ μέσης νυκτὸς ὁ Πρόβος εἰς ἐξέτασιν προκαθίσας, ὅτε δὴ πάντως εἰς οὓς αὐτῷ λελάληκεν ὁ σατανᾶς, ἄγει τὸν μάρτυρα πρὸς ἐρώτησιν καὶ θῦσαι τοῦτον ἠνάγκαζε τοῖς βδελύγμασιν. ὡς δὲ μὴ ἔπειθε, μαστίζει δεινῶς, ξέει πικρῶς, φλέγει φρικτῶς τῷ πυρί· γενναίως τοίνυν ὑπομεμενηκότος αὐτοῦ τὰς κολάσεις ὁ δυσσεβὴς καὶ κατάρατος ἄρχων αὖθις αὐτὸν πρὸς θυσίαν καλεῖ, «Ἵνα τί» λέγων «μὴ θύεις τοῖς ἀθανάτοις θεοῖς, ἀσεβέστατε, ἀλλ' ἔθου σκοπὸν κακῶς οὕτως ἀποθανεῖν καὶ πι-

3 *ὀρόψαις* A || 9 *πολλὺ* H || 10 *καθύπαγόντων* A || 12 *καλλὸσ* H || 16 *ἔφη* A || 18—19 *τιμωρίαι σε μηδὲ λόγω ῥηταὶ ὅσον οὔπω διαδέξονται* A || 20 *εἶπεν* H: *μήτοι γε* A, *μήτιγε* H || 21 *Ταῦτα* AH || 23 *οὐχὶ* om. A || 24 *οὖσ* (pro *οὓς*) H || 29 *προσθυσίαν* H

κρῶς;» καὶ ὁ ἅγιος· «Ὅτι μὴ θέμις δαιμόνων εἴδωλα τυγχάνοντα προσκυνεῖν καὶ τότε τὸν χριστιανὸν ἐμέ, ὃν ὁ Χριστὸς ἔθρεψεν ἐξ αὐτῆς μητρικῆς προόδου γαστρός, Χριστὸς ἤνδρωσε, Χριστὸς ἐμεγάλυνε καὶ τῷ τῆς θεογνωσίας κατεφώτισε φέγγει· δι' ὃν καὶ πάντα ὑπομένειν ἕτοιμός ειμι, καὶ οὐκ ἴδοις μέ | ποτε θυσίαν ξοάνοις ἀπονεῖμαι col. 2 *κωφοῖς. ποίει τοιγαροῦν ὃ βούλει, παρανομώτατε· πυρὶ καῖε, ξίφει τέμνε καὶ πᾶν εἴ τι ἂν ᾖ βουλομένῳ σοι πράττειν ἐπ' ἐμοὶ ποίει· γνώσῃ γὰρ ἐντεῦθεν, ὡς οὐδὲν ἥγημαι τὸν διὰ Χριστὸν ἐπενηνεγμένον μοι θάνατον».*

4. Θυμοῦται ὁ ἄρχων τούτων ἀκούσας καὶ τούτου μὲν ξίφει κελεύει τὴν πάντιμον κεφαλὴν ἐκκοπῆναι, αὐτίκα δὲ παρίστησιν εἰς μέσον καὶ Ὧρ τὸν κλεινὸν καὶ Ὀρόψεω τὸν σοφόν· οὓς καὶ αὐτοὺς θῦσαι μὴ βουληθέντας πυρὶ παραδίδωσι. καὶ ἐπεὶ Θεὸς ὁ τὸ θέλημα ποιῶν τῶν φοβουμένων αὐτὸν τῆς καμίνου διεσώσατο τούτους, ὑετὸς γὰρ ἄνωθεν κατενεχθεὶς ἀπέσβεσε τοῦτο, θυμομαχήσας ὁ Πρόβος θηρίοις τούτους ἐκδίδωσιν· ἀλλὰ καὶ τούτων παραδόξως σωθέντας ξύλῳ ἀναρτᾷ καὶ ξαίνει πικρῶς, εἶτα καὶ ξίφει τὰς αὐτῶν κεφαλὰς ἐκτμηθῆναι κελεύει. ἄγονται τοίνυν καὶ οὗτοι σὺν||τῷ ἱερομάρτυρι f. 205v *Εἰρηναίῳ πρὸς τὸν τόπον τῆς τελειώσεως καὶ τὸ μακάριον δέχονται τέλος, εἶτα καὶ τῷ ποταμῷ Σάῳ οὕτως ὠνομασμένῳ ῥιπτοῦνται.*

5. Καὶ νῦν, ὦ πανθαύμαστοι μάρτυρες, ἵνα πρὸς ὑμᾶς τὸν λόγον ποιήσω, τῷ δεσποτικῷ σὺν ἀγγέλοις παριστάμενοι θρόνῳ, νέμοιτε ταῖς εὐκτικαῖς ὑμῶν εἰς Θεὸν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ πράῳ καὶ τὰ πάντα καλῷ μακρὰν τὴν ζωὴν καὶ γαλήνιον, ἰλύος πάσης ἀπηλλαγμένην, χάριτος θείας πεπληρωμένην, πάντων ἀγαθῶν μεμεστωμένην καὶ τῆς ἐκεῖθεν βασιλείας τὴν χάριν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1 *Καὶ AH* || 2 *καὶ τότε: καὶ ταῦτα?* || 3 *προδδs H* || 2—3 *ὃν ἐξ αὐτῆσ τῆσ ἐκ μρικῆσ γαστρὸσ προόδου ὁ χ̄σ̄ ἔθρεψεν, ὁ χ̄σ̄ ἤνδρωσεν, ὁ χ̄σ̄ ἐμεγάλυνε A* || 5 *με ποτὲ ξοάνοισ θυσίαν ἀπονέμοντα κωφοῖσ A* || 7 *εἴ τι H, ὅ τι A; ποίει H, πράττε A* || 10 *Θυμοῦται τούτων ἀκούσασ ὁ ἄρχων A* || 12 *ὀρόψᾶιον A* || 15 *ἐπέσβεσε — θυμομαχίσασ H* || 17 *ξαίνει H, ξέει A* || 19 *τὸν τῆσ τελειώσεωσ τόπον A* || 20 *ὀνομασμένω A* || **Pro cap. 5 in A legitur:** *καὶ νῦν τῷ θρόνῳ παρίστανται τοῦ παμβασιλέωσ θ̄ῡ ἡμῶν· ᾧ πρέπει ἡ δόξα καὶ τὸ κράτοσ εἰσ τοὺσ αἰῶνασ. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κδ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΑΝΘΟΥΣΗΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΑΘΑΝΑΣΙΟΥ, ΧΑΡΙΣΙΜΟΥ ΚΑΙ ΝΕΟΦΥΤΟΥ. |

col. 2 *1. Οὐαλεριανοῦ τοῦ δυσσεβοῦς τὰ τῆς Ῥωμαίων ἀρχῆς ἐγκεχειρισμένου σκῆπτρα καὶ διωγμοῦ μεγάλου κατὰ Χριστιανῶν κινηθέντος ὁ μέγας οὗτος ἐπίσκοπος Ἀθανάσιος, τῇ Ταρσέων ἐνδιατρίβων τηνικαῦτα πόλει, πάντας τοὺς πιστοὺς ὑπεστήριζε πρὸς τὴν εἰς Χριστὸν ἀγάπην καὶ πάντας ἐδίδασκε καὶ πολλοὺς τῶν ἀπίστων τοῖς θαύμασιν ἐνῆγε πρὸς τὴν εὐσέβειαν καὶ πολλοὺς τῷ θείῳ βαπτίσματι κατελάμπρυνε. τὰ περὶ τούτων γοῦν τῆς φήμης καὶ κατ᾽αὐτὴν τὴν Σελεύκειαν διαβιβασάσης ἡ Ἄνθουσα, ῥόδον ἐξ ἀκανθῶν φυεῖσα καὶ καλλιέλαιον ἐξ ἀγριελαίου,—Ἕλληνες γὰρ οἱ ταύτης ἦσαν γεννήτορες, ὁ μὲν Ἀντωνῖνος, ἡ δὲ Μαρία καλούμενοι, — πρὸς τὴν ἀκρόασιν διηγέρθη καὶ τὸν ἄνδρα, ὅστις ἄρα καὶ εἴη, κατιδεῖν ἐπεθύμει.*
f. 206 *σκήπτεται τοίνυν τὸ πρὸς τὴν τροφὸν ἀπελθεῖν ἐκεῖσέ που|| διάγουσαν, καὶ τῇ μητρὶ προσιοῦσα τὴν ἀπέλευσιν ἐξαιτεῖ. ταύτης δὲ τὸν Παυλίνου προφασισαμένης φόβον (ἀνὴρ δὲ οὗτος κατὰ δευτέρους γάμους τῆς Μαρίας) ἡ Ἄνθουσα λύπῃ συνείχετο τὴν ψυχήν· καὶ δὴ καὶ φαίνεται ταύτῃ καθ᾽ ὕπνους ὁ κύριος μορφῇ τοῦ Ἀθανασίου καὶ εὐφροσύνης αὐτῆς πληροῖ τὴν ψυχὴν καὶ τὸν τῆς πίστεως ὑποτίθησι λόγον· καὶ ἅμα πρωῒ στέλλει τινὰς τῶν οἰκετῶν πρὸς τὸν ἅγιον, ἐφ᾽ ᾧ τοὺς ἰδόντας τὴν μορφὴν αὐτῇ προσαγγεῖλαι.*

2. Γέγονε τοῦτο, καὶ συνῆκεν ἐντεῦθεν ἐκ τοῦ ὁμοιώματος θείαν εἶναι τὴν ὄψιν· ἔνθεν τοι καὶ χαίρουσα ἦν καὶ εὔελπις, ὡς ὄψεται πάντως αὐτόν. πρόσεισιν οὖν αὖθις τῇ μητρὶ καὶ τὴν αὐτὴν τῇ προτέρᾳ ποιεῖται παράκλησιν· κἀκείνη μὴ βουλομένη λυπεῖν τὴν φιλτάτην πληροῖ ταύτης τὴν αἴτησιν καὶ πέμπει σὺν θεραπείᾳ πάσῃ

4 *χαρσίμου* H, *χαρῖσίου* A || 5 *οὐαλλεριανοῦ* AH || 7 *ἐπίσκοπος* om. A || 12 *ῥόδον* om. H, mox *φῦσα ἐξ ἀκανθῶν* || 13 *ἐξ ἀγριελαίου καλλιέλαιον — γὰρ οὗτοι οἱ ταύτησ κτλ.* A || 14 *μαρία* H, *μαρτυρία* A || 16 *σκέπτεται* A || 19 *μαρτυρίασ* A || 25 *ἔνθέν τοι* H || 27 *κἀκείνη — τὴν αἴτησιν* om. H

πρὸς τὴν τροφόν. ἤδη γοῦν τὴν ὁδὸν ἀνύουσα βλέπει μακρόθεν τὸν Ἀθανάσιον κατὰ | τύχην ἐν αὐτῇ διερχόμενον· καὶ συμβαλοῦσα col. 2 *τῇ ὄψει τὴν ἐκείνου μορφὴν ἕνα τῶν παίδων αὐτῆς εἰς ἐρώτησιν πέμπει, εἰ αὐτὸς ἐκεῖνός ἐστι μαθεῖν ἐκζητοῦσα. μανθάνει τοῦτο καὶ τοῦ ὀχήματος ἀποβᾶσα μόνη πρόσεισι τούτῳ καὶ τὴν προσήκουσαν ἀπονέμει προσκύνησιν, ἀπαγγέλλει τὸν ὄνειρον, αἰτεῖ τὴν τῆς πίστεως ἔκθεσιν, αἰτεῖ τὸ τοῦ Χριστοῦ βάπτισμα καὶ τῆς αὐτοῦ γενέσθαι μερίδος ἀξιοῖ.*

3. Οὐκ ἀναβάλλεται πρὸς τὴν τούτου δόσιν ὁ μέγας· ἀλλ᾽ εἴς τινα τόπον ἀνακεχωρημένον σὺν αὐτῇ τε καὶ παιδίσκαις ὀλίγαις γενόμενος, ἐπεὶ μὴ εἶχεν ὕδωρ ὁ τόπος, εὔχεται καὶ πηγῆς ἀναδοθείσης, ἀγγέλων ἐφεστώτων αὐτῇ, οὓς καὶ ἡ Ἄνθουσα καὶ αὐτὸς Ἀθανάσιος ἑωράκει, βαπτίζει ταύτην ἐν τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τῆς μακαρίας τριάδος, καὶ πλεῖστα περὶ τῆς πίστεως διδάξας τῷ Θεῷ παρα||τίθησιν. ἄπεισιν f. 206v *οὖν τὸ καλὸν ἄνθος τῆς παρθενίας ἡ Ἄνθουσα πρὸς τὴν ἰδίαν τροφόν· δέχεται ταύτην ἀσμένως ἐκείνη· βλέπει μὴ δεδοξασμένην τὴν στολὴν αὐτῆς, ἀλλ᾽ οἰκτράν· βλέπει ξένην μορφὴν καὶ ὑπέρλαμπρον, διαγωγὴν ἄλλην καὶ δίαιταν βλέπει καὶ λογισμοῖς προσπαλαίει· μανθάνει χριστιανὴν αὐτὴν γενέσθαι παρὰ τῶν παίδων καὶ λύπῃ συνέχεται, ἀλλοτριόφρων οὖσα, καὶ μὴ θέμις εἶναι λέγει κἂν πρὸς βραχὺ μεῖναι παρ᾽ αὐτῇ.*

4. Τοίνυν ἡ παῖς ἐκεῖθεν ἀπάρασα τὰ οἰκεῖα καταλαμβάνει· καὶ ἐπεὶ πρός τε τὸ ξένον τῆς μορφῆς, πρός τε τὸ παρηλλαγμένον τῆς καταστολῆς καὶ ἡ μήτηρ ἐκπέπληκτο καὶ διερεθίζετο τὴν ψυχήν, μαθεῖν ἐζήτει, τί τὸ συμβάν; οἱ παῖδες οὖν ἀπαγγέλλουσι τὰ συμβεβηκότα πρὸς αὐτήν, κἀκείνη τῷ ἀνδρὶ καταγγέλλει τὸ δρᾶμα. τὸν ἐν τῷ μέσῳ δὲ καιρὸν ἡ Ἄνθουσα | πρὸς φυγὴν ἱκανὸν εὑρηκυῖα col. 2 *ὑποχωρεῖ καὶ πρός τινα κρυπτὸν ἐν τῷ τέως γίνεται τόπον· εἶτα μετὰ τὴν ζήτησιν καὶ τὴν ἀπαγόρευσιν τῆς εὑρέσεως τὸν Ἀθανάσιον τάχος καταλαμβάνει καὶ τοῦ τῶν μοναχῶν καταξιοῦται σχήματος, τὴν ἔρημόν τε βλέπει καὶ πρός τι σπήλαιον γίνεται κἀν τούτῳ ἀποδύεται πρὸς μεγάλους ἀγῶνας, τῆς ἄνωθεν θείας χειρὸς συνεφαπτομένης καὶ συντηρούσης αὐτήν.*

1 *γοὺν H* || 2 *τύχην H, ψυχὴν A* || 3 *τῇ ὄψει om. A* || 4 *ἐκεῖνοσ ἐστὶν H: Τοῦτο AH* || 5 *ἀποβάσα H* || 6 *τὴν om. H* || 7 *τοῦ om. A* || 8 *ἀξιοῖ om. H* || 10 *τὲ H* || 11—12 *ἀναδοθήσεισ H* || 13—14 *τοῦ πατρὸς—πνεύματος om. H* || 15 *τῆς om. H; διδάξασα A* || 18 *στολὴν H, καταστολὴν A* || 19 *διαγωγήν, δίαιταν ἄλλην καὶ λογισμοῖσ κτλ. A* || 25 *διερεθίζετο H, διεμερίζετο A* || 26 *συμβᾶν A; ἀπαγγέλουσι H* || 27 *καταγγέλει H, καταλέγει A; δράμα AH* || 33 *πρὸσ μεγάλουσ ἀποδύεται τοὺσ ἀγῶνασ A; θείας om. H*

5. Τοῦ διωγμοῦ τοίνυν κρατοῦντος καὶ μεγάλα πνέοντος συλλαμβάνεται παρὰ τῶν διωκτῶν Ἀθανάσιος καὶ τῷ τοῦ βασιλέως κατὰ τὴν Ταρσὸν διάγοντος προσάγεται βήματι καὶ μὴ πειθόμενος θυσίαν εἰδώλοις προσοίσειν τείνεται κατὰ γῆς καὶ ξύλοις ἁδροῖς συνθλᾶται τὰ μέλη, τὰς σάρκας σπαράττεται καὶ πικρῶς καταξαίνεται· αἵματος ἡ γῆ πληροῦται καὶ οἱ παρεστῶτες θάμβους. εἶτα καὶ ξίφει f. 207 τὴν κεφαλὴν ὁ καλλίνικος ἀποτέμνεται καὶ φιλο||τίμῳ ταφῇ παραδίδοται. διαβάλλονται τοίνυν τῷ τυράννῳ καὶ Χαρίσιμος καὶ Νεόφυτος τῶν οἰκετῶν τῆς Ἀνθούσης οἱ πρόκριτοι, οἵτινες καὶ αὐτοὶ σὺν ἐκείνῃ τοῦ θείου βαπτίσματος ἠξιώθησαν· καὶ πρὸς ἄρνησιν Χριστοῦ καὶ οὗτοι προσκαλοῦνται. ἐπεὶ δὲ μὴ ἐπείθοντο, φρουρᾷ ζοφώδει καὶ τοῖς ἐκ ταύτης κακοῖς ἐμβάλλονται. ἡμερῶν δὲ διαγεγενημένων ἑπτὰ ἄγονται πάλιν πρὸς τὴν ἐξέτασιν καὶ πάλιν θύειν τοῖς εἰδώλοις καταναγκάζονται· οὐ πείθονται καὶ τῷ ξύλῳ προσαναρτῶνται καὶ σιδηροῖς ὄνυξι τὰς πλευρὰς καταξέονται· εἶτα καὶ ξίφει τὰς κεφαλὰς ἀποτέμνονται καὶ οὕτω τὸν μαρτυρικὸν ἀνύσαντες δρόμον ἐν κυρίῳ καλῶς καὶ αὐτοὶ τελειοῦνται.

6. Ἀλλὰ τούτων οὕτω γινομένων ἡ μεγάλη καὶ περίφημος Ἄνθουσα τοῖς ὄρεσιν ἦν ἐμφιλοχωροῦσα καὶ τοὺς ἀσκητικοὺς ἀνύcol. 2 ουσα πόνους χρόνους, | ὥς φασι, τρεῖς πρὸς τοῖς εἴκοσι, τροφὴν τὰς φυομένας ποιουμένη βοτάνας καὶ ἄλλην τὴν παρὰ τοῦ φυλάσσοντος ἀγγέλου κομιζομένην αὐτῇ. ἔνθα δὴ καὶ θείας αὐτῇ χάριτος τὸ τέλος γνωρισάσης Ἀθανασίου, Χαρισίμου καὶ Νεοφύτου, δόξαν ἐδίδου Θεῷ τῷ τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντι. πολλὰς οὖν ὁ πονηρὸς κινήσας κατ' αὐτῆς μηχανὰς διὰ πάντων ἥττηται καὶ καταπεπάτηται· καὶ γὰρ προσιὼν αὐτῇ ποτε ὥς τις μοναχός, «Ἔγειραι» λέγει, «παρθένε; στῶμεν εἰς προσευχήν». ἐκείνη δὲ συνεῖσα τὴν πλάνην τοῦ δαίμονος εὐχαῖς αὐτὸν ὡς καπνὸν διέλυσε καὶ ὡς χοῦν ἐξελίκμησε. καὶ ταῦτα μὲν εἰς τοσοῦτον.

7. Προσευχομένης δὲ ταύτης μιᾷ τῶν νυκτῶν ἐν τῷ σπηλαίῳ αὐτῷ σεισμὸς γίνεται μέγας, καὶ σύντρομος ἐκείνη πεσοῦσα πρὸς γῆν, ἄγγελος αὐτῇ θεῖος ἐπιστάς, «Μὴ φοβοῦ» λέγει, «Ἄνθουσα·

1 Του ΑΗ || 4 προσοίσει Α: σύνθλᾶται Η || 5 τὰ μέρη — καταξαίεται Α || 6 θάμβουσ οἱ παρεστῶτεσ Α || 7 καλλίνικοσ Η, καλλίμαρτυσ Α || 8 Διαβάλλονται Η; χαρίσιοσ Α || 9 αὐτῇ pro αὐτοὶ Η || 10 σὺν ἐκείνῃ Η, σὺν αὐτῇ Α || 10—11 καὶ ἐπεὶ πρὸσ ἄρνησιν — προσεκαλοῦντο καὶ μὴ ἐπείθοντο Η (verba καὶ μὴ ἐπείθοντο bis scripta, sed postea erasa) || 12—13 διαγεγενημένων Η, γενομένων Α || 14—15 πρὸσαναρτῶνται Η || 16 τὸν μαρτυρικὸν Η, τὸν τοῦ μαρτυρίου Α || 17 καὶ αὐτοὶ om. Α || 18 Ὄυτωσ Η || 20 ὡσφασὶ Α || 22—23 χάριτοσ τὸ τέλοσ αὐτῇ Α || 23 χαρισίου τὲ καὶ Α || 24 τὰ om. Α || 25 μηχανὰσ καὶ διὰ Α || 26 ποτὲ ΑΗ || 28 διέλυσεν Η || 30—31 ἐν αὐτῷ τῷ σπηλαίῳ Α

καλῶς || τὸν ἀσκητικὸν διήνυσας δρόμον. δεῦρο λοιπόν, ἀπόλαβε f. 207v τοὺς ἡτοιμασμένους σοι τῶν πόνων μισθοὺς καὶ τὸ στέφος τῆς ἀφθαρσίας». τούτων ἡ παρθένος ἀκούσασα διανίσταται πρὸς εὐχάς, εἶτα καὶ τῇ πέτρᾳ, ἧπερ εἴθιστο τὸν ὕπνον, ὁσάκις αὐτὴν ἡ τοῦ σώματος ἠνάγκαζε φύσις, τελεῖν, ἑαυτὴν ἀνακλίνασα, τῷ κυρίῳ τὸ πνεῦμα παρέθετο. χρόνοις οὖν ἐπί τισι τοῦ πανάγνου σώματος αὐτῆς θείᾳ προνοίᾳ φυλαττομένου ἡ μεγάλη Πολυχρονία τὴν κοίμησιν αὐτῆς χρηματίζεται· ἣν δὲ καὶ αὐτὴ τοῖς αὐτοῖς ὄρεσι τὸν ἀσκητικὸν διανύουσα δρόμον. εὐθὺς οὖν ἀναστᾶσα καταλαμβάνει τὸ σπήλαιον, καὶ ἰδοὺ πάρδαλις ἐξιοῦσα καὶ τοῦ ῥάκους τοῖς ὀδοῦσιν αὐτῆς ἐπιλαβομένη πρὸς αὐτὸ ταύτην εἰσάγει καὶ φέρουσα πρὸ τοῦ σώματος ἵστησιν· ἡ δὲ τοῦτο νεαρὸν ὥσπερ εὑρηκυῖα καὶ ἀρτιθανές, κατασπασαμένη καὶ δάκρυσι πλύ|νασα τάχος τὸν ἐν μονα- col. 2 χοῖς ἀοίδιμον καταλαμβάνει Ἀβράμιον καὶ τὸ πρᾶγμα γνωρίζει.

8. Καὶ οὗτος τρεῖς ἅμα παραλαβὼν ἀδελφοὺς ἔρχεται σὺν τῇ Πολυχρονίᾳ καὶ τὰ εἰκότα τελέσας ἐπ' αὐτῇ τῇ γῇ τὸ ἀνθινὸν παραδίδωσι σῶμα ἐκεῖνο τῆς Ἀνθούσης καὶ οὕτως ὑπέστρεψε. χρόνος παρῆλθεν οὐχὶ συχνός, καὶ ἄγγελος αὐτῷ θεῖος παρακελεύεται οἶκον εὐκτήριον πρὸς τῷ σπηλαίῳ ποιῆσαι καὶ μονὴν αὐτὸν ἀποκαταστῆσαι. ὃ δὴ θᾶττον ὁ γέρων διαπραξάμενος κοινὸν ἀγαθὸν καὶ θαυμάτων σωρὸν τοῖς περιοίκοις ἀπέδειξε, τὰς τῶν θαυμάτων πηγὰς εἰσέτι χορηγοῦντα τοῖς χρῄζουσιν. καὶ ταῦτα μέν σου, καλλιπάρθενε, τὰ τοῦ βίου καὶ τῆς ἐνθέου διαγωγῆς. αὐτὴ δὲ τῶν πόνων ἀπολαμβάνουσα τοὺς μισθοὺς καὶ μεγάλην ἔχουσα παρρησίαν πρὸς κύριον, αἴτησαι δοθῆναι βασιλεῖ ἡμῶν τῷ εὐσεβεῖ καὶ || δικαίῳ μονίμου βασιλείας τὴν μέθεξιν, ἱερῶν ἀγγελικῶν ὕμνων τὴν f. 208 ἀκρόασιν, χορῶν αὐτῶν λαμπροτάτων τὴν ξυναυλίαν, πάντων ἀγαθῶν τὴν ἀπόλαυσιν ὅλην καὶ βασιλείας οὐρανῶν κατοικίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

3 Ἡ *AH* || 8 αὐτῇ *AH*; ὄρεσιν *H* || 9 ἀναστάσα *AH* || 11 πρὸσ τοῦ σ. *A* || 16 τελέσαντεσ *A* || 22 τὸ σπηλαίῳ *H*; αὐτὸν *om.* *A* || 20 θάττον *H* || 21 σορὸν *H*, θαυμάσιον σοφὸν *A* || 22 εἰσ ἔτι *AH*; χρήζουσι *A*, χαρίζουσι *H* || 22—30 *Epilogus in A* (*post* τοῖς χρήζουσιν): εἰς δόξαν πρσ̄ υἱοῦ καὶ ἁγίου πνσ̄, τῆσ μιᾶσ ὁμοουσίου καὶ ἀδιαιρέτου τριάδοσ, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησ(ις) νῦν καὶ ἀεὶ καὶ εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κε'.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΤΙΤΟΝ.

1. Τῖτος ὁ περιφανὴς καὶ μέγας ἀπόστολος, οὗ τὸ κλέος πᾶσαν ὡς εἰπεῖν διέλαβε τὴν ὑφήλιον, Κρήτης τῆς μεγάλης νήσου βλαστὸς ἀξιόθεος ἔστι τε καὶ γνωρίζεται, τῷ ᾀδομένῳ Μίνωι τοῖς Ἑλλήνων παισὶ κατὰ γένος προσήκων, ὥς φησι Ζηνᾶς ὁ νομικός, ὁ τὸν βίον αὐτοῦ συγγραψάμενος. οὗτος οὖν ὁ μακάριος τῆς ἔξω σοφίας ἐραστὴς γεγονὼς καὶ ταύτην εἰς ἄκρον ἀσκήσας καὶ ταῖς Μωσαϊκαῖς col. 2 *ἐντυγχάνει γραφαῖς καὶ ταύταις ὡς μά|λιστα τὸν νοῦν ἐναπασχοληсάμενος καὶ συλλέξας γνῶσιν ὅτι πολλὴν Ἰουδαῖος ἄλλος ἐντεῦθεν ἦν, πάντας ἐκπλήττων τῷ κάλλει καὶ τῇ γνώσει τῶν λόγων καὶ πάντας ἐξιστῶν τῇ σοφίᾳ.*

2. Πλὴν νέαν ἔτι τὴν ἡλικίαν ἄγων (τὸν εἰκοστὸν ἐπανέβαινε χρόνον) φωνῆς οὐρανόθεν ἀκούει, «Τῖτε», λεγούσης, «ἐκδημῆσαί σε δεῖ τῶν ὧδε, τὰ Ἱεροσόλυμά τε κατιδεῖν καὶ τὴν ψυχήν σου σῶσαι· οὐδὲ γάρ ὀνήσει σε πάντως ἣν μετέρχῃ σοφίαν». αὐτίκα γοῦν τῷ τῆς Κρήτης ἀνθυπάτῳ (θεῖος δὲ ἄρα οὗτος αὐτοῦ) πρόσεισι καὶ τὴν ἐπ' ἐκεῖνα πορείαν στείλασθαι τάχος ἐξαιτεῖ προσθήκης ἕνεκα γνώσεως. τοῦ δὲ κατανεύσαντος εἰς τοῦτο (καὶ γὰρ ἡ περὶ Χριστοῦ φήμη καὶ τὰ θαύματα τούτου διέδραμε καὶ μέχρις αὐτοῦ) καὶ τοῦτο μὲν διὰ τὴν ἀξίωσιν τοῦ νέου, τοῦτο δὲ καὶ ἵνα τὰ τῆς f. 208v *φήμης ἱστορηθῇ παρ' ἐκείνου || καλῶς, ἐκχωρήσαντος αὐτῷ τὴν πορείαν, ὁ μέγας Τῖτος σὺν ὅτι πολλῇ τῇ σπουδῇ τῆς Κρήτης ἀπαίρει καὶ τὴν Ἰουδαίαν καταλαμβάνει, ἱστορεῖ τε τὸν δεσπότην καὶ τῶν θαυμάτων αὐτοῦ γίνεται θεατής, ναὶ δὴ καὶ τῶν παθῶν καὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως, ἀλλὰ δὴ καὶ τῆς ἀναλήψεως καὶ τῆς καθόδου τοῦ παναγάθου πνεύματος ἐν τοῖς ἀποστόλοις ξένως γεγενημένης, ὡς ὑπερεκπλαγέντα τούτοις αὐτὸν πιστεῦσαι τῷ κυρίῳ σὺν τοῖς διὰ Πέτρου τοῦ κορυφαίου πιστεύσασι τρισχιλίοις καὶ σὺν τοῖς ἑκατὸν καὶ πεντήκοντα, τὴν ἁλμυρὰν τῶν*

(Haec memoria deest in cod. A). 5 τὲ || 14 λέγουσα ἐκδημῆσαί σε || 16 αὐτί|Κα γοῦν || 18 στείλλασθαι || 29 σὴν *(pro* σὺν*)*

Ἑλλήνων ἀποκλυσάμενον δόξαν καὶ τῷ νοστίμῳ ἅλατι τῆς εὐσεβείας τὴν σηπεδόνα τῆς ἀσεβείας ξηράναντα. περὶ ὧν Λουκᾶς ἐν ταῖς Πράξεσι λέγει· «Ἦν δὲ πλῆθος ἐπὶ τὸ αὐτὸ ὀνομάτων ὡσεὶ ἑκατὸν καὶ εἴκοσι, καὶ πάντες ἐπέστρεψαν ἐπὶ τὸν κύριον». οὕτω τοῖς ἀποστόλοις συνὼν καὶ τὸ μυστήριον ὑπ' αὐτῶν | διδασκόμενος col. 2 *μαθητὴς γίνεται καὶ οὗτος οὐχ ἧττον τὴν ἀξίαν ἢ τὸν ζῆλον ὁμότιμος.*

3. *Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ Παῦλος ὁ τῆς οἰκουμένης ἐπέστη διδάσκαλος, Παῦλος ἐκεῖνος ὁ κύκλῳ πᾶσαν ἀπὸ Ἱερουσαλὴμ καὶ μέχρι τοῦ Ἰλλυρικοῦ τὴν οἰκουμένην* ⟨*ὅλην*⟩ *διαδραμὼν τῷ κηρύγματι· ᾧτινι προσιὼν ὁ καλὸς Τίτος συνήθης γίνεται καὶ ὁμόροφος, εἶτα δὲ καὶ συνέκδημος ἐν τῷ τοῦ εὐαγγελίου κηρύγματι καί, ἵνα τἆλλα παρῶ, εἶχε μὲν αὐτὸν οὕτως ἡ τοῦ Παύλου φορτίς, πανταχοῦ συμπεριαγόμενον· ἦν γὰρ ἐπιεικὴς ὁ ἀνήρ, εὐπειθής, εὐπρόσιτος καὶ πρὸς διακονίαν εὔχρηστος. καὶ τοῦτο Παῦλος αὐτὸς παρίστησιν ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ, «Οὐκ ἔσχηκα ἄνεσιν» λέγων «τῷ πνεύματί μου τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου». καὶ πάλιν· «Ὁ γὰρ παρακαλῶν τοὺς ταπεινοὺς» φησι «παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς || ἐν τῇ παρουσίᾳ Τίτου· οὐκ ἐν τῇ παρουσίᾳ δὲ μόνον αὐτοῦ,* f. 209 *ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη αὐτὸς ἐν ὑμῖν». εἶδες ἀγάπης ὑπερβολήν, εἶδες ὁμοψυχίας σύνδεσμον. ἄκουε δὲ καὶ τῶν ἑξῆς· «Περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων, ὅτι εἴ τι ἐν αὐτῷ κεκαύχημαι, οὐ κατῃσχύνθην, ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ὑμῶν ἡ ἐπὶ Τίτου ἀλήθεια ἐγενήθη καὶ τὰ αὐτοῦ σπλάγχνα περισσοτέρως εἰς ὑμᾶς ἐστι». καὶ μετ' ὀλίγα· «Χάρις δὲ τῷ Θεῷ τῷ διδόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου, ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο σπουδαιότερος ὑπάρχων, αὐθαιρέτως δὲ ἐξῆλθε πρὸς ὑμᾶς». βλέπεις αὐτὸν πανταχοῦ τὸ σπουδαῖον αὐτῷ πρὸς μαρτυρίαν φέροντα. ἄκουε τοίνυν καὶ πῶς τῷ αὐτῷ πνεύματι συμπεριπατῆσαι | τοῦτον αὐτῷ μαρ-* col. 2 *τυρεῖ· «Ἔστω» φησίν, «ἐγὼ οὐ κατεβάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον». τί λέγεις, ὦ Παῦλε; δόλῳ πανοῦργος ὑπάρχων εἷλες, οὓς διὰ σοῦ Χριστὸς ἐσαγήνευσε; Ναί, φησί, τὴν*

10 *ὅλην* delevi || 11 *ὁμόρροφοσ* || 13 *τἄλλα* || 20 *ἡμῖν* || 22, 25, 28 *τίτου* || 24 *ἐναληθεία* || 25 *ἡμῶν* || 26 *περισσωτήρωσ* || 34 *Τὴν*

3 *ἐν ταῖς Πράξεσι:* cf. Act. 1, 15 (ubi legitur *ὄχλος*) || 16—17 *οὐκ ἔσχηκα — ἀδελφόν μου:* 2 Cor. 2, 12 || 18—20 *Ὁ γὰρ—ὑμῖν:* cf. 2 Cor. 7, 6—7 || 22—26 *Περισσοτέρως — εἰς ὑμᾶς ἐστι:* cf. 2 Cor. 7, 13—15 || 27—29 *Χάρις — πρὸς ὑμᾶς:* cf. 2 Cor. 8, 16—17 || 32—33 *Ἔστω — ἔλαβον:* cf. 2 Cor. 12, 16

καλὴν ἀπάτην ἠπάτησα μιμήσει Χριστοῦ τοῦ τὸν ἐχθρὸν ἀπατήσαντος. καὶ γὰρ ἐκεῖνος ἐλπίδι σαρκὸς αὐτὸν δελεάσας θεότητος ἀγκίστρῳ περιπεσεῖν ἐποίησε. τὸ δὲ πανοῦργος ἀντὶ τοῦ σοφὸς ἐκλαμβάνεται. «Ἔστω οὖν», φησίν, «ἐγὼ οὐ κατεβάρησα ὑμᾶς· ἀλλ' ὑπάρχων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον· μήτι γε ὃν ἀπέστειλα πρὸς ὑμᾶς ἐπλεονέκτησεν ὑμᾶς; παρεκάλεσα Τῖτον καὶ συναπέστειλα τὸν ἀδελφόν· μή τι ἐπλεονέκτησεν ὑμᾶς Τῖτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσι περιήλθομεν;» ἱκανὴ ἡ μαρτυρία τοῦ Παύλου τὴν ἀρετὴν παραστῆσαι τοῦ Τίτου. λοιπὸν πρὸς τὴν ἀκολουθίαν τὸν λόγον ἀπαγάγωμεν. ||

f. 209v *4. Χειροτονεῖται Τῖτος παρὰ τῶν ἀποστόλων τῆς κατὰ Γορτύνην ἐκκλησίας ἐπίσκοπος καὶ στέλλεται πρὸς τὸ κήρυγμα μετὰ Παύλου διδάσκειν καὶ χειροτονεῖν οὓς ἂν ὁ Παῦλος δοκιμάσῃ καὶ κρίνῃ. παραγίνεται τοίνυν ἐκεῖθεν εἰς Ἀντιόχειαν σὺν αὐτῷ τὴν μεγάλην, εἶτα συναπαίρει πρὸς τὴν Σελεύκειαν καὶ Κύπρον καὶ Σαλαμῖναν καὶ Πάφον κἀκεῖθεν εἰς Πέργην τῆς Παμφυλίας κἀντεῦθεν εἰς Ἀντιόχειαν τῆς Πισιδίας καὶ εἰς αὐτὸ τὸ Ἰκόνιον, εἶτα εἰς Λύστραν καὶ Δέρβην, τὸν τοῦ Χριστοῦ λόγον σὺν τῷ Παύλῳ κηρύττων. ἄπεισι σὺν αὐτῷ κἀν τῇ Κρήτῃ, Ῥουστούλλου τότε τὴν τῆς Κρήτης ἐπαρχίαν διέποντος· γαμβρὸς δὲ οὗτος αὐτοῦ. τὴν Ἀσίαν ἐντεῦθεν σὺν ἅμα Παύλῳ καταλαμβάνει, εἶθ' οὕτως, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω τῆς συντομίας φροντίζων, μέχρις αὐτῆς Ῥώμης συγκάτεισι*
col. 2 *τούτῳ καὶ μέχρις αὐτῆς ἀναιρέσεως αὐτοῦ τῆς ὑπὸ | Νέρωνος τοῦ δυσσεβοῦς γενομένης τούτῳ συμπαραμένει, Παῦλον ἀγαπῶν, Παῦλον ὁρᾶν ἐθέλων, Παύλῳ τὴν ἰδίαν ἀπαιωρήσας ψυχήν.*

5. Τί τὸ ἐντεῦθεν; ὑποστρέψας εἰς Κρήτην κἀν ταύτῃ προβαλλόμενος ἐπισκόπους, πρεσβυτέρους τε καὶ διακόνους χειροτονήσας καὶ τὰς ἐκκλησίας Χριστοῦ τύποις καὶ διδασκαλίαις κατακοσμήσας ἐν γήρᾳ βαθεῖ καταλύει τὸν βίον. λέγεται γὰρ τέσσαρας πρὸς τοῖς ἐνενήκοντα χρόνους βιῶναι· εἰκοστὸν ἔτος αὐτῷ διανύεσθαι τοῖς Ἱεροσολύμοις ἡνίκα παρέβαλεν, ἓν δὲ μέχρι τῆς δεσποτικῆς ἀναλήψεως διελθεῖν, δέκα δὲ μετὰ ταῦτα διατρῖψαι τοῦτον ἐνιαυτοῖς καὶ οὕτω δέξασθαι τὴν χειροτονίαν καὶ τὴν ἀποστολήν, ὀκτὼ καὶ δέκα δὲ μετὰ Παύλου κηρύττειν, ἐν τῇ Κρήτῃ κἀν ταῖς ἄλλαις νήσοις ἓξ διανύσαι κἀν τῇ πατρίδι ἔτη τριάκοντα καὶ ἐννέα.

f. 210 *6. Ταῦ||τά σου, κάλλιστε πάτερ καὶ ἀπόστολε, τὰ διὰ Θεὸν ἀγωνίσματα καὶ τὰ σκάμματα ἐκ πολλῶν πάντως ὀλίγα καὶ ἃ δυνατὸν καὶ περὶ τῶν ἄλλων διδόναι τοῖς φιλοθέοις κατανοεῖν. αὐτὸς δὲ τῷ*

6 *συνἀπέστειλα* || 12 *στέλεται* || 34 *κηρύτειν*
4—8 *Ἔστω — περιήλθομεν*: cf. 2 Cor. 12, 16—18.

δεσποτικῷ τὰ νῦν παριστάμενος θρόνῳ νέμοις ταῖς εἰς Θεὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν τῷ ὀρθοδόξῳ καὶ τὰ πάντα καλῷ μονῶν ἀϊδίων τὰς καταπαύσεις, ἰσχυρὰν χεῖρα κατὰ τῶν ἐναντίων, χαρὰν διαρκῆ εἰς δόξαν αἰωνίαν, ἡλίου φαιδροῦ καὶ νοητοῦ τὴν φαῦσιν, λειμώνων τερπνῶν τὴν ἡδυτάτην τέρψιν, πάντων τῶν καλῶν τὴν γλυκυτάτην τέρψιν καὶ τῆς ἀλήκτου χαρᾶς τὴν μετουσίαν· ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κς΄.

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΑΔΡΙΑΝΟΥ ΚΑΙ ΝΑΤΑΛΙΑΣ.

1. Μαξιμιανοῦ τοῦ τυράννου τῶν τῆς βασιλείας σκήπτρων κατὰ τὴν Νικομήδους | ἐπειλημμένου καὶ διωγμοῦ μεγάλου κατὰ χριστιανῶν κινουμένου τρεῖς καὶ εἴκοσιν ἄνδρες παρὰ τῶν τῆς ἀσεβείας ὑπασπιστῶν ἔν τινι σπηλαίῳ διὰ τὸν φόβον κρυπτόμενοι συλληφθέντες δέσμιοι τῷ μυρίων δεσμῶν ἀξίῳ καὶ παρανόμῳ βασιλεῖ προσάγονται. καὶ ὃς αὐτίκα πρὸς ἄρνησιν Χριστοῦ καὶ θυσίαν εἰδώλων ἐκκαλεῖται τοὺς ἄνδρας, καὶ ἐπεὶ μὴ πειθομένους εἶχε τοῖς βδελυκτοῖς αὐτοῦ καὶ δυσσεβέσι προστάγμασι, ῥοπάλοις αὐτοὺς κελεύει τύπτεσθαι καὶ πᾶν συντρίβεσθαι μέλος. τῶν δὲ τυπτομένων καὶ τοὺς αὐτοῦ θεοὺς δαίμονας ἀποκαλούντων καὶ εἴδωλα, αὐτόν τε τὸν τύραννον ἐξυβριζόντων, ὁ παράνομος καὶ λίθοις αὐτῶν συνθλᾶσθαι τὰς σιαγόνας προστάττει. γίνεται τοῦτο, καὶ συντρίβονται, φεῦ, οἱ μάρτυρες τὰ πρόσωπα καὶ τοὺς ὀδόντας αὐτούς, εἶτα καὶ τῇ φυλακῇ παραρριπτοῦνται. col. 2

2. Ἀδριανὸς δέ τις, τοῦ στρατιωτικοῦ κατα||λόγου ἐπίσημος ὤν, τὸ στερρὸν ἰδὼν τῶν ἁγίων καὶ πρὸς τὰς κολάσεις γενναῖον, «Τίνος ἕνεκα» λέγει προσιὼν αὐτοῖς «ταῦτα πάσχετε καὶ τί τούτων ἀντιλαβεῖν προσδοκᾶτε;» τῶν δὲ τὴν αἰωνίαν ζωὴν εἰπόντων καὶ ἃ Χριστὸς ἐπηγγείλατο τοῖς δι᾽ αὐτὸν ταῦτα πάσχουσιν, ἐκεῖνος «Καὶ τίς ὁ Χρι- f. 210v

3 διαρκεῖ || 14 εἴκοσι *A* || 16 παρανόμῳ προσάγονται βασιλεῖ *A* || 18 ἐκκαλοῦνται — βδελλυκτοῖσ *A* || 21 καλούντων — αὐτόν τὲ *A* || 25 προσριπτοῦνται *A* || 28 ἀπολαβεῖν *A* || 29 τῶν δὲ *om. A*; αἰώνιον *A*

στὸς καὶ τίνα ταῦτα ἃ ἐπηγγείλατο καὶ τίς» ἤρετο «ἡ αἰώνιος ζωή; φαίνεται γάρ μοι μέγιστά τινα ταῦτα τυγχάνειν». καὶ οἱ ἅγιοι· «Χριστὸς οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὃς οὐρανὸν ἐδημιούργησε καὶ γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὃς καὶ βασιλείαν ἀθάνατον δίδωσι τοῖς πιστεύουσι καὶ ἀγαθὰ ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν οὐκ ἀνέβη ἀνθρώπου».

3. Τούτων ἐκεῖνος ἀκούσας, θείῳ πνεύματι τὴν ψυχὴν ἐλλαμφθεὶς «Ἐντάξατε» λέγει τοῖς ταχυγράφοις «τοῖς ἀνδράσι τούτοις κἀμέ, εἰμὶ γὰρ κἀγὼ χριστιανός». τοῦ τυράννου τοίνυν εὐθὺς αὐτὸν col. 2 παραστησαμένου καὶ τὴν αἰτίαν τῆς μεταβολῆς ἐρομένου καὶ | μανῆναι τοῦτον εἰπόντος ὁ ἅγιος· «Χριστιανὸς ἐγώ, βασιλεῦ, καὶ Χριστοῦ δοῦλος γέγονα, τῆς πλάνης ὑμῶν καταγνούς· ἔγνων γὰρ ἀληθῶς, ὅτι Χριστός ἐστιν ὁ ἀληθινὸς Θεός, οὗ ἔργον οὐρανός τε καὶ γῆ καὶ πάντα τὰ ἐν αὐτοῖς. οἱ γὰρ θεοὶ ὑμῶν, οὓς πλανώμενος ἔσεβον, δαιμόνιά εἰσι καὶ ξόανα κωφὰ καὶ ἀναίσθητα». θυμοῦται τούτων ἀκούσας ὁ βασιλεὺς καὶ τῇ φυλακῇ παραπέμπει τοῦτον σὺν τοῖς ἄλλοις ἁγίοις. εἷς δέ τις τῶν οἰκετῶν δρόμῳ τὴν οἰκίαν καταλαβὼν ἀπαγγέλλει τῇ Ναταλίᾳ σύντρομος, ὅτιπερ σιδήροις Ἀδριανὸς δεσμηθεὶς τῇ φυλακῇ παρεδόθη ἀνθ᾽ ὧν τοῖς τιμωρουμένοις ἐκείνοις ἀνδράσι προσῆλθε. καὶ «Ὅτου χάριν» αὐτῆς εἰπούσης «τοῖς ἀνθρώποις ἡ τιμωρία», — «Τῷ μὴ βούλεσθαι τούτους» εἶπεν ἐκεῖνος «θυσίαν προσενεγκεῖν τοῖς θεοῖς».

4. Ἐχάρη τούτων ἀκούσασα Ναταλία καὶ πρὸς τὸ φαιδρότερον f. 211 ἑαυτὴν διαμείψασα τάχος κατα||λαμβάνει τὴν φυλακὴν (πιστῶν γὰρ καὶ χριστιανῶν γεννητόρων ἐτύγχανε καὶ πιστή) καὶ τὰ δεσμὰ καταφιλοῦσα τοῦ μάρτυρος, «Μακάριος» ἔλεγεν, «Ἀδριανέ, σύ, τὴν μακαρίαν ὄντως ἐπιποθήσας ζωήν. ἀλλά σου δέομαι, μὴ τὸν προκείμενον σκοπὸν ἐμποδίσῃ μὴ γένος, μὴ γονεῖς, μὴ χρήματα, μὴ ἄλλο τι τῶν ἐπιγείων· ἡτοίμασται γάρ σοι βασιλεία αἰώνιος καὶ χαρὰ τέλος οὐκ ἔχουσα. μὴ οὖν θροήσῃ σε πῦρ, μὴ ταράξῃ σε ξίφος· μικρὸν ὅσον, καὶ λήψῃ τοὺς στεφάνους τῆς νίκης»· οὕτω ταύτης εἰπούσης, «Πορεύου» φησὶν Ἀδριανὸς πρὸς αὐτὴν «ἐν εἰρήνῃ καὶ πάλιν ἐπιστήσῃ τῇ ἡμῶν τελευτῇ». καταφιλήσασα γοῦν ἐκείνη τοῦτου τε τὰ δεσμὰ καὶ τῶν ἄλλων ἁγίων καὶ πλεῖστα τούτους ὑπὲρ τούτου παρακαλέσασα τὴν οἰκίαν κατέλαβεν.

1 ἤρετο *om.* A || 2 τινα *om.* A || 5 τοῖσ πιστεύουσι̃ εἰσ αὐτὸν δίδωσι A || 6 ἐπὶ καρδία̃ ἀνο̃ύ οὐκ ἀνέβη A || 7 Ἀκούσασ H || 9 χριστιανὸσ γάρ εἰμι̃ κἀγώ A; τυ(ρ)ά|νου H || 14 πάντα τὰ ἄνω καὶ τὰ ἐν αὐτοῖς· οἱ δὲ θεοὶ A; πλανόμεν(ο) A || 16 Τούτων AH || 18 ἀπαγγέλει H || 20 ὅ|Του H || 21 τούτοισ H || 25 ἐτύγχανε γεννητόρων A || 28 ἄλλότι H, ἀλλό τι A || 31 Ὅυτω AH || 33 γοῦν H, τοίνυν A; τούτου τὲ AH || 35 κατέλαβε H

5. *Γνοὺς οὖν Ἀδριανὸς εἰσαγώγιμον μέλλειν αὐτὸν γενήσεσθαι πρὸς τὸν τύραννον, τοὺς συνδεσμώτας ἁγίους πλεῖστα παρακαλέσας ἐκχω|ρηθῆναι τούτῳ πρὸς τὴν Ναταλίαν ἀπελθεῖν, ὡς ἂν ἀγάγῃ* col. 2 *ταύτην καὶ συνῇ τούτῳ πρὸς τὸ μαρτύριον, ἔλαβε τὴν ἀπόλυσιν καὶ τοὺς φύλακας χρήμασι πείσας πρὸς Ναταλίαν ἀπῄει. ἰδὼν οὖν τις αὐτὸν τῶν γνωρίμων, σπουδῇ προλαμβάνει καὶ τῇ Ναταλίᾳ χαρᾶς δῆθεν εὐαγγέλια φέρει, «Λέλυται» λέγων «Ἀδριανὸς τῆς εὐθύνης». ἐκείνη δὲ δρασμὸν ἐννοήσασα τούτου τὴν ἀγγελίαν, λύπῃ συνείχετο δεινῇ τὴν ψυχὴν καὶ ἅμα διαναστᾶσα, ὡς εἶδε τοῦτον ἐρχόμενον, κλείει τὴν θύραν κατ' αὐτοῦ καὶ ἀποστάτην καλεῖ καὶ τῶν πρὸς Θεὸν συνθηκῶν ἀρνητὴν καὶ «Ὦ ἄθλιε», λέγει, «πῶς ὑποίσεις τὴν δίκην; τίς σε τῶν ἀθανάτων κολάσεων ἐξαιρήσεται; φεῦ μοι τῇ ταλαιπώρῳ· πῶς ὑπομενῶ παραβάτου σύζυγος ὀνομάζεσθαι, ἣ πρὸς μικρὸν μάρτυρος ἐλεγόμην; οἴμοι, τί γένωμαι; ποῖ τράπωμαι;||τίνα* f. 211v *τοῦ κακοῦ τούτου λύσιν ἐφεύρω;» ταῦτα τῆς Ναταλίας λεγούσης ὁ καλὸς Ἀδριανὸς «Μὴ οὕτω ποίει, μὴ οὕτω λέγε, μὴ οὕτω διανοοῦ, Ναταλία», φησὶ πρὸς αὐτήν· «οὐχ, ὡς σὺ νομίζεις, πέφευγα τὸ μαρτύριον· μὴ γένοιτο· μὴ ἴδοι τοῦτο ἥλιος, μὴ θεάσαιτο γῆ. παραλαβεῖν σε ἥκω τῇ τελειώσει συνεσομένην μου». ἡ δὲ δόλον τοὺς λόγους τούτους ὑπολαβοῦσα, «Ἀπόστηθι» λέγει «τῶν ὧδε· Ἰούδαν σε παραβάτην ἄλλον φανέντα εἰκάζω. μή με βιάσῃ διαχειρίσασθαι κακῶς ἐμαυτήν». ὁ δὲ πίστεις δοὺς ἀκριβεῖς, ὡς οὐ τοιοῦτόν τι γέγονε καὶ ὡς ὁ τῶν ἁγίων χορὸς αὐτὸν ἀπέσταλκεν «Εἰς τὸ παραστῆσαί σε» φησὶ «τῇ ἡμῶν τελειώσει», μόλις αὐτὴν πείθει τούτῳ τὰς θύρας ἀναπετάσαι.*

6. *Λαβὼν οὖν αὐτὴν ἄπεισι πρὸς τὴν φυλακήν. ἣν εἰσιόντες, ἡ φιλόμαρτυς δρομαία τοῖς τῶν μαρτύρων προσπίπτει ποσί, καταφιλεῖ|τούτων τοὺς πόδας, ἐκμάσσει τὰ τραύματα, ὀθόναις αὐτὰ δια-* col. 2 *λαμβάνει καὶ πιστῶς περισφίγγει. καὶ οὕτως ἦν ὑπηρετουμένη τούτοις ἐν πᾶσι καὶ παντοίαν θεραπείαν προσάγουσα.*

7. *Ἡμέραι παρῆλθον οὐχὶ συχναί, καὶ ἄγει τούτους ὁ βασιλεὺς πρὸς ἐξέτασιν. ἐπεὶ οὖν τοὺς μὲν πάντῃ καταπεπονημένους εἶναι ταῖς πληγαῖς καὶ τοῖς τραύμασιν ἔμαθε καὶ ἐλπισίμους εἶναι θανεῖν, μόνον δὲ τὸν Ἀδριανὸν ἀκμαῖον ὅτι καὶ ῥωμαλέον, τοῦτον εἰσαχθῆναι κελεύει. οἱ τοίνυν μάρτυρες «Σπεῦσον» λέγουσιν αὐτῷ «τῆς*

1 *μέλειν H, αὐτὸν μέλλειν A* || 5 *τίσ H* || 6 *σπουδὴ A; τὴν Ναταλίαν H* || 9 *διαναστάσα H* || 12 *σε A, τε H* || 14 *τί H, τίσ A* || 19 *συν|εσομένην* — *Τοὺσ H* || 20 *ἀπόστίθι H* || 21 *φανέντα om. A, εἰκάζω om. H* || 22 *ἑαυτὴν H* || 26 *Λαβὼν H* || 27 *δρομαῖα H, δρομαίωσ A; πίπτει H* || 30 *θεραπίαν H* || 31 *ἡ|Μέραι H*

νίκης ἄρασθαι τοὺς στεφάνους, Ἀδριανέ· ὀλίγος ὁ κάματος καὶ εἰς αἰῶνα αἰῶνος ἡ ζωή». σὺν τούτοις καὶ ἡ καλὴ Ναταλία «Ὅρα, κύριέ μου», λέγει τούτῳ πρὸς οὖς, «μή σου τὴν ψυχὴν πτοήσῃ τὰ κολαστήρια. πρόσκαιρος ὁ πόνος καὶ αἰώνιος ἡ ἀνάπαυσις». οὕτω f. 212 στομωθεὶς Ἀδριανὸς ταῖς καλαῖς τῆς γυναικὸς || παραινέσεσι παρέστη τῷ βασιλεῖ. πρὸς ὃν ὁ ἀνόσιος· «Ἐπιμένεις ἔτι σου τῇ μανίᾳ, παράνομε, ἢ θύειν βούλει τοῖς θεοῖς, μετελθὼν πρὸς τὸ βέλτιον;»— «Οὐ θύσω, τύραννε, δαίμοσιν», πρὸς αὐτὸν ὁ ἅγιος ἔφη, «οὐκ ἀρνήσομαι τὸν Χριστόν μου, μὴ γένοιτο. τίς γὰρ εὖ φρονῶν σκότος ἀνθαιροῖτο φωτός»; ὠργίσθη ὁ τύραννος καὶ ξύλοις αὐτὸν ἀδροῖς ἐκέλευσε τύπτεσθαι.

8. Ἡ δὲ Ναταλία τοῖς ἁγίοις χαίρουσα πρόσεισιν, «Ὁ κύριός μου» λέγουσα «τοῦ μαρτυρίου κατήρξατο». ἔστησαν οὖν οἱ μακάριοι εὐθὺς εἰς προσευχήν. τυπτομένου δὲ τοῦ μάρτυρος, «Θῦσον» ὁ τύραννος λέγει πρὸς αὐτὸν «καὶ μὴ θελήσῃς, ὡς οἱ κακόφρονες, ταῖς βασάνοις ἐνταλαιπωρεῖν. σὺ γὰρ τῶν εὖ γεγονότων καὶ διαπρεπόντων ἐν πλούτῳ καὶ ἀξιώμασι τυγχάνεις, οὗτοι δὲ πένητες καὶ ἐκ col. 2 πενήτων καὶ οὐδεὶς ἡμῖν λόγος περὶ αὐτῶν». καὶ ὁ ἅγιος· «Ἐμὲ | μέν, ὦ βασιλεῦ, ὅστις εἰμὶ καὶ ἐξ οἵων, οἶδα σαφῶς εἰδέναι τὴν σὴν ἐξουσίαν. ἀλλ' εἰ καὶ τούτους ᾔδεις καὶ τὴν τούτων εὐγένειαν, προσῆλθες ἂν αὐτοῖς καὶ ἠξίους εὔχεσθαι ὑπὲρ σοῦ, ναὶ δὴ καὶ τὰ εἴδωλα τῶν θεῶν σου συνέτριψας καὶ ἐσώθης τῆς μενούσης σε τιμωρίας καὶ τῶν ἐπηρτημένων κολάσεων».

9. Ὠργίσθη πάλιν ὁ τύραννος καὶ κατὰ τῆς γαστρὸς αὐτὸν ὑπὸ τεσσάρων ἐκέλευσε τύπτεσθαι. τυπτομένου γοῦν αὐτοῦ τῶν ἐγκάτων ἡ σύνθεσις ἀνεφάνη τῷ πλήθει τῶν αἰκισμῶν καὶ δεινὸν θέαμα τοῖς ὁρῶσιν ἦν καὶ φρικτόν. ἀνεθέντι τοίνυν αὐτῷ τῶν πληγῶν ὁ κατάρατος «Φωνῇ μόνῃ τοὺς θεούς, Ἀδριανέ, κάλεσον» ἔφη, «καὶ προσκαλέσομαι τοὺς ἰατροὺς καὶ θεραπεύσουσί σου τὰ τραύματα καὶ ἔσῃ σὺν ἐμοὶ κατὰ τὰ βασίλεια». καὶ ὁ ἅγιος «Εἴπερ μοι μεταδώσουσι f. 212v λόγου, προσε||λεύσομαι τούτοις καὶ τὸ προστεταγμένον ποιήσω». καὶ ὁ τύραννος· «Ἀλλ' οὐ λέγουσιν οἱ θεοί». — «Τί οὖν, ἄνομε, θύεις τοῖς μὴ λόγον ἔχουσιν», ὁ μάρτυς εἶπε, «κωφοῖς δὲ καὶ ἀναισθήτοις οὖσιν;»

1- 2 εἰσ αἰῶνασ αἰώνων ὁ στέφανοσ. πρὸσ τούτοισ A || 3 τούτῳ πρὸσ οὖς om. H || 8 οὐκαρνήσομαι H || 12 Τοῖσ ἁγίοισ ἡ Ναταλία H || 13—14 εὐθὺσ εἰσ εὐχὴν οἱ μακάριοι A || 17 ἐν ἀξιώμασι καὶ πλούτῳ A || 18 περὶ om. A || 24 αὐτῶν A; ὑποτεσσάρων H || 28 φωνὴ μόνη H. φωνῇ μόνῃ A || 30 μεταδίδωσι λόγου H || 33 θύεισ, ὁ μάρτυσ εἶπε. τοῖσ A: εἶπεν H

10. Τότε θυμωθεὶς ὁ βασιλεὺς τῇ φυλακῇ τοῦτον καὶ τοὺς λοιποὺς παραδίδωσιν, οὐ ποσὶν οἰκείοις βαδίζοντας, ἀλλ' ὑφ' ἑτέρων τοὺς μὲν βασταζομένους, τοὺς δὲ καὶ ἑλκομένους. ἡ Ναταλία δὲ πιστῶς τὸ τοῦ συζύγου τίμιον αἷμα λαμβάνουσα τῶν ἐκείνου μελῶν ὥς τι μύρον τὸ ἑαυτῆς κατέχριε σῶμα, καὶ μὴν καὶ τοῦτον ὑπεστήριζε λόγοις πρὸς τοὺς ἀγῶνας. ἀλλὰ δὴ καὶ οἱ μάρτυρες κατησπάζοντο τοῦτον καὶ «Χαίροις» ἔλεγον «ἐν κυρίῳ· γέγραπται γὰρ ἰδού σου τὸ ὄνομα καλῶς ἐν τοῖς οὐρανοῖς». καὶ ὅς φησι πρὸς αὐτούς· «Εὔχεσθε, πατέρες τίμιοι, ἵνα μοι μηδὲν ὁ πονηρὸς ἐνσπείρῃ ζιζάνιον· κάμνει μου γάρ πως ὁ λογισμός». — «Ἀλλ' οὐκ ἰσχύσει κατὰ σοῦ» πρὸς αὐτὸν οἱ μάρτυρες εἶπον· «θάρσει, μηδὲν διακριθῇς· | φεύγει γὰρ ἀπὸ σοῦ, τὰ διὰ Χριστὸν στίγματα κεχαραγμένα col. 2 σου βλέπων τῷ σώματι».

11. Πολλαὶ γοῦν γυναῖκες εἰσιοῦσαι πρὸς αὐτοὺς ἀπέσμηχον τοὺς ἰχῶρας τῶν τραυμάτων αὐτῶν καὶ ἐκάθαιρον. ἀλλ' ὁ μισάνθρωπος καὶ ἀπηνὴς βασιλεὺς εἴργει ταύτας τοῦ ἐγχειρήματος καὶ φόβον αὐταῖς ἐπισείει. τότε τοίνυν ἡ Ναταλία κειραμένη τὴν κόμην καὶ καταστολὴν ἀνδρῴαν ἐνδυσαμένη οὕτως εἰσῄει καὶ πᾶσαν τοῖς μάρτυσι θεραπείαν προσῆγε. προσέλεγε δὲ τῷ συζύγῳ καὶ τοῦτο· «Μὴ δή, κύριέ μου, λήθην λάβῃς τῆς δούλης σου· μνήσθητι δέ, ὅτι σε πρὸς τὸ μαρτύριον ἤλειψα, καὶ δεήθητι κυρίου τοῦ Θεοῦ ἡμῶν καὶ δεσπότου, ἵνα μετὰ σέ με προσλάβηται καὶ τῶν ἡτοιμασμένων σοι καταξιώσῃ ἀγαθῶν· καὶ οἶδα πάντως, ὡς εἰσακούσεταί σου· φιλεῖ γὰρ αἰτεῖσθαι παρ' ὑμῶν. δέδοικα γάρ, δέδοικα τὰς κύκλῳ πάγας· δός μοι μισθὸν τῆς σωφροσύνης τὴν εὐθὺς μετὰ σὲ τελευτήν. μά||θωσιν εὐνοεῖν τοῖς συνοίκοις αὐτῶν αἱ γυναῖκες, ὁρῶσαί f. 213 σου τὴν πρός με στοργήν».

12. Ταῦτα εἶπε καὶ τοῖς μάρτυσιν ἀναστᾶσα διηκονεῖτο καὶ τροφὰς αὐτοῖς τὰς δεούσας ἐπεχορήγει. οὐκ ἠγνόησαν αἱ γυναῖκες τὸ παρὰ ταύτης πραχθὲν καὶ κειράμεναι καὶ αὗται τὰς κόμας εἰσῄεσαν καὶ παντοίως ἐθεράπευον τοῖς ἁγίοις. γνοὺς οὖν ὁ δυσσεβὴς βασιλεὺς τὸ πραττόμενον καὶ ὅτι λοιπὸν οἱ μάρτυρες ἀποπνέουσι, κατεαγῆναι τούτων κελεύει τὰ σκέλη καὶ τὰς κνήμας αὐτάς. ἐποίουν γοῦν οἱ ὑπηρέται τὸ προσταχθὲν καὶ μοχλοῖς συνέθλων τοὺς μάρτυρας καὶ οὕτω τῷ θανάτῳ ἢ μᾶλλον εἰπεῖν τῇ ἀθανάτῳ ζωῇ τού-

1 ὁ βασιλεὺσ H, ὁ δυσσεβὴσ A || 8 ὃσ φησὶ AH || 9 μὴ δὲν AH || 10—11 οὐκισχύσει—μὴδὲν H || 14 γοῦν H; προσιοῦσαι A || 15 τοὺσ om. H || 20 μὴ δή μου κε̅' H || 23 καταξιώσει καλῶν A || 26 ὁρῶσαι σου AH || 28 εἶπεν — διηκονεῖτο H; καὶ τροφὰσ H, τροφὰσ τὲ A || 31 Γνοὺσ AH || 33 τὰ σκέλη κελεύει A || 34 γοῦν H

τους παρέπεμπον. ἡ μακαρία δὲ Ναταλία χερσὶν οἰκείαις ἐφήπλου τοὺς πόδας τοῦ συζύγου τῷ ἄκμονι, πρὸς δὲ καὶ τὴν χεῖρα τοῦτον παρῄνει ἐκτεῖναι πρὸς συντριβήν, «Ἵνα» φησὶν «ἴσος τοῖς ἁγίοις col. 2 γένῃ· πλέον γάρ σου, κάλλιστε, ἐνεχρόνισαν | ταῖς κολάσεσιν». τέμνεται γοῦν ὁ καλὸς Ἀδριανὸς καὶ τὴν χεῖρα καὶ οὕτω τὸ πνεῦμα τῷ κυρίῳ καὶ αὐτὸς παρέθετο.

13. Θυμομαχήσας οὖν ὁ δυσσεβὴς βασιλεὺς πυρὶ τὰ σώματα τούτων παραδοθῆναι κελεύει. κλέπτει τὴν χεῖρα Ναταλία τοῦ συζύγου καὶ ταύτην ἐγκολποῦται καλῶς. ῥιπτοῦνται οἱ μάρτυρες τῇ καμίνῳ· βροντὴ καταρρήγνυται καὶ ῥαγδαῖος ὑετὸς καταφέρεται· σβέννυται τὸ πῦρ· οἱ δήμιοι φεύγουσι· καὶ τῶν πιστῶν οἱ θερμότεροι σὺν γυναιξὶ ταῖς συνελθούσαις καὶ Ναταλίᾳ τὰ μαρτυρικὰ σώματα λαμβάνουσι, μηδαμῶς τῷ πυρὶ φλογισθέντα. εὐσεβής δέ τις ἀνὴρ σὺν ἅμα γυναικὶ τὴν Ναταλίαν ἠξίουν καὶ τοὺς συνόντας αὐτῇ τὰ μαρτυρικὰ σώματα τῶν ἁγίων λαβεῖν κἂν τῷ Βυζαντίῳ διακομίσαι, «Μήπως» λέγων «ὁ βέβηλος βασιλεὺς παρ' ὑμῖν εἶναι f. 213v ταῦτα μαθὼν τεφρώσῃ πυρί, καὶ ἔσεσθε || οἷα προδόται τούτων κατακρινόμενοι». ἤρεσεν ὁ λόγος, καὶ πλοίῳ ἐμβαλόντες αὐτὰ εὐθὺς ἀπέπλευσαν, μόνης τῆς χειρὸς Ἀδριανοῦ τῇ Ναταλίᾳ ὑπολειφθείσης. ἣν μυρίσασα καλῶς εἶχε παρ' ἑαυτῇ μηδενὸς γινώσκοντος.

14. Μεθ' ἡμέρας δέ τινας ἀνήρ τις τῶν ἐπιφανῶν χιλίαρχος πρὸς γάμου κοινωνίαν τὴν Ναταλίαν λαβεῖν ἐξαιτεῖται, τῷ παρανόμῳ προσιὼν βασιλεῖ. καὶ γὰρ πολυκτήμων ἦν καὶ πρώτη τῶν εὐγενίδων καὶ κοσμία μᾶλλον, ὡς ὁ λόγος ἐγνώρισε. ταῖς πεμφθείσαις οὖν γυναιξὶν ἐπὶ τούτῳ δεξιῶς ἐκείνη παραγκωνίσασα προθεσμίαν αἰτεῖ ἡμερῶν τινων πρός τε τὸ διασκέψασθαι δηλονότι καὶ τὸ παρετοιμάσαι τὰς κτήσεις αὐτῆς πρὸς οὕτω, φησί, περιφανῆ καὶ περίβλεπτον ἄνδρα. μονωθεῖσα τοίνυν ἐκείνων καὶ τὴν τοῦ συζύγου χεῖρα col. 2 πρὸς ὄψιν θεῖσα δάκρυσι ταύ|την κατέπλυνε, «Μὴ δή με» λέγουσα «παρίδῃς, γλυκύτατε, μή· μὴ ἐπιλήσῃ τῆς ἀξιώσεως, μή· δεήθητι τοῦ Χριστοῦ· νεύσει σου πρὸς τὴν αἴτησιν, οἶδα, καὶ σώσει με τῶν βρόχων τοῦ δαίμονος». ὕπνος αὐτὴν ταῦτα λέγουσαν ἔσχε, καί τις τῶν ἁγίων ἐκείνων ἐπιστὰς «Μὴ λυποῦ» λέγει, «Ναταλία· οὐ γάρ σου τὴν αἴτησιν παρεβλέψατο ὁ κύριος, δεηθέντων ἡμῶν ὑπὲρ σοῦ. χρὴ τοίνυν σε τάχος ἐκπλεῦσαι τῶν ὧδε καὶ πρὸς ἡμᾶς ἀφικέσθαι».

1—2 τοὺσ πόδασ ἐφήπλου *A* || 3 ἐκτεῖναι παρῄνει—Ἴσοσ *A* || 4 ἐνεχρόνισαν ταῖσ κολάσεσιν *A* || 5—6 τὸ πν̄α καὶ αὐτὸσ *A* || 9—10 ῥιπτοῦνται τῇ καμίνῳ οἱ μ. *A* || 10 καμῖνω — καταρρού|γνυται *H* || 13 λαμβάνουσι σώματα *A*; μὴδαμῶσ *H*; Ἐυσεβὴσ *A* || 15 κἂν *H* || 17 τεφρώσει *A*. (**Foliorum 213v et 214r imago photographica praesto mihi non fuit**). 21 ἀνὴρ τίσ *A* || 22 λαβεῖν **om.** *A* || 26 τινῶν ἡμερῶν *A* || 30 μή με ἐπιλήσῃ *apogr. H* || 32 Ταῦτα λέγουσα *A* || 34 ὁ *ante* κύριος **om.** *A*

15. Ἀνῆκε ταύτην ὁ ὕπνος, καὶ τὴν μαρτυρικὴν Ἀδριανοῦ χεῖρα λαβοῦσα, πλοίου τε θερμῶς ἐπιβᾶσα πρὸς τὴν Βύζαντος ἔτρεχε. διώκει ταύτην ὁ χιλίαρχος τοῦτο μαθών, καὶ δυσαῆς ἀνέμου φορὰ τοῦτον αὖθις τῇ χέρσῳ κυμάτων πλείστων ἐπαναστάσεσι προσεπέλασεν. ὁ πονηρὸς δὲ καὶ μισόκαλος δαίμων μέσης νυκτὸς ἐπιφαίνεται σὺν πλωτῆρσί τισι, «Ποῦ» ‖ λέγων, «ὦ οὗτοι, πορεύεσθε»; τῶν δὲ συνόντων τῇ ἁγίᾳ «Πρὸς τὴν Βύζαντος» εἰπόντων, ἐκεῖνος πρὸς ἑαυτὸν τούτους ἐκάλει, τῷ πελάγει βουλόμενος ἐναπορρῖψαι τὴν ναῦν. ἀλλ' ὁ καλὸς Ἀδριανὸς φαίνεται τούτοις καὶ τὴν πλάνην γνωρίζει καὶ τὴν ζάλην κοιμίζει καὶ ἅμα φωτὶ τῇ Ἀργυροπόλει πλησίον οὔσῃ τοῦ Βυζαντίου τούτους προσορμίζει καὶ διασώζει καλῶς ἐν αὐτῷ δὴ τῷ τόπῳ, ἔνθα καὶ κατέκειτο τὰ σώματα τῶν μαρτύρων. οἷς περιχυθεῖσα ἡ Ναταλία καὶ δάκρυα τῶν ὀμμάτων ἐναποστάξασα τέθεικε καὶ ἣν ἐπεφέρετο χεῖρα τοῦ καλλίστου συζύγου τῷ λείποντι μέρει. (f. 214)

16. Συνευφρανθεῖσα γοῦν τοῖς ἀδελφοῖς ἀνεπαύσατο· καὶ ἰδοὺ Ἀδριανὸς περὶ μέσας νύκτας αὐτὰς ἐφίσταται ταύτῃ, «Δεῦρο» λέγων, «Ναταλία, πρὸς τὸν σὺν ἡμῖν ἡτοιμασμένον σοι κλῆρον». ἀφυπνισθεῖσα τοίνυν εὐθὺς | πρὸς τὸν λόγον καὶ ταῖς συνούσαις εἰποῦσα τὸ ὅραμα, μικρᾷ προσταλαιπωρήσασα νόσῳ τὴν ψυχὴν χερσὶ τοῦ δεδωκότος παρέθετο. τὰ εἰκότα γοῦν ἐπ' αὐτῇ τελέσαντες οἱ συνόντες τῷ τάφῳ καὶ αὐτὴν τῶν ἁγίων κατέθεντο. πλῆθος οὖν ἐκεῖσε γυναικῶν ἀποταξάμενον ἔμειναν προσκαρτεροῦσαι τῇ σορῷ τῶν ἁγίων. (col. 2)

17. Καὶ ταῦτα μὲν ὑμῶν, ὦ καλλίνικοι μάρτυρες, τὰ διὰ Χριστὸν ἀνδραγαθήματα καὶ τὰ σκάμματα. αὐτοὶ δὲ τοῖς ἀΰλοις νῦν συναγαλλόμενοι στρατιαῖς τῶν ἀγγέλων νέμοιτε ταῖς εὐκτικαῖς ὑμῶν εἰς Θεὸν ἱκεσίαις βασιλεῖ ἡμῶν τῷ θεοστεφεῖ καὶ δικαίῳ μακρότητα ζωῆς ἀταράχου, ἰσχὺν καὶ σθένος κατ' ἐχθρῶν ἐναντίων, χαρὰν μεγίστην καὶ τρόπαια καὶ νίκας, ἄληκτον δόξαν καὶ ἀγαθῶν τὴν χύσιν, ἡλίου φαιδροῦ τὴν φανωτάτην αἴγλην, πάντων τῶν καλῶν ‖ τὴν μέθεξιν πλουσίαν καὶ τῆς ἄνωθεν βασιλείας τὴν λῆξιν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν. (f. 214v)

---

2 *πλούου τὲ — ἐπιβάσα* A ‖ 3 *δυσαῆς* om. apogr. H ‖ 6 *πλωτῆρσι τισὶ* A ‖ 7 *πρὸσ τὸ βυζάντιον* A ‖ 8—9 *ἐν ἀπορρίψαι* A ‖ 11 *οὔση* A ‖ 12—13 *τὰ σώματα τῶν μαρτύρων κατέκειτο* A ‖ 14 *ἐναποστάξασα* A; *τέθηκε* apogr. H ‖ 17 *αὐτὰς* om. apogr. H ‖ 19 *εὐθοῖσ* apogr. H ‖ 20 *εἰπούσα—μικρὰ* A ‖ 23—34 **Epilogus in A (post** *τῇ σορῷ τῶν ἁγίων*): *δοξάζουσαι τὸν παντάνακτα κν̄ καὶ θν̄ ἡμῶν, ᾧ πρέπει ἡ δόξα καὶ τὸ κράτοσ εἰσ τοὺσ αἰῶνασ. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ κζ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΟΙΜΕΝΟΣ ΤΟΥ ΑΝΑΧΩΡΗΤΟΥ.

1. Πολλοὺς καὶ ἄλλους ἤνεγκε τῶν ἐπιφανῶν καὶ μεγάλων πατέρων ἡ Αἴγυπτος, ἤνεγκε δὲ σὺν ἐκείνοις καὶ Ποιμένα τὸν μέγαν, Ποιμένα τὸν ἀναχωρητὴν καὶ λεγόμενον καὶ γενόμενον, οὗ τὸν βίον ἐθαύμασαν ἄγγελοι, ἐξεπλάγησαν ἄνθρωποι, ᾐδέσθη δὲ καὶ φύσις αὐτὴ τῶν ἀψύχων ὑπὲρ φύσιν, ὡς ἂν εἴποι τις, σχεδὸν ἀνθρωπίνην τυγχάνοντα. οὗτος τοιγαροῦν (ἵνα τὰ ἐν μέσῳ παρῶ· τίς γὰρ ἔπαινος ἀνθρώπῳ γένος καὶ πλοῦτος καὶ δόξα καταπτύσαντι μὲν αὐτῶν ὡς λυομένων, ἑλομένῳ δὲ μόνα τὰ μένοντα καὶ ἀθάνατα;), οὗτος ὁ τῷ ὄντι ποιμὴν λογικῶν, οὐκ ἀλόγων προβάτων
col. 2 καλῶς τὴν εὐαγγελικὴν φωνὴν διδαχθεὶς τὴν «Ὅστις θέλει ὀ|πίσω μου ἐλθεῖν» λέγουσαν, «ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι», πάντα δεύτερα τούτων θέμενος, καταλιπὼν πατρίδα, καταλιπὼν γένος, πλοῦτον, δόξαν καὶ τἄλλα τὰ τοῦ βίου τερπνά, τοὺς ἑαυτοῦ λαβὼν ἀδελφοὺς (εἶλκε γὰρ αὐτοὺς ἡ τῶν ἐκείνου λόγων σειρὴν) τὴν ἔρημον κατειλήφει· καὶ σεμνῶν ἀνδρῶν μοναστῶν καὶ τὴν ἀρετὴν περιφήμων μονῇ προσβαλὼν κείρεται τὴν κόμην σὺν ἐκείνοις καὶ τὸν μοναχὸν ὑπενδύεται, ταπεινοῦται καὶ σώζεται· νηστείαν ἀσκεῖ καὶ χαμευνίαν, προσευχὴν ἀσπάζεται καὶ ἀγρυπνίαν, δάκρυα χέει τὰ τῆς χαρᾶς παραίτια καὶ ἁπλῶς μέγας γίνεται τὴν ἀρετὴν καὶ περίβλεπτος καὶ τόσον, ὡς καὶ δαίμονας ἐξ ἀνθρώπων εὐχῇ μόνῃ διώκειν καὶ πᾶσαν ἄλλην νόσον αὐτῶν θεραπεύειν καὶ κοινὸν εἶναι θησαυρὸν θαυμάτων τοῖς κάμνουσιν.

6 *καὶ γενόμενον καὶ λεγόμενον* H || 7 *ἄγγελοι ἐθαύμασαν* H || 8 *εἴποι* H; *τίσ* A || 10 *Γάρ* H || 11 *αὐτῶν* om. A; *μένοντα* H, *μέλλοντα* A || 15 *ἀκολουθήτω* H; *τούτου* H, *τοῦτο* A || 16 alterum *καταλιπὼν* om. A; *τἆλλα* H, *τ'ἄλλα* A || 18 *λόγου* A || 24 *εὐχῇ μόνῃ* H, *μόνῃ εὐχῇ* A || 26 *κάμνουσι* A, *θαύμασι* H

13—15 *Ὅστις—μοι:* Matth. 16, 24 (ubi legitur *Εἴ τις*).

2. Τί οὖν τὸ ἑξῆς; χρόνοι παρῆλθον συχνοὶ ‖ τῆς ἀναχωρήσεως, *f. 215* καὶ ἡ μήτηρ, οἷα δὴ μήτηρ, τοῦ καλοῦ παιδὸς καὶ τῶν ἄλλων τέκνων εἰς ἐπιθυμίαν ἐλθοῦσα (καὶ γὰρ ἀνέφλεγε ταύτης τὰ σπλάγχνα θερμὸς ἔρως αὐτῶν καὶ πυρπολεῖν ἐδόκει τὴν ταύτης ψυχήν), οὐκ εἶχεν ὅ τι καὶ πράξειεν· ὅμως ἐπιλαθομένη καὶ γήρως καὶ γυναικείας ἀσθενείας καὶ πάντα δεύτερα τῶν φιλτάτων παίδων θεμένη κατατολμᾷ μὲν μήκους ὁδοῦ καὶ τῶν ἐκ ταύτης κακῶν, δρῶν, ποταμῶν, ἐρημίας καὶ τῶν ἄλλων αὐτῶν, κατατολμᾷ δὲ καὶ ζωῆς αὐτῆς τὸ καλὸν ἐκεῖνο γῆρας καὶ ὅσιον καὶ πρὸς τοὺς ποθεινοὺς ἔρχεται παῖδας. μηνύεται τούτοις ἡ ταύτης ἄφιξις καὶ ὡς παρὰ τῇ θύρᾳ ἕστηκεν ἡ φιλόπαις, τὴν εἴσοδον ἀναμένουσα· καὶ ἦν πάντως ἀκόλουθον καὶ ⟨ἦν πάντως⟩ ὅσον πρὸς ἑτέρους καὶ θεσμὰ φύσεως δίκαιον ἐκδραμεῖν ἅμα τῷ λόγῳ τούτους πρὸς τὴν τεκοῦσαν, περιχυθῆναι ταύτῃ, κατασπάσασθαι | ταύτην, εἰσαγαγεῖν, φίλα ταύτῃ *col. 2* προσλαλῆσαι ῥήματα, ἁλῶν αὐτῇ κοινωνῆσαι, κοινὴν ἑστίαν προθεῖναι καὶ τἆλλα πρᾶξαι, οἷς ἂν ἐκ μακροῦ χρόνου παῖς κατιδὼν γήρᾳ καμπτομένην μητέρα σπουδαίως ἅμα καὶ θερμῶς ἐχρήσατο.

3. Οἱ δὲ οὐδὲν τούτων εἰς νοῦν λαβεῖν ἐμελέτησαν, μὴ τρίχα πολιὰν αἰδεσθέντες μητρὸς γηραιᾶς, μὴ μασθούς, ὧν ἐτράφησαν γάλακτι, μηδ᾽ἄλλο μηδέν, οἷς μήτηρ ἐπ᾽ ἀναγωγῇ παίδων πονεῖ· ἀλλ᾽ ἅμα τε ἤκουσαν ἐκείνης τὴν ἔλευσιν, καὶ ἀπεστράφησαν καὶ ἀπείπαντο τὴν θέαν καὶ μὴ ἐγχωροῦν ἐδήλωσαν εἶναι ταύτην ἐν ζωῇ κατιδεῖν, τὸν πλάστην πάντως τῆς τεκούσης αὐτοὺς καὶ τὰς ἐκείνου σωστικὰς ἐντολὰς προτιμότερα θέμενοι, «Ὁ φιλῶν» λέγοντος «πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος». τί οὖν οἴεσθε παθεῖν τὴν τεκοῦσαν τούτων ἀκούσασαν; ἐκεῖνα δηλαδή, ἃ καὶ πέπραχεν· ‖ ἔκραζε μεγάλα, ἐβόα συνεχῆ, δάκρυσι τὸ ἔδαφος ἔπλυνεν, *f. 215ᵛ* εἴ πως κἂν αὐτοῖς ὁ τῶν τέκνων χορὸς μαλαχθῇ καὶ καμφθῇ πρὸς ἔλεον. οὐκ ἠνέσχοντο τοιγαροῦν τὴν τεκοῦσαν ἰδεῖν, ἧτταν φανερὰν τοῦ πρὸς Χριστὸν αὐτὸ λογισάμενοι πόθου· τῷ τοι καὶ πάλιν αὐτῇ τὰ αὐτὰ μηνύουσιν· «Εἴπερ ἡμᾶς, ὦ μῆτερ, ἐθέλοις ἰδεῖν, κατ᾽ ἐκείνην πάντως ὄψει τὴν μεγάλην ἡμέραν· τὰ νῦν δὲ ἀναχώρει τῶν ὧδε». συνεῖσα τοίνυν ἡ καλλίπαις τὸ μηνυθὲν ἀπῆρε πρὸς τὴν

3 ἔφλεγε *A* ‖ 5 γήρουσ *H* ‖ 7 μῆκι *H* ‖ 8 αὐτῶν *nescio an corruptum sit;* αὐτῆς *om. A* ‖ 9 γῆρασ *AH* ‖ 12 *alterum* ἦν πάντωσ *delendum puto, quamvis consentiant AH* ‖ 16 τ᾽ἄλλα πράξαι *A* ‖ 18 Δὲ *H* ‖ 20 μὴδὲν *H* ‖ 21 ἄμα τὲ *AH* ‖ 24 σωστικὰσ *A*, σωματικὰσ *H* ‖ 25 ὑπὲρ ἐμοῦ *H*; Τί *H* ‖ 26 et 29 τεκοῦσαν *H*, μητέρα *A* ‖ 26 ἐκεῖνα *A* ‖ 29 οὐκηνέσχοντο—ἧτταν *H* ‖ 30 αὐτολογισάμενοι *H*; τῶτοι *A*, τώ τοι *H*; αὐτοὶ *pro* αὐτῇ *A* ‖ 31 εἶπερ — θέλεισ *H* ‖ 32 τανῦν *A* ‖ 33 Συνεῖσα *H*

24—25 Ὁ φιλῶν—ἄξιος: Matth. 10, 37.

ἐνεγκαμένην, δοξάζουσα τὸν Θεὸν ἐφ' οἷς ἤκουσέ τε καὶ εἶδε καὶ ἐφ' οἷς οὕτω μέγιστοι τὴν ἀρετὴν γεγόνασιν οἱ παῖδες. καὶ τοῦτο μὲν οὕτως.

4. Ἄλλοτε δὲ τοῦ τῆς χώρας ἄρχοντος ἰδεῖν ἐθέλοντος τὸν ἀββᾶν Ποιμένα καὶ λόγων τῶν ἐκείνου μεταλαβεῖν καὶ εὐχῶν, οὐ μὲν οὖν ἐκεῖνος οὐδὲ τὸ παράπαν ἠνέσχετο. καί ποτε τὸν ἀδελφιδοῦν col. 2 αὐτοῦ κακοῦργον ὡς ἅτε κατασχὼν καὶ τῇ εἱρκτῇ πα|ραδούς, οὐδ' οὕτως ὁ γέρων ὑπεῖξε τῷ ἄρχοντι πρὸς ὄψιν ἐλθεῖν. ἡ τοίνυν ἀδελφὴ διὰ τὸν υἱόν, τἄλλα δεύτερα θεμένη, τῇ θύρᾳ τῆς αὐτοῦ κέλλης ἐφίσταται, τὸν ἥσυχον ἐν ᾗ διήνυε καὶ ἀνακεχωρημένον βίον, πολλὰ τοῦτον ἐκλιπαροῦσα κἂν γραφῇ δηλῶσαι τῷ ἄρχοντι τὴν ἀπόλυσιν τοῦ παιδός· τούτου γοῦν μηδ' αὐτῆς αὐτὴν ἀποκρίσεως ἀξιώσαντος, ἐκείνη κατεβόα τούτου καὶ κατηγόρει ἄσπλαγχνον, ἀκάρδιον, ἀνελεήμονα λέγουσα καί τινα ἄλλα, ὅσα δὴ καὶ οἷα τὸ τῆς γυναικείας φύσεως ἀσθενὲς οἶδε λέγειν ἀχθόμενον. πρὸς τούτοις «Ἐλέησόν με» μέγα ἐβόα, «ὅτι μοι μονογενὴς ὁ παῖς ἐστι καὶ φλέγει μου τὴν ψυχὴν τῇ φρουρᾷ καὶ τοῖς δεσμοῖς προσταλαιπωρῶν. φεῦ μοι, τί γένωμαι; ποῖ τράπωμαι; τίνος ἐξ ἑτέρου τὴν λύσιν εὕροιμι τοῦ f. 216 κακοῦ»; οὕτω τῆς γυναικὸς σὺν δακρύων || πηγαῖς ἀνακλαιομένης, πέμψας ἐκεῖνος τῶν ἀδελφῶν ἕνα τοῦτο ταύτῃ δηλοῖ· «Ἄπελθε, γύναι, τῶν ὧδε· τί μου καταβοᾷς; ὁ Ποιμὴν τέκνων πατὴρ οὐκ ἐγένετο».

5. Μανθάνει ταῦτα ὁ ἄρχων καὶ θαυμάσας «Κἂν λόγῳ κελεύσῃ μόνον» ἔφη, «καὶ λύσω τὸν παῖδα τῆς φυλακῆς.» ἀνηγγέλη ταῦτα τῷ γέροντι, καὶ ἀντιλέγει πρὸς τοῦτο μηνύμασιν οὕτως· «Ἐξέτασον, ἄρχων, τὸν παῖδα κατὰ τοὺς νόμους καί, εἰ ἄξιός ἐστι θανάτου, θανατωθήτω. εἰ δ' οὖν, ἀλλ' ὃ βούλει ποίησον ἐπ' αὐτῷ». ἤκουσεν ὁ ἄρχων, ὑπερεθαύμασε καὶ τῆς φυλακῆς ἀπέλυσε τὸν νεώτερον. πολλῶν τοίνυν παραβαλλόντων πρὸς τὸν γέροντα ὠφελείας χάριν καὶ εὐχῆς, πάντας ὁ γέρων ὠφέλει θεοπνεύστοις διδασκαλίαις. ἠρώτησεν οὖν τις αὐτόν ποτε τῶν συνιόντων, εἰ χρὴ τὸ τοῦ ἀδελφοῦ ἁμάρτημα τὸν βλέψαντα συγκαλύψαι. καὶ ὁ γέρων col. 2 «Εἰ καλύψομεν» ἔφη, «τέκνον, τὰ τῶν | ἀδελφῶν ἁμαρτήματα, καλύψει πάντως καὶ Θεὸς τὰ ἡμέτερα· οἵῳ γὰρ μέτρῳ μετρήσομεν, ἀν-

1 εἶδε *A*, οἶδε *H* || 2 οἱ παῖδεσ γεγόνασιν *A* || 5 ἀβᾶν *H* || 5—6 οὐμενοῦν *H*, οὐμενουν *A* || 9 Ἀδελφὴ *A*, ἀδελφῆ *H*; τᾶλλα *H*, τ'ἄλλα *A* || 12 Τοῦτο γδῦν *A*; μὴδ' *H* || 16 μέγα βοᾶ *H*; παῖσ ἐστὶ *A* || 17 ταλαιπορῶν *A* || 19 σὺν om. *H* || 21 γῦναι *H* || 23 Ταῦτα *H*; κελεύσει *A* || 24 ἔφη om. *A* || 26 ἄρχον *A* || 27 ἐπ' αὐτὸν *H* || 28 ὑπερέθαύμασε *H*; τὸν παῖδα ἀπέλυσε *A* || 29 τοίνυν om. *H*; Παραβαλλόντων ὡσ αὐτὸν *H* || 30 ὀφέλει *H*, ὠφελεῖ *A* || 31 τίσ *A*; αὐτὸν ποτὲ *AH*

τιμετρηθήσεται ἡμῖν». ἱκανὰ ταῦτα παραστῆσαι τὴν τοῦ Ποιμένος μεγαλειότητα, ναὶ μὴν καὶ τὰ ἄλλα τούτου μέγιστα κατορθώματα.

6. Ἡμεῖς οὖν πρὸς αὐτὸ τὸ τέλος τῆς παρούσης αὐτοῦ ζωῆς τὸν λόγον τρέψομεν. ἤδη μὲν οὖν, ὦ μακάριε Ποιμήν, ἡμερῶν πλήρης γενόμενος τῶν τε λυομένων καὶ τῶν τοῦ πνεύματος καὶ πάσῃ διαπρέψας ἀρετῇ καὶ πάντων πατὴρ τῶν τε κατ' Αἴγυπτον καὶ τὴν Θηβαΐδα γενόμενος ἐν Χριστῷ, μικρὸν νοσεῖς καὶ τοὺς πόδας ἐξάρας καὶ καλῶς σαυτὸν ἀναθεὶς χερσὶ τοῦ δεδωκότος παρέθου τὸ πνεῦμα. καὶ νῦν ἀγγέλοις συνευφραινόμενος, δικαίοις τοῖς

1 inter *ἡμῖν* **et** *ἱκανὰ* **haec habet** *A: Τούτου τοίνυν μετὰ τοῦ ἀββᾶ Ἀνοὺβ τοῦ ἀδελφοῦ παρερχομένου, ὁρῶσι γυναῖκα κλαίουσαν καὶ δεινῶς κοπτομένην· καὶ στάντες αὐτὴν κατενόουν· μικρὸν δὲ προβάντες, συναντήσαντές τινι τὴν αἰτίαν ἠρώτων τοῦ πικροῦ ἐκείνου τῆς γυναικὸς ὀδυρμοῦ. τοῦ δὲ «Τὸν τοῦ ἀνδρὸς θάνατον, τοῦ υἱοῦ τε καὶ τοῦ ἀδελφοῦ ὀδυνᾶται» φαμένου, ἐκεῖνος «Ἐὰν μὴ» λέγει τῷ ἀδελφῷ Ἀνοὺβ «νεκρώσει ἄνθρωπος τῆς ψυχῆς τὰ θελήματα πάντα καὶ κτήσῃ τὸ πένθος τοῦτο, οὐ δύναται γενέσθαι μοναχός».*

6. Καί ποτε πολλοὶ τῶν γερόντων τούτου παραβαλόντες, τῶν συγγενῶν αὐτοῦ τις προσεκομίσατο παιδίον κατ' ἐνέργειαν τοῦ σατανᾶ τὸ πρόσωπον ἔχον στρεβλόν· καὶ ἰδὼν τὸ πλῆθος ἐκεῖνο τῶν πατέρων ἔξω τοῦ μοναστηρίου μετὰ τοῦ παιδὸς ἐκάθητο κλαίων. τοῦτον δὲ οὕτως ἔχοντά τις ἰδὼν τῶν γερόντων ἠρώτα μαθεῖν τὴν αἰτίαν. ὁ δὲ «Συγγενής» εἶπεν «εἰμὶ τοῦ Ποιμένος καὶ προσήνεγκα τὸ παιδίον κεκακωμένον οὕτως ὑπὸ τοῦ πονηροῦ καὶ ἐφοβήθην, μήπως ἐνταῦθα παραγενόμενόν με ἀκούσας ἐκπέμψας διώξει με· οὐ θέλει γὰρ ἰδεῖν τινα τῶν αὐτοῦ. ἀλλὰ σὺ ἐλεήσας με παράλαβε εἴσω τῆς μονῆς τὸ παιδίον καὶ ὑπὲρ αὐτοῦ προσεύξασθε». λαβὼν οὖν αὐτὸ ὁ γέρων καὶ εἰσελθὼν ἐχρήσατο οἷα εἰκὸς συνετῶς καὶ οὐ προσήνεγκεν εὐθέως τῷ Ποιμένι, ἀλλ' ἀπὸ τῶν μικροτέρων ἀρξάμενος ἀδελφῶν παρεκάλει ἕνα ἕκαστον τούτων ἀκολούθως τὴν τοῦ Χριστοῦ σφραγῖδα ποιῆσαι μέχρι καὶ τῷ Ποιμένι. ὕστερον δὲ προσαγηοχὼς καὶ αὐτῷ, ἐκεῖνος τὴν αἴτησιν παρεκρούετο, καὶ οἱ μὲν ἐδέοντο, «Καθὼς πάντες καὶ σύ, πάτερ», λέγοντες. ὁ δὲ ἀναστὰς καὶ στενάξας τῷ πνεύματι προσηύξατο εἰπών· «Ὁ Θεός, ἴασαι τὸ πλάσμα σου, ἵνα μὴ ὑπὸ τοῦ δαίμονος κατακυριευθῇ», καὶ τὸ σταυρικὸν σημεῖον αὖθις ποιήσας ὑγιῆ ἀπέδωκε τῷ πατρί.

7. Ἕτερος δέ τις τῶν ἀδελφῶν κατὰ τὴν τῆς τεσσαρακοστῆς πρώτην ἑβδομάδα παραβαλὼν τῷ Ποιμένι ἐξεῖπεν αὐτῷ τοὺς λογισμοὺς καὶ τυχὼν ἀναπαύσεως παρὰ βραχὺ λέγει· «Κατεσχέθην παραγενέσθαι ὧδε σήμερον». καὶ ὁ γέρων «Διὰ τί»; λέγει. «Ὅτι» εἶπεν ὁ ἀδελφός «μήποτε διὰ τὴν τεσσαρακοστὴν οὐκ ἀνοίξει μοι». καὶ ὁ Ποιμὴν πρὸς αὐτόν· «Ἡμεῖς οὐκ ἐμάθομεν τὴν ξυλίνην κλείειν» ἀπεκρίνατο «θύραν, ἀλλὰ μᾶλλον τῆς γλώττης». καὶ ἄλλος δέ τις εἰς αὐτὸν κατὰ χρείαν τινὰ παραβαλὼν καὶ ἰδὼν μικρὸν ὕδωρ εἰς τοὺς πόδας βάλλοντα «Πῶς τινες» ἔφη «ἀποτομίαν ἐχρήσαντο σκληραγωγῆσαι τὰ ἑαυτῶν σώματα»; καὶ πρὸς αὐτόν «Ἡμεῖς οὐκ ἐδιδάχθημεν» ἀντέφησεν «εἶναι σωματοκτόνοι, ἀλλὰ παθοκτόνοι».

3 *τὸ* **et** *αὐτοῦ* **om.** *H* || **4** *ἤδημεν οὖν H* || **7** *τὴν* **om.** *A* || **8** *σαυτὸν H, αὐτὸν A* || **8–9** *τὸ πνεῦμα παρέθου A* || **9 sqq.** *Epilogus in A: καὶ νῦν — συνευφραίνῃ — τῇ θεότητι, ἧς γένοιτο καὶ ἡμᾶς ἀξιωθῆναι ταῖς σαῖς πρὸς τὸν φιλάνθρωπον Θεὸν ἱκεσίαις· ᾧ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

ἀπ᾽ αἰῶνος συναγαλλόμενος καὶ τρανότερον συνὼν τῇ θεότητι, νέ- f. 216v μοις ταῖς εὐκτικαῖς εἰς αὐτὴν ἱκεσίαις σου βασι||λεῖ ἡμῶν τῷ πράῳ κατὰ τὸν Δαυὶδ καὶ ἡσύχῳ καὶ τὰ πάντα καλῷ μόνιμον καὶ διαρκὲς τὸ βασίλειον, ἰσχὺν ἀπροσμάχητον καὶ δυναστείαν, χαρμονὴν ἀέν-ναον καὶ σωτηρίαν, ἁπάντων καλῶν τὴν μέθεξιν πλουσίαν, ἡλίου φαιδροῦ τὰς φωταυγεῖς ἀκτῖνας καὶ βασιλείας Θεοῦ τὴν μετουσίαν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κη΄.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΩΣΕΩΣ ΤΟΥ ΑΙΘΙΟΠΟΣ.

1. Οὐδὲ δούλοις οὐδὲ κακούργοις ἡ βασιλεία τῶν οὐρανῶν ἀπο-κέκλεισται, ἀλλ᾽ ἐντός εἰσιν αὐτῆς οἱ τῇ μετανοίᾳ, καθὰ δεῖ, κεχρη-μένοι καὶ τὸ βιοῦν ὀρθῶς αἱρούμενοι καὶ κατὰ Θεόν· οὐδὲ Σκύθαις πάντως οὐδὲ Αἰθίοψι· πάντες γὰρ χωρητοὶ τῇ σαγήνῃ Χριστοῦ καὶ πάντας ἕλκει πρὸς τὴν μάνδραν τῆς ἐπιγνώσεως ὁ ποιμὴν ὁ καλός, col. 2 ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων Χριστός. καὶ τοῦτο καὶ | ἐξ ἄλλων μὲν πλείστων ἔνεστι κατιδεῖν, ἀλλὰ δὴ καὶ ἀπ᾽ αὐτοῦ τοῦ προκειμένου νῦν ἡμῖν εἰς διήγησιν Μωσέως φημὶ τοῦ Αἰθίοπος. ὅσῳ γὰρ καὶ δύστροπος ἦν ὁ ἀνήρ, τοσούτῳ τὴν ἀρετὴν γέγονε μέγας καὶ περιβόητος.

2. Οὗτος οὖν ὁ μεμελασμένον μὲν ἔχων τὸ σῶμα, λαμπροτέραν δὲ τὴν ψυχὴν τῶν ἡλιακῶν κτησάμενος μαρμαρυγῶν, οἰκέτης γέγονε πολιτευομένου τινός, οἰκέτης οὐκ εὔνους οὐδὲ φίλα δεσπότῃ φρο-νῶν, ἐναντία δὲ καὶ τῶν καλῶν ὄντα τρόπων μακράν. πᾶν γὰρ εἴ τι συρφετῶδες καὶ φαῦλον, πᾶν εἴ τι δύστροπον καὶ ἀπειρημένον εἰργάζετό τε καὶ ἐμελέτα καὶ καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, τὴν ἡμέραν ἐν χερσὶν εἶχε καὶ λογισμῷ, μὴ μεταβαλλόμενος τὸ σύνολον τὸν σκο-πόν, μὴ ὀργῇ δεσπότου, μὴ παιδείᾳ, μὴ κακώσεσιν ἄλλαις. ἔνθεν τοι καὶ τὴν διόρθωσιν ἀπαγορεύσας ὁ τούτου δεσπότης πόρρω ||

6 φωταυγεὶσ *H* || 12—13 ἡ βασιλεία τοῦ θῦ ἀποκέκλειται, ἀλλ᾽ ἐντ̂ | εἰσὶ ταύ-τησ *A* || 14 καὶ τὸ—αἱρούμενοι *om. H* || 18 ἔν|έστι *H* || 19 ἡμῖν *om. H* || 20 τοσούτῳ καὶ τὴν *A* || 22 Ὀυτοσ *H*; ἔχων μὲν *A* || 23 et 24 οἰκέτισ *H* || 25 τρόπων ὄντα *A* || 29 ἔνθέν τοι *AH*

τοῦτον βάλλει τῶν αὐτοῦ καλῶς ποιῶν ὀφθαλμῶν· καὶ ὃς λῃστείαις f. 217 *καὶ κλοπαῖς ἐνεφιλοχώρει καὶ φόνοις καὶ λοιπαῖς ἄλλαις κακουργίαις παντοίαις, ὧν μιᾶς ἐπιμνησθῆναι καλόν.*

3. Τῇ τοῦ σώματος ῥώμῃ πεποιθὼς ὁ Μωσῆς ἔξεισι μόνος εἰς λῃστείαν ποτέ. ποιμένος οὖν τινος παρεμποδίσαντος καὶ κωλύσαντος αὐτὸν τῆς ὁρμῆς εἴτε μηνύμασιν εἴτε τρόποις ἄλλοις τισίν, οὐκ ἔχω λέγειν, ἐκεῖνος ὅλως ἐκμανὴς γεγονὼς ἐπιτίθεται τούτῳ, τὸν Νεῖλον νύκτωρ πλημμυροῦντα διανηξάμενος. τούτου γοῦν προαισθομένου τὴν ἔφοδον καὶ πρὸς φυγὴν τραπομένου ὁ Μωσῆς ἀποτυχὼν τοῦ σκοποῦ κριοὺς τέσσαρας ἐπιλέκτους ἐν θυμῷ σφαγιάσας καὶ σχοίνῳ συνδήσας τὸν ποταμὸν δι' αὐτῶν νηχόμενος ἀντεπέρασε. τῶν κρεῶν τοίνυν αὐτῶν μετασχὼν καὶ τὰ κώδια τούτων οἴνου διαπω|λήσας τοὺς ἑταίρους κατέλαβε, πεντήκοντά που τοῦ ποταμοῦ col. 2 *τὴν οἴκησιν σταδίους ἀπέχοντας. ταῦτα τοῦ Μωσέως τὰ δεινὰ νεανιεύματα καὶ τεχνάσματα καὶ τοιαῦτα καὶ μείζονα. διεξῆλθον δὲ ταῦτα, τοῦ Θεοῦ τὴν περὶ τὸ οἰκεῖον πλάσμα συμπάθειαν καὶ τὴν ἀνοχὴν ἐκπληττόμενος, πῶς διὰ τῆς μετανοίας ἕλκει πάντας εἰς σωτηρίαν, καὶ οὐδέν ἐστι τῶν ἀδικημάτων, ὃ νικᾷ τὴν αὐτοῦ μεγάλην καὶ ἄφατον εὐσπλαγχνίαν.*

4. Ὁ γὰρ τοιοῦτος καὶ τοσοῦτος λήσταρχος, οὗ καὶ τὸ ὄνομα λεγόμενον μόνον φόβον τοῖς πολλοῖς ἐνεποίει, ὁ περιβόητος οὗτος ἐν κακίᾳ καὶ τὴν ἀπήνειαν ἀπαράμιλλος, τῆς θείας χάριτος αὐτοῦ τῆς ψυχῆς ἀψαμένης διά τινα πάντως οὐ μικρὰν αἰτίαν, ἢ περιπεσὼν ἐμνήσθη Θεοῦ καὶ θανάτου καὶ κρίσεως, πᾶσαν ἐκείνην τὴν πολυχρόνιον καὶ πολυαμάρτητον δια||γωγὴν καταλιπὼν καὶ πάντα f. 217v *λόχον ἐρημικὸν καὶ πᾶσαν ἐνέδραν, ἀσκητῶν ἐξ ἀπροόπτου σεβασμίᾳ πρόσεισι μονῇ, τὸ σχῆμα ἐλεεινός, τὸν τρόπον ταπεινός, τὸ πνεῦμα συντετριμμένος, ὅλος κατηφής, ὅλος πάθους μεστός, δακρύων πλήρης καὶ στεναγμῶν. καὶ φόβον μὲν πρῶτα τοῖς ἐν αὐτῇ προσεμποιεῖ μοναχοῖς, εἶτα προσπίπτει τοῖς τοῦ προεστῶτος ποσὶ καὶ θερμῶς αἰτεῖται τὴν συγγνώμην τῶν ἐσφαλμένων, ἀπαγγέλλει ταῦτα κατὰ λεπτόν, ἐξαγορεύει τοὺς λογισμούς, τὰς πράξεις, τὰς ἐνθυμήσεις, τὰς διανοίας, τὰ ἔργα, οὐδὲν τῶν εἰργασμένων αὐτῷ παρενέλιπεν, ὅτι μηδὲ ἀσυγχώρητόν τι τούτων ἠβούλετο ὑπολειφθῆναι.*

2 *λοιπαῖσ καὶ ἄλλαισ* H || 4 *σώ|Ματοσ — μωυσῆσ* H || 5 *τινὸσ* AH || 8 *πλυμμυροῦντα* H; *γοῦν* H, *δὲ* A || 9 *τοῦ|πωμένου* H || 11 *σχύνω* H || 21 *ἐν ἐποίει* H || 25 *πολυάμάρτητον* H || 26 *ἐξαπρο|όπτου* H || 32 *καταλεπτὸν* H || 33 *αὐτῷ* A, *αὐτοῖσ* H || 34 *μὴδὲ* AH; *ἠβούλετό τι τούτων ὑπολειφθῆναι* A

5. Πρὸς τούτοις αἰτεῖ καὶ τοῖς τοῦ κόσμου πᾶσιν ἀποταξάμενον δέξασθαι τὸ τῆς σωτηρίας ἐχέγγυον, τὸ μοναχικὸν ἔνδυμα λέγω, col. 2 *δάκρυα κἂν τούτῳ | συχνὰ καταχέει, μὴ παροφθῆναι τῆς ἐπιθυμίας ἐκτὸς λιπαρῶν. ὁ τοίνυν καθηγούμενος τὸ παράδοξον ἐκπλαγεὶς τῆς μεταποιήσεως (οὐδὲ γὰρ ἀνήκοος τῶν τοῦ ἀνδρὸς ἐτύγχανε πράξεων) δέχεται τοῦτον εὐμενῶς, ἀσπάζεται τοῦτον, χερσὶν ἀμφοτέραις περιπλέκεται καὶ ὥς τινα τῶν μεγάλων τοῦτον ὁρᾷ προφητικῶς πάντως ἢ καὶ διορατικῶς· κείρει τοῦτον, ἀξιοῖ τοῦ μοναχικοῦ σχήματος καὶ ἕνα τοῦ καταλόγου τῆς ἀδελφότητος τίθησι· διδάσκει, νουθετεῖ, παρακαλεῖ, ἐντολὰς αὐτῷ δίδωσι τὰς πρεπούσας· καὶ ἦν Μωσῆς πρὸς τὰ τῆς μοναχικῆς πολιτείας θεσμὰ οὐχ ὡς ἀρτιπαγής, ἀλλ' ὡς χρόνων ἐκ πλείστων ταῦτα κατωρθωκώς· πᾶσαν ὑπηρεσίαν ἐπλήρου τῶν ἀδελφῶν καὶ πᾶσαν προθύμως καὶ τῆς συνά-* f. 218 *ξεως οὐκ ἀπελιμπάνετο, νηστείαις καὶ || προσευχαῖς ἐνεσχόλαζε καὶ διὰ τριῶν ἢ καὶ τεσσάρων ἡμερῶν τοῦ ἄρτου μετεῖχε καὶ τοῦ ὕδατος ὁ θαυμάσιος. ταπείνωσιν ἄκραν ἐκτήσατο, δάκρυον ἄπαυστον, στεναγμοὺς ἀλαλήτους, ἀγρυπνίαν πάννυχον.*

6. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; μέγας ὁ Μωσῆς ἐν ἔργοις, ἐν θαύμασι γίνεται, κατανύξεως τοῖς ὁρῶσιν ὑπόθεσις, δαιμόνων διώκτης, νόσων θεραπευτὴς καί, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω, πᾶσι πάντα γέγονε, τῆς θείας χάριτος δοξασάσης αὐτόν, ἵνα πάντας κερδήσῃ, πατὴρ ἄριστος, παιδευτὴς ἀκριβέστατος, κανὼν καὶ τύπος καὶ στάθμη τῆς μοναδικῆς πολιτείας. πατέρα πάντες τὸν Μωσῆν εἶχον οἱ μοναχοί, ποιμένα, καθηγητήν, οὕτω τοῦ παναγάθου πνεύματος εὐδοκήσαντος. καὶ τί χρὴ τὰ πολλὰ λέγειν; ὅσον γέγονεν εἰς κακίαν περίφημος, τοσοῦτον ἐφάνη πρὸς ἀρετὴν περιδέξιος. καὶ ἦν col. 2 *μέγας ὁ Μωσῆς καὶ τοῖς | ἁπάντων ἔκειτο στόμασι. Μωσῆν εἶχεν ἡ ἔρημος, Μωσῆν τὰ ὄρη, Μωσῆν ἡ πόλις, ἡ περίχωρος πᾶσα Μωσῆν. κἀνταῦθά μοι μόνον τὸ τῆς παροιμίας δοκεῖ παρηλλάχθαι, τὸ μὴ σμήχεσθαι πάντως Αἰθίοπα. καὶ γὰρ εἰ καὶ μὴ τὸ σῶμα οὗτος, ἀλλὰ τὴν ψυχὴν ἀπέσμηξε τῷ τῆς μετανοίας ὑσσώπῳ καὶ λαμπροτέραν αὐτὴν ἡλιακῶν μαρμαρυγῶν ἀπετέλεσε. καὶ ταῦτα μὲν ἐκ πολλῶν ὀλίγα.*

7. Πλὴν ἄξιόν ἐστι καὶ τῶν ἐκείνου μετὰ τὴν μετάνοιαν ἀγώνων πρός τε τοὺς τῶν ἀνθρώπων πονηροτάτους καὶ πρὸς τὰς τῶν δαι-

1 *τοῖσ κατὰ κόσμου* A || 2 *ἐγχέγγυον—μοναδικὸν* H || 3 *κἂν τοῦτο* H || 4 *λιπαρῶν* A || 11 *πολιτίασ* H || 12 *ταῦτα* om. H || 14 *ἐσχόλαζε* A || 15 *τριῶν ἢ τεττάρων* A || 23 *μωϋσῆν* A || 25 *ὅσον* A, *ὅσω* H || 27 *στόμασῖ* H || 28 *περίχοροσ* H || 29 *κἀνταῦθαμῖ* (οι) H || 31 *ὑσσώπῳ*: sic AH

μόνων ἐπεμβολὰς ἀπομνημονεῦσαί τινα. λησταί ποτε προσυπήντησαν ὁδεύοντι τούτῳ καὶ δὴ καὶ ἐπέθεντο· καὶ ὃς αὐτοὺς δεσμοῖς περιβαλὼν πρὸς τοὺς πατέρας ἀπάγει καὶ σώζει ταῖς παραινέσεσι καὶ τῆς κακῆς ὁρμῆς αὐτοὺς ἀφιστᾷ. ἐπέθεντο τούτῳ καὶ δαί||μονες, καὶ μᾶλλον ὁ τῆς ἀκολασίας, ἀλλὰ καὶ τούτους καταπαλαίσας ἀσθενεῖς ἀπέδειξε καὶ ἀπράκτους. f. 218v

8. Οὕτω τοιγαροῦν βιούς, ὦ πανάριστε πάτερ, καὶ πλήρης γενόμενος ἡμερῶν τῶν τε λυομένων καὶ τῶν τοῦ πνεύματος ἐνδόξως καταλύεις τὸν βίον ἐν τέλει καλῷ· καὶ νῦν ταῖς οὐρανίαις σκηναῖς ἐμφιλοχωρῶν νέμοις ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου βασιλεῖ ἡμῶν

1 *ἀπομνημονεῦσαι τινὰ* **AH**; *λησταὶ ποτὲ* **H** || 4 *αὐτοὺς* **om. H** || 4 sqq. *post καὶ δαίμονες* **haec habet A:** *ταῖς κέλλαις νυκτὸς ἀπιόντος τῶν μὴ δυναμένων τὴν χρείαν τοῦ ὕδατος κομίζειν γερόντων· καὶ λαμβάνων αὐτῶν τὰς ὑδρίας ἐπλήρου ταύτας ὕδατος ἀγνοούντων ἐκείνων· ἀπὸ μήκους γὰρ ἔχουσιν ἐν ἐκείνοις τοῖς τόποις τὸ ὕδωρ. μιᾶς οὖν τῶν νυκτῶν ἐπιτηρήσας ὁ δαίμων μηκέτι φέρων τὴν τοῦ ἀθλητοῦ καρτερίαν ἐγκύψαντι αὐτῷ εἰς τὸ φρέαρ ἐπὶ τὸ τὴν ὑδρίαν πληρῶσαι, παίει τοῦτον κατὰ τῶν ψυῶν καὶ ἀφῆκε τῷ τόπῳ κεῖσθαι ὡσεὶ νεκρόν, μὴ εἰδώς, παρὰ τίνος πέπονθε τοῦτο. τῇ οὖν ἐπιούσῃ ἐλθόντων τινῶν ὕδωρ ἀντλῆσαι, εὗρον κείμενον καὶ ψυχορραγοῦντα καὶ ἀπαγαγόντες τῇ ἐκκλησίᾳ, μόλις ἐπὶ ἐνιαυτὸν ὅλον ἐδυνήθη ἐν ἰσχύι (ἐν ἰσχύει* cod.) *γενέσθαι, πολλὰ παρ' αὐτῶν παραινεθεὶς παῦσαι τοῖς δαίμοσι φιλονεικεῖν· μέτρα γὰρ τῆς πρὸς αὐτοὺς ἀνδρείας εἰσί· ἀλλὰ καὶ εὐχὴν ὑπὲρ αὐτοῦ ποιήσαντες τῶν ἀκαθάρτων ἐνυπνίων αὖθις ἀπήλλαξαν καὶ τοῖς θείοις προσελθεῖν παρεσκεύασαν μυστηρίοις· «Ἵνα» γάρ φησι «μὴ καυχήσῃ, ὡς τῇ σῇ περιγένου ἀσκήσει τούτῳ τῷ πάθει, καὶ καταχθεὶς ὑπὸ οἰήσεως καταδυναστευθῆναι ὑπ' αὐτοῦ παρεχωρήθης». καὶ οὕτως αὐτοὺς καταπαλαίσας ἀσθενεῖς ἀπήλεγξε καὶ ἀπράκτους.*

Ἀδελφοῦ δέ τινος ἁλόντος ἐπί τινι σφάλματι ἐν Σκήτει, ἀπέστειλαν πρὸς αὐτὸν ἐν τῇ συνάξει παραγενέσθαι· ὁ δὲ παραιτησάμενος (παρητησάμενοσ cod.), *δεύτερον ἀπέστειλαν, καὶ ἀναστάς, λαβὼν σπυρίδα τετριμμένην καὶ ταύτην ἄμμου πλήσας, ἧκε βαστάζων. οἱ δὲ ἀκούσαντες ἐξῆλθον εἰς ἀπάντησιν αὐτοῦ καὶ ἐπυνθάνοντο, τί δοκεῖ εἶναι τὸ πεπραγμένον. ὁ δέ «Αἱ ἁμαρτίαι μου» ἔφησεν «ὀπίσω μου καταρρέουσαι (καταρέουσαι* cod.), *οὐ βλέπω αὐτὰς καὶ ἦλθον ἐγὼ σήμερον ἀλλότριον κρῖναι ἁμάρτημα». οἱ δὲ ἀκούσαντες συνεχώρησαν τῷ ἀδελφῷ καὶ ἀπέλυσαν. καὶ ἄρχων δέ τις ἀκούσας περὶ αὐτοῦ ἀπῆλθεν εἰς τὴν Σκῆτιν ἰδεῖν αὐτόν. καὶ ὁ γέρων γνοὺς ἀνέστη φυγεῖν. κατὰ συγκυρίαν (συνκηρίαν* cod.) *δὲ ἀπαντήσας τῷ ἄρχοντι ἠρωτᾶτο (ἠρωτάτω* cod.), *ποῦ εἶναι τὴν κέλλαν Μωσέως. καὶ αὐτός· «Σαλός ἐστι, τί θέλετε ἀπ' αὐτοῦ»; ἔφησε. καὶ ἐλθὼν εἰς τὴν σύναξιν ὁ ἄρχων ἐξηγεῖτο τοῖς ἀδελφοῖς ἅπερ ἠκηκόει παρὰ τοῦ ἀπαντήσαντος. ἐκεῖνοι δὲ λυπηθέντες ποταπὸν εἶναι τὸν εἰπόντα διεπυνθάνοντο. ὁ δὲ γέροντα μακρόν, παλαιὰ φορῶν καὶ μελανόν. οἱ δὲ αὐτὸν [εἶπον] εἶναι τὸν Μωσέα, «Καὶ διὰ τὸ μὴ θέλειν ἀπαντῆσαι εἶπεν ὑμῖν ταῦτα». καὶ ὁ ἄρχων ὠφεληθεὶς ἀνεχώρησεν.* (**Sequitur** *cap. 8*).

9 sqq. **Epilogus in A:** *καὶ νῦν — σκηναῖς ἐμφιλοχωρεῖς· ὧν γένοιτο καὶ ἡμᾶς πάντας ἀξιωθῆναι ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου, ᾧ πρέπει δόξα, κράτος καὶ τιμὴ καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

τῷ θεοστέπτῳ καὶ φιλοχρίστῳ μακράν, ἄλυπον τὴν ζωὴν καὶ τὸ κράτος, ἰσχυράν, ἀπρόσμαχον τὴν δυναστείαν, χαρὰν εἰς ἀεὶ καὶ τρόπαια καὶ νίκας, πάντων τῶν τερπνῶν τὴν μέθεξιν πλουσίαν καὶ τῆς ἀγήρω βασιλείας τὴν χάριν. ὅτι Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μηνὶ τῷ αὐτῷ κθ'.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ ΤΗΣ ΤΙΜΙΑΣ ΚΕΦΑΛΗΣ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ.

1. Ἄρτι τοῦ προδρόμου καὶ βαπτιστοῦ καὶ μείζονος ἐν γεννητοῖς col. 2 *γυναικῶν τὴν ἔρημον, ἐν ᾗ | παιδόθεν τὸν ἀγγελικὸν ἤσκησε βίον, καταλιπόντος, τὴν Ἰουδαίαν τε καταλαβόντος καὶ τὸ τῆς μετανοίας καταγγέλλοντος βάπτισμα, πάντες ὡς αὐτὸν ἐξεπορεύοντο καὶ συνέρρεον ἱστορῆσαι μὲν καὶ τοῦτον, ἀκοῦσαι δὲ καὶ τῶν παρ' αὐτοῦ λεγομένων, καὶ ἐπεὶ τὸ ξένον ἐκεῖνο καὶ τῆς μορφῆς καὶ τῆς στολῆς ἔβλεπον, τὴν μὲν τὸ ἀγγελικὸν σχεδὸν ἐμφαίνουσαν εἶδος, τὴν δὲ τριχῶν σχεδιασθεῖσαν ἀπὸ καμήλου, τὸ ἀπέριττον καὶ ἀνεπιδεὲς τῶν ἀνθρώπων αὐτῷ προσμαρτυροῦσαν, ἄλλως τε δὲ καὶ Ζαχαρίου τοῦ ἀρχιερέως υἱὸν ἐμάνθανον εἶναι, ναὶ δὴ καὶ τὸν Ἠσαίαν εἶχον περὶ αὐτοῦ μαρτυροῦντα (τὸ γὰρ «φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ» περὶ τούτου λέλεκται δηλαδή), καινὸν ὡς ἄλλον Ἠλίαν τοῦτον ἑώρων. ταύτῃ τοι καὶ αἰδέσιμος αὐτοῖς ὑπερφυῶς ἦν, ἀλλὰ δὴ καὶ* f. 219 *τὴν ἐπίπληξιν φορητός· γεννήματα γὰρ ἀπο‖καλοῦντος αὐτοὺς ἐχιδνῶν, οὐμενοῦν ἐκεῖνοι πρὸς ὀργὴν ἠρεθίζοντο, καίτοι πάνυ γε ὀξύχειρες ὄντες καὶ φονικοί.*

2. Πλὴν οὐκ αὐτοῖς μόνοις αἰδέσιμος ἦν ὁ βαπτιστής, ἀλλὰ δὴ καὶ αὐτῷ τῷ Ἡρῴδῃ, καὶ τούτῳ μᾶλλον ἢ Ἰουδαίοις, ὅσῳπερ οὐκ αἰδῶ μόνον αὐτῷ, ἀλλὰ καὶ δέος ἦν ἐμβαλών· ἐφοβεῖτο γάρ, φησί, τὸν Ἰωάννην τῷ εἰδέναι τοῦτον ἄνδρα δίκαιον καὶ ἅγιον εἶναι, ἀλλὰ καὶ ἀκούων αὐτοῦ πολλὰ ἐποίει καὶ ἡδέως αὐτοῦ ἤκουε· τὸ μὲν γὰρ ἀπὸ τῆς τοῦ συνειδότος εἶχε κατακρίσεως, τὸ φοβεῖσθαί φημι, δι-

(Oratio de decollatione non exstat in cod. A). 11 τὲ || 17 πρόσμαρτυροῦσα || 23 οὐμενοῦν || 27 ἐφοβεῖτο || 30 φοβεῖσθαι φημὶ

εφθαρμένος ὢν τὸν βίον καὶ πάνυ πλημμελής, τὸ δὲ ἀπὸ τῆς τοῦ λέγοντος ἀρετῆς, τὸ ἡδέως πάντως ἀκούειν αὐτοῦ. καὶ οὕτω μὲν ἀρετὴ δυσωπεῖν οἶδε καὶ τοὺς παντάπασιν ἀλλοτρίους· οἶδε γὰρ ἀνδρὸς ἀρετὴν αἰδεῖσθαι καὶ πολέμιος.

3. Ἀλλ' ἰσχυρὸν ὄντως ἀκόλαστος ἐπιθυμία καὶ ψυχὴν δουλῶσαι τῶν πάντων ἀνυσιμώ|τατον, ὥσπερ ἄρα καὶ τὸν Ἡρῴδην *col. 2* ἀθλίως σφόδρα διέθηκε καὶ ἀνδραπόδοις ὁμοίως τῷ βασιλεῖ, φεῦ, ἐχρήσατο· ὃς ὑπεριδὼν γυναικὸς ἰδίας (θυγάτηρ δὲ αὕτη τοῦ Ἀράβων βασιλέως Ἀρέτα) καὶ τὸ πρὸς αὐτὴν ἀτιμάσας φίλτρον, τοὺς πρὸς Ἡρωδιάδα κενοὺς καὶ ματαίους ἔρωτας τοῦ παντὸς ἐτίθει προτιμοτέρους. ταύτην γὰρ γυναῖκα οὖσαν τοῦ ἀδελφοῦ Φιλίππου παρανόμως οὗτος ἠγάγετο, σπερμα ἤδη τοῦ ἀδελφοῦ ἔχουσαν· ἐκείνοις γὰρ ἐφεῖτο μόνοις τοῦτο ποιεῖν, τοῖς παίδων ἄνευ ἀπολιποῦσι τὸν βίον, ἐφεῖτο δὲ κατὰ πρόνοιαν πάντως τοῦ ἀναστῆναι σπέρμα τοῖς ἀδελφοῖς. ἐπὶ τούτοις οὖν ὁ Ἰωάννης τὸν Ἡρῴδην ἐλέγχων ᾄδειν πρὸς κωφὸν ἐδείκνυτο καὶ νεκρῷ πρὸς οὓς διαλέγεσθαι, καίτοι γε ἡδέως αὐτοῦ ἀκούειν [εἰωθότα] καὶ πολὺ τοῦτον αἰδεῖσθαι. ἀλλ' ὁ πρὸς Ἡρω||διάδα, ὥσπερ ἔφημεν, ἔρως ἰσχυρό- *f. 219ᵛ* τερος αὐτῷ πάντως ἐμπεσὼν τῶν Ἰωάννου λόγων καταφρονεῖν ἐποίει. καὶ τὸν μὲν ἐδίδου τῇ φυλακῇ, Ἡρωδιάδος δὲ μᾶλλον ἡδέως παρεῖχεν ἀκούειν καὶ τῶν αὐτῆς ἐρώτων ἐπιμελῶς ὅλος γίνεσθαι.

4. Τοῦ προφήτου τοίνυν οὕτω διὰ τοὺς ἐλέγχους κατακριθέντος τὴν φυλακήν, μὴ φοβηθέντος [ἡμέρας], κατὰ τὸ τοῦ θείου φάναι Δαυίδ, μὴ πρόσωπα βασιλέων δυσωπηθέντος Θεοῦ νόμων καταφρονούντων, ἀλλ' ἐλέγξαντος αὐτοὺς φανερῶς καὶ δούλους ἀποκαλέσαντος ἡδονῆς, ἡμέρας εὐκαίρου γενομένης, γενεσίων αὐτοῦ τελουμένων δεῖπνον ἐποίει τοῖς μεγιστᾶσι καὶ χιλιάρχοις, ⟨καὶ⟩ ὥς φησι τὸ ἱερὸν εὐαγγέλιον, καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας καὶ τὰ ἐπὶ τούτῳ ψυχαγωγίας καὶ σεμνὰς χάριτας τοῖς ἀνακειμένοις προσέφερε· δεῖ γὰρ καὶ ταύτας εἰπεῖν.|κόρη πρόσεισιν ὀρχουμένη, καὶ κόρη οὐχὶ τυ- *col. 2* χοῦσά τις οὐδὲ τῶν πολλῶν μία, ἀλλὰ θυγάτηρ ἤδη βασιλέως ὠνομασμένη καὶ αὐτοῦ ἐκείνου τοῦ ἑστιάσαντος. καὶ οὐκ ᾐδεῖτο θυγατέρα βασιλεύς, καὶ ταῦτα παρθένον τῷ δοκεῖν, εἰσάγων καὶ τοσαύταις ἀρρένων ὄψεσι παραδιδούς, πρᾶγμα σώφροσιν ὀφθαλμοῖς οὐχ

3 *ἀρετῇ* || 5 *Ἀλλ'* || 8 *ὑπερίδὼν* || 11 *οὖσαν sine spir.* || 13 *ἐ|Κείνοισ* || 16 *προσκωφὸν — οὖσ* || 17 *εἰωθότα inserui. Cf. infra in appendice or. de S. Ioanne cap. 14* || 23 *ἡμέρας inserui coll. or. de S. Ioanne cap. 17* || 24 *βασιλέωσ* || 27 *χιλι|άρχοισ* || ibid. *καὶ deleri* || 30 *ταῦτασ — Κόρη* || 31 *τυχοῦσα τίσ* || 33 *παρ(θ)ένον*

23 *κατὰ — Δαυίδ:* cf. Psalm. 48 (49), 5 || 28 *εὐαγγέλιον:* Marc. 6, 21.

ἁπλῶς ἄφιλον, ἀλλὰ καὶ φυγῆς ἄξιον. ἀλλὰ τοῦτο ἐποίει ὁ συνετὸς ἐκεῖνος, ἵνα τὸ φιλόσεμνον πάντως ἧς ἠγάγετο γαμετῆς δῆλον γένηται καὶ ὡς ἐκ τοῦ καρποῦ τὸ δένδρον, καὶ ἡ μήτηρ ἐπίδηλος ἐκ τῆς θυγατρὸς γένηται καὶ αὐτὴ μὲν δι' ἐκείνης, ὁ γήμας δὲ δι' ἀμφοτέρων ἐπαινετὸς ὀφθῇ καὶ μακάριος.

δ. Ὅρα δὲ καὶ τὴν τοῦ [κακοῦ προσθήκην, ὅτι καὶ ἤρεσε τῷ πατρὶ τὸ γινόμενον, ἐφ' ᾧ μᾶλλον ἐγκαλύψασθαι ἔδει, καὶ οὕτως f. 220 *ἤρεσεν, ὢ βασιλικῆς μεγαλοδωρίας, ὡς ὁμολο||γῆσαι καὶ συνδιελέσθαι ταύτῃ τὴν βασιλείαν πρὸς ἀντίδοσιν κοινωφελοῦς τοιοῦδε καὶ ἀξίου σπουδῆς πράγματος. καὶ τό γε χεῖρον, ὅτι μὴ ἐκείνης αἰτησαμένης, ἀλλ' αὐτοῦ ταύτην πρὸς τὴν ἀξίωσιν ἐρεθίσαντος. ἡ δὲ καὶ ἔτι φιλότιμος γίνεται καὶ πολλῷ μεῖζον αἰτεῖται, παρ' αὐτῆς γε τῆς μητρὸς τὸ γέννημα τῆς ἐχίδνης διδαχθεῖσα τὴν αἴτησιν· ἐπιζητεῖ γὰρ οὐ τὴν ἐξ ἡμισείας ὑπεσχημένην αὐτῇ βασιλείαν, οὐδὲ ἄλλο τι τῶν οὕτως ἐχόντων, ἀλλὰ πρᾶγμα, φεῦ, βασιλειῶν ὅλων τῶν ἐπὶ γῆς ὑπερκείμενον καὶ οὗ μηδὲ ὁ κόσμος αὐτὸς ἀντάξιος. καὶ ποῖον τοῦτο; κεφαλὴν ἀνδρός, ἣν καὶ σὺ πρότερον, ὁ δοῦλος μᾶλλον ἢ βασιλεύς, σφόδρα ἦγες διὰ τιμῆς, ὡς αὐτά τε λέγει τὰ εὐαγγέλια καὶ ὁ λόγος φθάσας ἐδήλωσε· νῦν δὲ τοῦ πάθους χάριν καὶ τῶν ἐλέγχων* col. 2 *δεσμεῖς τὸν αἰδέσιμον, καὶ οὐ δεσμεῖς | μόνον, ἀλλὰ καὶ ἀναιρεῖς καὶ κεφαλὴν ἐκείνην φαύλων ἐρώτων πωλεῖς, τοιαύτας, ἄθλιε, χάριτας τῇ ἐρασθείσῃ σοι κακῶς χαριζόμενος. πῶς δὲ σοὶ καὶ εἰς πρόφασιν ἦν τὸ μὴ παραβῆναι δὴ τὰ ὀμωμοσμένα ἡ τοῦ δικαίου ἀναίρεσις; εὔδηλον γάρ, ὅτι βασιλείαν ἐξ ἡμισείας τὴν σὴν ἀνωμολόγηκας αὐτῇ παρασχεῖν· τοῦτο δὲ τί ἕτερον ἦν ἢ πλοῦτος, χρήματα, πλέθρα γῆς, δόξα πρόσκαιρος, ὧν αὐτὸς κύριος ἧς; ταῦτα γὰρ ἰσομοιρίᾳ σοι πρὸς αὐτὴν διαιρούμενα διετήρει τὸν ὅρκον. ἀνδρὸς δὲ φόνος (ἀνδρὸς εἶπον; πολλῷ μᾶλλον ἤπερ ἀνδρός) τί πρὸς ταῦτα κοινὸν εἶχεν, ὦ σωφροσύνη θεία καὶ νόμων ὀρθοτομία, εἰ μὴ τοῦτό σοι τὸ βασιλεύειν, ὦ βέλτιστε, ἦν τὸ τοὺς ἀρχομένους οὐδὲν δέον ἀναιρεῖν; σὺ δὲ καὶ λελυπῆσθαι φανερὸς γέγονας, ὡς ἐπιτρέψας δῆ-* f. 220v *θεν τὸν || τοῦ δικαίου φόνον, ἀνάγκῃ περιληφθεὶς ὁ τῶν ὅρκων ἀκριβὴς φύλαξ, οὔτι γε τῶν νόμων. ἀλλ' οὐ λέληθας πρὸς τάφον μητρυιᾶς, τὸ τοῦ λόγου, κλαίων κἀκεῖνο διδόναι προσποιούμενος οὐχ ἑκών, ὃ τῶν αἰτούντων μᾶλλον χαίρεις αὐτὸς χαριζόμενος.*

4 *αὐτῇ—διαμφοτέρων* || 8 *μεγαλοδωρεᾶσ* || 14 *ἄλλό τι* || 16 *μὴδὲ* || 18 *αὐτ*|*τὲ* || 23 *τοῦ μὴ κτλ.?* || 25 *πλοῦτ* || 26 *ἀντ — ἰσομοιρία* || 33 *λέλυθ(ας)* || 34 *μητριάσ — πρόσποιουμεν*

18 *τὰ εὐαγγέλια:* cf. Marc. 6, 20.

6. Εἰσάγεται δὲ καὶ κεφαλὴ αἵματος πλήρης, τοῖς κεκλημένοις μὲν θέαμα σκυθρωπόν, εὐφροσύνην τε ὅλην ἐπιτραπέζιον εἰς λύπην μεταβαλεῖν ἱκανόν, τῇ μητρὶ δὲ τῆς κόρης καὶ πολλῆς ὅσης τῆς ἡδονῆς πρόξενον· ἐδίψα γὰρ οὕτως ἰδεῖν τὸν εἴργοντα ταύτην, χρῆσθαι τοῖς κατὰ γνώμην καὶ γλῶτταν ζήλῳ τεθηγμένην οὐχ ἧττον ξίφους, ἐσχάτως ἄφωνον. ἀλλὰ γὰρ θεῖόν τι χρῆμα ἡ ἀρετὴ καὶ ἀνάλωτον, ἔτι κρατοῦσα καὶ μετὰ τὸν τοῦ κεκτημένου θάνατον. ὁ γὰρ αἰσχρὸς οὗτος καὶ βδελυρὸς καὶ ἡδονῶν ἥττων βασιλεύς, ὁ φόνον | ἀνδρὸς τοιοῦδε ὡς ἑνὸς τῶν ἠμελημένων δράσας ἐξ ἐπιτάγ- col. 2 ματος, ὅρα ὅπως μετὰ τὴν ἐκείνου σφαγὴν περιδεὴς γίνεται καὶ κατάφοβος, ὡς μικροῦ καὶ θανάτου κρείττω τὸν τεθνηκότα οἴεσθαι. περὶ γὰρ Ἰησοῦ ἀκούσαντά φησι τὸν Ἡρῴδην καὶ οἵοις ἐχρῆτο θαύμασιν, «Οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής» φάναι· «αὐτὸς ἀπὸ τῶν νεκρῶν ἠγέρθη, καὶ ἡ ἀπόδειξις τὸ τὰς δυνάμεις» φησὶν «ἐνεργεῖν ἐν αὐτῷ», τὴν τῶν κυριακῶν οὕτω λέγων σημείων καὶ θαυμάτων ἐνέργειαν.

7. Ἐπεὶ δὲ καὶ Ἰωάννης ὁ θεῖος ἀνῄρητο καὶ ἡ πάντιμος κεφαλὴ ἆθλον ὀρχήσεως τῇ μαινάδι πεφιλοτίμητο καὶ δι' αὐτῆς εἶχεν ἡ μήτηρ, ἐκείνη λαβοῦσα τὸ διαφερόντως αὐτῇ διψώμενον κατορύττει βαθέως καὶ κρύπτει παρ' ἑαυτῇ λίαν ἀσφαλῶς καὶ ἀσύλως, ὡς ἐκ πατροπαραδότων λόγων καὶ ἀντιγράφων ἔξεστι διδαχθῆναι. ἐποίει γὰρ αὐτὴν || τὸ πολὺ δέος καὶ ἡ τοῦ μισουμένου μεγαλειότης καὶ f. 221 μετὰ θάνατον ἀσφαλίζεσθαι. καὶ οὐ συνεχώρει συναφθῆναι τὴν κεφαλὴν τῷ ὅλῳ σώματι, μὴ καὶ ἀναστῇ φοβουμένη καὶ τῶν προτέρων ἐλέγχων ἐφάψοιτο. «Εἰ δὲ παρ' ἐμοὶ» φησὶν «ἡ κεφαλὴ καλῶς κρύπτοιτο, οὐκ ἂν ἀναστῆναι τῷ τοιούτῳ ῥᾳδίως γένοιτο». τὸ σῶμα τοίνυν οἱ μαθηταὶ τοῦ καλοῦ διδασκάλου λαβόντες ἐν τόπῳ θάπτουσιν ἐπισήμῳ καὶ τῷ ἐμῷ Ἰησοῦ πάντα προσαγγέλλουσιν, ὅσαπερ οὐκ ἠγνόει.

8. Καὶ σὺ μέν, ὦ προφῆτα καὶ πρόδρομε, βαπτιστὰ καὶ μάρτυς καὶ πρό γε τούτων ἀπόστολε, πρὸς τοῖς ἄλλοις οἷς ἐπλούτεις χαρίσμασιν ἔτι καὶ τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τετίμησαι καὶ τοὺς οὐρανούς, οὓς ἄρα καὶ ἧς ἄξιος οἰκεῖν, πρεπόντως κεκλήρωσαι, δύο καὶ τριάκοντα πρὸς μησὶν ἓξ τὰ ἐπὶ γῆς ἅπαντα διανύσας ἔτη. Ἡρῴδῃ δὲ ἡ τοῦ Θεοῦ δίκη, καίτοι βραδύνειν εἰς τιμωρίαν | ὡς τὰ πολλὰ col. 2 φύσιν ἔχουσα, ταχέως ἐπῆλθεν. ὡς γὰρ ἐκεῖνος τὴν ἑαυτοῦ γυναῖκα

5 καταγνώμην — ουχ᾿ἧττον || 6 Γὰρ || 12 ἀκούσαντα φησὶ || 18 ἆθλο῀ || 26 ῥαδίωσ — Τὸ || 36 ἐπῆλθε

διά τοὺς πρὸς τὴν μοιχαλίδα δριμεῖς ἔρωτας ἀπέστερξέ τε κακῶς καὶ ἀπώσατο, αὕτη τὴν ὕβριν οὐκ ἐνεγκοῦσα, πρὸς Ἀρέταν τὸν ταύτης πατέρα, ὃς Ἀράβων βασιλεύς, ὡς ὁ περὶ τούτου λόγος δείκνυσιν, ἐτύγχανεν ὤν, ἀφίκετο καὶ τὴν ὑπεροψίαν τε καὶ τἆλλα πρὸς ἔπος αὐτῷ διηγήσατο καὶ τὴν ἐκδίκησιν ᾐτήσατο τοῦ ἀφορήτου γυναικὶ πράγματος. ὁ δέ, καὶ γὰρ οὐκ αὐτῆς μόνον, ἀλλὰ καὶ ἰδίαν εἶναι μᾶλλον τὴν ὕβριν ἔκρινε, τῷ Ἡρῴδῃ ἐπιστρατεύει, πράξας τε κατὰ νοῦν καὶ τὸ ἐκείνου στράτευμα κραταιῶς συγκόψας καὶ οὓς μὲν ἀνελών, οὓς δὲ καὶ ἀνδραποδισάμενος καὶ τὴν χώραν ἅπασαν πυρὶ δεδωκὼς ἐπανήει. καὶ τὰ μὲν εἰς Ἡρῴδην τοιαῦτα.

f. 221v 9. *Πλὴν ἀλλὰ καὶ τὰ τῆς μοιχαλίδος ταύτης || καὶ παρανόμου γυναικὸς Ἡρῴδου ὁποῖα; αὕτη ἐπὶ μήκιστον μὲν παρατείνει ζωῆς, τὴν θυγατέρα δὲ πρότερον πικρῷ τέλει καταλύσασαν τὸν βίον θεασαμένη οὕτω καὶ αὐτὴ συναπήει, τοῖς ἐκεῖθεν δικαιωτηρίοις καθάπαξ συντηρουμένη καὶ τὸν τρυγίαν ὅλον τοῦ ἐν χειρὶ κυρίου ποτηρίου πιουμένη δικαίως. ἡ μέντοι θυγάτηρ (ἐκείνην γὰρ καὶ ὁ λόγος τῆς μητρὸς ἔφη προαποιχέσθαι) πρός τινα τόπον ἀλλαχόθι ὄντα πορευομένη, καὶ ποταμὸν αὐτῇ ὥρᾳ χειμῶνος διαβῆναι δεήσαν, ἐπεὶ κεκρυστάλλωτο οὗτος καὶ πεπηγὼς ἦν, ὑπεράνω αὕτη πεζῇ διήρχετο· τοῦ κρυστάλλου δὲ οὐκ ἀθεεὶ πάντως περιρραγέντος αὐτὴ μὲν εὐθὺς κατερρύη ἄχρι δή που καὶ κεφαλῆς ἡ ἀθλία, τοῖς σπαραγμοῖς καὶ τότε ὥσπερ ὀρχησαμένη οὐκ ἐν γῇ, ἀλλ᾽ ἐν ὕδασιν, ἡ κεφαλὴ δὲ* col. 2 *θραυθεῖσά τε τῷ κρυστάλλῳ καὶ ἀποτμηθεῖσα δεινῶς | ὑπεράνω τῶν πάγων δεῖγμα θαυμάσιον τῶν τοῦ Θεοῦ κριμάτων ἀπολιμπάνεται, διαιρεθεῖσα καὶ αὐτὴ τοῦ λοιποῦ σώματος οὐ ξίφει, ἀλλὰ κρυστάλλῳ. ἀλλὰ ταῦτα μὲν ἔσχεν οὕτως, καὶ ἡ ἄτιμος ἐκείνη καὶ μιαρὰ κεφαλὴ ὑπ᾽ ὄψιν ἔκειτο πᾶσιν, εἰς ὑπόμνησιν ὧν ἔπραξεν ἀνάγουσα τοὺς ὁρῶντας.*

10. *Αὐτὸς δέ, πανάριστε καὶ περιώνυμε πρόδρομε, τῷ δεσποτικῷ τὰ νῦν παριστάμενος θρόνῳ, μέμνησο βασιλέως ἡμῶν τοῦ πιστοῦ καὶ πᾶσιν ἐμπρέποντος καλοῖς καὶ χάρισαι τούτῳ ταῖς εἰς Θεὸν ἱκεσίαις σου μακροτάτην ζωὴν καὶ ἀπήμονα, ἰσχὺν κατ᾽ ἐχθρῶν ἀνοσίων πάντων, χωρῶν αὐτῶν καὶ πόλεων τὴν κατάλυσιν, ἀπείρων αὐτῶν στρατευμάτων τὴν ἐξολόθρευσιν, ἡμέρας ἐκείνης τῆς μεγά-*

4 *τὲ ς᾽ τᾶλλα* || 7 *τὲ* || 9 *ἀνελῶ̄* || 12 *ὁποία* || 14 *συναπείη* || 16 *Ἐκείνην* || 17 *προαποιχέσθαι:* sic cod. || 18 *δε ἦσαν* || 19 *κεκρυστάλωτο — ὑπερ ἄνω — διήρχετο* || 20 *κρυστάλου — οὐκαθεεὶ* || 22 *οὐκενγῆ* || 23 *θραυθεῖσα τὲ — κρυστάλω — ὑπὲρ ἄνω* || 25 *κρυστάλω* || 26 *Ταῦτα*

λης τὴν λάμψιν, λειμώνων θείων τὴν φαιδρὰν κατοικίαν, πάντων τῶν καλῶν τὴν μετάληψιν ὅλην καὶ βασιλείας Θεοῦ τὴν κλη||ρουχίαν· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. f. 222

Μηνὶ τῷ αὐτῷ λ'.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΛΛΙΝΙΚΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. Ἡμεδαπὸς ὁ Καλλίνικος, καὶ τῆς Κωνσταντίνου καὶ οὗτος γέννημα, θρέμμα καὶ παίδευμα, πιστῶν γεννητόρων ὁ Καλλίνικος καὶ σεμνῶν· ὑφ' ὧν ἀνάγεται καλῶς καὶ παιδεύεται καὶ τῇ ἐκκλησίᾳ κληροῦται Χριστοῦ. πάσαις οὖν γραφαῖς ὁ Καλλίνικος ἑαυτὸν καὶ ταῖς θεοπνεύστοις καὶ ὠφελίμοις μᾶλλον ἐνασχολήσας περίφημος γίνεται καὶ περίβλεπτος. ἔνθεν τοι καὶ τοὺς ἄλλους ἐκκλησιαστικοὺς βαθμοὺς διελθὼν καὶ τῆς τῶν ἱερέων ἀξιοῦται καθέδρας καὶ αἰνεῖ τὸν κύριον ἐν αὐτῇ. τῆς φήμης οὖν αὐτοῦ κἂν τοῖς ἐν τέλει διαδοθείσης καὶ τῶν τοῦ περιωνύμου τῆς Θεοτόκου τῶν ἐν Βλαχέρναις ναοῦ σκευῶν φύλαξ καθίσταται καὶ οὕτω διάδηλος τοῖς πᾶσι καὶ μέγας γνωρίζεται. ἄρτι δὲ | τοῦ τῆς Κωνσταντίνου προ- col. 2 *έδρου (Παῦλος δὲ οὗτος ἦν) τὸν βίον ἀπολιπόντος, ὁ μέγας οὗτος Καλλίνικος, τῆς ἀρετῆς εἰς τοῦτο συγκαλεσάσης αὐτόν, ψήφῳ τῶν ἐκκρίτων τοῦ βήματος καὶ πάντων δὴ τῶν ἐν τέλει πατριάρχης ταύτης χειροτονεῖται· καὶ ἦν οὕτω διακυβερνῶν καλῶς τὴν Χριστοῦ ἐκκλησίαν καὶ τὰ τῆς εὐσεβείας διιθύνων πηδάλια.*

2. Ἄρτι δὲ Ἰουστινιανοῦ τοῦ νέου, ὃν καὶ ἀπέκγονον Ἡρακλείου φασί, τὰ τῆς βασιλείας διιθύνοντος σκῆπτρα, ὁ καλὸς Καλλίνικος ἐν ἀρχιερεῦσι διέπρεπε καὶ σεμνὸς τοῖς πολίταις καὶ δὴ καὶ πάσῃ τῇ ὑπὸ Ῥωμαίους τελούσῃ διεγινώσκετο. καὶ ἦν μὲν καὶ τῷ βασιλεῖ τούτῳ καὶ ἀγαπώμενος καὶ τιμώμενος καὶ θαύματος ἐν

12 *prius* καὶ *bis scr. in* H || 13 Ἔνθέν τοι AH || 14 ἱερέων H, πρεσβυτέρων A || 15 αἰνῇ H; καν H, κἂν A || 16 τῷ τοῦ A || 17 ναῷ A || 20 αὐτῶν A || 21 πρῖάρχησ H || 23 διϊθύνων H || 24 ἀπέ̓γονον H || 27 τῷ *om.* H

μέρει τιθέμενος· ἀλλ' ἐπείπερ ὁ κρατῶν βαρύς τις ἦν πρὸς τοὺς ὑπὸ χεῖρα καὶ φρενῶν ἐνδείᾳ τὸ ὑπήκοον ἅπαν ἐξεβιάζετο καὶ f. 222v *ἀπρεπῆ τινα καὶ βασιλεῖ ἀπεοικότα πρὸς αὐτοὺς || διεπράττετο, μὴ οἷός τε ὢν ὁ ἀρχιερεὺς ἀνεξέλεγκτα ταῦτα κατέχειν, τοῦτο μὲν παρακλήσεσι, τοῦτο δὲ καὶ γραφικαῖς παιδεύσεσιν, ἔστι δ' ὅτε καὶ στύφουσι λόγοις καὶ ἀναμνήσεσι κρίσεως ἐκείνης τῆς φοβερᾶς καὶ τῶν φρικτῶν ἐκείνων κολάσεων ἀπεῖργε τοῦτον τοῦ ἐγχειρήματος. ἀλλ' ὁ καρκίνος ὀρθὰ βαδίζειν οὐκ οἶδε. πάλιν γὰρ ἐκεῖνος τοῖς αὐτοῖς ἐπέμενε καὶ τὸν ἅγιον ἐμνησικάκει τῆς διορθώσεως· ἔνθεν τοι καὶ πολλὰ τοῦτον ἐλύπει καὶ ἀφορμὰς ἐζήτει τοῦ θρόνου τὸν μέγαν κατενεγκεῖν.*

3. Στέλλει γοῦν ποτε πρὸς αὐτὸν εὐχὴν ἀπαιτῶν ἐπὶ καθαιρέσει ναοῦ· ναὸς δὲ ἦν οὗτος ὁ ἐπ' ὀνόματι τῆς Θεομήτορος ἱδρυμένος καὶ τὰ μητροπολίτου λεγόμενος· ὅπερ ὅσης εὐηθείας ἐστὶ καὶ ῥᾳστώνης, ἴστε πάντως οἱ εὐσεβέστεροι. τοῦ μεγάλου τοίνυν διαποροῦντος πρὸς τοῦτο καὶ μηδαμῶς εὐχὴν ἐν οὕτω παραλόγῳ πράγ- col. 2 *ματι γεγράφθαι λέγοντος, καὶ ταῦτα | πρὸς καταστροφὴν ἐκκλησίας Θεοῦ, καὶ εὐήθειαν εἰς τοῦτο τοῦ βασιλέως καταγινώσκοντος, οἱ ἀπεσταλμένοι, τὸ ὁμοφρονεῖν ἐκείνῳ καὶ ὁμογνωμονεῖν διὰ σπουδῆς ὅσης τιθέμενοι, τὴν εὐχὴν ταύτην, ὅπερ ἀρὰ μᾶλλον ἦν, ἐξαπήτουν τῆς καταλύσεως καὶ δὴ καὶ ἐπεχείρουν ἐπιθέσθαι τῷ πατριάρχῃ, εἰ μή γε τούτοις τὴν εὐχὴν ἐπιτρέψει. μὴ ἔχων οὖν ἐκεῖνος ὅ τι καὶ πράξειε, «Δόξα τῷ Θεῷ» λέγει «τῷ ἀνεχομένῳ». καὶ εὐθὺς ὁ ναὸς καθῃρέθη. καὶ ταῦτα μὲν οὕτως.*

4. Ὁ τοίνυν βασιλεὺς διὰ τὰς ἀμέτρους ἀταξίας καὶ τὰς ὑπερβαλλούσας ἀνοίας ἐπιτεθεὶς ὑπὸ τῶν ὑπ' αὐτὸν τὴν ῥῖνα τέμνεται καὶ τὴν γλῶτταν καὶ ὑπερόριος ἐν Χερσῶνι γίνεται. κρατεῖ τοίνυν ὁ Λέων μετ' αὐτόν, εἶτα Τιβέριος ὁ λεγόμενος Ἀψίμαρος, ὁ μὲν ἔτη τρία, ὁ δὲ Τιβέριος ἑπτά. εἶτα τῆς ὑπερορίας ὁ Ἰουστινιανὸς οὗτος ἀποδρὰς ταῖς τῶν προσηκόντων αὐτῷ παραινέσεσι καὶ f. 223 *μηνύσεσι καὶ τοῖς || τείχεσι τῆς Κωνσταντίνου προσβαλὼν καὶ δόλῳ πείσας τόν τε πατριάρχην αὐτὸν καὶ τοὺς ἐν τέλει καὶ ὅρκοις τῆς βασιλείας αὖθις ἐγκρατὴς γίνεται, τὴν εἰσέλευσιν διὰ τοῦ Δευτέρου λεγομένου ποιησάμενος τόπου, ὃν καὶ Δεύτερον αὐτὸς ὠνόμασε διὰ τὸ δεύτερον ἐντεῦθεν ἐπιβῆναι τῆς βασιλείας. ἐπεὶ οὖν ἐγκρατὴς γέγονε*

2 *ἅπαν* **om.** ***A*** || **3** *ἀπρεπῆ τινὰ* ***H***, *ἀπρεπὴ τινὰ* ***A***: *διεπράττετο* ***H***, *ἀπειργάζετο* ***A*** || **4** *ἀνεξέλικτα* ***H*** || **8** *καρκῖνοσ* ***H*** || **9** *ἔνθέν τοι* ***ΑΗ*** || **12** *γοῦν* ***H***, *Ποτὲ* ***ΑΗ*** || **14** *῞Οπερ* ***H*** || **16** *μὴδαμῶσ* ***H*** || **20** *ἀρᾶ μάλλō| ἦν* ***H***, *ἆρα* ***A*** || **21** *εἰ* ***H*** || **23** *πράξειε* ***A***, *δράσειεν* ***H***; *τῷ* **post** *λέγει* **om.** ***A***; *εὐθοῖσ* ***H*** || **26** *ῥῖνα τετέμνεται* ***A*** |, **33** *γίνεται* ***H***, *ἀναδείκνυται* ***A*** || **34** *αὐτὸσ* ***A***, *αὐτὸν* ***H*** || **35** *Ἐπεὶ* ***H***

τῶν πραγμάτων, τοὺς ὅρκους καὶ τὰς πίστεις ἐκείνας ἠθετηκώς, ἃς προκειμένου τοῦ προσκυνητοῦ σημείου τοῦ τιμίου σταυροῦ καὶ τῶν ἀχράντων καὶ θείων εὐαγγελίων πεποίηκε, ναὶ δὴ καὶ τοῦ δεσποτικοῦ σώματός τε καὶ αἵματος, καὶ ὥσπερ ἔξαρνος γεγονὼς σὺν αὐτοῖς καὶ τῆς πίστεως, φόνων τὴν πόλιν ἐνέπλησε καὶ μυρίων ἄλλων κακῶν, ὧν ὁ λόγος οὐκ ἀρκεῖ παραστῆσαι τὸ πλῆθος.

5. *Αὐτὸν δὲ τὸν μέγιστον ἐν ἀρχιερεῦσι Καλλίνικον καθοσιώσεως δίκαις ὑποβαλών, ὅτι τε τῆς ἐκτομῆς αὐτῷ τῆς | ῥινὸς αὐτὸς* col. 2 *εἴη αἴτιος καὶ τῆς γλώττης, μηδὲν ἐν τούτοις συνειδότος τοῦ μάκαρος, ὑπερορίζει κατὰ τὴν Ῥώμην καὶ στοᾷ τινι θεμελίων ἐμβληθῆναι τοίχου κελεύει καὶ λίθοις ἔξωθεν αὐτὴν καὶ τιτάνῳ διαχρισθῆναι. γέγονε τοῦτο, καὶ μεθ' ἡμέρας τεσσαράκοντα περιαιρεθέντος τοῦ χρίσματος, ὢ τῶν μεγάλων σου θαυμασίων, Χριστὲ βασιλεῦ, ἔτι ζῶν ὁ ἅγιος καὶ ἐμπνέων εὑρέθη. τέσσαρας οὖν ἡμέρας ἔκτοτε ζήσας, ὦ σεβάσμιε πάτερ καὶ ἀρχιερεῦ καὶ μάρτυς, πρὸς κύριον ἐκδημεῖς καὶ τῷ σηκῷ τῶν πανευφήμων ἀποστόλων φιλοτίμως ἐνθάπτῃ, τούτων αὐτὸ τῷ πάπᾳ μηνυσάντων δι' ὄψεως· καὶ νῦν τῷ τοῦ δεσπότου Χριστοῦ παριστάμενος θρόνῳ αἴτησαι ταῖς θερμαῖς σου πρὸς αὐτὸν πρεσβείαις δοθῆναι βασιλεῖ ἡμῶν τῷ πιστῷ μονῶν τῶν ἐκεῖ τὴν φαιδροτάτην λῆξιν, ἰσχυράν, ἀήττητον || τὴν συμμα-* f. 223v *χίαν, ἤρεμον ζωὴν καὶ ἡσύχιον πάντῃ, πάντων ἀγαθῶν τὴν ἡδυτάτην τέρψιν καὶ βασιλείας οὐρανῶν κληρουχίαν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

2 *σημίου* **H** || 6 *ὁ* **om. A** || 8 *δικαίοισ* **H**; *ὅτι τὲ* **A** || 9 *μηδὲν* **AH** || 10 *στοᾶ τινὶ* **AH** || 12 *περιερεθέντοσ* **H** || 14 *τέτταρασ* **A** || 17 *ἐνθάπτη* **corr. ex** *ἐνθάπτει* **H**; *αὐτῶ* **A** || 18—19 *θερμαῖσ εἰσ αὐτόν σου* **H** || 19—24 **Epilogus in A (post** *πρεσβείαις*): *ἐπιτυχεῖν ἡμᾶς τῆς ἀλήκτου χαρᾶς τῆς βασιλείας τῶν οὐρανῶν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. ἀμήν.*

Μηνὶ τῷ αὐτῷ λα'.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΚΑΤΑΘΕΣΙΝ ΤΗΣ ΤΙΜΙΑΣ ΖΩΝΗΣ ΤΗΣ ΥΠΕΡΑΓΝΟΥ ΘΕΟΤΟΚΟΥ.

1. Φαιδρὰ καὶ πανεύσημος ἡ καὶ νῦν ἡμῖν δι' ἔτους ἐπιστᾶσα τῆς ὑπεράγνου δεσποίνης ἡμῶν καὶ Θεοτόκου λαμπρὰ καὶ χαρμόσυνος ἑορτή. τίς αὕτη; τῆς τιμίας αὐτῆς ἡ κατάθεσις ζώνης. τοιγαροῦν δεῦτε, ὦ φιλόθεον ἄθροισμα, ψαλμικῶς ταύτῃ καὶ χαρμοσύνως τὰς χεῖρας ἐπικροτήσωμεν, τῇ Θεομήτορι τὰ χαριστήρια προσάγοντες ᾄσματα πρεπόντως καὶ φιλοτίμως, ὅτιπερ τὴν ἀνατεθειμένην αὐτῇ πόλιν ἡμῶν ὑπὸ τοῦ Θεοῦ καὶ υἱοῦ αὐτῆς ταύτῃ τε καὶ τῇ παντίμῳ col. 2 *ταύτης | ἐσθῆτι περιέζωσε, περιετείχισε, περιέβαλε καὶ κραταιῶς περιεχαράκωσεν.*

2. Τί οὖν τῆς πρὸς ἡμᾶς τοσαύτης κηδεμονίας ἐπάξιον αὐτῇ προσοίσομεν δῶρον; τίνα τῆς ἀμέτρου συμπαθείας αὐτῆς λόγον ἐγκωμίου ποσῶς ἐφευρεῖν δυνηθείημεν, ὑπερκειμένης παντὸς λόγου καὶ πάσης διανοίας οὐκ ἀνθρώπων μόνον, ἀλλὰ δὴ καὶ ἀγγέλων; ἀλλὰ μικρὸν ἄνωθεν ἐπὶ τὴν εὕρεσιν τοῦ πολυτίμου τούτου τὸν λόγον ἀγάγωμεν δώρου, ὅθεν τε καὶ ὅπως τῇ Κωνσταντίνου τεθησαύρισται θεῖον ὄντως χρῆμα καὶ ἱερὸν ἀνάθημα καὶ πολύολβον διηγούμενοι.

3. Κώμη τις ὑπὸ τῶν Καππαδοκῶν ἐστιν ἐπαρχίαν κειμένη, Ζῆλα προσαγορευομένη, ἐν ᾗ λόγος ἄνωθεν καὶ μέχρις ἡμῶν κατηνέχθη θρόνον ἐπισκοπικὸν χρηματίσαι, πρός τινος τῶν θεοφόρων ἱδρυθέντα πατέρων. ταύτῃ τοιγαροῦν τῇ κώμῃ θεοφιλεῖς τινες ἄν- f. 224 *δρες || ἐξ Ἱερουσαλὴμ (τῆς περιχώρου γὰρ αὐτῆς ἡ παρθένος κἂν τῇ Γεθσημανῇ τὸν βίον ἐκμετρήσασα ταφῆναι φαίνεται), πίστει τὸ πανίερον τοῦτο κειμήλιον θερμῇ, τὴν τιμίαν ζώνην φημί, κεκλοφότες, φέροντες πιστῶς κατατίθενται. πῶς δὲ τὴν ἐπαινετὴν ταύτην κλοπὴν καὶ ἐκ τίνος καὶ τρόπον καθ' ὃν πεποιήκασι καὶ χρόνον*

(Non extat in cod. A). 4 *διἔτους ἐπιστάσα* || 6 *τοιγαροῦν* || 10 *et* 18 *τὲ* || 11 *περι|ετείχισε* || 13 *Τὶ* || 21 *τίσ* || 24 *τινὶσ* || 25 *παρ^θ'νοσ κἂν*

οὐδεὶς ἡμῖν ἔγγραφος ἱστορίας παραδέδωκε λόγος, ἢ μόνον ἄγραφος εἰς ἡμᾶς κατηνέχθη παράδοσις. ἦν γὰρ ἐκεῖσέ που κατὰ τὴν Ζῆλαν κρυπτομένη καὶ θεοσημείας οὐκ ὀλίγας τελοῦσα.

4. Τούτων οὖν τῶν θεοσημειῶν καὶ πρὸς αὐτὰς ἐσχατιὰς διαδραμουσῶν, ὡς εἰπεῖν, οὐμενοῦν καὶ Ἰουστινιανὸς ὁ σοφὸς (οὗτος γὰρ ὁ τηνικαῦτα κρατῶν) ἀνήκοος ἦν· ἀλλ᾽ ἅμα τε ἤκουσε, καὶ στέλλει τῶν ἐντίμων τινὰς τοὺς τὴν ἀνακομιδὴν τῆς ἱερᾶς ταύτης ζώνης ποιησομένους | ἄνδρας, καὶ βίῳ καὶ λόγῳ καὶ ἱερατικοῖς κεκοσμημένους (col. 2) χαρίσμασιν. οἳ καὶ τὸν τόπον ἀπτέρῳ τάχει καταλαβόντες ⟨καὶ⟩ πόθῳ τῇ σορῷ ταύτης ἐφίστανται καὶ πῶς ἂν εἴποις ἀσπάζονται καὶ πίστει καὶ φόβῳ καὶ τῇ προσηκούσῃ τιμῇ. τὰ εἰωθότα τοίνυν τελέσαντες ἐπ᾽ αὐτῇ, ὕμνους ἐπᾴσαντες καὶ ᾠδάς, χύσεις φώτων καὶ μύρων κενώσαντες, οἷς ὁ βασιλεὺς τὰς ἐκείνων ἔπλησε χεῖρας, ναὶ δὴ καὶ τοῖς πενομένοις ἐπαρκέσαντες δαψιλῶς τὰ πρὸς χρείαν, τὴν ἱερὰν ἐκείνην ζώνην λαβόντες πρὸς τὴν βασιλεύουσαν ἐπανήεσαν, τελεσθέντων θαυμάτων καθ᾽ ὁδὸν οὐκ ὀλίγων. καὶ τί ξένον τοῦτο τῇ μητρὶ τοῦ κυρίου ἢ τῇ τὴν ὀσφὺν ἐκείνης συμπεριλαβούσῃ ζώνῃ, ἣν καὶ πόδες ἐπάτησαν δεσποτικοὶ τοῦ Χριστοῦ τῷ βαστάζεσθαι τοῦτον, καὶ χεῖρες ἐπέτριψαν, μαζὸν || ἕλκοντες αὐτῆς (f. 224v) τὸν παν[άγιον], ἣν καὶ σταγόνες τοῦ θεο[πρε]ποῦς ἐκείνου γάλακτος ἐπεστάλαξαν, ἑλκομένου δὲ καὶ κατέχρωσαν.

5. Πλείστων οὖν, ὡς εἴρηται, καὶ μεγάλων τότε δι᾽ αὐτῆς τελουμένων θαυμάτων ἡ Προποντὶς αὐτὴν ὑποδέχεται. δῆλον τοῦτο γίνεται βασιλεῖ, δῆλον καὶ πατριάρχῃ· ἐξήεσαν εὐθὺς εἰς ὑπάντησιν, συνεπόμενον ἔχοντες καὶ ὅσον τοῦ βήματος ἔκκριτον καὶ ὅσον τῶν ἐν τέλει λαμπρόν. ὡς ἔδει τοίνυν ταύτην κατασπασάμενοι καὶ χαρᾶς ἐπ᾽ αὐτῇ σταλάξαντες δάκρυον, περιχυθέντες τε ποθεινῶς καὶ ψυχὰς εἰς ἑαυτῶν ὡσανεὶ ταύτην εἰσαγαγόντες καὶ τῇ βασιλικῇ νηῒ περιχαρῶς ἐνθέμενοι, τὸν πορθμόν τε λαμπάδων καὶ μύρων πληρώσαντες, ὡς ἀστέρας εἰκάζειν τὰς λαμπάδας τῷ πλήθει, κρότοις καὶ ψαλμοῖς τὴν βασιλίδα κατέλαβον καὶ θείῳ νεύματι χρηματισθέντες ὅ τε βασιλεὺς καὶ | πατριάρχης αὐτὸς ἐν ἱερῷ τόπῳ τούτῳ (col. 2) ταύτην, ᾧ νῦν ἐστι τεθησαυρισμένη, κατέθεντο, νόσων ἀλεξιτήριον, δαιμόνων φυγαδευτήριον, κακῶν ἀμυντήριον. καὶ ταῦτα μὲν οὕτως.

6. Ἡμεῖς δέ, ὁ τοῦ κυρίου λαός, ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, δεῦτε συμφώνως ὕμνοις καταστέψωμεν τὴν ὑπέραγνον

2 Ἦν — ἐκεισέπου — ζῆλαν || 3 τελε|σοῦσα || 4—5 διάδραμουσῶ͂ || 5 οὐμενοῦν || 10 καὶ *delevi* || ibid. εἴποισ || 14 χείρασ || 16 ἐπανίεσαν || 17 ἢ τῇ — συμπεριλαβοῦσῃ ζώνῃ || 20 *restitui verba in cod. corrupta* || 22 διαὐτῆσ || 27 τὶ || 28 ὡσ|ἀνεῖ || 29 πορθμὸν τὲ || 32 πρ͞ιάρχησ || 33 τεθησαυρισμένον — ἀλεξητή|ριον

παρθένον, μητέρα καὶ Θεοτόκον, «Χαίροις, ἄνασσα», λέγοντες, «μητροπάρθενον κλέος, ἡ τῆς ἀρχαίας ἀρᾶς τῷ τόκῳ σου τὸν κόσμον ἐλευθερώσασα, χαίροις τὸ ἔμψυχον τοῦ Θεοῦ καὶ καθαρώτατον ἐνδιαίτημα, ἡ τὴν ἡμῶν τῶν βροτῶν οὐρανώσασα φύσιν, τὸ δυσανάβατον ὕψος χαίροις καὶ δυσθεώρητον βάθος, ἐν ᾧ τὸ μέγα καὶ ξένον ἐτελεσιουργήθη μυστήριον· σὲ δοξάζομεν ὡς αἰτίαν δόξης τῆς κρείττονος· σὲ μεγαλύνομεν τὴν τὸ γένος ἡμῶν μεγαλύνασαν· σὺ f. 225 γὰρ εἶ πηγὴ τῆς || ὄντως ζωῆς, σὺ τοῦ σύμπαντος ἡ σωτηρία. σὺ νέμοις βασιλεῖ ἡμῶν τῷ φιλοθέῳ καὶ φιλαρέτῳ μόνιμον καὶ διαρκὲς τὸ βασίλειον, ἰσχυρὰν κατ' ἐναντίων καὶ γενναίαν τὴν χεῖρα, χρηστὴν ζωὴν καὶ μηκίστην, ἄληκτον χαρὰν καὶ δόξαν αἰωνίαν, ἡλίου λάμψιν τῆς τριφεγγοῦς οὐσίας, πάντων ἀγαθῶν ἀκηράτων τὴν δόσιν καὶ βασιλείας Θεοῦ τὴν κληρουχίαν· ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

+ Τέλ(ος) τοῦ Αὐγούστου μηνός.
δόξα τῷ Θεῷ τῷ σελυτρώσαντί με.

---

1 ἄνασα || 1—2 μητροπαθ́ρνον || 2 *legitur* ... αρασ, *tribus litteris consulto erasis* || 10 κατεναντίων || 17 σέλυτρώσαντί

APPENDIX.

Sigla codicum,

quibus usi sumus ad textum constituendum.

*M*¹. Codex Mosquensis bibl. Synod. 9/IX (382 Vlad.), a. 1063 scriptus.

*M*². Codex Mosquensis bibl. Synod. 159/CLXI (383 Vlad.) s. XI.

*M*³. Codex Mosquensis bibl. Synod. 159/CLX (390 Vlad.) s. XII.

N. Nicetae diaconi *Συναγωγὴ ἐξηγήσεων εἰς τὸ κατὰ Λουκᾶν ἅγιον Εὐαγγέλιον*. Ed. A. M[ai], Scriptorum veterum nova collectio e Vaticanis codicibus edita. Tomus IX (Romae MDCCCXXXVII), pp. 626 sqq. (rep. Migne, P. Gr. v. CXV, coll. 531 sqq.).

Μηνὶ τῷ αὐτῷ [scil. Αὐγούστῳ] ιε'. *f. 159v*

ΛΟΓΟΣ

διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, τῆς θεοπρεποῦς τε γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ ὅσα μέχρι τῆς ζωηφόρου αὐτῆς συνέδραμε τελευτῆς, προσέτι καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος καὶ ὅπως ὁ μέγας οὗτος πλοῦτος χριστιανοῖς τεθησαύρισται.

1. Ἐχρῆν ἀληθῶς τὴν παρθένον, ὥσπερ αὐτὴ Θεοῦ πρὸς ἀν- *col. 2* *θρώπους ἐπιφοιτᾶν μέλλοντος ἄξιόν τι καὶ θεοπρεπὲς εὑρέθη κατοικητήριον, οὕτω νῦν ἐκείνην εἰς ἐγκωμίων ὑπόθεσιν ἡμῖν προκειμένην ἀξίας εὐπορῆσαι γλώττης, τὰ αὐτῆς ἀστείως διηγουμένης, προσήκοντά τε τὸν ἔπαινον αὐτῇ προσφερούσης· ἐπεὶ δὲ ὅσῳ μέγα τοῦτο, τοσούτῳ δὴ σχεδὸν καὶ ἀδύνατον, ὅπως ἡμῖν ἰσχὺς προθυμητέον πλέξαι τὴν εὐφημίαν· οἶδε γὰρ καὶ αὐτή, τοῖς τοῦ παιδὸς εἴκουσα νόμοις, φίλον ἡγεῖσθαι τὸ κατὰ δύναμιν. λεκτέον τοιγαροῦν καὶ διηγητέον ἀκριβῶς, ὅθεν τε προῆλθε καὶ τίσιν ἐκείνη γονεῦσιν ἐχρήσατο, ἀνατροφῇ τε καὶ ἀγωγῇ καὶ πέρατι || βίου, ἀλλὰ καὶ ὅσα* *f. 160* *περὶ αὐτὴν συνῆλθεν ἐκ θειοτέρας οἰκονομίας καὶ λόγων ἀρρήτων. εἰ δὲ ὁ λόγος καὶ ἄλλα τινὰ συμπεριλαμβάνει καὶ ἀναγκαίως διέξεισιν, οὐκ ἔξω λόγου τὸ πεπραγμένον· πρὸς γὰρ αὐτὴν ἅπαντα τὴν ἀναφορὰν ἔχει καὶ δόξα ταύτης ἐστὶ καὶ ἐγκώμια. ὧν ἡ διήγησις οὐκ ἀμάρτυρος ἡμῖν οὐδ' ἀνέγγυος, οὐδ' ἐκ τῶν ἐπιτυχόντων ἔσται προσώπων λαμβανομένη, ἀλλ' ἣν ἄνδρες ἀξιόχρεω καὶ πολλὴν μετὰ τοῦ λόγου καὶ πολιτείας ὥραν εἰσενεγκόντες συνέταξαν φιλοπόνως, Γρηγόριόν φημι τὸν Νύσσης, τὸν Ἀλεξανδρείας Ἀθανάσιον, Διο-*

Excripsi e *M*1 et contuli cum *M*2 et ***M*3**, quorum ille totam orationem continet (ff. 142v sqq.), hic narrationem tantum de translatione vestis S. Deiparae (capp. 44—52, ff. 226 sqq.). Inspexi etiam Nicetae diaconi *Συναγωγὴν* (*N*), quae excerpta praebet e capp. 5—14 et 23—25.

6 *μέχρη* ***M*1** || 8 ***in fine tituli M*1 *habet*** *κύ(ριε) εὐ(λ)ό(γησον)* || 18 *τὲ* ***M*1** || ibid. *βίου* ***vox evanida in M*1** || 20 *συμπαραλαμβάνει* ***M*2** || 23 *οὐδεκτῶν* ***M*2** || 26 *γρηγόριον φημὶ* ***M*1**

νύσιόν τε τὸν Ἀρεοπαγίτην καὶ ἄλλους συχνούς, οὔτε τὸν λόγον, ὡς [col. 2] ὁ λόγος δηλῶν ἔφθα|σεν, εὐκαταφρονήτους καὶ τὸν βίον ἐπιεικῶς θαυμασίους, καὶ τό γε μεῖζον, ἣν αὐτὸ τὸ θεηγόρον διέξεισιν εὐαγγέλιον.

2. Αὐτίκα γοῦν ὁ θεῖος Γρηγόριος ἐν τῷ λόγῳ, ὃς εἰς τὴν Χριστοῦ γέννησιν αὐτῷ συνετάχθη [1]), τοιάδε περὶ ταύτης διαλαμβάνει, ἤκουσα, λέγων, ἀποκρύφου τινὸς ἱστορίας, τοιαῦτα παρατιθεμένης τὰ περὶ αὐτῆς διηγήματα· ἐπίσημος ἦν ἐν τῇ κατὰ τὸν νόμον ἀκριβεῖ πολιτείᾳ καὶ γνώριμος ἐν τοῖς καλλίστοις ὁ τῆς παρθένου πατήρ· ἄπαις δὲ κατεγήρα τὸν βίον, ὅτι αὐτῷ πρὸς τεκνογονίαν οὐκ ἐπιτηδείως εἶχεν ἡ σύνοικος. ἦν δέ τις ἐκ τοῦ νόμου τιμὴ ταῖς μητράσιν, ἧς οὐ μετεῖχον αἱ ἄγονοι. μιμεῖται τοίνυν καὶ αὐτὴ τὰ περὶ [f. 160v] τῆς μητρὸς τοῦ Σαμουὴλ διη||γήματα [2]) καὶ ἐντὸς τοῦ ναοῦ τῶν ἁγίων γενομένη ἱκέτις γίνεται τοῦ Θεοῦ μὴ ἔξω πεσεῖν τῆς ἐκ τῶν νόμων εὐλογίας, ἐξαμαρτάνουσα περὶ τὸν νόμον οὐδέν, γενέσθαι δὲ μήτηρ καὶ ἀφιερῶσαι Θεῷ τὸ τικτόμενον. δυναμωθεῖσα δὲ νεύματι θείῳ πρὸς τὴν χάριν, ἣν ᾔτησεν, ἐπειδὴ ἐτέχθη τὸ παιδίον, ὠνόμασε μὲν αὐτὴν Μαριάμ, ὡς ἂν καὶ διὰ τῆς ἐπωνυμίας τὸ θεόσδοτον διασημανθείη τῆς χάριτος, ἀνδρυνθεῖσαν δὲ ἤδη τὴν κόρην, ὡς μηκέτι δεῖσθαι προσανέχειν τῇ θηλῇ, ἀποδοῦναι τῷ Θεῷ καὶ πληρῶσαι τὴν ἐπαγγελίαν καὶ προσαγαγεῖν τῷ ναῷ· τοὺς δὲ ἱερεῖς τέως μὲν καθ᾽ ὁμοιότητα τοῦ Σαμουὴλ ἐν τοῖς ἁγίοις ἀνατρέφειν [col. 2] τὴν | παῖδα, αὐξηθείσης δὲ βουλὴν ἀγαγεῖν, ὅ τι ποιήσαντες τὸ ἱερὸν ἐκεῖνο σῶμα οὐκ ἂν εἰς τὸν Θεὸν ἐξαμάρτοιεν· τὸ μὲν γὰρ ὑποζεῦξαι τῷ νόμῳ τῆς φύσεως καὶ καταδουλῶσαι αὐτὴν διὰ τοῦ γάμου τῷ ἀγομένῳ τῶν ἀτοπωτάτων ἐδόκει· ἱεροσυλία γὰρ ἄντικρυς ἐνομίσθη θείου ἀναθήματος ἄνθρωπον γενέσθαι κύριον, ἐπειδὴ κυριεύειν ἐκ τῶν νόμων ὁ ἀνὴρ ἐτάχθη τῆς συνοικούσης [3]). τὸ δὲ τοῖς ἱερεῦσιν ἐντὸς τῶν ἀνακτόρων συναναστρέφεσθαι γυναῖκα καὶ ἐν τοῖς ἁγίοις ὁρᾶσθαι οὔτε νόμιμον ἦν, καὶ ἅμα τῷ πράγματι τὸ σεμνὸν οὐ προσῆν.

3. Βουλευομένοις δὲ αὐτοῖς περὶ τούτων θεόθεν γίνεται συμ- [f. 161] βουλὴ δοῦναι μὲν αὐτὴν || ἀνδρὶ μνηστείας ὀνόματι, τοῦτον δὲ τοιοῦτον εἶναι, οἷον πρὸς φυλακὴν τῆς παρθενίας ἐπιτηδείως ἔχειν. εὑρέθη τοίνυν ὁ Ἰωσὴφ οἷον ἐπεζήτει ὁ λόγος, ἐκ τῆς αὐτῆς φυλῆς τε καὶ πατριᾶς τῇ παρθένῳ, καὶ μνηστεύει κατὰ συμβουλὴν τῶν ἱερέων ἑαυτῷ τὴν παῖδα· ἡ δὲ συνάφεια μέχρι μνηστείας ἦν· τότε

13 γινομένη M^1 || 21 καθομοιότητα M^2 || 35 τὲ M^1 || 36 ἡ δὲ μνηστεία μέχρι μυσταγωγεῖται M^1

1) Vide inter dubia opera Gregorii Nysseni, Patr. Gr. v. 46, col. 1138 sqq. || 2) 1 Reg. 1, 1 sqq. || 3) Gen. III, 16.

μυσταγωγεῖται παρὰ τοῦ Γαβριὴλ ἡ παρθένος· τὰ δὲ ῥήματα τῆς μυσταγωγίας εὐλογία ἦν· «Χαῖρε, κεχαριτωμένη», φησίν, «ὁ κύριος μετὰ σοῦ». ἀπ' ἐναντίας τῇ πρώτῃ πρὸς τὴν γυναῖκα φωνῇ νῦν γίνεται πρὸς τὴν παρθένον ὁ λόγος· ἐκείνη λύπας ἐν ταῖς ὠδῖσι διὰ τὴν ἁμαρτίαν κατεδικάσθη, ἐπὶ δὲ ταύτης ἐκβάλλεται διὰ τῆς χαρᾶς | ἡ λύπη. ἐπ' ἐκείνης αἱ λῦπαι τῆς ὠδῖνος ἡγήσαντο, ἐνταῦθα col. 2 *δὲ χαρὰ τὴν ὠδῖνα μαιεύεται. «Μὴ φοβοῦ» φησίν· ἐπειδὴ γὰρ πάσῃ γυναικὶ φόβον παρέχει τῆς ὠδῖνος ἡ προσδοκία, ἐκβάλλει τὸν φόβον ἡ τῆς γλυκείας ὠδῖνος ἐπαγγελία. «Ἐν γαστρὶ λήψῃ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν»* 1).

4. *Τί οὖν ἡ Μαρία; ἄκουσον καθαρᾶς παρθένου φωνήν· ἄγγελος τὸν τόκον εὐαγγελίζεται, κἀκείνη τῇ παρθενίᾳ προσφύεται, προτιμοτέραν τὴν ἀφθαρσίαν τῆς ἀγγελικῆς ἐμφανείας κρίνουσα· καὶ οὔτε τῷ ἀγγέλῳ διαπιστεῖν ἔχει, οὔτε τῶν κεκριμένων ἐξέρχεται. «Ἀπείρηταί μοι» φησὶν «ἀνδρὸς ὁμιλία· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα || οὐ γινώσκω»; αὕτη τῆς Μαρίας ἡ φωνὴ ἀπόδειξις τῶν κατὰ* f. 161v *τὸ κρύφιον ἱστορουμένων ἐστίν· εἰ γὰρ ἐπὶ γάμῳ παρείληπτο παρὰ τοῦ Ἰωσήφ, πῶς ἂν ἐξενίσθη τῷ τὸν τόκον αὐτῇ προμηνύοντι, πάντῃ καὶ πάντως μήτηρ αὐτὴ γενέσθαι προσδεχομένη κατὰ τὸν νόμον τῆς φύσεως; ἐπειδὴ δὲ τὴν ἀφιερωθεῖσαν τῷ Θεῷ σάρκα, οἷόν τι τῶν ἁγίων ἀναθημάτων, ἀνέπαφον ἔδει φυλάττεσθαι, διὰ τοῦτο «Κἂν ἄγγελος ἦς» φησί, «κἂν οὐρανόθεν ἥκῃς, κἂν ὑπὲρ ἄνθρωπον ᾖ τὸ φαινόμενον, ἀλλὰ τὸ γνῶναί με ἄνδρα τῶν ἀμηχάνων ἐστί· πῶς οὖν ἔσομαι μήτηρ χωρὶς ἀνδρός; τὸν γὰρ Ἰωσὴφ μνηστῆρα οἶδα, ἄνδρα δὲ οὐ γινώσκω». τί οὖν ὁ νυμφοστόλος Γαβριήλ; οἵαν παστάδα τῷ καθαρῷ | καὶ ἀμιάντῳ περιίστησι γάμῳ; «Πνεῦμα»* col. 2 *φησὶν «ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι»* 2). *ὢ μακαρίας σαρκὸς ἐκείνης, ἣ δι' ὑπερβολὴν καθαρότητος τὰ τῆς ψυχῆς ἀγαθὰ πρὸς ἑαυτὴν ἐπεσπάσατο. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων μόλις ἂν ψυχὴ καθαρὰ πνεύματος ἁγίου παρουσίαν δέξαιτο, ἐνταῦθα δὲ δοχεῖον τοῦ πνεύματος ἡ σὰρξ γίνεται. ἀλλὰ καὶ «ἡ δύναμις τοῦ ὑψίστου ἐπισκιάσει σοι·» τί τοῦτο σημαίνει δι' ἀπορρήτων ὁ λόγος; Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, φησὶν ὁ ἀπόστολος* 3). *τοῦ οὖν ὑψίστου Θεοῦ ἡ δύναμις, ἥτις ἐστὶν ὁ Χριστός, διὰ τῆς ἐπελεύσεως τοῦ ἁγίου πνεύματος ἐμμορφοῦται τῇ παρθενίᾳ· καθάπερ γὰρ ἡ τῶν σωμάτων σκιὰ || τῷ τύπῳ τῶν προηγου-* f. 162

3 *ἀπεναντίασ* M^1M^2; *ἡ πρώτη—φωνῇ* M^2 || 4 *ὠδίσι* M^1M^2 || 16 *ἡ om.* M^2 || 21 *διατοῦτο* M^1M^2 || 22 *ἄγγελοσ ᾖ* M^2 || 23 *τὸ φαινόμενον ᾖ* M^2 || 31 *ἡ σὰρξ δοχεῖον τοῦ πνεύματοσ γίνεται* M^2

1) Luc. 1, 28—31 || 2) ibid. 34—35 || 3) 1 Cor. 1, 24.

μένων συσχηματίζεται, οὕτως ὁ χαρακτὴρ καὶ τὰ γνωρίσματα τῆς τοῦ υἱοῦ θεότητος ἐν τῇ δυνάμει τοῦ τικτομένου διαφανήσεται, εἰκὼν καὶ σφραγὶς καὶ ἀποσκίασμα καὶ ἀπαύγασμα τοῦ πρωτοτύπου διὰ τῆς τῶν ἐνεργειῶν θαυματοποιίας δεικνύμενος. καὶ ταῦτα μὲν ὁ θεῖος Γρηγόριος· τὰ δ' ἄλλα τό τε ἱερὸν εὐαγγέλιον καὶ ἄλλοι θεοφιλεῖς, οὕς τε πρὸς ὄνομα ἔφημεν καὶ ὧν ὀνομαστὶ μὴ ἐμνήσθημεν, διδάσκουσι φιλαλήθως.

5. Τούτων οὖν ὡς ἤκουσεν ἡ παρθένος, εὐθὺς ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῇ πνεύματος διαυγασθεῖσα τὸν νοῦν ἀσμένως τε διετέθη τῷ ἐπαγγέλματι καὶ «Ἰδοὺ ἡ δούλη κυρίου» φησὶ πρὸς τὸν | col. 2 ἄγγελον, «γένοιτό μοι κατὰ τὸ ῥῆμά σου» [1]), ἅμα τήν τε ἀκρίβειαν εἰς ὅσον ἔδει πρὸς τὴν τοῦ ἀγγέλου φωνὴν φυλάξασα καὶ μὴ πλέον μετὰ τὴν ἀξιοπιστίαν τῶν εἰρημένων ἑλομένη διαπιστεῖν· ἀλλὰ τῷ μὲν τῆς προμήτορος τὴν ἀπάτην διαφυγοῦσα, τῷ δὲ τὸ δυσπειθὲς ἐκκλίνασα Ζαχαρίου καὶ πέρα τοῦ καλῶς ἔχοντος.

6. Ὁ μὲν οὖν ἄγγελος ἀπῆλθε, φησίν, ἀπ' αὐτῆς. ἀκόλουθος δέ σοι μετὰ μικρὸν ἥ τε μετὰ σπουδῆς τῆς Μαρίας πρὸς τὴν ὀρεινὴν ἄφιξις καὶ ἡ πρὸς τὸν οἶκον Ζαχαρίου ταύτης εἰσέλευσις· ἔσπευσε γὰρ συνησθῆναι τῇ Ἐλισάβετ, ἅτε δὴ μαθοῦσα πρὸς τοῦ ἀγγέλου τὴν καινὴν αὐτῆς σύλληψιν. πρόσεισι τογαροῦν καὶ ἀσπάζεται φι- f. 162v λο‖φρόνως· ὁ δὲ ἀσπασμὸς σκίρτημα τοῦ ἐν γαστρὶ βρέφους τῆς Ἐλισάβετ ἡδὺ γίνεται· καὶ γὰρ ἀπὸ γαστρὸς ἐμάνθανεν ἤδη τὸν ἐν γαστρὶ δεσπότην ὁ δοῦλος καὶ τὴν εἰς τὸν κόσμον αὐτοῦ πάροδον ᾐσθημένος ὑπερφυῶς ἥσθη· τοῦτο γὰρ τὸ ἐν ἀγαλλιάσει σκίρτημα φανερῶς ἐδήλου. μὴ λάθοι δέ σε μηδὲ τὸ λίαν εὐλαβές τε καὶ ὑποχωρητικὸν Ἐλισάβετ μετὰ θαυμαστῆς τῆς προρρήσεως. διαπορεῖ γὰρ τὴν τῆς παρθένου ἐπιστασίαν, ὡς ὑπὲρ ἀξίαν αὐτῆς οὖσαν, «Πόθεν μοι τοῦτο» λέγουσα, καθάπερ ὁ παῖς ἐκείνης τὴν τοῦ δεσπότου κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος. ἤδη δὲ καὶ μη- col. 2 τέρα ταύτην καὶ κυρίαν ἑαυτῆς ὀνομάζει, | ἀλλὰ καὶ εὐλογημένην ἐν

6 οὖσ τὲ M^1 || 8 Ὡς γὰρ ἤκουσε τούτων, εὐθὺς N || 11 ῥῆμασου M^1, ῥῆμα σου M^2N || 16 φὴ(σιν) ἀπῆλθεν M^2 || 19—20 τῇ Ἐλισάβετ τὰ τῆς καινῆς ταύτης συλλήψεως εὐαγγέλια· πρόσεισι κτλ. N; πρόσεισοι M^2 || 21 τοῦ ἐν γαστρὶ αὐτῆς βρέφους N || 24 αἰσθόμενοσ M^2; ἥδετο N || 25 εὐλαβέσ τὲ M^1 || 25—30 τὸ λίαν μέτριόν τε — μετὰ καὶ θαυμαστῆς — ἥδεῖτο γὰρ — οὖσαν αὐτῆς καὶ διὰ ταῦτα διαποροῦσα, πόθεν — λέγει, καθάπερ καὶ ὁ παῖς ἐκείνης πρὸς τὴν δεσποτικὴν ἐποίει προσέλευσιν, καὶ σὺ ἔρχῃ πρός με, λέγων, κατὰ τὸν καιρὸν τοῦ βαπτισματος; ὅρα δὲ πῶς καὶ προαγορεύει καὶ μητέρα ταύτην ἤδη κτλ. N

1) Luc. 1, 38.

γυναιξὶ λέγει καὶ τὸν κυοφορούμενον ἐν αὐτῇ καρπὸν κοιλίας παραδόξως καλεῖ, ἅτε σπέρματος ἀνδρὸς μηδὲν κεκοινωνηκότα.

7. Τίς δὲ καὶ ἡ τῆς θαυμαστῆς Μαρίας πάλιν θαυμαστὴ προαγόρευσις, ὑπὸ τῶν γενεῶν ἔσεσθαι προαδομένη πασῶν; οὐ μακαρίζει γὰρ ἑαυτὴν τύφῳ κινηθεῖσα κενῷ, οὐδὲ γλώσσῃ κοινῇ φθέγγεται ταῦτα, ἀλλὰ θείῳ πνεύματι λειτουργούσῃ αὐτὸ τὸ εἰς ἀεὶ τελούμενον προθεσπίσασα· καὶ μεγαλύνει δὲ τὸν Θεὸν ἡ Μαρία, ὅτι τε πιστεύει δεικνῦσα διὰ τὴν τῆς Ἐλισάβετ φωνήν· «Μακαρία» γάρ φησιν «ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λαληθεῖσιν || αὐτῇ παρὰ κυ- f. 163 *ρίου»* [1]*, καὶ ὅτι μεγάλῳ τοιούτῳ ὑπηρετεῖ πράγματι. ἀλλὰ ταῦτα μὲν οὕτως. εἶχε δὲ ἡ τῆς Ἐλισάβετ οἰκία ὡσεὶ μῆνας τρεῖς τὴν Μαριὰμ σύνοικον, εἶθ' οὕτως ὑπέστρεψε, φησίν, εἰς τὸν οἶκον αὐτῆς· οὕτω γάρ με διδάσκει τὸ εὐαγγέλιον* [2]*· τί οὖν τῇ Μαριὰμ βούλεται ἡ παραμονή; τυχὸν μὲν καὶ τοῦ παραδόξου κατανοῆσαι τὴν ἔκβασιν. ἠπορεῖτο γάρ, ὡς εἰκός, τοῖς καθ' ἑαυτήν, καὶ ἔκπληξις εἶχε ταύτην οὐχὶ μετρία. ἔθιμον δὲ ὂν ὑποχωρεῖν τὰς παρθένους, ἐπειδὰν μέλλοι τίκτειν ἡ ἐν γαστρὶ ἔχουσα (δεῖ γὰρ καὶ τοῦτο σκοπεῖν), ἤδη καὶ τῆς Ἐλισάβετ τόκου ὥραν ἐχούσης, ἡ Μαρία, καίτοι ἀτε|χνῶς οὖσα* col. 2 *ἔγκυος, ἀλλ' οὖν ἐξίσταται ὡς παρθένος καὶ εἰς τὸν οἶκον τὸν ἑαυτῆς ἐπάνεισιν. ἐπεὶ δὲ καὶ ἐπανῆλθεν, ἀλλαχοῦ μὲν οὐδαμοῦ, ἐκεῖ δὲ τὸ μετὰ ταῦτα διάγουσα ἦν, ἕως ἐγγίζειν ἤδη τὸν τῆς κυοφορίας καιρὸν ἔγνωκεν.*

8. Ἀλλὰ τῷ Ἰωσὴφ ἡ τῆς παρθένου γαστὴρ εἰς ὄγκον ἀρθεῖσα (ἠγνόει γάρ, ὅτι πνεύματος ἦν ἁγίου) λογισμοὺς ἐνῆκεν οὐκ εὐπρε-

2 ἀποκαλεῖ· τί τοῦτο σημαίνουσα; ὅτι σπέρματος ἀνδρὸς οὐδαμῶς ἐκοινώνει **N** || 3 τί δὲ **M²** || 6 λειτουργοῦσα **N** || 7 τὲ **M¹** || 9—10 ἡ πιστεύσασα τοῖς λελαλημένοις—καὶ ὡς μεγάλῳ **N** || 11—12 Εἶχε μὲν ἡ τῆς Ἐλισάβετ οἰκία τὴν παρθένον ἔνοικον περὶ μῆνας τρεῖς· ἠβούλετο δὲ αὐτῇ ἡ παραμονὴ τυχὸν μὲν κτλ. **N** || 16 οὐχὶ **M¹N**, οὐχ ἡ **M²** || ibid. **inter** οὐχὶ μετρία **et** ἔθιμον **haec habet N** *(p. 633)*: τυχὸν δὲ καὶ συνησθῆναι **[sic]** τῇ Ἐλισάβετ τὰ τοιαῦτα μεγαλεῖα καὶ εὐαγγέλια· ὅτου δὲ χάριν ἐπὶ τρεῖς μῆνας καὶ μὴ πλέον ἡ συνοικία, ἢ πάντως ὡς τίκτειν μελλούσης τότε τῆς Ἐλισάβετ; εἰ γὰρ περὶ τὸν ἕκτον μῆνα τοῦ ταύτην δὴ συλλαβεῖν ἡ τοῦ ἀγγέλου γέγονε πρὸς τὴν παρθένον ἀποστολή, αὐτὴ δὲ γενομένη πρὸς Ἐλισάβετ μῆνας τρεῖς παρ' αὐτῇ διαμένῃ, εὔδηλον ὅτι τοῦ χρόνου τῆς συλλήψεως, ὃν ὁ ἔνατος περιγράφει μήν, πέρας ἔχοντος, εἰς τὸν αὐτῆς οἶκον ἐπάνεισιν ἡ παρθένος· καὶ τούτου τυχόν, διὰ τὸ μέλλον ἀπαντᾷν πλῆθος εἰς τὸν Ζαχαρίου οἶκον, τόκου μὲν ὥραν τῆς Ἐλισάβετ ἐχούσης· τῆς δὲ παρθενικῆς ταῦτα αἰδοῦς οὐκ ἀνεχομένης· ἔθιμον δὴ ὂν κτλ. || 16 μέλλῃ **N** || 17 ἡ **om. N** || 19—20 ὡς παρθένος ἐξίσταται· ἐπεὶ δὲ καὶ εἰς τὸν οἶκον τὸν ἑαυτῆς ἐπανῆλθεν, ἀλλαχοῦ κτλ. **N** || 21 μετὰ τοῦτο **N** || 22 ἔγνωμεν **M¹** || 24 εὐπρεπεῖ **M²**

1) Luc. 1, 45 || 2) ibid. 56.

πεῖς. ταύτῃ τοι καὶ λαθραίαν αὐτῇ τὴν ἀπόλυσιν ᾠκονόμει, ἅτε δίκαιος ὤν, φησί, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι[1]· *οὕτω δίκαιος, ὡς μὴ μόνον μὴ κολάσαι βούλεσθαι, καίτοι γε τοῦ νόμου τοῦτο κελεύοντος*[2]*, ἀλλὰ μηδὲ φανερὸν τὸ πρᾶγμα θέσθαι μηδὲ ἐκπομπεῦσαι.* f. 163v *τοῦ||το γὰρ τὸ παραδειγματίσαι βούλεται. ταῦτα δέ, φησίν, αὐτοῦ ἐνθυμηθέντος ἀφικνεῖται ὁ ἄγγελος λύων ἑτοίμως τὴν ἀπορίαν. ἔδει γὰρ μηδὲν ὅλως ὑβριστικὸν ἢ ἐπίμωμον ὑποστῆναι τὴν παντὸς μώμου καθαρωτάτην. ὁποία δὲ καὶ ἡ τοῦ ἀγγέλου φωνὴ πρὸς τὸν Ἰωσήφ; «Ἰωσήφ, υἱὸς Δαυίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου»*[3]*. υἱὸν Δαυὶδ ἐκεῖνον καλεῖ τί βουλόμενος ἕτερον, ἢ ἀναμνῆσαι πάντως αὐτόν, ὅθεν ὁ Χριστὸς ἔμελλε προελθεῖν. εἰπὼν δὲ «μὴ φοβηθῇς» δείκνυσι δεδοικότα, μὴ καὶ προσκρούσῃ Θεῷ, μοιχαλίδα εἴσω τῆς οἰκίας ἔχων. ταύτῃ τοι καὶ «τὴν γυναῖκά σου» καθαρῶς ὀνομάζει, περιαιρῶν τὴν ὑπόνοιαν. οὐδὲ γάρ,* col. 2 *εἰ διέφθαρτο, πάν|τως γυνὴ ἂν ἐκείνου ἐλέγετο· ὅτι δὲ γυναῖκα ἐνταῦθα τὴν μνηστὴν λέγει, πειθέτω σε ἡ γραφή, καὶ πρὸ τοῦ γάμου τοὺς μνηστῆρας γαμβροὺς ὀνομάζουσα. πῶς δὲ καὶ ἐπιτρέπει παραλαβεῖν τὴν ἤδη παρειλημμένην καὶ εἴσω μένουσαν; εὔδηλον, ὅτι κατὰ νοῦν αὐτῷ σαφῶς ἀπολέλυτο καὶ θύραζε ἦν. ἔοικεν οὖν ἐκεῖνος αὐτὴν ὑπό γε τῆς τοῦ ἀγγέλου φωνῆς τῷ Ἰωσὴφ ἄρτι παραδιδόναι ὃ καὶ τῷ μαθητῇ ταύτην ἐπὶ σταυροῦ παραδοὺς ὕστερον. τὸ γὰρ ἐν αὐτῇ γεννηθέν, φησίν, ἐκ πνεύματός ἐστιν ἁγίου. ἐκ περιουσίας λύει τὴν ἀγωνίαν· οὐ γὰρ μόνον φησίν· ἄθικτος παρανόμου μίξεως ἡ παρθένος, ἀλλὰ καὶ φύσεως κρείττων καὶ ὑπὲρ ἄνθρωπον* f. 164 *|| ἡ κυοφορία· ὥστε οὐ φόβου μόνον ἀπηλλάχθαι δεῖ, ἀλλὰ καὶ εὐφροσύνης ὑποπεπλῆσθαι. σὰ ταῦτα μεγαλεῖα, παρθένε, καὶ σὲ δοξάζων ὁ δυνατὸς ὑπερφυῶν πραγμάτων οἰκονομίας πεποίηκεν.*

9. *Πλὴν ἀλλὰ τὰ τῆς προφητείας ὁ λόγος ὅπως εἴληφε πέρας, τῆς μὴ ἐκλείψειν ἄρχοντα ἐξ Ἰούδα μηδὲ ἡγούμενον ἐκ τῶν μηρῶν ἐκείνου, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, αὐτὸν δὲ εἶναι προσδοκίαν ἐθνῶν*[4]*, περὶ τοῦ Χριστοῦ δηλαδὴ τοῦτο λεγούσης, διασαφεῖν ὥρμηται. τότε γὰρ ἐκεῖνος ἐπιφοιτᾷ, ὅτε λοιπὸν ἐπιλελοιπότες ἦσαν οἱ Ἰουδαϊκοὶ ἄρχοντες καὶ ὑπὸ τὰ σκῆπτρα ἤδη τὰ τῶν Ῥωμαίων γενό-*

1—2 *ἅτε οὕτω δίκαιος ὤν, ὡς μὴ μόνων κτλ.* **N** || 2 *ὢν φησι* **M¹M²** || 4—5 *ἀλλὰ μὴ δὲ* [sic] *παραδειγματίσαι, τουτέστι φανερὸν — ἐκπομπεῦσαι* **N** || 5 *δέ φησιν* M¹, *ταῦτα δὲ αὐτοῦ φη(σιν)* M², *φησιν* **om. N** || 7 *ἢ* **om. N** || 8—23 **quae sunt inter** *ὁποία* et *λύει τὴν ἀγωνίαν* **om. N** || 8 *ὁποῖα* **M²** || 10 *γυναῖκα σου* **M¹M²** || 22 *γεννηθέν φησιν ἐκ πνσ ἐστὶν* **M¹M²** || 29 *ἐξ Ἰούδα θεσπιζούσης* **N** || 30 *ὃ ἀπόκειται καὶ* **M²** || 31 *δηλαδὴ καὶ τοῦτο* **N**

1) Matth. 1, 19 || 2) Levit. 20, 10 || 3) Matth. 1, 20 || 4) Gen. II, 10.

μενοι· ὁμοῦ τε γὰρ ὁ Χριστὸς τίκτεται καὶ ἀπογραφὴ πρώτη ἐκείνη γί|νεται, κρατησάντων Ῥωμαίων τοῦ Ἰουδαίων ἔθνους καὶ ὑπὸ col. 2 *ζυγὸν τῆς βασιλείας δηλαδὴ τῆς οἰκείας αὐτοὺς ἐνεγκόντων. Ἀντίπατρος γὰρ ὁ Ἡρῴδου πατὴρ τοῦ Ἰουδαίας ἄρξαντος ὕστερον ἐξ Ἀραβίας ἄγεται γυναῖκα, Κύπριν ὄνομα, ἣ παίδων αὐτὸν τεσσάρων πατέρα ποιεῖ· ὧν εἷς οὗτος ὁ Ἡρῴδης ἦν. μᾶλλον δὲ τρανότερον, ὡς οἷόν τε, τὰ τοῦ πράγματος δηλωτέον.*

Ὑρκανοῦ γὰρ τοῦ ἀδελφοῦ Ἀριστοβούλου μετὰ καθαίρεσιν Ἀριστοβούλου τοῦ ἀρχιερέως, ὃς καὶ διάδημα μὲν βασιλικὸν περιέθετο, δέσμιος δὲ ὑπὸ Πομπηΐου στρατηγοῦ τῶν Ῥωμαίων σὺν ἅμα παισὶν εἰς Ῥώμην αἰσχρῶς παρεπέμφθη, ἡνίκα καὶ τελεῖν φόρους ἐτάχθη τοῖς Ἰουδαίοις, τούτου || δὴ τοῦ Ὑρκανοῦ ἀρχιερέως ὑπὸ f. 164v *Πομπηΐου ἀναδειχθέντος, ἔπειτα δὲ καὶ ὑπὸ Πάρθων ἑαλωκότος, Ἀντιπάτρου τε πρὸς δόλον ἀναιρεθέντος, ὃς Ἡρῴδου τοῦ μετὰ ταῦτα βεβασιλευκότος τῆς Ἰουδαίας πατὴρ ἦν, καὶ μηδενὸς ὄντος τοῦ τῶν ἐν Ἰουδαίᾳ πραγμάτων ἀντεχομένου, Ἡρῴδης οὗτος ὁ τοῦ Ἀντιπάτρου υἱὸς πάμπολλά τινα χρήματα δοὺς τοῖς Ῥωμαίοις καὶ ὑπόσπονδος αὐτοῖς γεγονὼς ἐγκρατὴς γίνεται τῆς ἀρχῆς. ὅθεν δὲ τοῦ πράγματος ἔσχε τὰς ἀφορμάς, ὁ λόγος ὡς οἷόν τε διὰ βραχέων ἐρεῖ.*

10. Αὐγούστου γὰρ Καίσαρος εἰς Αἴγυπτον ἀπιόντος μετὰ χειρὸς ὡς μάλιστα πλείστης πρός γε τὸν Κλεοπάτρας φημὶ | πόλε- col. 2 *μον (ἐπ᾽ αὐτῇ γὰρ καὶ τὰ τῆς ἐξουσίας Αἰγύπτου περιέστη, ἐκ τῶν Πτολεμαίων ἑλκούσῃ τὸ γένος, ὥσπερ ἄρα καὶ Ἰωσήπῳ δοκεῖ), πρόσεισιν αὐτῷ Ἡρῴδης οὗτος λειτουργίαν οὔτι μετρίαν ἐν στρατεύμασί τε καὶ ἀναλώμασι χορηγῶν. ἐπεὶ δὲ καὶ Κλεοπάτρα καὶ Αἴγυπτος ἐν χερσὶν ἦν Αὐγούστῳ δωδέκατον ἔτος ἤδη τῆς ἀρχῆς ἔχοντι, ἐπανιὼν αὐτὸς ἐπὶ Ῥώμην, Ἡρώδῃ τῆς θεραπείας ὥσπερ εἰκὸς ἀπομνημονεύων, βουλῇ τῆς Ῥωμαίων συγκλήτου βασιλέα τοῦτον τῆς Ἰουδαίας χειροτονεῖ, περιθεὶς καὶ διάδημα. ὃς ἐπιβὰς Ἱεροσολύμων, ἐπεὶ τοὺς Ἰουδαίους ἔγνω μὴ κατὰ γνώμην αὐτῷ διακειμένους, || ἀλλὰ τὸ ἀλλόφυλον εἶναι καὶ ἄλλως δύσχρηστον βαρυ-* f. 165 *νομένους αὐτοῦ τὴν ἀρχήν, ἐνίους μὲν αὐτῶν καὶ ἀπέκτεινε, τοὺς*

1 *γίνεται* pro *τίκτεται* *N* || 3 *ὑπὸ ζυγὸν τῆς οἰκείας βασιλείας* *N* || 5 *Κύπρον* *M*[1]; *ἥτις* pro *ἣ* *N* || 7 *τὰ τοῦ πράγματος ἄνωθεν δηλωτέον* *N* || 8—9 *μετὰ καθαίρεσιν Ἀριστοβούλου* om. *N* || 14 *τὲ* *M*[1]*N*; *πρὸς δόλων ἀναιρεθέντος, ὃν ἐπίτροπον αὐτὸς τῆς χώρας κατέστησεν, ὃς κτλ.* *N* || 17 *πέμπει πολλά τινα χρήματα* *N* || 22 *πρός τε* *N* || 22—24 *πόλεμον, εἰς ἣν περιέστη τὰ τῆς ἀρχῆς Αἰγύπτου, ἐκ τῶν — ἕλκουσαν* *N* || 28 *Ἡρώδου* *N* || 30 *καὶ* om. *N*; *ὅσπερ* pro *ὃς* *N* || 32 *τῷ* pro *τὸ* *N*

πλείστους δὲ κακῶς ἔδρασεν, ἠνδραποδίσατό τε τὴν πόλιν καὶ τὸ τοῦ Θεοῦ ἱερὸν ἀνοήτως καὶ μοχθηρῶς. κακῶς οὖν ἐκεῖνος τῇ ἐξουσίᾳ χρώμενος εἶτα καὶ παράσημόν τι προστίθησι καὶ δεῖγμα σαφὲς τῆς σφετέρας κακίας· πάσας γὰρ τὰς τῶν ἐν Ἰουδαίᾳ φυλῶν καὶ γενῶν δημοσίους ἀναγραφάς, αἳ ἀπὸ τοῦ Ἔσδρα ἐτύγχανον οὖσαι, φθόνου καὶ μανίας ἔργον ποιῶν πυρὶ δίδωσι· καὶ ὁ σκοπὸς ὡς κομιδῇ πονηρός· ἵνα μηκέτι τοῖς Ἰουδαίοις γνώριμον ᾖ, ἐκ ποίας οὗτοι τυγ-
col. 2 *χα|νουσι πατριᾶς, καὶ τίνες μὲν αὐτῶν οἱ ἠμεδαποὶ καὶ αὐτόχθονες, τίνες δὲ οὓς γειώρας εἴθιστο καλεῖν. πρὸς τοῖς ἄλλοις καὶ τὴν ἱερατικὴν στολὴν ἐν σκεύει δή τινι ἀποθέμενος καὶ σφραγῖδας ἐπιβαλών, ἀσήμοις ἀνδράσι, φεῦ, χρημάτων ὤνιον τὴν ἀρχιερωσύνην ἐτίθει. καὶ ταῦτα μὲν οὕτως.*

11. Ἤδη δὲ Καίσαρος Αὐγούστου δεύτερον ἔτος καὶ τεσσαρακοστὸν βασιλεύοντος, ἔξεισι παρ᾽ αὐτοῦ δόγμα, ἀπογραφὴν πάσῃ τῇ οἰκουμένῃ ἐγκελευόμενον[1]*. ἀπῄει τοιγαροῦν ἕκαστος εἰς τὴν ἰδίαν ἀπογράψασθαι πόλιν. ἔδει γὰρ τῇ πρὸς γῆν καθόδῳ τοῦ ἐν οὐρανοῖς βασιλεύοντος καὶ τοὺς τῆς γῆς ἄρχοντας λειτουργίαν εἰσενεγ-*
f. 165v *κεῖν·||καὶ ἐπεὶ τὸ δόγμα δηλαδὴ τῆς ἀπογραφῆς πρὸς τὴν σφετέραν ἕκαστον συνώθει πατρίδα, τούτῳ καὶ Ἰωσὴφ πειθόμενος ἐκ τῆς Γαλιλαίας, ἐκ πόλεώς φημι Ναζαρὲθ εἰς τὴν Ἰουδαίαν ἀφικνεῖται πρὸς Βηθλεὲμ πόλιν, ἣ πόλις ἐστὶ Δαυίδ, καὶ ἡ αἰτία τὸ εἶναι αὐτὸν ἐξ οἴκου φησὶ καὶ πατριᾶς (ὅπερ ἐστὶ συγγενείας) Δαυίδ. ἀφικνεῖται δὲ πρὸς ἀπογραφὴν σὺν τῇ θαυμασίᾳ ταύτῃ γυναικῶν Μαρίᾳ, οὔσῃ ἐγκύῳ. καὶ γὰρ ἡ μὲν Γαλιλαία χώρα τίς ἐστι Παλαιστίνης, ἡ δὲ Ναζαρὲθ πόλις τῆς Γαλιλαίας, πάλιν ἡ Ἰουδαία χώρα τις οὕτω προσαγορευομένη, ἡ Βηθλεὲμ δὲ πόλις τῆς Ἰουδαίας. τὸν*
col. 2 *μέντοι Χριστὸν οἱ προφῆται πάντες οὐκ ἀπὸ τῆς Ναζαρέθ, ἀλ|λ᾽ ἀπὸ τῆς Βηθλεὲμ ἔφασκον ἥξειν κἀκεῖ τεχθήσεσθαι. κεῖται γοῦν σοι καὶ παρὰ πόδας ἡ προφητεία· «Καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα»*[2]*, καὶ τὰ ἑξῆς δῆλά σοι ποιείτω τὸ εὐαγγέλιον*[3]*.*

Ἐπεὶ οὖν φανερὸν ἅπασιν ἦν ἀπὸ τῆς Βηθλεὲμ τὸν Χριστὸν

3 *παράσιμον* **M¹M²** || 4 *ἐνἰουδαῖα* **M²** || 7 *μὴκέτι* **M¹** || 10 *σφραγίδας* **M¹N** | 11 *ὤινιον* **M¹** || 13 *εἴδη* pro *ἤδη* **M²** || 15 **inter** *ἐγκελευόμενον* **et** *ἀπῄει* **haec habet** *N* (**p.** *636*): *ἤγουν φορολογίαν· καὶ ταύτην Κυρηνίῳ τινὶ ὡς εὐνουστάτῳ καὶ πρώτῳ τῆς συγκλήτου βουλῆς, ὁ Καῖσαρ ἐνεχείρισεν, ὃν καὶ κατέστησεν ἡγούμενον Συρίας ἤ τοι τῆς Ἰουδαίας·* || 17 *λειτουργίας N* || 20 *πόλεωσ φημὶ* **M¹M²** || 20, 25, 27 *Ναζαρὲτ N* || 21 *τῶ* pro *τὸ* **M²** || 22 *ὁπέρ ἐστι* **M¹M²**, *ὅ ἐστι N* || 28 *θαυμασιωτάτη γυναικῶν N* || 26 *ἡ* om. *N* || 28 sqq. ***quae sunt inter*** *κεῖται γοῦν* ***et*** *στρέφοντος (p. 355 v. 6)* ***aliter habet N p. 637.***

1) Luc. 2, 1 || 2) Mich. V, 2 || 3) Matth. 2, 6.

ἔρχεσθαι, Ἰωσὴφ δὲ καὶ Μαρία, τῆς Βηθλεὲμ ὄντες πολῖται, ταύτην ἀφέντες, οἷα δὴ πολλοῖς πολλάκις συμβαῖνόν ἐστι, καὶ παρέντες τὰς ἐνεγκούσας, ἀλλοτρίαν μᾶλλον οἰκεῖν εἵλοντο, ἀπολιπόντες κἀκεῖνοι τὴν Βηθλεὲμ εἰς Ναζαρὲθ ᾤκουν· συνώθει δέ, ὥσπερ εἴρηται, τὸ δόγμα καὶ ἄκοντας αὐτοὺς εἰς τὴν Βηθλεέμ, τοῦ || Θεοῦ f. 166 *παραδόξως οἰκονομοῦντος ταῦτα καὶ στρέφοντος.*

12. Ἐκεῖ τοίνυν διὰ τὴν ἀπογραφὴν γενομένοις ἐπλήσθησαν, φησίν[1]*), αἱ ἡμέραι τοῦ τεκεῖν τὴν παρθένον, καὶ τίκτει τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ σπαργανοῖ τὸν ἀόριστον καὶ παρὰ τὸ μὴ εἶναι τόπον αὐτοῖς ἐν τῷ καταλύματι, — ὢ τῆς ἀφάτου σου, Χριστέ, δι' ἐμὲ πτωχείας, — ἐν τῇ φάτνῃ τὸν τῆς τροφῆς ἁπάσης χορηγὸν ἀνακλίνει, τὸν μηδαμοῦ χωρούμενον ἡ ἀπορρήτως χωρήσασα. πολλῶν γὰρ πολλαχόθεν πρὸς τὴν ἀπογραφὴν ὥσπερ εἰκὸς συρρεόντων τοὺς τόπους τε δηλαδὴ προκαταλαμβανόντων καὶ πολλὴν ἐντεῦθεν τοῖς ἔσχατον ἐπιγινομένοις περιποιούντων | τὴν στένωσιν, ἐκεῖνον* col. 2 *οὕτω μετὰ τῶν ἄλλων καὶ τόπου διαπορούμενον ἡ φάτνη δέχεται, τὸν πτωχείαν ἑλόμενον ἐξ ἀρχῆς καὶ ταύτην ἐν ἑαυτῷ τιμήσαντα. ἀλλὰ καὶ ποιμένες, φησίν, ἦσαν ἐν τῇ χώρᾳ ταύτῃ, φυλακὰς περὶ νύκτα ποιούμενοι· οἷς καὶ ἄγγελος Θεοῦ ἐπέστη καὶ δόξα κυρίου αὐτοὺς περιέλαμψεν· ἐπεὶ δὲ κατάφοβοι γεγόνασι τῷ θεάματι (ἐφοβήθησαν γάρ, φησί, φόβον μέγαν), ὁ ἄγγελος ὡς μὴ καθ' ὥραν ἐπελθόντα τὸν φόβον ἔξω ποιεῖ, «Μὴ φοβεῖσθε» λέγων· «ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ», οὐκ Ἰουδαίοις μόνοις, ἀλλ' ἅπασι. πρόσθες ἔτι τρανοτέραν τὴν τῆς χαρᾶς || δή-* f. 166v *λωσιν· «ὅτι» φησὶν «ἐτέχθη ὑμῖν σωτήρ, ὅς ἐστι Χριστὸς κύριος, ἐν πόλει Δαυίδ». ἵνα δὲ θεόθεν οὖσα κρίνοιτο καὶ ἀψευδὴς ἡ φωνή, παραχρῆμα ἡ πίστωσις· ἐξαίφνης γὰρ σὺν τῷ ἀγγέλῳ καὶ αἶνος ἐκ πλήθους ἀγγελικῆς ἠκούετο στρατιᾶς, «Δόξα ἐν ὑψίστοις Θεῷ» λεγόντων «καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία»*[2]*).*

2 *συμβαῖνον ἐστὶ* **M¹M²** || 3 *ἀλλοτρίασ* **M²** || 9 *τὸν πρωτότοκον ἡ ἀμίαντος κόρη καὶ κτλ.* *N (p. 646)* || 10 *ὢ* **om. M¹, alia manu in margine add. M²** || 11 *τῆς* **om. M¹** || 12 *ἀπορρήτως* **M¹M²**, *ἀχωρήτως N* || 14 *τόπους — προκαταλαμβανόντων* **om.** *N* || 15 **inter** *στένωσιν* **et** *ἐκεῖνον* **haec addit** *N: ὢ τῆς δι' ἐμὲ στενοχωρίας καὶ ξενιτείας τοῦ διὰ πάντων χωροῦντος καὶ πᾶσαν κτίσιν ἐμπεριέχοντος* || 16 *μετὰ τῶν ἄλλων οὕτω* **N; post** *διαπορούμενον N* **addit:** *οὐχ εὑρίσκει γὰρ τόπον οὐδὲ κατάλυμα* || 17 **quae post** *τιμήσαντα* **addit** *N*, **non exscribo** || 18 *Ποιμένες δέ, φησιν, ἦσαν N* || 20—21 *ἐφοβήθησαν—μέγαν* **om.** *N* || 21 *καθώραν* **M²** || 23—24 *χαρὰν, ἥ τις ἔσται, οὐκ ἰουδαίοις — καὶ προστίθησι τρανότερον τὴν τῆς χάριτος δήλωσιν N* || 25—29 *ὅς ἐστι — εὐδοκία* **om.** *N*

1) Luc. 2, 6, 7 || 2) ibid. 8—15.

13. Ποῖα δὲ ἄρα ἦν καὶ ἅπερ ἡ θαυμαστὴ συνετήρεις Μαρία καὶ εἰς καρδίαν συνέβαλλες; ἢ πάντως ὅσα τε εἰρήκει πρὸς σὲ ὁ ἄγγελος καὶ ὅσα δὴ πάλιν οἱ ποιμένες εἶπον· ταῦτα εἰς καρδίαν αὐτὴ συντιθεῖσα καὶ τοῦτο ἐκείνῳ συγκρίνουσα πρὸς ἓν ἑώρας συνᾴδοντα πάντα, ὅτι Θεὸς πρὸς ἀλήθειαν ὁ ἐκ σοῦ γεννηθεὶς καὶ col. 2 *σὲ θαῦμα | δείξας οὐρανῷ καὶ γῇ μὴ χωρούμενον. ὃς καὶ περιτομὴν δέχεται, βεβαιῶν τὴν πρὸς Ἰουδαίους αὐτοῦ συγγένειαν, ὥστε μὴ πρόφασιν ἀρνήσεως αὐτοῖς ὑποσχεῖν. περιτέμνεται δὲ κατὰ τὴν ὀγδόην, εἴτ' οὖν τὴν κυριακήν, καθ' ἣν ἡ ἀνάστασις, ἐν ᾗ καὶ Ἰησοῦς ὀνομάζεται· σωτηρίαν δὲ τοῦτο σημαίνει λαοῦ, ὃ καὶ πρὸ τῆς συλλήψεως ὁ ἄγγελος τῇ παρθένῳ προλέγει· «Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γάρ» φησι «σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν»*[1]*. εἶτα καὶ τὸν τοῦ καθαρισμοῦ πάλιν ἀναμένει καιρόν· ὅτε γὰρ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθα-* f. 167 *ρισμοῦ αὐτῶν, φησί, κατὰ τὸν νόμον Μωσέως (πλήρωσις δὲ || ἡμερῶν ἡ τεσσαρακοστὴ ἦν), ἀνήγαγον τὸ παιδίον Ἰησοῦν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται, καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου· ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν*[2]*).*

14. Πλὴν οὐ χεῖρον καὶ τὸ δοκοῦν ἐναντιολογεῖσθαι τοῖς εὐαγγελισταῖς ἐπιλῦσαι. πῶς γάρ, φησί, Ματθαῖος μὲν μετὰ τὴν γέννησιν εἰς Αἴγυπτον ἀπάγει τὸν Ἰησοῦν[3]*), οὗτος δέ, ὁ θεῖος δηλονότι Λουκᾶς, μετὰ τεσσαράκοντα διέλευσιν ἡμερῶν εἰς Ἱεροσόλυμα· οὐδὲν ἀπᾷδον λέγοντες ἀλλήλοις, οὔτε μὴν τῇ ἀκολουθίᾳ τοῦ πράγματος |* col. 2 *προσιστάμενον· δεύτερον γὰρ ἔτος ἤδη μετὰ τὴν γέννησιν παρελθὸν εἰς Αἴγυπτον ὁ Χριστὸς ἀπάγεται, Λουκᾶς τοίνυν τὰ ἐντὸς τούτου γενόμενα καὶ ἃ παρῆκε Ματθαῖος, τὰ τῆς περιτομῆς λαμβάνει καὶ τοῦ καθαρισμοῦ καί φησι· «Καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐν Ἱερουσαλήμ, ὄνομα αὐτῷ Συμεών», καὶ ὅτι ὁ ἄνθρωπος δίκαιος καὶ ὅτι πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ. ἀλλὰ «καὶ ἦλθεν ἐν τῷ πνεύματι» φησίν «εἰς τὸ*

1 *Ποῖα γὰρ ἦν ἕτερα, ἅπερ κτλ.* N *(p. 648)* || 2 *ἢ—τὲ* **M¹M²**N || 5—6 *συνᾴδοντα πάντα, καὶ μίαν εὑρίσκες ὦ μῆτερ σοφίας τὴν συμφωνίαν· ὅτι θεὸς — δείξας παρὰ πάντα ταῦτα, καὶ παρὰ πάντων τούτων συντιθεμένων, οὐρανῷ καὶ γῇ χωρούμενον, ἀλλὰ μὴ δὲ ἀξίως ὑμνολογούμενον* **(eis quae sequuntur omissis)** N || 21—29 *excerpsit* N *p. 653,* **ita incipiens:** *Ἐνταῦθα οὐκ ἄχαρι ἀλλὰ καὶ ἀναγκαῖον τὸ δοκοῦν κτλ.* **Post** *τοῦ καθαρισμοῦ (v. 29) alia habet* N, **quae non exscribo** || 21 *κατὰ το* **M²** || 22 *ἐπιλύσαι* **M¹**N || 29 *ὁ δὲ θεῖοσ* **M²** || 25 *ἀπάδον* **M¹**, *ἀπᾶδον* **M²** || 27 *Λουκᾶς δὲ* N

1) Matth. 1, 21 || 2) Luc. 2, 21—24 || 3) Matth. 2, 13, 14

ἱερὸν» καὶ ὅτι τὰς ἀγκάλας ὑπέσχεν αὐτῷ πρὸς ὑποδοχήν[1]). τί δέ σοι καὶ τὸ σωτήριον, ὅπερ ὁ πρεσβύτης ὀφθαλμοῖς τοῖς σοῖς ἐθεάσω; αὐτὸς ὁ ποθούμενος Ἰησοῦς. τοῦτο γὰρ διασαφεῖ καὶ τὸ ὄνομα· ἡτοίμαστο δὲ αὐτοῦ τὸ μυστήριον ἐπὶ σωτηρίᾳ πάντως || f. 167v *οὐκ Ἰουδαίοις μόνοις, ἀλλὰ καὶ τῷ κόσμῳ παντί· τοῦτο γὰρ τὸ πάντων τῶν λαῶν βούλεται, ὥσπερ δὴ καὶ τὸ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. ὅρα δέ μοι καὶ τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν· καὶ ἦν, γάρ φησιν, Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ[2])· τὴν μὲν μητέρα εἰπών, ἅτε δὴ καὶ ἀληθῶς οὖσαν, καὶ ἀπ' αὐτῆς καλέσας τῆς σχέσεως, τὸν δὲ ἀπὸ ψιλοῦ τοῦ ὀνόματος, ὡς πατέρα δοκοῦντα μέν, μὴ ὄντα δὲ πρὸς ἀλήθειαν· ταύτῃ τοι καὶ ἀμφοτέρους ὁ Συμεὼν εὐλογεῖ. ἀπολιπὼν δὲ τὸν Ἰωσὴφ πρὸς Μαριὰμ διαλέγεται, ὡς διακόνῳ γενομένῃ θείας |* col. 2 *βουλῆς· «Ἰδοὺ» γάρ φησιν «οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν καὶ εἰς σημεῖον ἀντιλεγόμενον»[3]). πῶς δὲ καὶ ληφθήσεταί σοι, τῷ φιλολόγῳ ἀκροατῇ, τὸ «Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία»[4]); τί ποτε ἄρα τὴν ῥομφαίαν ταύτην ὑποληπτέον; ἢ τὴν ἀμφιβολίαν, τὸν σκανδαλισμόν, τὸ πειρατήριον, ἅπερ ἐν τῷ καιρῷ τοῦ σταυροῦ τὴν αὐτῆς διῆλθε ψυχήν. καὶ σοῦ οὖν αὐτῆς, εἰ καὶ καλῶς τὰ τοῦ κυρίου ἄνωθεν ἐδιδάχθης, ἅψεταί τις σάλος, καὶ διακρίνουσα καθ' ἑαυτὴν ἔσῃ. εἰκὸς δὲ καὶ τὴν λύπην αἰνίξασθαι διὰ τῆς ῥομφαίας, ἥ γε κατὰ τὸν καιρὸν τοῦ πάθους συνέσχεν αὐτὴν ἀγνοοῦσαν, ὡς ||* f. 168 *καὶ αὐτοῦ θανάτου ἔσται περικρατής· ἐπεὶ καὶ τοῦτο δηλοῦν βούλεται τὸ «ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί», ὅτι μετὰ τὰ σκάνδαλα δηλαδὴ ταῦτα, ἃ τὴν καρδίαν τῶν μαθητῶν διέσεισε καὶ Μαρίας, βραχὺ τὸ ἐν μέσῳ, καὶ ταχεῖά τις ἐπέλαμψε παρὰ Θεοῦ θεραπεία, τὰς ψυχὰς αὐτῶν γαλήνης πληροῦσα καὶ πρὸς τὴν αὐτοῦ βεβαιοῦσα πίστιν τῷ μεγαλείῳ τῆς ἀναστάσεως.*

15. Πλὴν ἀλλ' ὁ λόγος ἡμῖν τῆς ἀκολουθίας ἐχέσθω καὶ ἃ παρέλιπεν ἐπαναλαβέτω πάλιν. «Τοῦ» γὰρ «Ἰησοῦ» φησὶ «γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως»[5]). ὁρᾷς; καὶ τὸν χρόνον ἡμῖν ὁ εὐαγγελιστὴς καὶ | col. 2 *τὸν τόπον καὶ τὸ ἀξίωμα*

2 *πρεσβύτοισ — ἐθεάσατο* M^2 || 5 *τὸ* **om.** M^2 || 6 *τοφῶσ* M^2 || 7—12 **excerpsit** *N (p. 652)* **ita:** *ὅρα δέ μοι — ἀκρίβειαν· τὴν μὲν γὰρ μητέρα εἶπεν, ἅτε — οὖσαν, ἀπ' αὐτῆς — ἀλήθειαν.* || 15 — 29 **excerpsit** *N (p. 652)*, **incipiens ita:** *Πῶς σοι τῷ φιλολόγῳ ἀκροατῇ ταῦτα ληφθήσεται; καὶ τί ποτε ἄρα τὴν τῆς ἁγίας παρθένου διῆλθε ψυχὴν κτλ.* || 17 *ἢ* M^1M^2N || 19 *εἰ* M^1N, *ἢ* M^2 || 24 *ἂν* **om.** M^2 || 31 *ἐπαναλαμβανέτω* M^2

1) Luc. 2, 25—27 || 2) ibid. 33 || 3) ibid. 34 || 4) ibid. 35 || 5) Matth. 2, 1.

δὲ ὁμοίως ἐπισημαίνεται. τὸ ἀξίωμα μέν, ἵνα πρὸς τὸν ἕτερον αὐτὸν Ἡρῴδην εὐκρινῶς ἀντιδιαστείλῃ, ὃς τὸν Ἰωάννην ἀνελὼν ἦν· ἐκεῖνος μὲν γὰρ τετράρχης ἐτύγχανεν ὤν, οὗτος δὲ βασιλεύς· τὸν τόπον δὲ καὶ τὸν χρόνον εἰς προφητείας ἡμᾶς παραπέμπων· ὧν τὴν μὲν Μιχαίας προέφη «Καὶ σύ, Βηθλεέμ», εἰπών, «γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα»[1]), τὴν δὲ ὁ πατριάρχης Ἰακώβ· «Οὐκ ἐκλείψει» γάρ φησιν «ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ»[2]).

Πόθεν δὲ καὶ τοῖς μάγοις ἐπῆλθε γῆν τοσαύτην τεμεῖν καὶ εἰς f. 168v *προσκύνησιν ἀφικέσθαι βρέφους ἐν || σπαργάνοις ἔτι κειμένου, καὶ ταῦτα ὑπὸ μητρὶ ἀσήμῳ καὶ πενιχρᾷ καὶ μηδὲν καλύβης πλέον ἐχούσῃ; ἢ δῆλον ὅτι Θεοῦ τὴν ψυχὴν αὐτῶν εἰς τοῦτο κινήσαντος. ὅρα γὰρ καὶ τὴν ἀρετὴν αὐτῶν ἐπίδηλον οὖσαν οὐκ ἀφ' ὧν ἦλθον μόνον, ἀλλὰ καὶ ἀφ' ὧν εὐτόλμως παρρησιάζονται· ἵνα γὰρ μὴ νομισθῶσιν ὑποβεβλῆσθαι, καὶ τὸν ὁδηγὸν λέγουσιν· «Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα», καὶ τὸ τῆς ὁδοῦ μῆκος «ἐν τῇ ἀνατολῇ» προστιθέασιν, εἶτα καὶ τὸ τῆς παρρησίας ἐπιφανές· «καὶ ἤλθομεν» φησὶ «προσκυνῆσαι αὐτόν»[3]), οὔτε τοῦ δήμου τὸν θυμόν, οὔτε τὴν τυραννίδα τοῦ βασιλέως ἐν λόγῳ θέμενοι. ὧν ἀκούσας Ἡρῴδης ἐταράχθη,* col. 2 *φησίν· ἐδεδοίκει γὰρ περὶ τῆς | ἀρχῆς καὶ διὰ τοῦτο καὶ εἰς αὐτὸν συνάγει τούς ἀρχιερεῖς τε καὶ γραμματεῖς τοῦ λαοῦ καὶ παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται, σὺν ἀκριβείᾳ πυνθάνεται.*

16. Θέα τοίνυν θαυμαστὴν πραγμάτων οἰκονομίαν καὶ ὅπως τοὺς ἐχθροὺς ἡ ἀλήθεια λαμβάνει συνηγοροῦντας· ἐπεὶ γὰρ πρὸς Ἰουδαίους ἡ ἐρώτησις ἦν, ποῦ ὁ Χριστὸς γεννᾶται, ἐν Βηθλεὲμ οὗτοι τῆς Ἰουδαίας, ὥσπερ ἦν, ἔλεγον καὶ τὸν προφήτην εὐθὺς ἔδοσαν μάρτυρα, σεμνύνοντά τε τὴν Βηθλεὲμ καὶ ἡγούμενον αὐτῆς ἐξελεύσεσθαι προαγγέλλοντα καὶ ὑπ' αὐτοῦ τὸν τοῦ Ἰσραὴλ λαὸν ποιμανθήσεσθαι. οὕτως οἱ πρὸς ἀλήθειαν δυσμενεῖς ἀναγκαίως f. 169 *εἶχον καὶ ἄκοντες τὴν προφητείαν δια||σαφεῖν, εἰ καὶ μὴ πᾶσαν. τὸ γὰρ ἑξῆς ὑπεκράτησαν, ὅπερ ἐστὶν ὅτι αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. τί τοῦτο δρῶντες; τῷ βασιλεῖ χαριζόμενοι. ὁ δὲ τί ποιεῖ; λάθρα τοὺς μάγους καλεῖ καὶ τὸν χρόνον ὁ μάταιος τοῦ φαινομένου ἀστέρος ἐξακριβοῖ, ἐπιχειρῶν ἤδη τὸ τεχθὲν ἀνελεῖν· ὅπερ οὐκ ἀνοίας μόνον, ἀλλὰ καὶ μανίας ἐσχάτης ἦν. οἷα γὰρ καὶ τοῖς μάγοις λάθρα κεκλημένοις διομιλεῖ[4])· «Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως*

12 ἢ M^1M^2 || 21 τέ M^1 || 31 ὅπέρ ἐστιν M^1M^2 || 34 ἀστέρος *om.* M^2 || 37 ἐπ' ἂν M^1, ἐπὰν M^2

1) Mich. V, 2 || 2) Gen. XLIX, 10 || 3) Matth. 2, 2 || 4) ibid. 8.

κἀγὼ ελθὼν προσκυνήσω αὐτό». ἐπίδηλος ἡ ἄνοια καὶ σαφής· εἰ μὲν γὰρ ἀληθεῖς οἱ λόγοι καὶ ὑγιῶς ἔχοντες, ὅτου | χάριν ἡ ἐν τῷ λεληcol. 2 θότι κοινολογία; εἰ δὲ σκαιόν τι στρέφων καὶ δολερὸν κρύπτεσθαι βούλει, πῶς οὐδὲ τοῦτο συνιδεῖν εἶχες, ὅτι ταύτῃ μᾶλλον ἁλίσκῃ τοῖς μάγοις κακουργῶν καὶ πονηρευόμενος τῷ λανθάνειν ἐπιζητεῖν.

Ἐντεῦθεν ὁ ἀστὴρ πάλιν ἐπιφανεὶς ὁδηγὸς αὐτοῖς ὥσπερ ἐξ ἀρχῆς γίνεται· ἐκρύβη γὰρ μετὰ τὸ φανῆναι πρὸς τῇ ἀνατολῇ, ἵν' ἐκεῖνοι τὸν χειραγωγὸν ἀπολέσαντες ἀναγκαίως ἐρωτήσωσιν Ἰουδαίους καὶ οὕτω πᾶσι τὸ πρᾶγμα φανερὸν γένηται. ἐπεὶ δὲ ἤδη καὶ διδασκάλους τοὺς ἐχθροὺς ἔσχον, πάλιν αὐτοῖς ἐπιφαίνεται.

17. Καὶ ὅρα, διὰ πόσων αὐτοὺς πιστοῦται τὸ πρᾶγμα· νῦν μὲν γὰρ ὁ ἀστὴρ αὐτούς, νῦν δὲ ὁ τῶν Ἰουδαίων || δῆμος, εἶτα ἡ τοῦ f. 169v βασιλέως ἐπιβουλή, πρὸς δὲ καὶ ἡ προφητεία διδάσκουσα τὸ φαινόμενον. εἶτα παραλαβὼν αὐτοὺς ὁ ἀστὴρ πάλιν ἐξ Ἱεροσολύμων, ἐπεὶ τῷ βασιλεῖ ἐκοινολογήσαντο, εἰς Βηθλεὲμ ὁδηγεῖ, οὐχ ἁπλῶς βαδίζων, ἀλλ' ἕλκων αὐτοὺς καὶ χειραγωγῶν ἐν ἡμέρᾳ μέσῃ, ἵνα σοι κἀντεῦθεν γνώριμον ᾖ, ὅτι μὴ τῶν πολλῶν ὁ ἀστὴρ οὗτος, μήτε τῆς ὁμοίας ὅλως τοῖς ἄλλοις ἀκολουθίας· διὰ τοῦτο γὰρ καὶ βαδίζων ἐξ Ἱερουσαλὴμ οὐ πρότερον ἵσταται, ἕως αὐτὴν ἤδη κατειλήφει τὴν φάτνην· ἐπεὶ δὲ τῷ παιδίῳ ἐπέστη, εὐθὺς ἔστη. διὰ τοῦτο καὶ τῷ νῦν μὲν κρύπτεσθαι, νῦν δὲ φαίνεσθαι, εἶτα δὲ καὶ φανέντα πάλιν ἵστασθαι μεί|ζονός τε δυνάμεως ἑαυτὸν ἢ κατὰ ἀστέρα ἐδείκνυ col. 2 καὶ αὐτοῖς προσθήκην ἐποιεῖτο πίστεως. ἀμέλει καὶ χαρὰν χαίρουσι μεγίστην, ὅτι τε τὸ ζητούμενον εὗρον καὶ μὴ ματαίαν τὴν ὁδὸν διηνύκασι καὶ ὅτι θεῖον τὸ γέννημα ἦν καὶ ὅτι ἄγγελοι κατέστησαν ἀληθείας. ἅπερ οὖν πάντα τῆς θαυμασίας κόρης διὰ τοῦ ἐξ αὐτῆς τεχθέντος Θεοῦ ἐγκώμια γίνεται καὶ γυναικῶν αὐτὴν ἐξαίρει τοῖς μεγαλείοις· ἐπεὶ δὲ καὶ οἰκίας εἴσω γεγόνασιν, εἶδον τὸ παιδίον, φησί, μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ[1]). τί δὲ καὶ μέγα θεασάμενοι προσκυνοῦσι, πάντων εὐτελείας οὐδεμίαν ἀπολιπόντων ὑπερβολήν; || τὸ f. 170 σπήλαιον ἄρα; τὴν φάτνην; τὰ σπάργανα; ἢ τὴν μητέρα τὴν οὕτω λίαν ἀφελῶς ἔχουσαν; τί οὖν τὸ ἐκπλῆξαν αὐτοὺς καὶ μὴ μόνον προσκυνῆσαι παρασκευάσαν, ἀλλὰ καὶ δῶρα προσενεγκεῖν, καὶ δῶρα τοιαῦτα, ἃ καὶ θεὸν οὗτον ἐδήλου καὶ βασιλέα· τοῦτο γὰρ βούλεται, τὸ μὲν ὁ χρυσός, τὸ δ' ὁ λίβανος· ἡ δὲ σμύρνα τὴν δι' ἐμὲ νέκρωσιν προγράφουσα ἦν. τί οὖν τὸ κινῆσαν αὐτούς; ἐκεῖνο, ὃ καὶ οἴκοθεν ἀναστῆναι καὶ ὁδὸν τοσαύτην τεμεῖν παρεσκεύασεν· ὁ

1 αὐτῷ M^2 || 9 φανερὸν τὸ πρᾶγμα M^2 || 13 διδάσκουσι M^2 || 20 διατοῦτο M^1M^2 || 21 τὸ νῦν M^2 || 30 οὐδὲ μίαν M^1M^2 || 33 παρεσκεύασαν M^1

1) Matth. 2, 11.

ἀστὴρ πάντως καὶ ἡ τῇ διανοίᾳ τούτων ἐγγενομένη παρὰ Θεοῦ ἔλλαμψις.

18. Ἀλλὰ τί ἦν εἰκὸς στρέφειν ἐν διανοίᾳ τὴν αὐτοῦ μητέρα col. 2 *ταυτὶ βλέ|πουσαν καὶ οἵου ἄρα παιδὸς γέγονε μήτηρ, ᾧ καὶ ἄνδρες ἐπιφανεῖς οὕτω προσῆλθον, ἀστέρι ὁδηγῷ χρώμενοι, καὶ προσεκύνουν ἐν αὐτοῖς σπαργάνοις καὶ δῶρα προσῆγον, οἰκείωσιν ὥσπερ τὴν πρὸς αὐτὸν θηρώμενοι καὶ μέγα τι τὸ ἐντεῦθεν ἑαυτοῖς μνηστευόμενοι; πῶς αὐτὴν ἔδει χαίρειν, πῶς ἐλλαμπρύνεσθαι; τίνας ἤδη τρυγᾶν τὰς ἐλπίδας οὐκ ἐκ τούτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν φθασάντων ἤδη συλλέγουσαν τὰ παράδοξα; τοιαῦτα ὁ παῖς αὐτῇ δίδωσι τὰ προοίμια· οὕτως ἀντιτίθησι τοῖς ταπεινοῖς τὰ περίβλεπτα, ἵνα μὴ σπή-* f. 170v *λαιον ὁρῶσα μόνον καὶ καλύβην καὶ φάτνην καὶ σπαργάνων εὐ||τέλειαν μικρὰ φαντάζηται κατὰ τὸ ἀκόλουθον καὶ τοῖς λογισμοῖς διακόπτηται, ἀλλὰ καὶ τὰ μεγάλα ταυτὶ σκοποῦσα πάλιν πρὸς ὕψος τε αἴρηται καὶ τοῦ καινοῦ τόκου ἑαυτὴν μακαρίζειν ἔχῃ· ὃ γὰρ ἐξ ἀρχῆς εἰωθὸς ἐκείνῳ ποιεῖν, τὰ ταπεινὰ καὶ ἄδοξα παραδόξως ἐπαίρειν, ὥσπερ ἔμπαλιν τὰ ὑπερήφανα ταπεινοῦν, τοῦτο γοῦν καὶ ἐφ' ἑαυτοῦ νῦν ποιῶν φαίνεται.*

19. Εἰς τί δὲ τοῖς μάγοις καὶ ἡ τοῦ μὴ ἀνακάμψαι πάλιν πρὸς Ἡρῴδην παραγγελία καὶ ἡ μικροπρεπὴς Χριστοῦ πρὸς Αἴγυπτον φυγαδεία, ὥσπερ οὐ δυνατὸν ἄλλως σώζεσθαι; μέλλει γὰρ Ἡρῴ- col. 2 *δης, φησί, ζητεῖν τὴν ψυ|χὴν τοῦ παιδίου*[1]*. ἢ ἵνα διὰ τῶν μικρῶν τούτων καὶ ἀνθρωπίνων αὐτός τε φανῇ σάρκα ἀνειληφέναι καὶ τὸ τῆς οἰκονομίας πιστευθῇ μέγεθος. διὰ τοῦτο οὐκ ἐκ πρώτης ἔγνω πρὸς πάντα θαυματουργεῖν· ἃ γὰρ γέγονεν ἐξ ἀρχῆς, διὰ τὴν μητέρα γέγονε πάντως, διὰ τὸν Ἰωσήφ, διὰ τοὺς ποιμένας, διὰ τοὺς μάγους· ὑπὲρ οὗ καὶ τοῖς μάγοις ὁ τοῦ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην χρηματισμός, καὶ ἵνα διδάσκαλοι πρὸς τάχος ἐκπεμφθῶσι τῇ Περσῶν χώρᾳ, καὶ ἡ τοῦ τυράννου διακοπῇ μανία, καὶ μάθῃ ἀνηνύτοις ἐπιχειρῶν. εἰ δὲ μὴ βελτίων γέγονεν, οὐ τῷ ταῦτα οἰκονομήσαντι,* f. 171 *ἀλλὰ || τῇ τῆς ἐκείνου μανίας ὑπερβολῇ τὸ ἔγκλημα λογιστέον· πρὸς τούτοις ἵνα καὶ σύ, ὅ γε κατὰ Χριστὸν ζῆν ᾑρημένος, οὐ μικρὰς πρὸς φιλοσοφίαν ἐντεῦθεν ἀφορμὰς εὕροις καὶ τὸ ἐκ προοιμίων εὐθὺς ἐν προσδοκίᾳ πειρασμῶν εἶναι καὶ πρὸς ἐπιβουλὰς ἐμπαράσκευον. παραλαβεῖν δὲ κελεύεται τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεύγειν εἰς Αἴγυπτον οὐχ ὡς πρότερον· τότε μὲν γὰρ τὴν γυναῖκά σου λέγει, νῦν δὲ μητέρα ταύτην καλεῖ, τοῦ τόκου ἤδη ἐκβάντος καὶ*

2 ἔλαμψισ M² || 7 μέγα τί M¹M² || 14 τὲ M¹M² || 17 γοῦν M¹ || 22 ἡ M¹M² || 24 διατοῦτο M¹M²; οὐδὲ ἐκ M² || 32 μικρᾶσ M¹M² || 34 ἐμπαράσκευοσ M²

1) Matth. 2, 13.

λυθείσης τῆς ὑποψίας· ἡ δὲ τῆς φυγῆς αἰτία φόβος ἐπιβουλῆς. θέα γοῦν τοῖς μεγάλοις πάλιν καὶ περιβλέπτοις τὰ ταπεινὰ συμπλεκό- col. 2 *μενα καὶ τοῖς ἡδέσι τὰ λυπηρά. μετὰ τὴν δι' ἀστέρος ὁδηγίαν, μετὰ τὴν ἐκείνων ὡς βασιλεῖ, μᾶλλον δὲ ὡς Θεῷ φερομένην προσκύνησιν καὶ τῶν δώρων προσαγωγὴν θανάτου φόβος καὶ ἄδοξος φυγὴ παρὰ τούτῳ, καὶ ὁ τὸν λαὸν αὐτοῦ σῶσαι προαγγελθεὶς οὐδὲ ἑαυτὸν σώζειν δυνατὸς φαίνεται· ἅτινα δὴ πάλιν πῶς ἂν διετίθει τὴν ψυχὴν τῆς παρθένου καὶ τί πρὸς ταῦτα διανοεῖσθαι ταύτην εἰκός; οὕτω καὶ ἐπὶ πάντων ἀκολούθως τῶν ἁγίων εὑρήσεις τοῖς κατὰ γνώμην ἀεὶ καὶ λυπηρὰ κεραννύμενα.*

20. Πλὴν ἀλλὰ ταύτῃ μὲν τὸν Χριστὸν Αἴγυπτος εἶχεν, Ἡρῴδης δὲ διαμαρτὼν τοῦ σκοποῦ τὸν θυμὸν || ὅλον κατὰ τῶν οὐδὲν ἠδικη- f. 171v *κότων παίδων ἐκρήσσει τρόπῳ τοιῷδε· τοὺς διαπαίξαντας ἀμυνόμενος, μᾶλλον δὲ τῇ κατὰ Χριστὸν μανίᾳ, ἣν διὰ τὸν τῆς ἀρχῆς φόβον εἶχε, κοινῇ κατὰ πάσης ὁρμᾷ τῆς φύσεως καὶ τοὺς ἐν Βηθλεὲμ ἅπαντας ἀναιρεῖ παῖδας, ἐν τῇ καθόλου ταύτῃ παιδοφονίᾳ καὶ τοῦ ἑνὸς πάντως ἐπιτυχεῖν οἰόμενος, καὶ ἵν' ἐκεῖνος φόβου λυθῇ, θρηνεῖν ἅπαντας ἀναλγήτως παρασκευάσας· ὃ καὶ εἰς ἄψυχα δρᾶσαί τις ἂν ἐφείσατο καὶ νεαρὰ φυτὰ βλέπων ἠλέησεν ἐκτεμεῖν. ἀλλ' ὁρᾶτε οἱ τῆς ἀρχῆς φίλοι καὶ ματαίας ἡττημένοι δόξης, ὅπως ἐκμαίνει τοὺς ἐραστὰς αὕτη καὶ ποῖ φέρεσθαι πείθει καὶ ποῖα|τολμᾶν* col. 2 *ἐκβιάζεται. ταύτην οὖν τὴν παιδοφονίαν καὶ Ἱερεμίας πολλοῖς πρότερον ἀναφωνεῖ χρόνοις καὶ τὴν τραγῳδίαν προαγορεύει καὶ Ῥαχὴλ κλαίουσαν τὰ τέκνα εἰσάγει καὶ παράκλησιν οὐ προσδεχομένην*[1]*), ὥστε οὐκ ἀγνοοῦντος δηλαδὴ τοῦ Θεοῦ ταῦτα ἐπράττετο, ἀλλὰ καὶ εἰδότος καὶ εἴργειν μὲν δυναμένου, παραχωροῦντος δὲ λόγοις ἀπορρήτοις.*

Ἀλλ' Ἡρῴδης μὲν οἰκείους ὧν εἴργασται δρεπόμενος τοὺς καρποὺς ὅλον τὸ σῶμα θεηλάτῳ πληγῇ βάλλεται καὶ κακὸς ὄντως κακῶς ἀπόλλυται, τετραχῶς αὐτοῦ τῆς βασιλείας διαιρεθείσης καὶ Ἀρχελάου μὲν Ἰου||δαίας ἄρχοντος, Ἡρῴδου δὲ καὶ Φιλίππου καὶ f. 172 *Λυσανίου τοῦ μὲν τῆς Γαλιλαίας, τοῦ δὲ τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος, τοῦ τελευταίου δὲ Ἀβιληνῆς τετραρχοῦντος*[2]*).*

21. Ἐπεὶ δὲ Ἡρώδης ἐξ ἀνθρώπων ἦν, ἄγγελος πάλιν ὄναρ τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ φαίνεται, παραλαβεῖν δὲ τὸ παιδίον μετὰ τῆς μητρὸς ἐπιτρέπει καὶ εἰς γῆν πορεύεσθαι Ἰσραήλ. πόσαι σοι, Χριστοῦ μῆτερ, τῶν συμπιπτόντων ἀνωμαλίαι; πόσαι τῶν πραγμάτων

8 *διανοεῖσθαι ταύτην πρὸς ταῦτα* M^2 || 12 *διαμαρτῶν* M^1M^2 || 16 *καθ' ὅλου* M^1 || 18 *δρᾶσαι τίσ* M^1, *δράσαι τίσ* M^2 || 23 *τὴν ῥαχὴλ* M^2 || 29 *ἀπώλλυται* M || 36 *μῆρ (scil. μήτηρ)* M^2

1) Ierem. II, 15 || 2) Luc. 3. 1; Matth. 2, 21.

μεταβολαί; ἰδοὺ γὰρ αὖθις λέλυσαι μὲν τῆς ὑπερορίας καὶ πρὸς τὴν οἰκείαν ἐπανέρχῃ χώραν καὶ τὸν κακῶς δράσειν ἐπιχειρήσαντα κακῶς (col. 2) αὐτὴ μᾶλλον εἶδες ἀπολωλότα. ἐπιβᾶσα δὲ τῆς οἰκείας | πάλιν διαδοχὰς εὑρίσκεις κακῶν καὶ τὸν υἱὸν ὁρᾷς τοῦ τυράννου, τὸν τοῦ υἱοῦ τοῦ σοῦ, φεῦ, ἐπίβουλον, ἀντ' αὐτοῦ βασιλεύοντα. πλὴν ἀλλ' ἔροιτ' ἄν τις τῶν φιλολόγων, πῶς Ἀρχέλαος Ἰουδαίας ἦρξε, Ποντίου τότε Πιλάτου ἡγεμονεύοντος; ἢ ὅτι ἔναγχος ἦν ἡ τελευτὴ γενομένη καὶ εἰς πολλὰ μήπω διαιρεθείσης τῆς βασιλείας ὁ υἱὸς ἐκείνου τέως τὴν ἀρχὴν εἶχεν· οὐ παρέλκουσα δὲ τῷ εὐαγγελιστῇ καὶ ἡ τοῦ πατρὸς προσθήκη (ἀντὶ Ἡρῴδου γάρ φησι [1]) τοῦ πατρὸς αὐτοῦ), ἀλλ' ὥστε τοῦτον πρὸς τὸν ἀδελφὸν ἀντιδιαστεῖλαι, ἅτε δὴ καὶ αὐτὸν Ἡρῴδην ὁμωνύμως καλούμενον.

(f. 172v) 22. Ἔρχεται || τοίνυν ὁ Ἰωσὴφ εἰς τὴν Ναζαρέθ, ὄναρ χρηματισθείς· οὕτω γὰρ Ματθαίῳ τῷ θείῳ δοκεῖ· ὁμοῦ τε τὸν κίνδυνον φεύγων καὶ τῇ πατρίδι ἐμφιλοχωρεῖν βουλόμενος, ἵνα καὶ μᾶλλον ἔχοι θαρρεῖν, καὶ χρηματισμὸν δέχεται παρὰ τοῦ ἀγγέλου. καὶ μὴν ὁ Λουκᾶς οὔ φησι κατὰ χρησμὸν αὐτῷ τὴν ἄφιξιν ἐκεῖσε γενέσθαι, ἀλλ' ὅτι τὸν καθαρμὸν πληρώσαντες πάντα πρὸς Ναζαρὲθ αὖθις ἐπανελθεῖν ἔγνωσαν [2]). πῶς οὖν λυτέον ἡμῖν τὸ ἀμφιλογούμενον; ὅτι τὸν χρόνον τὸν πρὸ τῆς καθόδου φημὶ τῆς εἰς Αἴγυπτον ἱστορῶν ὁ Λουκᾶς (οὐδὲ γὰρ πρὸ τοῦ καθαρμοῦ κατήγαγεν ἂν αὐτοὺς ἐκεῖσε, ἵνα μηδὲ παρὰ τὸν νόμον μηδ' ὁτιοῦν γένηται) ταῦτα (col. 2) φησίν· | ἔμενε γὰρ καθαρθῆναι πάντως, εἶτα εἰς Ναζαρὲθ ἐλθεῖν καὶ τότε δὴ καταβῆναι εἰς Αἴγυπτον· εἶθ' οὕτως ἀνελθόντες εἰς Ναζαρὲθ αὖθις ἐλθεῖν ἐγκελεύονται· πρὸ τούτου δὲ οὐδαμῶς ἦσαν χρηματισθέντες ἐκεῖσε φοιτᾶν, ἀλλ' ἐμφιλοχωροῦντες, ὥσπερ ἔφημεν, τῇ πατρίδι αὐθαιρέτως τοῦτ' ἔπραττον. ἐπεὶ γὰρ παρ' οὐδὲν ἕτερον ἡ ἀνάβασις, ἢ διὰ τὴν ἀπογραφήν, καὶ οὐδὲ στῆναι οὐδαμοῦ εἶχον, πληρώσαντες ἤδη διόπερ ἀνῆλθον, εἰς τὴν Ναζαρὲθ κατῆεσαν. ἀμέλει γοῦν καὶ ὁ ἄγγελος τὸ μετὰ ταῦτα διαναπαύων αὐτοὺς ἀποδίδωσι τῇ οἰκείᾳ, καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ τῆς προφητείας (f. 173) αὐτὸ πολλοῖς πρότε||ρον χρόνοις διασημηναμένης· ἵνα, γάρ φησι, τὸ ὑπὸ τῶν προφητῶν ῥηθὲν πληρωθῇ, ὅτι Ναζωραῖος κληθήσεται [3]). τὸ δὲ παιδίον, ᾗ φησιν ὁ θεῖος Λουκᾶς, ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ [4]). ταῦτα κατὰ τὸ ἀνθρώπινον εἰρῆσθαι δεκτέον.

7 πιλάτου τότε *M*²; ἢ *M*¹*M*² || 20 τὸν τῆσ προκαθόδου *M*² || 22 μὴ δὲ *M*¹*M*²; μηδοτιοῦν *M*¹, μηδὸ|τιοῦν *M*² || 24 ἀνελθόντασ *M*¹ || 27 παρουδὲν *M*²

1) Matth. 2, 22 || 2) Luc. 2, 39 || 3) Matth. 2, 23 || 4) Luc. 2, 40.

23. Ἐπεὶ δὲ καὶ δώδεκα ἔτη γεγονὼς ἦν, ἄνεισι μὲν ἅμα τοῖς γονεῦσιν εἰς Ἱερουσαλὴμ τὴν ἑορτὴν τοῦ πάσχα τελεσόμενος· ὡς δὲ ἐκείνη πέρας εἶχεν, αὐτοὶ μὲν ὑπέστρεφον, Ἰησοῦς δὲ ὑπομένει τούτους λαθών· καὶ οἱ μὲν ἐζήτουν, ὁ δὲ τριῶν ἡμερῶν ἄδηλος ἦν, εἶτα φανερὸς αὐτοῖς γίνεται ἐν τῷ ἱερῷ μὲν καθεζόμενος, ὁμοῦ δὲ | ἀκούων τῶν διδασκάλων καὶ πρὸς ἐκείνους διαλεγόμενος, *col. 2* ἐκπλήττων τε τοὺς ἀκροατὰς ἐν ταῖς ἀποκρίσεσι· κατὰ τοῦτο γὰρ καὶ τὸ κραταιοῦσθαι αὐτὸν πνεύματι καὶ σοφίᾳ προκόπτειν καὶ χάριτι, ὡς πολλοῖς τοιοῦτον ἀναφαινόμενον. λανθάνει δὲ τοὺς γονεῖς, ὥστε μὴ παρ᾽ αὐτῶν κωλυθῆναι τὴν πρὸς τοὺς νομομαθεῖς ἐκείνους διάλεξιν, εἰδότων ὥσπερ αὐτοῦ τὸ ἀγράμματον καὶ τοῦ μὴ προσπταίειν τοῖς λόγοις εὐλαβουμένων· ἢ τάχα καὶ διαφεύγων, μὴ δόξῃ τοὺς γονεῖς ἀτιμάζειν τῷ ἀπειθεῖν ἐγκελευομένοις τὰ ἀνθρώποις ἀκόλουθα· ὅρα δέ, ὅπως καὶ ἃ προσήκει παιδίῳ ποιεῖ· οὐ γὰρ διδάσκει || τοὺς νομομαθεῖς, καίτοι σοφίας χορηγὸς ὤν, ἀλλ᾽ *f. 173v* ἀκούει τε καὶ ἐπερωτᾷ μετὰ πολλῆς ἀμφότερα τῆς συνέσεως. ὅτου δὲ χάριν οὐ τὴν πρώτην, οὐ τὴν δευτέραν, ἀλλὰ τὴν τρίτην ὁ ζητούμενος εὑρίσκεται τοῖς γονεῦσι; τὴν ταφὴν ἐντεῦθεν ἴσως καὶ τὴν μετὰ τρεῖς ἡμέρας ἀνάστασιν προσημαίνων· τότε γὰρ τῷ τάφῳ καλυφθεὶς ἀναφαίνεται.

24. Ἀλλ᾽ ὅπως πάλιν ἡ θαυμασία μήτηρ σπλάγχνων μητρικῶν ἡττωμένη καὶ τέκνον αὐτὸν περιπαθῶς καλεῖ καὶ ὡς ἐγκαλοῦσα προτείνει τὴν μετ᾽ ὀδύνης ζήτησιν, «Ἰδοὺ» λέγουσα «ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε»[1]. διὰ τοῦτο καὶ περὶ πατρὸς ἐκείνης τοῦ δοκοῦντος εἰπούσης ὁ Χριστός, ὥσπερ | τὸ ῥηθὲν διορθούμενος, *col. 2* περὶ τοῦ ὄντως λέγει πατρός, εἰς ἔννοιαν αὐτὴν ἐμβάλλων τῆς ἀληθείας καὶ μὴ χαμαὶ βαίνειν, ἀλλ᾽ εἰς ὕψος αἴρεσθαι παρασκευάζων, «Οὐκ ᾔδειτε» λέγων, «ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με»[2]. οὕτω δείκνυσιν ἑαυτὸν ὄντα φύσει Θεόν, εἴ γε τῆς αὐτῆς φύσεως ὁ παῖς τῷ τεκόντι· ἐπεὶ δὲ τοῦ πατρὸς ὁ ναός, ἐν τοῖς τοῦ πατρὸς ἦν ἐκεῖνος, κἂν αὐτοῖς τὸ ῥῆμα συνετὸν οὔπω γίνεται. ὁ δὲ κάτεισι

1 Ὅμως, ὅτε δώδεκα ἐτῶν κτλ. N || 3 **inter** εἶχεν **et** αὐτοὶ **N inserit:** ἐν ἡμέραις ἑπτὰ τελουμένη || 5 ὁμοῦ τὲ N || 6 προσεκεί|νουσ — τὲ M^1 || 9 τοιούτοισ M^1M^2 || 12 ἢ ταῦτα τάχα N || 14 **inter** ἀκόλουθα **et** ὅρα **haec inserit N:** διὰ ταῦτα ὑπομένει λάθρα, καὶ οὐδὲ τοῖς γονεῦσιν αὐτοῖς γινώσκεται· ἵνα μηδέτερον, ἢ φανερὸς γενόμενος κωλυθῇ, ἢ καὶ ἀπειθῇ κωλυόμενος. ***Item in eis quae sequuntur multa e Geometra addit.*** || 21 Ἡ μὲν θαυμασία μήτηρ κτλ. N || 23 *post* ζήτησιν ***inserit quaedam aliunde*** N || 24 διατοῦτο M^1M^2 || 26 ὄντοσ M^2 || 30 τοῦ πατρὸσ ὁ ναός, ἐν τοῖς *om.* M^2 || 31 γέγονεν ***pro*** γίνεται N, ***multis posthac aliunde insertis. Mox habet:*** Κάτεισι μετὰ τῶν γονέων ἐξ Ἱερουσαλὴμ εἰς Ναζαρὲτ ὁ κύριος καὶ διατελεῖ κτλ.

1) Luc. 2, 48 || 2) ibid. 49.

μετ᾽ αὐτῶν εἰς τὴν Ναζαρὲθ καὶ διετέλει τούτοις ὑποταττόμενος, γονεῖς τιμᾶν παιδεύων ἐκ τοῦ οἰκείου καὶ ὅπερ αὐτὸς ἐντειλάμενος [f. 174] ἦν, τοῦτο πρῶτος πληρῶν καὶ τιμᾶν οὕτω διδάσκων γονεῖς, τι‖μᾶν δὲ πάντως μετὰ Θεόν· ἐκείνων γὰρ προτιμοτέραν εἶναι τὴν θεοσέβειαν· διὰ τοῦτο καὶ παραλιπὼν αὐτοὺς τῷ λαῷ προσμένει καὶ τὸν αὐτοῦ πόθον ἰσχυρότερον εἶναι δεῖν τοῦ φυσικοῦ κελεύει καὶ πατρικοῦ.

25. Ἀλλ᾽ ὅρα μοι καὶ αὖθις τὴν σοφωτάτην γυναικῶν Μαρίαν, τὴν μητέρα τῆς ὄντως σοφίας καὶ ἀπορρήτου γνώσεως. διετήρει, γάρ φησι, πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς [1]), ὥσπερ δὴ καὶ πρότερον ἐπὶ τῇ τῶν ποιμένων ἐπιστασίᾳ καὶ οἷς ἐκεῖνοι ἑωρακότες καὶ ἀκούσαντες ἐξηγόρευον· καὶ τότε γὰρ ὁ Λουκᾶς ταῦτα [col. 2] πάντα ἔφη τὴν Μαρίαν συντηρεῖν [2])· οὐ γὰρ ὡς παιδίῳ τινὶ | προσεῖχεν, ἀλλὰ περὶ πλείστου τὰ λεγόμενα ἐποιεῖτο, καὶ οὐδὲν ἦν τῶν παρ᾽ αὐτοῦ λεγομένων ἢ πραττομένων, ὃ μὴ ἄξιον αὐτὴ σπουδῆς ἐποιεῖτο καὶ εἰς καρδίαν ἔκρυπτεν ἐμμελῶς, σπέρματα εἶναι ταυτὶ καὶ μηνύματα θείων τινῶν καὶ ἀπορρήτων πραγμάτων καλῶς κρίνουσα.

26. Μετὰ ταῦτα τὸ βάπτισμα, μεθ᾽ ὃ καὶ θαυμάτων, ὥσπερ ὁ θεῖός φησιν Ἰωάννης [3]), ἀρχόμενος, ὃ πρῶτον ἐποίει, τὴν ἐν τῷ γάμῳ φημὶ τοῦ ὕδατος εἰς οἶνον μεταβολήν [4]), παρούσης τῆς μητρὸς ἐποίει καὶ γυναικείας, ὥσπερ εἰκός, παραπολαυούσης φιλοτιμίας· ἀμέλει καὶ πρώτη μὲν ὑπομιμνήσκει τοῦ οἴνου τὴν ἔνδειαν, ἀφορ[f. 174v]μὰς παρέχουσα τῷ παιδὶ ‖ πρὸς θαυματουργίαν· ὁ δὲ καὶ βαρέως δέχεται τὴν ὑπόμνησιν καὶ γύναικα ταύτην καὶ οὐ μητέρα καλεῖ δεικνύς, ὅτι μὴ προσήκει φιλοδοξίας εἴκειν θελήματι· διὰ τοῦτο καὶ δοκεῖ μὲν παραιτεῖσθαι, ποιεῖ δὲ ὅμως τὰ παρ᾽ αὐτῆς εἰσαγόμενα, τιμῶν ὡς μητέρα πάντως καὶ μισθοὺς ὥσπερ ἀποδιδοὺς αὐτῇ τῆς κυοφορίας. ὅρα δὲ κἀνταῦθα τῆς Θεομήτορος τὸ μέτριον ἀκριβῶς καὶ εὐσύνετον· οὐδὲ γὰρ θαρρούντως ὡς μήτηρ ἐπιτρέπει τῷ παιδὶ τὴν θαυματουργίαν, ἀλλὰ ψιλὴν ποιεῖται μόνην ὑπόμνησιν καὶ αὐτὴν λίαν εὐλαβῶς τε καὶ ὑφειμένως καὶ ὅσον αὐτῆς ἐμφῆναι τὸ [col. 2] βούλημα. τί γὰρ ὃ πρὸς τὸν παῖ|δα φησίν; «Οἶνον οὐκ ἔχουσιν». εἰ γὰρ καὶ υἱὸν ἐγίνωσκε ταύτης, ἀλλὰ καὶ ποιητὴν εἶναι τοῦτον αὐτῆς οὐκ ἠγνόει· καὶ διὰ τοῦτο ἅμα μὲν οἷον μήτηρ ἐστὶ βουλομένη δεῖξαι, ἅμα δὲ καὶ χάριν καταθέσθαι τοῖς κεκληκόσιν ὑποβάλλει συνετῶς

12—13 καὶ τότε γὰρ ταῦτα πάντα ἡ Μαρία συνετήρει N ‖ 13 Μαριὰμ M² ‖ 15 ἢ πραττομένων om. N ‖ 20 θεῖοσ φη(σιν) M¹M²; ὁ δὲ M¹ ‖ 22 παραλαβούσησ M¹ ‖ 26 et 35 διατοῦτο M¹M² ‖ 27 δ᾽ ὅμωσ M² ‖ 32 τὲ M¹

1) Luc. 2, 51 ‖ 2) ibid. 19 ‖ 3) Ioan. 2, 11 ‖ 4) ibid. 1 sqq.

τὴν θαυματουργίαν· εἶτα καὶ τοῖς διακόνοις «Ὅ τι ἂν λέγῃ ὑμῖν» ἔφη «ποιήσατε», περὶ τοῦ παιδὸς τοῦτο λέγουσα. ἤδη γὰρ ἐχώρει πρὸς γνῶσιν τῆς τοῦ υἱοῦ δυνάμεως, πολλῶν θεωρὸς παραδόξων γεγενημένη· ἃ καὶ συμβάλλουσα ἦν κατ' ὀλίγον ἐν τῇ καρδίᾳ, ὡς ἐκ τῶν προλαβόντων ἤδη καλῶς ἔγνωμεν.

27. Ἐπεὶ δὲ οὐδὲν ἕτερον ἡ προκειμένη ὑπό‖θεσις, ἢ τὸ δεῖξαι f. 175 *μόνον τῆς παρθένου τὰ μεγαλεῖα, ἓν δὲ καὶ τοῦτο πάντως ἔσται τῶν ἐκείνης καλῶν, εἰ δείξομεν ταύτην ἀπαραλείπτως συνοῦσαν τῷ ταύτης υἱῷ καὶ ἀεὶ προσεδρεύουσαν καὶ μηδ' ἐν τοῖς τῶν λυπηρῶν καιροῖς, μηδ' ἐν τοῖς τοῦ πάθους χωριζομένην, ὅτε καὶ μαθηταὶ καὶ φίλοι καὶ γνωστοὶ πάντες οἱ μὲν ὅλως ἀπολιπόντες αὐτὸν εἰς πόδας ἔβλεψαν, οἱ δὲ βραχὺ προσμείναντες ἐξηρνήθησαν. ἐπεὶ ταῦτα οὕτως ἔχει, ἀφέμενοι τῶν ἄλλων ἡμεῖς ἐκεῖνα λέγομεν. ὡς γὰρ ὁ καιρὸς τοῦ πάθους ἤδη παρῆν καὶ ἑαυτὸν ἐκεῖνος ἑκὼν παρεδίδου καὶ τῶν φωνούντων κατ' αὐ|τοῦ μέσος ἵστατο, ἤδη τε πρὸς Πιλᾶτον* col. 2 *ἀπήγετο καὶ Καϊάφᾳ παρίστατο καὶ Ἡρῴδῃ πρὸς ἐξέτασιν παρεπέμπετο καὶ τέλος ἡ κατ' αὐτοῦ ψῆφος ἐκράτει καὶ σταύρωσιν κατεκρίνετο, ἡ μήτηρ ὥσπερ ἐν τοῖς ἄλλοις νικῶσα τὰ γυναικῶν, οὕτω κἀνταῦθα μᾶλλον ἢ γυνὴ φαίνεται καὶ οὐδαμῶς ἐκείνου ἀφίσταται, ἀλλ' ἐγγυτέρα συνείπετο, φοβερὸν οὐδὲν ὑποπτήσσουσα, οὐ τῷ σπλάγχνοις τοσούτῳ νικᾶσθαι τοῖς μητρικοῖς, ὅσῳ τῷ κρίσει μᾶλλον ὑπάγεσθαι θειοτέρᾳ, ὡς καὶ τῶν γυναικῶν ἄλλας τε τὰς δύο φημὶ Μαρίας, ἣ διδάσκει τὸ εὐαγγέλιον 1), πρὸς τοῦτο παρακαλέσαι καὶ συνεῖναι πεῖσαι διὰ ‖ παντός, εὐγενεῖς ὄντως ψυχὰς ἐχούσας* f. 175v *καὶ προσκολλᾶσθαι βουλομένας τῷ ἀφανεῖ τούτῳ νυμφίῳ καὶ ἀοράτως ἐγγίζοντι· ἦσαν γάρ, φησι, καὶ γυναῖκες, αἳ καὶ συνηκολούθουν ἀπὸ τῆς Γαλιλαίας καὶ διηκόνουν αὐτῷ 2). ταύτῃ τοι δοκεῖ μηδὲ τοῦ τῶν μυστηρίων ἀπολειφθῆναι καιροῦ, ἀλλὰ συνανακλιθῆναι μὲν τοῖς δώδεκα οὐδαμῶς, οἰκίας δὲ τῆς αὐτῆς ἀκολούθως συμμετασχεῖν· τοὺς μὲν γὰρ μαθητάς, ἐπεὶ τά τε μυστήρια καὶ τὸ τῆς ὑψηλῆς ταπεινώσεως δίδαγμα παρεδίδου, συνανακλιθέντας εἶχε, τῇ δὲ τεκούσῃ τὴν τῶν διακονουσῶν γυναικῶν ἐπέτρεπεν ἐπιμέλειαν, ὥσπερ δι'αὐτῆς ἀναπληρῶν τὴν φιλοφροσύνην αὐταῖς καὶ συνεστιώμενος καὶ | οὕτω τὴν διακονίαν αὐτῶν ἀμειβόμενος.* col. 2

28. Οὕτω δ' ἂν καὶ πρὸς τὴν τοῦ Ἄννα καὶ Καϊάφα συνεισῆλθεν αὐλήν, τῶν τολμωμένων ἕκαστα βλέπουσα καὶ κρινομένῳ μὲν παραμένουσα, πρὸς θάνατον δὲ ἀπαγομένῳ συναπιοῦσα, τάς τε τῶν

13 *λέγωμεν* M2 || 14 *καὶ* om. M2 || 15 *φονώντων* M1M2; *Πιλάτον* libri || 15 et 22 *τὲ* M1 || 27 *μηδὲ* M1M2 || 33 *δὲ αὐτῇσ* M2 || 35 *συνῆλθεν* M2

1) Marc. 15, 40 || 2) cf. ibid. 41.

ἐκπορευομένων ἐξόδους, ἀλλὰ μὴν καὶ εἰσόδους κατανοοῦσα καὶ τοῖς ἁπάντων προσέχουσα στόμασι, ποίαν μὲν τὴν κατ' αὐτοῦ ἀπόφασιν εἶναι μάθοι, τίνες δὲ οἱ ταύτῃ συναινοῦντες ἢ καὶ μεμφόμενοι· ὁμολογούμενον γάρ, ὅτι τούτων ἁπάντων αὐτὴ θεωρὸς ἦν, ἐπεὶ καὶ τῷ σταυρῷ συμπαρῆν, ἡνίκα καὶ παρ' αὐτοῦ δὴ τοῦ σταυ- f. 176 ρωθέντος παιδὸς τῷ μαθητῇ παρετί||θετο. καὶ διὰ τοῦτο συνορᾶν ἔξεστι, τίς ἦν ἐκείνη τὰ χαλεπὰ ταῦτα βλέπουσα, τοὺς ἐμπαιγμούς, τὰς μάστιγας, τὰ ῥαπίσματα, τὴν τῆς πορφύρας ἔνδυσιν, τὴν τοῦ στεφάνου περίθεσιν, τὰ ἐμπτύσματα, τὴν ἐν ὕβρει περιαγωγήν, καὶ ποίαν ἄρα τὴν ψυχὴν εἶχε, χρὴ κατανοεῖν, εἴτε καὶ πρὸς υἱὸν κρίνεις ἁπλῶς, τὴν φυσικὴν τοῦ πάθους ἰσχὺν φέρουσα, εἴτε καὶ κρείττω γινώσκουσα τοῦτον ἢ κατὰ ἄνθρωπον, τῆς ἀνοχῆς θαυμάζουσα τὴν ὑπερβολήν, ἢ καὶ μᾶλλον ἀμφότερα, ὥστε καὶ πάθει κάμπτεσθαι φυσικῷ καὶ θαύμασι καταπλήττεσθαι.

29. Ἐπεὶ δὲ καὶ τὸν τοῦ κρανίου τόπον ὁ μιαιφόνοι κατέλαβον, col. 2 καὶ ὁ σταυρὸς μὲν κατεπήγνυτο, ὁ δὲ ταύ|της υἱὸς αὐτῷ προσηρτᾶτο, πῶς οἴει πάσχειν αὐτὴν τὴν ψυχήν, οὕτω πάσχοντα βλέπουσαν; πῶς ἑώρα τῶν ἐσθημάτων γυμνούμενον, ὃς νεφέλαις περιβάλλει τὸν οὐρανόν; πῶς ἥλοις τὰς ἀχράντους σάρκας διαπειρόμενον; πῶς οὐ κατὰ τῶν αὐτῆς μᾶλλον σαρκῶν ὠθεῖτο τὰ βέλη, ὡς καὶ πέρας ἐνταῦθα τὸ τοῦ θαυμαστοῦ Συμεὼν λαμβάνειν, τὸ «καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία»[1]. πῶς τῶν τοῦ αἵματος σταγόνων ἀπορρεόντων οὐ δριμύτεροι τῶν δακρύων ὀχετοὶ τῶν ὀφθαλμῶν ἐκείνης ἀπέρρεον; πῶς ἤνεγκεν ἐκεῖνον ὁρᾶν ἐν διατεταμένῳ τῷ τοῦ σταυροῦ σχήματι, πρὸς αὐτὴν ἅμα καὶ τοὺς παρόντας f. 176v ἡμερώτατον || βλέποντα; ἀλλὰ καὶ τὰ τῶν χλευαζόντων, ἀλλὰ καὶ τὰ τῶν διακωμῳδούντων, ἀλλὰ τὰ τῶν παραπορευομένων θεομισῆ σκώμματα, τοὺς τῶν ἀγνωμόνων μυκτηρισμούς, τοὺς τῶν περιισταμένων ὀνειδισμούς, ἅπερ ἅπαντα βαθυτέραν αὐτῇ τῶν ἥλων τὴν τομὴν ἐνεποίει, καὶ μυρίαις μὲν ἐβάλλετο ταῖς πληγαῖς, μυρίοις δὲ τοῖς κέντροις ἐπλήττετο· τοῦτο δὲ αὐτῇ τὸ πάντων ἀνιαρότατον, ὅτι προσεγγίσαι μὲν ἐκείνῳ καὶ προσειπεῖν ἐδίψα, διωθεῖτο δὲ τῷ πλήθει τῶν περικυκλούντων κυνῶν· οὕτω γὰρ ὁ θεῖος αὐτοὺς φθάσας προπάτωρ ὠνόμασεν[2].

30. Ἐπεὶ δὲ πάντα ὅσα βουλομένοις ἦν ἤδη τοῖς θεοκτόνοις

4 ὁμολογούμενον μὲν γὰρ M^2 || 6 διατοῦτο M^1M^2 || 14 θαύματι M^2 || 17 βλέπουσα M^2 || 19 διαπειρώμενον M^2 || 24 διατεταμμένω M^1, διατεταμένω τῶ στρῶ M^2 || 26 *utrumque* καὶ *om.* M^1; ἀλλὰ — χλευαζόντων **bis scripta in** M^2 | 31 αὐτὴ M^1, ἀνιαρότερον M^2 || 34 προπάτορ M^1

1) Luc. 2, 35 || 2) Psalm. 21, 17.

πεπλήρω|το, καὶ οὐδὲ ὅλως αὐτοῖς ἐκφυγεῖν προσδόκιμος ἦν, τῶν col. 2 *μὲν ἔγγιστα καὶ φίλων ἀποφυγόντων, ἢ μᾶλλον, ἵνα τὸ τοῦ προφήτου*[1] *φαίην, ἀπὸ μακρόθεν ἱσταμένων, αὐτοῦ δὲ τῷ σταυρῷ τοῖς ἥλοις ἐμπεπαρμένου, τὰ τῆς φυλακῆς ἠμελεῖτο πάντως, τότε δὴ καὶ τὴν Θεοτόκον εἰκὸς ἀψαμένην ἀδείας αὐτῷ προσελθεῖν, οὕτως ἔχοντι κατὰ σχῆμα καὶ τοὺς μὲν ἀχράντους πόδας καὶ τὰς ἐντυπωθείσας αὐτοῖς πληγὰς ἡδέως καταφιλεῖν καὶ τοῖς αἵμασι δάκρυα κεραννῦσαν ὀφθαλμοὺς προσμάττειν καὶ παρειάς· ἐνορῶσαν δὲ καὶ περιπαθέστατον «Τί ταῦτα» λέγειν, «ὦ δέσποτα καὶ Θεέ; αὗταί σου τῆς || ἀπορρήτου πρὸς ἀνθρώπους εὐσπλαγχνίας αἱ ἀμοιβαί; τοῦτό* f. 177 *σοι τῆς φιλανθρωπίας τὸ ἀνταπόδομα; τοιαύταις οἱ εὖ παθόντες ἠμείψαντο ταῖς εὐεργεσίαις; πορφύραν ἐνδύουσι χλεύης, οὓς ὡς τέκνα πατὴρ καταστολῇ δόξης ἐφαίδρυνας καὶ ὡς ἀετός, σκεπάζων νοσσιάν, διεὶς τὰς πτέρυγας ἐδέξω καὶ ἐπὶ τῶν μεταφρένων τῶν σῶν ἀνέλαβες*[2]*· στέφανόν σοι περιτιθέασιν ὕβρεως, οὓς ὅπλῳ εὐδοκίας αὐτὸς ἐστεφάνωσας καὶ κεφαλὴν αἴρειν κατ' ἐχθρῶν ἐκραταίωσας· ὀδύνας σοι τὰς ἐκ τῶν ἥλων ἐπάγουσιν οἱ πόνων αἰγυπτιακῆς δουλείας καὶ μυρίων ὅσων κόπων ἀπηλλαγμένοι· καλάμῳ σου | τὴν κε-* col. 2 *φαλὴν παίουσιν, οἷς ῥάβδῳ πληγεῖσα θάλασσα φεύγουσιν ὑπεξίστατο. ἀλλὰ φθέγξαι τι καὶ μικρὸν εἰς ἀνάψυξιν τῇ τεκούσῃ· οὐ φέρω γὰρ τὰς ὀδύνας ἢ ἀνωδύνως τεκοῦσά σε· ποῦ γὰρ ὄψομαί σε τὸ μετὰ ταῦτα; τίς ἔσται μοι παραμύθιον, τίς προστήσεται;»*

31. Οὕτως ἔχουσαν ἀλγεινῶς αὐτὴν θεασάμενον τῷ φιλουμένῳ τε μαθητῇ συμπαρισταμένην ἀκόλουθον ἐκεῖνο φθέγξασθαι πάντως, ὃ καὶ τὸ θεῖον διέξεισιν εὐαγγέλιον· προσιδόντα πρῶτον αὐτὴν «Γύναι, ἴδε ὁ υἱός σου» φάναι[3]*, τὸν μαθητὴν δείξαντα. οὕτω καὶ σταυρούμενος πρόνοιαν ἐποιεῖτο τῆς μητρὸς καὶ τῷ φιλουμένῳ ταύτην μαθητῇ παρε||τίθει, παιδεύων ἡμᾶς ἄχρι καὶ πνοῆς ἐσχάτης μὴ* f. 177v *ὀλιγωρεῖν τῶν γεγεννηκότων, καίτοι γε πρότερον καὶ διωθουμένῳ ἔοικεν οὐ κατὰ καιρὸν ἐνοχλοῦσαν· «Τί» γὰρ «ἐμοὶ καὶ σοί, γύναι», φησί*[4]*, καὶ «τίς ἐστιν ἡ μήτηρ μου*[5]*;» ἐνταῦθα δὲ φανερὰν ἐπιδείκνυται τὴν φιλοστοργίαν καὶ τῷ μαθητῇ παρατίθησιν, ἅμα μὲν αὐτὴν οὕτω παραμυθούμενος, ἐκεῖνον δὲ μᾶλλον τῇ παραθέσει τιμῶν καὶ ὅτι σφόδρα φιλεῖ τούτῳ μαρτυρίῳ χρώμενος. τί γὰρ ἄλλο ποιῶν ἢ λέγων τοιαύτης ἐκεῖνον ἠξίου τιμῆς; ἅμα δὲ καὶ τῆς παραμονῆς αὐτὸν ἀμειβόμενος. εἶτα καὶ τῷ μαθητῇ προσβλέψας «Ἴδε»*

3 *ἀπομακρόθεν* M^1M^2 || 6 *κατασχῆμα* M^2 || 14 *νοσιὰν* M^1 || 16 *κατεχθρῶν* M^1M^2 || 20 *φθέγξαί τι* M^1 || 21 *τεκοῦσα σε* M^1M^2 || 24 *τὶ* M^1; *ἐκεῖνον* M^2 || 27 *τῆς om.* M^2 || 32 *ἅμα om.* M^2 || 36 *τὸν μαθητὴν* M^2

1) Psalm. 37, 31 || 2) Deut. 32, 11 || 3) Ioan. 19, 26 || 4) Ioan. 2, 4 || 5 Matth. 12, 48.

col. 2 φησίν, «ἡ μήτηρ σου» [1]). τοῦτο δὲ συνά|πτοντος ἦν πρὸς ἀγάπην, ὁμοῦ τε τὸ ἀμφοτέρων ἐπιδεικνύντος ἀξίωμα. ἀπὸ τότε γοῦν καὶ ὁ μαθητὴς ταύτην λαμβάνει, φησίν [2]), εἰς τὰ ἴδια, οἷ φέρει τὸν λόγον συνεὶς καὶ δεσποτικῷ θελήματι γνησίως ὑπηρετούμενος.

32. Ἐπεὶ δὲ ἅπαντα πέρας εἶχε, «Διψῶ» λέγει [3])· καὶ οἱ ταχεῖς εἰς κακίαν καὶ ἀγνωμόνων ἀγνωμονέστατοι ὄξος χολῇ συγκραθὲν αὐτῷ προσάγουσιν, οἱ τὸ ὕδωρ, φεῦ, ἐν δίψει καύματος ἐν ἀνύδρῳ πεποτισμένοι καὶ οἱ τὸ μέλι θηλάσαντες [4]) τὴν χολήν, ὧν ἡ σταφυλὴ σταφυλὴ χολῆς καὶ θυμὸς δρακόντων ὁ οἶνος [5]). ἀλλὰ πῶς ἂν πάλιν ἐκείνην ὁρῶσαν ταῦτα δριμύττεσθαι τὴν ψυχὴν ἔδει καὶ διακόπτεσθαι; ὡς δὲ f. 178 καὶ θανόντα εἶδε, || πῶς ἤνεγκε; πῶς οὐχὶ καὶ αὐτὴν συναπέρρηξε τὴν ψυχήν; πῶς ὑπέμεινε τοὺς ἐχθροὺς ὁρῶσα, μηδὲ μετὰ θάνατον τῷ παιδὶ σπενδομένους, ἀλλὰ φονῶδες ἔτι κατ' αὐτοῦ πνέοντας καὶ ξίφει τὴν πλευρὰν αὐτοῦ διορύσσοντας; ἀλλὰ περὶ τούτων μὲν τὸ θεῖον διέξεισιν εὐαγγέλιον. λέγεται δὲ καὶ ταῦτα γλώσσαις περὶ πλείστου ποιουμέναις ἀλήθειαν, ὡς τῶν καινῶν τούτων καὶ θαυμασίων ὀφθαλμοῖς τῆς Θεοτόκου παραδοθέντων καὶ μετὰ νέκρωσιν τοῦ παιδὸς τῆς πλευρᾶς ὥσπερ ἔτι ζῶντος αἷμα καὶ ὕδωρ ἀποβλυζούσης τοῦτο μὲν ἐκείνη λίαν εὐλαβῶς τε καὶ φιλοτίμως ἀρύεται.

col. 2 33. Εἶθ' οὕτως ὅλη τῆς ταφῆς | γίνεται καὶ ὅπως ἂν τὸ θεῖον ἐκεῖνο σῶμα τοῦ ξύλου καθαιρεθείη καὶ μνήματος ἄρα τοῦ προσήκοντος εὐπορήσοι. ἐπεὶ δὲ οὐχ οἷά τε ἦν δι' ἑαυτῆς ταῦτα ἀνύειν, ὁ ταύτης υἱὸς κινεῖ πάντως τὴν ἐκείνης διάνοιαν περὶ τὸν τοῦ κρανίου διερευνῆσαι τόπον· ὃ καὶ γενόμενον εὐχέρειαν τῷ σκοπῷ δίδωσιν· εὑρίσκεται γὰρ μνῆμά τι καινότατον καὶ περικαλλέστατον, καὶ χῶρος, ἐν ᾧ ἔκειτο, εὐπρεπής, ἐκείνου μὲν οὐδαμῶς ἄξιος (τί γὰρ ὅλως τῶν ἐπιγείων;), τοῦ πόθου δὲ τῆς ζητούσης οὐμενοῦν οὐκ ἀνάξιος. ὁ μὲν οὖν τάφος, ὥσπερ εἴρηται, καινότατος ἦν καὶ ἀκριβῶς ἄθικτος, οὐδένα οὔπω δεξάμενος εἰς ταφήν, f. 178ᵛ ἵνα μὴ καὶ ἑτέρων || νεκρῶν κειμένων ὁ ἀναστὰς ἀμφιβάλλοιτο, καὶ ὁ χῶρος ἀέρος τε ἐν καλῷ κείμενος καὶ εἰς κήπου ὥραν διακεκοσμημένος. ἐπεὶ δὲ πυθομένη ἐμάνθανεν οὐ φίλον ἁπλῶς εἶναι τὸν τοῦ κήπου δεσπότην, ἀλλὰ καὶ μαθητήν, πλὴν ἀλλὰ κεκρυμμένον (τοῦτο γὰρ διδάσκει τὸ εὐαγγέλιον [6]), δεδοικότα τοὺς θεοκτόνους,

2 τὲ M¹. ἐπιδεικνῦντοσ M² || 8 *alterum* σταφυλὴ *om.* M¹ || 9 θυμὸσ M¹. χυμὸσ M² || 12 μήδὲ M¹ | 25 μνῆμα M¹, σῆμα M²; καινότατον **bis scriptum, sed erasum in** M¹ || 26 ἐκπρεπὴσ M² || 27 ἄξιον M² || 28 οὐμενοῦν M² || 30 μὴ *om.* M² || 31 ἀέροσ τὲ M¹M² || 33 ἀλλὰ καὶ μαθητὴν *om.* M²

1) Ioan. 19, 27 || 2) ibid. || 3) ibid. 28 || 4) cf. Exod. 16, 31 || 5) Deut. 32, 32—33 || 6) Ioan. 19, 38—42.

ἄπεισι πρὸς αὐτὸν ἡ παρθένος καὶ πείθει λόγοις ἐπιτηδείοις ἐν οἰκείῳ μνήματι ὡς ἐν ταμιείῳ τινὶ ἄφθονον ἀποθέσθαι πλοῦτον καὶ οὕτως οἰκουροῦσαν ἔχειν παρ' ἑαυτῷ τὴν ζωήν· «Τὰ μὲν γὰρ τῶν ἐχθρῶν» φησι «πέρας ἔχει, καὶ τὸν ἐπονείδιστον ἐπήγαγον οὗτοι τῷ διδασκάλῳ θάνατον, οὐδεμίαν | [col. 2] ἐπ' αὐτῷ πρότερον ἀπολιπόντες ὑπερβολὴν οὔθ' ὕβρεως οὔτε μὴν ἀτιμίας. πλὴν ἀλλὰ καὶ νῦν κρέμαται νεκρὸς ἅμα καὶ γυμνὸς ἐπὶ ξύλου, φρικτὸν ἐμοὶ καὶ τῇ κτίσει θέαμα, μυκτηριζόμενος μᾶλλον ἢ ἐλεούμενος. δὸς οὖν χάριν ἐμοί τε καὶ τῷ κοινῷ τούτῳ φημὶ διδασκάλῳ καὶ θαρρήσας αἴτησαι τὸ ἐκείνου σῶμα κατενεχθῆναι καὶ ταφῇ δοθῆναι, εἴπερ δὴ μὴ καὶ μετὰ θάνατον ἐπίφθονος ἐκείνοις ὁ Ἰησοῦς· οὕτω μεγάλη παράκλησις ὀφθήσῃ τοῖς ἐν ἀπορίᾳ πάσῃ καθεστηκόσιν ἡμῖν καὶ οἶκτον οὐδένα ὑπ' οὐδενὸς ἔχουσιν· οἱ φίλοι γάρ μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν || [f. 179] καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν[1]. οὐκ ἔχω τί δρᾶσαι παρ' ἑαυτῆς, ὡς ὁρᾷς, μόνη οὖσα καὶ ξένη καὶ σὺν ἑνὶ μόνῳ τῶν μαθητῶν ἐσταυρωμένῳ προσέχουσα. οὕτω μοι λύσεις τὴν ὀδύνην, οὕτω στήσεις τὸ δάκρυον».

34. Τοιούτοις τὸν Ἰωσὴφ ἡ Θεοτόκος ἐπικάμψασά τε καὶ παραθήξασα λόγοις πρὸς Πιλᾶτον ἐκπέμπει· ὁ δὲ δειλίαν ἀπωσάμενος πᾶσαν, ἴσως δὲ καὶ ὑπὸ τοῦ νεκροῖς ἐμπνέοντος ζωὴν ἐκείνου νεκροῦ θάρσους ἐμπνευσθείς, τολμήσας εἴσεισι, φησί[2], πρὸς Πιλᾶτον καὶ λόγοις οἷς ἔδει χρησάμενος καὶ αἰτήσας λαμβάνει τὸ θεῖον ἐκεῖνο σῶμα καὶ οὗ μηδὲν ἰσοστάσιον, ἐναντίαν ὥσπερ | [col. 2] ἐκ διαμέτρου γνώμην τῷ Ἰούδᾳ ἐπιδειξάμενος· ὁ μὲν γὰρ ἔχων προεδίδου τοῖς ἀναιροῦσιν, ὁ δ' ἀπὸ τῶν ἀναιρούντων αἰτήσας ἐλάμβανεν.

Πλὴν ἀλλὰ καὶ αὖθις ὁ λόγος τὰ τῆς μητρὸς ὅπως ἔχει διεξιέτω· φασὶ γὰρ οἱ περὶ τούτων διαλαβόντες ἀπ' ἀρχῆς ἄχρι τέλους αὐτὴν διακαρτερῆσαι εὐκόσμως μὲν καὶ οὐκ ἀγεννῶς τῷ πάθει χρωμένην, ὅμως δὲ δεικνῦσαν ἐπὶ τῶν ἔργων, ὅτι μήτηρ ἐστίν, ἀλλὰ μήτηρ ἐκείνου πάντως, ὃς ἐπὶ φίλου θανόντος καὶ τὰ τῆς στοργῆς ἔδειξε καὶ ὅροις τὸ πάθος ἔστησε· νεκρὸν οὖν αὐτὴ βλέπουσα τὸν υἱὸν ὅπως ἔδει τῷ πάθει ἐκέχρητο, ἀλλὰ καὶ τῇ καθαιρέσει τῇ ἀπὸ τοῦ σταυροῦ χερσὶν || [f. 179v] ὑπούργει ταῖς μητρικαῖς καὶ τοὺς ἀνελκομένους ἥλους κόλποις αὐτῆς ὑπεδέχετο, μέλη τε τὰ ἐκείνου περιεπτύσσετο, τοῦτο μὲν ἐναγκαλιζομένη, τοῦτο δὲ καὶ δάκρυσιν ἰδίοις τὰς πληγὰς

5 οὐδὲμίαν M^1M^2 || 9 ἐμοὶ τὲ M^1 || 12 πάσῃ om. M^1 || 15 δράσαι M^1M^2 || 17 τὴν ὀδύνην, οὕτω στήσεις om. M^2 || 18 ἡ θκὸσ τὸν ἰωσήφ M^2 || 19 et 21 Πιλάτον M^1M^2 || 21 θάρσοσ M^2 || 25 ὃ δ' M^1, οἳ δ' M^2; ἀνελόντων M^2 || 34 τὲ M^1M^2

1) Psalm. 37, 12—13 || 2) Marc. 15, 43.

ἐκκαθαίρουσα· εἶτα καὶ ὅλη ὅλῳ περιχυθεῖσα τῷ σώματι «Ἰδού σοι καὶ τὸ προωρισμένον ἐκ τοῦ παντὸς αἰῶνος μυστήριον εἰς πέρας ἥκεν, ὦ δέσποτα», πραείᾳ τῇ φωνῇ ἐπιλέγει καὶ τῷ Ἰωσὴφ ἐγχειρίζουσα τὴν σινδόνα «Σοὶ δὲ τοῦ λοιποῦ μελήσει» φησίν, «ὅπως τε ταύτῃ περιστείλῃς κοσμίως, σμυρνίσεις τε καὶ καλῶς κηδεύσεις».

35. Οὕτως οὖν τῷ καινῷ μνήματι τὸ θεῖον παραδόντες σῶμα col. 2 *Ἰωσήφ τε καὶ ὁ σὺν αὐτῷ Νι|κόδημος καὶ ἄλλοι ὅσοι περὶ αὐτοὺς ἦσαν, αὐτοὶ μὲν εὐθὺς τοῦ τάφου ὑποχωροῦσιν, ἡ μήτηρ δὲ μόνη προσεχὴς τῷ τάφῳ προσέμενεν, ἀκοιμήτοις ὄμμασι διακαρτεροῦσα· εἰ γὰρ καὶ τὴν Μαγδαληνὴν Μαρίαν ὁ Ματθαῖος ἀπέναντι σὺν τῇ ἄλλῃ προσεδρευούσας ἐδήλωσεν, ἀλλὰ πρὸς τὸ θεωρῆσαι μόνον, οὐδὲ κατὰ τὸν τοῦ ἐνταφιασμοῦ καιρὸν ἐγγίσαι τολμώσας· ἀμέλει καὶ ὑποχωρῆσαι ταύταις ἐπῆλθε τῷ Ἰουδαίων φόβῳ καὶ τῇ συνελεύσει τῆς κουστωδίας· «Ὀψὲ» γάρ φησι[1]) «σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη* f. 180 *Μαρία θεωρῆσαι τὸν τάφον». οὐκ ἂν δὲ || τὰς ὑπομεινάσας ἐληλυθέναι ἔφη, εἰ μὴ τοῖς λοιποῖς ὁμοίως καὶ αὗται τοῦ μνήματος ἀνεχώρησαν· τινὲς μὲν οὖν τὴν ἄλλην λεγομένην Μαρίαν, ἣν αὐτός τε ὁ προλαβὼν ἔφη καὶ ὁ Μάρκος διατρανοῖ λέγων[2]) «ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία Ἰωσῆ ἐθεώρουν, ποῦ τίθεται», καὶ ἕτεροι δὲ τὴν Ἰακώβου προσαγορευθεῖσαν Μαρίαν τὴν Θεοτόκον εἶναι ὑπειλήφασιν, οὐ καλῶς οὐδὲ σὺν ἀκριβείᾳ τοῦ ἀληθοῦς καταστοχαζόμενοι· πανταχοῦ γὰρ τῶν θείων εὐαγγελίων μήτηρ ἐκείνη μετὰ τὴν ἀπόρρητον γέννησιν περιφανῶς τε καὶ κυρίως κατονομάζεται καὶ* col. 2 *ταύτην ὅλως γνωριμωτάτην | ἔχει τὴν προσηγορίαν· «Παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ»[3]) καὶ πάλιν «Ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ»[4]) καὶ ἀλλαχοῦ «Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις»[5]) καὶ «Κατέβη εἰς Καπερναοὺμ αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ»[6]) καὶ «Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου εἱστήκεισαν ἔξω»[7]), ἀλλὰ καὶ «Εἱστήκεισαν παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ»[8]). ἔχεις, εἰ βούλει, καὶ τὸν Λουκᾶν ἐν ταῖς Πράξεσι συνηγοροῦντα τοῖς προκειμένοις· «Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες τῇ προσευχῇ σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ»[9]). καὶ ὅλως ἀπορώτατον εὑρεῖν ἑτέρως αὐτὴν ὀνομαζομένην, πατρόθεν ἴσως ἢ* f. 180v *κατὰ σχέσιν ἄλλως συγγενικὴν μετὰ τὴν κύησιν, || ὥσπερ ἔφημεν, ὥστε οὐδεμία τούτων ἐκείνη.*

4, 5, 24 *τὲ* M[1] || 5 *σμυρνήσῃς — κηδεύσῃς* M[2] || 6 *κενῷ* M[2] || 7 *τὲ* M[1]M[2] || 8 *ἀποχωροῦσιν* M[2] || 12 *τοῦ* om. M[1] || 18 *αὐτὸς τὲ* M[2] || 20 *καὶ* ante *ἕτεροι* om. M[2] || 22 *δὲ* pro *οὐδὲ* M[1] || 36 *οὐδὲ μία* M[1]

1) Matth. 28, 1 || 2) Marc. 15, 47 || 3) Matth. 2, 14 || 4) Ioan. 2, 1 || 5) ibid. 5 || 6) ibid. 12 || 7) Matth. 12, 47 || 8) Ioan. 19, 25 || 9) Act. 1, 14.

36. Αἱ μὲν γὰρ εἰσῄεσάν τε καὶ ἐξῄεσαν παρ' ὅλην νύκτα τοῦ τάφου καὶ τοῖς ἀποστόλοις ἄγγελοι τῶν γινομένων ὑπῆρχον· ὅθεν οὐδὲ τὰ πλείω τῆς ἀναστάσεως θαύματα συνέβη ταύτας ἰδεῖν· ἡ δὲ ἀδιασπάστως ἐν χρῷ τοῦ τάφου προσκαθημένη ἑώρα πάντα σαφῶς καὶ οὐ παραυτίκα, μετὰ ταῦτα δὲ ἤνεγκέ τε εἰς φῶς καὶ ἀπήγγελλεν· ἐπεὶ πῶς ἐν ταὐτῷ τὸν σεισμὸν δήπου καὶ τὴν τοῦ ἀγγέλου ἐν ἀκαρεῖ καταφοίτησιν, τοῦ λίθου τε τὴν ἐκκύλισιν καὶ τὴν τῶν φυλάκων νέκρωσίν τε καὶ αὖθις ἐγρήγορσιν, πρὸς δὲ καὶ τὴν τινῶν αὐτῶν εἰς τὴν πόλιν ὑποστροφὴν γυναι|ξὶν ἀπιούσαις, εἶτα πάλιν *col. 2* ἐπανιούσαις καλῶς ἐξεγένετο κατιδεῖν; ἀλλ' εὔδηλον, ὅτι μητρικοῦ ταῦτα φίλτρου καὶ διαπύρου· ἣ διηνεκῶς προσεδρεύουσα καὶ θερμοτέρῳ πνεύματι διαγρηγοροῦσα πάντα ὡς εἶχεν ἀκριβῶς ἐθεάσατο τῷ μηδὲ |μικρόν, ὥσπερ ἔφημεν, ἀποστῆναι τοῦ τάφου, ἕως ἄρα καὶ τὴν ζωηφόρον εἶδεν ἀνάστασιν· ὁ μὲν γὰρ λίθος ἀποκεκυλισμένος, ὁ ἄγγελός τε καθήμενος ἐπ' αὐτῷ καὶ ταῖς ἄλλαις γυναιξὶν ὦπται, πότε δὲ καὶ ὅπως εἴργασται ταῦτα, ἔγνωσαν μὲν ἐκεῖναι τὸ παράπαν οὐδέν, μόνη δὲ αὕτη πάρεδρος οὖσα πρὸς ἀκρίβειαν καθορᾷ· ἔοικε γοῦν καὶ πρώτη δοθῆναι || ταύτῃ τὰ τῆς ἀναστάσεως *f. 181* εὐαγγέλια καὶ ὡς ἐνὸν ὁρατὴν αὐτῇ γενέσθαι τοῦ υἱοῦ τὴν λαμπρότητα. ἀλλ' οὕτω μὲν ἡ τοῦ Θεοῦ μήτηρ αὐτή τε τρανότερον τὴν τοῦ υἱοῦ ἔγερσιν καθορᾷ καὶ τοὺς αὐτοῦ κήρυκας βεβαιοῖ περὶ ταύτης μᾶλλον ἢ αἱ μυροφόροι, κἂν οὐδεμίαν ἐν τοῖς τῆς ἀναστάσεως λόγοις μνήμην αὐτῆς ἐποιήσαντο, τὴν μητρικὴν ἴσως ἐνθεῖναι μαρτυρίαν εὐλαβηθέντες διὰ τὸ ὕποπτον καὶ τὴν ἐκ τῆς οἰκειότητος ὑποτρέχουσαν ἀπιστίαν. πλὴν ἀλλ' ἡ Θεοτόκος τὴν τοῦ παιδὸς οὕτως ἀνάστασιν ὄψει τε καὶ ὀφθαλμοῖς τοῖς ἔνδον παραλαβοῦσα τῷ ἠγαπημένῳ μαθητῇ μετὰ | ταῦτα σύνοικος ἦν, τὸν τῆς ἀναλή- *col. 2* ψεως Χριστοῦ καιρὸν ἀναμένουσα.

37. Ἐπεὶ δὲ πάντα τὰ τῆς οἰκονομίας αὐτοῦ πέρας ἔδει λαβεῖν καὶ οὕτως εἰς οὐρανοὺς ἀναχθῆναι τὸ πρόσλημμα, ἐπιφανεὶς ὁ σωτὴρ τοῖς φίλοις (τὰ πολλὰ γὰρ μετὰ τὴν ἀνάστασιν ἀθέατος αὐτοῖς ἦν) ἄλλα τε πολλὰ διαλέγεται καὶ τὴν τοῦ ἀγαθοῦ πνεύματος ἐπαγγέλλεται παρουσίαν, εἶτα καὶ μικρὸν ἔξω τῆς πόλεως ἀγαγών, εὐλογίας τε μεταδοὺς ὡς ἐχρῆν ἐκεῖνον ἐκείνοις, βλεπόντων αὐτῶν εἰς οὐρανοὺς ἀναφέρεται [1]), καὶ ἵνα μὴ διὰ λύπης αὐτοῖς τὸ πρᾶγμα

4 προκαθημένη *M²* || 6 ταυτῶι *M¹*, ταυτ^ῷ *M²* || 7 ἐκκύλησιν *M²* || 9—10 εἶτα πάλιν ἐπανιούσαις *om.* *M¹* || 13 μὴ|δὲ *M¹* || 18 γὗῦν *M¹*, γοῦν *M²* || 20 αὐτὴ τὲ *M¹* || 22 οὐδὲ μίαν *M¹M²* || 26, 32, 34 τὲ *M¹* || 29 αὐτοῦ *M¹*, τοῦ θῦ *M²* || 35 πράγμα *M¹*

1) Luc. 24, 51.

γένηται καὶ ἡ τοῦ διδασκάλου στέρησις ὀδύνην ἐμβά|λη, καὶ τούτου f. 181v ἐμέλησε τῷ καλῷ ποιμένι· || ἀγγέλους αὐτοῖς ἐπιπέμπει τήν τε πρὸς οὐρανοὺς ἄνοδον ἐκείνου διασαφοῦντας καὶ παρακλήσεως αὐτοὺς ἐμπιπλῶντας ἀρρήτου καὶ θαυμαστῆς[1]). ταύτῃ τοι καὶ προσκυνήσαντες ἄσμενοι πάλιν οἴκαδε ἐπανῄεσαν, ὁμοῦ μὲν κατὰ τὸ διατεταγμένον ἐν τῷ ὑπερῴῳ διάγοντες καὶ τὴν τοῦ παρακλήτου προσμένοντες παρουσίαν· εὐχὴ δὲ ἦν αὐτοῖς ἡ διατριβή, καθὰ καὶ Λουκᾷ τῷ ἀποστόλῳ δοκεῖ· ἀπαριθμησάμενος γὰρ πρὸς ὄνομα τοὺς τοῦ Χριστοῦ μαθητὰς εἶτα ἐπάγει καὶ «Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ col. 2 Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ»[2]). παν|ταχοῦ γὰρ καὶ αὐτὴ συνῆν, οὐδ' ὅλως τῶν καλλίστων πραγμάτων ἀπολιμπανομένη.

38. Ἐπεὶ δὲ καὶ κατὰ τὸν καιρὸν τῆς πεντηκοστῆς οἱ ἀπόστολοι τῆς θείας τοῦ παρακλήτου χάριτος πληρωθέντες πρὸς τὴν τοῦ εὐαγγελίου διδαχὴν ἄλλος ἄλλοσε διεπέμποντο καὶ τὸ κήρυγμα ἤδη τῆς πίστεως διήγγελτο, τὴν παρθένον πάλιν ἅτε τῷ ἠγαπημένῳ μαθητῇ καὶ παρθένῳ παραδοθεῖσαν ὁ ἐν τῇ Σιὼν αὐτοῦ οἶκος εἶχε διαιτωμένην καὶ ὡς μητρὶ Θεοῦ γέρας ἐκ πάντων προσφερομένην. ὡς δὲ καὶ θανάτου μετασχεῖν ἔδει (καὶ τί γάρ, εἰ καὶ ὁ ταύτης υἱός, κυρῶν τὸ ἀληθῶς εἶναι ἄνθρωπος;), ἔξωρον ἤδη γενομένην || f. 182 τὴν ἡλικίαν καὶ εἰς γῆρας βαθὺ φθάσασαν, καὶ ὁ καιρὸς τῆς ἐκδημίας παρῆν, δι' ἀγγέλου μυεῖται τάυτην ἐκ τοῦ υἱοῦ, ἀπιέναι πρὸς αὐτὸν μέλλουσα, ὥσπερ ἄρα καὶ πρότερον, ἡνίκα φοιτᾶν ἐκεῖνον πρὸς τὴν αὐτῆς ἔδει γαστέρα. ὡς οὖν ἐμυήθη τὴν ἐκδημίαν, χαρᾶς οὐδ' ὅσης εἰπεῖν ἄξιον τὸ πρᾶγμα κρίνουσα (καὶ τί γὰρ ἥδιον ἐκείνῃ τοῦ τῷ υἱῷ συνεῖναί τε καὶ συμβασιλεύειν;), εὐθὺς ἐκέλευσε, καὶ φῶτα πλεῖστα εἰσεκομίζετο, ὁ οἶκός τε ἐσαροῦτο καὶ ἡ κλίνη ἐπίσης ἄρα καὶ παστάδι διεκοσμεῖτο καὶ τὸ συγγενὲς ὅσον ἦν καὶ τὸ γειτονοῦν συνεκέκλητο κοινωνῆσαι ταύτῃ τῆς εὐφροσύνης· εἶτα τὰ col. 2 πρὸς τὴν ἔξοδον εὐτρεπῆ γίνεται· γνωρίζει τοῖς συνελ|θοῦσι τὸ δι' ἀγγέλου τοῦ παιδὸς μήνυμα· δείκνυσιν αὐτοῖς τὸ δοθὲν αὐτῇ πρὸς ἐκείνου βραβεῖον· φοίνικος δὲ κλάδος τοῦτο ἦν, ὡς γλῶσσαι πρὸς ἀλήθειαν ἐθισθεῖσαι περὶ τοῦδε εἰρήκασι, σύμβολον θανάτου νίκης

4 ἀρίστου *pro* ἀρρήτου M² || 6 διάγοντες — τοῦ *om.* M² || *Ad 14 sqq.: in summo margine f. 181v M¹ titulum habet:* + κ' κοίμησισ + || 17 διηγγέλλεϳο M² || 19 μρ̄ὶ M¹, μρ̄ὰ M²; προσφερομένη M¹ || 26 ἴδιον *pro* ἥδιον M² || 27 συνεῖναι τὲ M¹ || 28 οἶκοσ τὲ M¹M² || 29 ἐκοσμεῖτο M² || 30 κοιωνῆσαι M² || 31 εὐτρεπὴ M² || 34 ἐπισθεῖσαι M²

1) Act. 1, 10—11 || 2) ibid. 14.

καὶ ζωῆς εἰκὼν ἀθανάτου, ὥσπερ ποτὲ καὶ οἱ τῶν Ἑβραίων παῖδες ἐπὶ τῷ ταύτης υἱῷ θεοκινήτως ἐποίουν· ἐκείνῳ γὰρ ἐγγίζοντι πρὸς τὸ πάθος οὗτοι τοὺς κλάδους τῶν φοινίκων προσῆγον, θανάτου νίκην ἔσεσθαι προδεικνύοντας[1]. *ἤδη δὲ τοῦ καιροῦ τῆς ἐκδημίας ἐφισταμένου ἡ μὲν τῆς ἀληθοῦς ζωῆς μήτηρ ἐν τῇ Σιὼν ἐπὶ σκίμποδος κατεκλίνετο, παρῆν δὲ καὶ ὁ ταύτην εἰσοικισάμενος Ἰωάννης καὶ υἱὸς αὐτῆς κληθεὶς ἕτερος, παρειστήκει δὲ ‖ τῶν ἐν Ἱεροσολύμοις* f. 182v *ὅσον ἦν ἔκκριτον, αἱ φίλαι τε ἅμα καὶ συγγενεῖς συμπαρῆσαν. ἡ παρθένος οὖν πρὸς Ἰωάννην βλέψασα τὸν παρθένον καὶ ὀλίγα τούτῳ διαλεχθεῖσα εἶτα «Τοὺς δύο» φησὶ «χιτῶνας, οὓς τὸν ἅπαντα βίον σκέπην ἐμαυτῆς τῷ σώματι ἔσχον, τούτους δύο γυναιξὶ ταῖσδε δοθῆναι κελεύω». αἱ δὲ χῆραί τε ἦσαν καὶ τῶν ἄλλων αὐτῇ πλέον προσκείμεναι. ταῦτα ἐκείνη μὲν ἔφη· οἱ παρόντες δὲ σύμβολα τῆς ἐκδημίας ὁρῶντες πολλὰ τῶν ὀφθαλμῶν κατέχεον δάκρυα· τίς γὰρ στέρησιν γυναικὸς τοιαύτης ἀπαθῶς ἤνεγκεν ἄν; εἶτα κάτεισι μὲν οὐρανόθεν ὁ ταύτης υἱός, ψυχὴν ἐκείνης τὴν θείαν ἀναληψόμενος· ἀθροί|ζει δὲ διὰ νεφέλης τοὺς αὐτοῦ μαθητάς, ἐφ' ᾧ τὸ τίμιον αὐτῆς* col. 2 *σῶμα δοῦναι ταφῇ.*

39. Ὡς οὖν εἶδε τούτους ἡ Θεοτόκος, ἔγνω τε τὴν αἰτίαν δι' ἣν μετάκλητοι πάντες εὐθὺς γεγόνασι καὶ ἃς ἕκαστος εἶχον αἰτήσεις ἀκουστὰς ἔθετο, εὐλογίας μέν, ὥσπερ εἰκὸς ἦν, αὐτοῖς μεταδίδωσι, πᾶσι δὲ τὰ ἐξιτήρια φθεγξαμένη, «Ὑμεῖς δὲ ἀλλὰ χαίρετε» ἔφη, «τέκνα, καὶ μὴ πένθιμον ὅλως τὴν ἐμὴν ἐκδημίαν, χαρᾶς δὲ μᾶλλον θέσθε πεπληρωμένην, ἐπεὶ καὶ πρὸς χαρὰν ἡμᾶς μετιέναι τὴν ἀληθῆ πέπεισθε. καὶ σῶμα τοῦτο δὴ τὸ ἐμὸν ὅπως ταφῇ παραδῶτε κατὰ σχῆμα ὃ ἂν ἐγὼ διάθωμαι ἐμαυτήν· τοῦτο γὰρ ἐμοὶ βούλημα». εἶπε, ‖ καὶ Πέτρον μετακαλεῖται, εἶτα τοὺς ἄλλους, f. 183 *καὶ καιομένων αὐτοῖς τῶν λύχνων αὐτὴ τῷ πνεύματι ἀγαλλωμένη, διάρασα τὰ χείλη, «Εὐλογῶ σε, τὸν δοτῆρα πάσης εὐλογίας», ἔφη, «τὸν αἴτιον τοῦ φωτός, τὸν τὴν ἐμὴν γαστέρα οἰκήσαντα· εὐλογῶ σου τὴν ἀγάπην, ἣν ἡμᾶς ἠγάπησας, δέσποτα, καὶ μεγαλύνω σου τοὺς λόγους τοὺς δοθέντας ἡμῖν ἐν ἀληθείᾳ, καὶ πιστεύω ὅτι ἃ εἴρηκας ἔσται μοι». οὕτως εἰποῦσα τῷ σκίμποδι ἀνακλίνεται, εἶτα καὶ χεῖρας ὑψοῦ διάρασα καὶ τὸ ἄμωμον αὐτῆς σῶμα σεμνῶς σχηματίσασα καὶ κοσμίως, τὸ τίμιόν τε διανοίξασα στόμα, καὶ γὰρ ἑώρα ἤδη τὸν κύριον ὑπ' ἀγγέλων πλήθει πρὸς αὐ|τὴν ἀφικνούμενον, ἡδονῆς ὅλη γίνεται καὶ χαρᾶς καὶ «Γένοιτό μοι» πάλιν, «κύριε, κατὰ τὸ ῥῆμά*

7 ἑτέρωσ M^2; δὲ καὶ τὸ ἐν M^2 ‖ 19 ἔγνω τὲ M^1M^2 ‖ 22 πᾶσι τὲ M^2 ‖ 32 τοῦ δοθέντοσ M^1 ‖ 36 ὑπαγγέλων M^2 ‖ 37 ῥῆμα σου M^1M^2

1) Ioan. 12, 13.

σου» ἐπειποῦσα ἀφίησιν ὡς ἐν ὕπνῳ τὸ πνεῦμα καὶ χερσὶ φίλαις τοῦτο ταῖς τοῦ υἱοῦ παρατίθησιν. ἵνα δὲ μὴ λόγος ἄλλως εἶναι δοκῇ ὁ περὶ τῆς τῶν ἀποστόλων συνόδου, τῆς ἐν τῇ κοιμήσει φημὶ τῆς παρθένου γεγενημένης, οὐδὲν χεῖρον καὶ τὰ ἐν τῷ τρίτῳ κεφαλαίῳ Διονυσίῳ λελεγμένα τῷ Ἀρεοπαγίτῃ προσθεῖναι τῷ λόγῳ. τὸ μὲν οὖν κεφάλαιον «Τίς ἡ τῆς εὐχῆς δύναμις καὶ περὶ τοῦ μακαρίου Ἱεροθέου καὶ περὶ εὐλαβείας καὶ συγγραφῆς» ἐπιγέγραπται «θεολο-
f. 183v *γικῆς». ἐκφωνεῖται δὲ ταῦτα πρὸς Τιμόθεόν τινα ἐπίσκοπον || Ἐφέσου· κεῖται δὲ τὰ ἐν τῷδε τῷ κεφαλαίῳ πρὸς λέξιν οὕτως.*

40. «Ἐπεὶ καὶ αὐτοῖς τοῖς θεολήπτοις ἡμῶν ἱεράρχαις, ἡνίκα καὶ ἡμεῖς, ὡς οἶσθα καὶ αὐτός, καὶ πολλοὶ τῶν ἱερῶν ἡμῶν ἀδελφῶν ἐπὶ τὴν θέαν τοῦ ζωαρχικοῦ καὶ θεοδόχου σώματος συνεληλύθαμεν, παρῆν δὲ καὶ ὁ ἀδελφόθεος Ἰάκωβος καὶ Πέτρος ἡ κορυφαία καὶ πρεσβυτάτη τῶν θεολόγων ἀκρότης, εἶτα ἐδόκει μετὰ τὴν θέαν ὑμνῆσαι τοὺς ἱεράρχας ἅπαντας, ὡς ἕκαστος ἔχοι τὴν ἀπειροδύναμον ἀγαθότητα τῆς θεαρχικῆς ἁγιστείας, πάντων ἐκράτει μετὰ τοὺς θεολόγους, ὡς οἶσθα, τῶν ἄλλων ἱερομυστῶν ὅλως ἐκδημῶν, ὅλως
col. 2 *ἐξιστάμενος ἑαυτοῦ καὶ τὴν πρὸς τὰ ὑμνού|μενα κοινωνίαν πάσχων καὶ πρὸς πάντων ὧν ἠκούετο καὶ ἑωρᾶτο καὶ ἐγινώσκετο καὶ οὐκ ἐγινώσκετο θεόληπτος εἶναι καὶ θεῖος ὑμνολόγος κρινόμενος. καὶ τί ἄν σοι περὶ τῶν ἐκεῖ θεολογηθέντον λέγοιμι; καὶ γὰρ εἰ μὴ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, πολλάκις οἶδα παρὰ σοῦ καὶ μέρη τινὰ τῶν ἐνθεαστικῶν ἐκείνων ὑμνῳδιῶν ἐπακούσας». ἀλλὰ ταῦτα μὲν ὁ ἱερὸς Διονύσιος· ἡμῖν δὲ ὁ λόγος πρὸς τὰ ἑξῆς ὁδευέτω.*

41. Κύκλῳ περιλαβόντες τὸ ἅγιον τῆς παρθένου σῶμα ὅ τε τῶν ἀποστόλων χορὸς καὶ πᾶν ὅσον ἦν ἀνδρῶν τε καὶ γυναικῶν ἔκκριτον, ὕμνοις τε προπεμπτηρίοις ἐτίμων καὶ ἅπαν μέλος εὐλαβῶς ||
f. 184 *ἅμα καὶ φιλοστόργως ἠσπάζοντο, οὐ τὰ τοῦ πόθου μόνον ἐπιδεικνύντες, ἀλλὰ καὶ τὰ τῆς ὠφελείας ἐκ τῆς ἀφῆς ἔχειν πιστεύοντες. ἠκολούθει δὲ τῇ πίστει καὶ ἡ τῶν ἔργων ἀπόδειξις· τυφλοῖς τὰ ὄμματα ἐφωτίζετο, κωφοῖς αἱ ἀκοαὶ διηνοίγοντο, χωλοῖς αἱ τῶν ποδῶν βάσεις ὑπεστηρίζοντο καὶ πᾶν ὅ τι πάθος τε καὶ νοσημάτων γένος εὐχερῶς διελύετο· τί μὴ λέγω τὰ τελεώτερα; ἀὴρ μὲν καὶ οὐρανὸς τῇ ἀναβάσει τοῦ πνεύματος ἡγιάζετο, γῆ δὲ ὁμοίως τῇ καταθέσει τοῦ ἱεροῦ σώματος· ἀλλ᾽ οὐδ᾽ ἡ τοῦ ὕδατος φύσις τῆς εὐλογίας ἄμοιρος ἦν, ἀλλὰ καὶ αὐτὸ δήπου τῷ λουτρῷ τοῦ σώματος*
col. 2 *ἁγιασμοῦ μετελάμβανεν· οὐδὲ γὰρ ἐ|κεῖνο καθαρσίων ἐδεῖτο· τίς*

4 *οὐδὲ* M^1 || 5 *τῶ ἀρεοπαγίτη λελεγμένα* M^2 || 16 *ἁγιαστίασ* M^1, *ἁγιστίασ* M^2 || 22 *πολλοὺσ* pro *πολλάκις* M^2 || 23 *ὑπακούσασ* M^2 || 27 *τὲ* M^1 || 27—28 *ἅπαν — ἅμα καὶ* om. M^2 || 31 *αἱ* ante *ἀκοαὶ* om. M^1 || 32 *παθῶν τε* M^2

τοῦτο φαίη νοῦ καὶ φρενῶν ὅλως μὴ ἔρημος ὤν; ἀλλ' ἡγίαζε τῇ προσψαύσει μᾶλλον τὸ προσαπτόμενον. εἶτα τί; σινδόσι καθαραῖς τὸ καθαρὸν εἱληθὲν σῶμα πάλιν τῇ κλίνῃ δίδοται, εἶθ' οὕτως ὑπὸ λαμπάσι καὶ μύροις νοερῶν μὲν δυνάμεων ὑμνουσῶν ἄνωθεν, ἀποστόλων δὲ καὶ θείων πατέρων ᾠδὰς ᾀδόντων θεοπρεπεῖς ἡ θεσπεσία κιβωτὸς ἐκ Σιὼν ἀποστολικαῖς χερσὶ καὶ ὤμοις ἐποχουμένη πρὸς Γεθσημανῆ χωρίον τὸ ἱερὸν ἐκκομίζεται, ἀγγέλων ὥσπερ εἰκὸς προθεόντων, περιθεόντων, ἐφεπομένων, ἀγγελικαῖς ἐπισκιαζόντων ταῖς πτέρυξι, πολλῷ λαμπροτέρας φημὶ καὶ τιμιωτέρας || τῆς προπομπῆς *f. 184v* γενομένης, ἢ ἐπὶ τῇ μεταθέσει τῆς παλαιᾶς ἐκείνης κιβωτοῦ τῆς διαθήκης κυρίου, ὡς τὰ ἱερὰ δίεξεισι λόγια[1]).

42. Συμβαίνει τῷ καλῷ τούτῳ καὶ θεσπεσίῳ πράγματι καί τι χαλεπὸν μὲν καὶ βάσκανον, πλὴν οὐ σιωπῆς, ἀλλὰ μνήμης ἄξιον εἰς δόξαν μὲν καὶ αἶνον τῶν εὐσεβούντων, αἰσχύνην δὲ τῶν πονηρευομένων καὶ τῷ κακῷ τῆς ἀπιστίας ἀεὶ προσκειμένων. ἤδη τῆς ἱερᾶς ταύτης ἐκφορᾶς τὴν Γεθσημανῆ καταλαμβανούσης, ἐν ᾗ τὸ ἄχραντον ἐκεῖνο σῶμα τάφῳ δοθῆναι ἡ Θεοτόκος ἐπέσκηψε, τοῖς Ἰουδαίοις ἀεὶ φθόνου πεπληρωμένοις οὐδ' ἐν τούτῳ σιγᾶν ἐπῄει, ἀλλὰ πρὸς τὴν λαμ|πρότητα τοῦ γινομένου μύειν τε τοὺς ὀφθαλμοὺς καὶ *col. 2* τὸ οἰκουροῦν πάθος ἐκρήσσειν· ὁ τοίνυν τῶν ἄλλων μανικώτερός τε καὶ ἰταμώτερος τοῦ σεπτοῦ σκίμποδος διακομιζομένου ἔπεισι κατ' αὐτοῦ πλήρης ὢν ἀλόγου φορᾶς καὶ μανίας· ὁ δὲ σκοπὸς τὸν ἱερὸν τοῦτον σκίμποδα εἰς γῆν καταρράξαι καὶ ὕβριν ἐξυβρίσαι τοιαύτην ὁ πάντολμος· ἡ θεία δὲ οὐκ ἠμέλει δίκη, ἀλλ' αἳ χεῖρες, αἳ τοῦ σκίμποδος ἐπελάβοντο, ἐξ ἀγκώνων εὐθὺς ἐτέμνοντο. πλὴν οὐκ ἔμελλεν ἡ χαρᾶς ἐν τῷ τόκῳ τὴν οἰκουμένην πληρώσασα λυπηροῦ τινος ὅλως ἐν τῷ θανεῖν ἑνὶ γενέσθαι τῶν πάντων || αἰτία· ἀλλ' *f. 185* ἐπεὶ ὁ παθὼν πονηρὸς μὲν ἦν, ἀλλὰ τὴν πονηρίαν, ὡς ἔοικεν, οὐκ ἀνίατος, ἐκ τοῦ παθεῖν κακῶς τὴν καλὴν τῶν ἤδη προεγνωσμένων αἰτεῖται μετάνοιαν· καὶ ἐπεὶ χειρῶν ἔρημος ἦν καὶ οὐκ εἶχε ταύτας ἐκτεῖναι πρὸς ἱκετείαν, δάκρυα προΐησι τῶν ὀμμάτων καὶ οὕτω τὴν ἴασιν ἐκζητεῖ. ὅρα γοῦν ὁμοῦ καὶ παιδείαν καὶ θεραπείαν· εὐθὺς γὰρ οἱ μὲν τὴν κλίνην αἴροντες ἔστησαν· πρόσεισι δὲ ὁ τὴν τομὴν ὑποστάς, καὶ τῶν τμημάτων τοῖς ἀγκῶσι προσαρμοσθέντων (Πέτρου δὲ τὸ ἐπίταγμα ἦν) παραυτίκα καὶ ἡ τῶν χειρῶν ἴασις ἠκολούθει.

7 et 16 γεθσημανὴ M^1M^2 || 10 τῇ *om.* M^2 || 12 τῷ θεσπεσίῳ τούτῳ καὶ καλῷ M^2 || 19 τὲ M^1M^2 || 27 τινὸσ M^1M^2 || 29 καλλὴν M^1 || 31 πρόεισι M^1 || 32 γοῦν M^1, γοὺν M^2

1) 1 Reg. 6, 1 sqq.; 3 Reg. 8, 4 sqq.

col. 2 43. Ἐντεῦθεν πρὸς Γεθσημανῆ τὴν ἱερωτάτην ἀπάγεται | κἀκεῖσε τὸ πανάγιον σῶμα τάφῳ μὲν δίδοται (τί γὰρ εἰ καὶ Θεὸς ὢν ὁ ταύτης υἱὸς ἀνθρωπίνως θάπτεται;), δι' αὐτοῦ δὲ πρὸς οὐράνιά τε καὶ θεῖα σκηνώματα μεταπέμπεται. πιστοῖ τὸν λόγον Ἰουβενάλιος ὁ τῶν Ἱεροσολύμων θεῖος ἐπίσκοπος· ἱερὸς δὲ οὗτος καὶ θεοφόρος ἀνήρ. ὃς ἐξ ἀρχαίας λέγων καὶ ἀληθοῦς παραδόσεως ὡς αὐτὸν καταχθῆναι τὸν λόγον οὕτω φησί· τρεῖς ὅλας ἡμέρας τοὺς ἱεροὺς ἀποστόλους προσαμεῖναι τῷ τάφῳ, θείας ὑμνῳδίας ἄνωθεν ὑπακροωμένους, εἶτα μετὰ τὴν τρίτην, ἑνὸς τῶν ἀποστόλων πρὸς τὴν κηδείαν, οὕτω συμβάν, ὑστερήσαντος ἢ μᾶλλον θειοτέρας λό- f. 185ᵛ γοις || οἰκονομίας, ὥστε γνώριμον πᾶσι γενέσθαι τὴν θαυμασίαν ταύτην διάστασιν, τότε δὴ καὶ αὐτὸς ἀφικνεῖται μὲν καὶ ὥσπερ εἰκὸς ἀφορμὴν ἀμέτρου λύπης τὸ πρᾶγμα ποιεῖ καὶ ὡς καλοῦ τοιούτου λειφθεὶς ἄμοιρος οὐδ' ὅλως εἶχεν ἀνασχετῶς. τὸ γοῦν ἱερὸν τάγμα τῶν ἀποστόλων, οὐ δίκαιον εἶναι κρίναντες μὴ καὶ αὐτὸν τὸ ζωηφόρον ἐκεῖνο σῶμα καὶ ἰδεῖν καὶ προσπτύξασθαι, κελεύουσιν αὐτίκα διανοιγῆναι τὸν τάφον. καὶ ὁ μὲν ἠνοίγετο, ὁ δὲ θησαυρὸς ἐντὸς ἦν οὐδαμῶς, μόνα δὲ κείμενα τὰ ἐντάφια, ὃν τρόπον καὶ τοῦ παιδὸς κατὰ τὴν ἀνάστασιν· ἃ καὶ περιπτυξάμενος αὐτός col. 2 τε καὶ οἱ συμπαρῆσαν | καὶ ἀφάτου πλησθέντες εὐωδίας καὶ χάριτος ἀσφαλίζονται μὲν καὶ αὖθις τὸν τάφον, τὸ δὲ θαῦμα τοῖς μετὰ ταῦτα παῖς παρὰ πατρὸς λαμβάνων ἐφεξῆς παραπέμπουσιν.

Ἀλλὰ τῆς μὲν θείας ταφῆς τοῦ ζωηφόρου σώματος ὁ λόγος οὕτως ἔχων ἐστίν, εἰ καὶ πρὸς ἑαυτὸν ὁ γεννηθεὶς ἐξ αὐτῆς λόγος ὅλην μετέστησε καὶ ζῆν παρ' αὐτῷ καὶ συνεῖναι διὰ παντὸς ηὐδόκησε· πλὴν ἀλλ' ἀντὶ τοῦ ἀχράντου σώματος τὴν ἐσθῆτα τὴν ἑαυτῆς ἡ ἀεὶ πολὺν τοῦ ἡμετέρου καλοῦ τιθεμένη λόγον ὥς τινα κλῆρον ἡμῖν δίδωσιν. ὅπως δὲ τοῦτο γέγονε καὶ τίνα τρόπον εἰς ἡμᾶς f. 186 τὸ μακάριον τοῦτο δώρημα περιῆλθε καὶ || τὸν ἄσυλον θησαυρὸν ἡ Κωνσταντίνου πεπλούτηκεν, ὁ λόγος ἤδη δηλώσει.

44. Λέων ὁ μέγας, ὁ κατ' ἐκεῖνο καιροῦ τὰ Ῥωμαίων σκῆπτρα κράτιστα διιθύνων, οὗτος ὁ εὐσεβὴς Λέων δύο τινὰς ὑφ' ἑαυτὸν εἶχε τὴν τοῦ στρατοπέδου μετιόντας ἀρχήν, ὧν τῷ μὲν Γάλβιος, Κάνδιδος δὲ θατέρῳ τὸ ὄνομα, ἀδελφοὺς τὸ γένος, τὴν ἀρετὴν ἀδελφούς, καὶ συνελόντα φάναι, τὰ μὲν ἄλλα σφόδρα διαφανεῖς καὶ

10 κηδίαν M² || 13—14 τοιούτου καλοῦ M² || 14 γὸῦν M¹, γοὺν M² || 19 αὐτὸσ τὲ M¹ || A v. 23 *incipit narratio de depositione vestis in* M³ || 25 διαπαντὸσ *libri* || 29 *In cod.* M¹ *f. 186 supra textum eadem, ut videtur, manu scriptus est titulus:* + πε(ρὶ) τῆσ τιμί(ας) ἐσθῆτο(ς) + || 31 κατεκεῖνο M³ || 32 διηθύνων M³ || 33 ἀρχὴν *om.* M³

ὀλίγοις ὁμοίους, ἑνὶ δὲ τῷ μεγίστῳ καταδεεῖς, εἴπερ δὴ τὸ περὶ τὴν πίστιν μὴ ὑγιῶς ἔχειν ἐν τοῖς μεγίστοις ἐστὶ νοσεῖν καὶ καιριωτάτοις· τῆς γὰρ Ἀρείου λύμης καὶ οὗτοι μετειληφότες ἐτύγχανον, | ἐκ πα- *col. 2* τρικῆς ἴσως παραδόσεως τοῦ κακοῦ καθάπερ κλήρου τινὸς ὡς αὐτοὺς ἐλθόντος· ἐλέγοντο γὰρ ἐγγύτατα γένους ἔχειν Ἀρδαβουρίῳ καὶ Ἄσπαρι, τοῖς κατ' ἐκείνους δὴ τοὺς καιροὺς τὰ βασίλεια τυραννήσασιν, οὓς τὰ Ἀρείου φρονεῖν ἐπιφανῶς ἤλεγξεν ἡ ἀλήθεια. πλὴν ἀλλὰ Κάνδιδόν τε καὶ Γάλβιον ἡ τοῦ Θεοῦ χάρις, καλῶς καὶ ὡς αὐτῷ φίλον περὶ τἄλλα ἔχοντας, οὐκ εἴασεν ἀφωτίστους εἶναι περὶ αὐτὸ τῆς σωτηρίας τὸ καιριώτατον, ἀλλὰ μετάγει τούτους ἐκ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν οὕτω βεβαίως, ὡς μὴ μόνον αὐτοὺς ὀρθῶς ἔχειν καὶ ἀσφαλῶς πρὸς εὐσέβειαν, ἀλλὰ καὶ τοὺς ἄλλους, ὅσους ἂν μάθοιεν πρὸς ἀλήθειαν μὴ ὀρθοποδεῖν, || σπεύδειν ὁπόση *f. 186ᵛ* δύναμις ὁμοδόξους ἑαυτοῖς εἶναι παρασκευάζειν. οὕτως εὐσεβῶς διακείμενοι καὶ οἰκτιρμοῖς πενήτων ἑαυτοὺς ἐπιτρέπουσι σφόδρα μεγαλοψύχως, οἷα τῇ ἐπιγνώσει τῆς ἀληθείας Χριστὸν ἀμείψασθαι προθυμούμενοι. ἡ τοίνυν ὑπέραγνος μήτηρ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν θησαυρὸν ἄσυλον τὴν ἰδίαν ἐσθῆτα τῇ ἑαυτῆς πόλει χαρίσασθαι βουλομένη διὰ τῶνδε τῶν φιλοθέων ἀνδρῶν θειοτέρῳ τινὶ τρόπῳ γενέσθαι τοῦτο οἰκονομεῖ. ἔχει δὲ ὁ τρόπος οὕτως.

45. Ἐπιθυμίαν αὐτοῖς ἐνσπείρει τῆς τῶν ἁγίων τόπων τῶν ἐν Ἱεροσολύμοις· φημὶ προσκυνήσεως· ὃ δὴ καὶ γίνεται τούτοις, Λέοντι | καὶ Βηρίνῃ τὸ πρᾶγμα προσαγγελθέν, ὅμιλον οὐκ ὀλίγον τῶν οἰκείων *col. 2* τε καὶ φίλων ἐπαγομένοις. ὡς οὖν ὁδοῦ εἴχοντο καὶ ἤδη κατὰ Παλαιστίνην ἐγένοντο, τὴν εἰς Γαλιλαίαν φέρουσαν προτιμῶσι μᾶλλον τῆς παραλίου, πλείονα λόγον θέμενοι τοῦ καὶ τῆς Ναζαρὲτ θεαταὶ γενέσθαι καὶ τῆς Καπερναούμ, ἢ τέρψεων ἀπόνασθαι παραλίων· ὧν ἡ μὲν ἱερὸν τῆς Θεοτόκου γέγονεν οἰκητήριον, ἐν ταύτῃ γὰρ προελθόντα τὸν Θεοῦ λόγον ἐξ αὐτῆς ἐθεάσατο, ἡ δὲ φίλον αὐτοῦ καὶ σύνηθες καταγώγιον· ἐνταῦθα οὖν, ὥσπερ ἔφημεν, γενομένοις ἐπείπερ ὁ καιρὸς οὐκ ἐδίδου περαιτέρω χωρεῖν, ἑσπέρα γὰρ ἦν ἤδη καὶ || νὺξ ἀφεγγής, ᾠκονόμητο δὲ καὶ τοῦτο πάντως οὐκ ἀθεεί, κώμη *f. 187* μὲν αὐτοὺς ὑπεδέχετο καὶ κώμη μικρά, ᾤκουν δὲ ταύτην ἄλλοι τε οὐκ ὀλίγοι καὶ δὴ καὶ γύναιον ἁγνείᾳ φαιδρὸν καὶ ἀτεχνῶς κοσμιώτατον, γήρᾳ μὲν βαθεῖ καὶ τριχῶν λευκότητι τιμωμένη, πολλῷ δὲ

5 ἔλεγον τὸ γὰρ **M²** || 6 κατεκείνουσ **M²M³** || 7 διήλεγξεν **M³** || 8 γάλβιόν τε καὶ κάνδιδον **M³**; ἡ τοῦ Θεοῦ χάρις *om.* **M³** || 9 τἄλλα **M¹**, τᾶλλα **M²**, τ'ἄλλα **M³** || 14 ἑαυτοὺσ **M³** || 19 φιλουμένων *pro* φιλοθέων **M³** || 20 τοῦτο γενέσθαι **M³** || 26 ναζαρὲθ **M²** || 28 ταύτῃ γὰρ **M¹**, ταύτῃ τὲ **M²M³** || 29 θν̄' *pro* Θεοῦ **M³** || 31 ἦν *om.* **M³** || 33 ταύτῃ *pro* ταύτην **M³**

μᾶλλον ἀρετῶν κόσμῳ φαιδρυνομένη· παρὰ ταύτῃ γοῦν ὁ τῆς ἐσθῆτος θεῖος τεταμίευτο θησαυρός· πῶς δ'ἂν ἐκείνη τοσούτου πράγματος φύλαξ ἦν, εἰ καὶ μὴ ἀρετῶν κάλλει καὶ ψυχῆς κεκόσμητο καθαρότητι; καίτοι γε Ἑβραία ἦν ἡ γυνή· φίλη γὰρ ἡ ἀλήθεια· πλὴν col. 2 *ἀλλὰ τὴν ἐκείνης ψυχὴν χωρίον ἂν εἴπες τὸ | μὲν νῦν ἔχον ἀφεγγές, εὔχρηστον μέντοι πρὸς ὑποδοχὴν φωτὸς καὶ ἀκριβῶς ἐπιτήδειον· θεία δὲ κἀν τούτῳ φανερῶς ἡ οἰκονομία, ἵνα καὶ πιστευθῇ πλεῖον τὸ χρῆμα φανερωθὲν παρ' οὕτως ἐχούσῃ ταμιευόμενον, ἢ κρύπτειν ἔσπευδε μᾶλλον ὁπόσῃ δύναμις.*

46. Ὅρα τοιγαροῦν τῆς οἰκονομίας τὸ χαριέστατον· παρὰ ταύτῃ γὰρ ἐλθόντες ἐπιξενοῦνται Γάλβιός τε καὶ Κάνδιδος οἱ σοφοί, τῆς θείας χάριτος οὕτω χειραγωγούσης αὐτούς· ἦν δὲ τῷ κρυπτομένῳ μόνῳ θαυμαστὸς ὁ οἶκος, τὰ δ' ἄλλα οὐδὲν μέγα ἔχων, ἀλλὰ τὰ ἔσχατα εὐτελής. ἡνίκα τοίνυν εἰς δεῖπνον αὐτοὺς ὁ καιρὸς ἐκάλει, f. 187v *κατακλιθέντες δρῶσιν || ἕτερον ἐνδοτέρω οἴκημα, πολλῷ μὲν φωτὶ λυχνιαίῳ διαλαμπόμενον, πολλοῖς δὲ θυμιάμασί τε καὶ μύροις καταπνεόμενον, πλῆθός τε ἀρρωστούντων ἐν αὐτῷ κείμενον· ἐξ οὗ θεῖον μέν τι καὶ σεβάσμιον εἶναι τὸ βλεπόμενον ὑπενόουν, οὐ μὴν εἶχον ὅλως θηρᾶσαι τοῦ πράγματος τὴν ἀλήθειαν· μετακαλοῦνται τοίνυν σύσσιτον αὐτοῖς γενέσθαι τὸ καλὸν ἐκεῖνο γραΐδιον, γνῶναί τι τοῦ ζητουμένου γλιχόμενοι παρ' αὐτῆς· ἡ δὲ ἀνένευε πρὸς τοῦτο, τὴν θρησκείαν αἰτιωμένη καὶ ὡς οὐ θεμιτὸν Ἑβραίᾳ οὔσῃ τροφῆς χριστιανοῖς συμμετέχειν· οἱ δὲ τῷ πολυδίψῳ τῆς τοῦ προκειμένου* col. 2 *γνώσεως ἀνένδοτοι τὴν | ῥοπὴν ὄντες καὶ ἔτι ἐκθύμως ἐκάλουν καὶ πρὸς τὴν ἐκείνης ἀπείθειαν ἰσχυροτέραν τὴν ἔνστασιν ἀντετίθουν, «Καὶ τί γάρ» λέγοντες «ἐμποδών ἐστιν, εἰ σῖτα μὲν τὰ σά, ὧν συνήθως αὐτὴ μετέχεις, μετὰ σοῦ λαβοῦσα ἡμῖν μὲν ὁμιλίας, τροφῶν δὲ τῶν σῶν κοινωνήσεις μόνη»; πείθεται τούτοις ἡ γυνὴ καὶ συνέρχεται.*

47. Καὶ ἐπεὶ τροφῆς ἱκανῶς εἶχον, κοινῶς αὐτῇ τὴν ἀξίωσιν οἱ ἄνδρες προσῆγον γνωρίσαι τούτοις ἀφθόνως, τί ποτε ἄρα εἶεν τὰ τῷ προσωτέρῳ οἴκῳ τελούμενα· ἐνόμιζον γὰρ νομικόν τι εἶναι καὶ τῶν σκιωδῶν ἐκείνων καὶ παλαιῶν. ἡ δὲ τὰ μὲν ἐνεργούμενα λέγει, f. 188 *τὸ αἴτιον δέ, ᾧ ταῦτα ἐνεργοῦν||ται, ἥκιστα ἐκκαλύπτειν πείθεται. «Ὁρᾶτε γάρ, ὦ θειότατοι, τῶν νοσούντων» εἶπε «τὸ πλῆθος· καὶ*

2 *θεῖοσ οὗτοσ* M^3 || 3 *εἰ μὴ καὶ* M^3 || 4 *ἑβραῖα* **libri**; *φίλον* **pro** *φίλη* M^3 || 5 *ἀλλὰ καὶ τὴν* M^3 || 7 *κἂν* M^3 || 10 *ὅρα γὰρ τοιγαροῦν* M^3 || 13 *μόνῳ* **om.** M^3 || 16 *τε* **om.** M^3 || 17 *πλῆθος τε* M^1M^2, *τε* **om.** M^3 || 18 *μέν|τοι* M^1M^2 || 19 *θηρᾶσθαι* M^3 || 20—21 *γνῶναι τί περὶ τοῦ ἐξαιτουμένου* M^3 || 22 *ἑβραία* M^2M^3; *χριστιανοῖσ τροφῆσ* M^3 || 23 *τῆς* **om.** M^2; *πολὺ δίψει* M^3 || 26 *ἔλεγον* **pro** *λέγοντες* M^2 || 30 *ἄρα* M^2 || 34 *ὧν* **pro** *ᾧ* M^3 || 34 *γοῦν* **pro** *γὰρ* M^3

γὰρ τῷ Θεῷ δοκοῦν ἐν τῷδε τῷ τόπῳ δαίμονες μὲν ἐξελαύνονται, τυφλοῖς δὲ τὸ βλέπειν ἐλευθερίως, χωλοῖς τὸ περιπατεῖν, κωφοῖς τὸ λέγειν τε καὶ ἀκούειν θαυματουργεῖται, ἄλλαι τε νόσοι καὶ πηρώσεις σωμάτων ἰατρῶν τέχναις παρ' οὐδὲν ἰάσιμοι εὐχερῶς θεραπεύονται». οἱ δὲ — οὐ γὰρ ἀσυνέτοις ἀνδράσιν ἐοικότες ἦσαν οὐδὲ ὃ πυνθάνεσθαι ἔδει ἐξ ὠφελείας αὐτοὶ παρελίμπανον — «Πόθεν δὲ τὴν ἀρχὴν ὁ τόπος» ἤροντο «τοῦ τοιαῦτα εἴληφεν ἐνεργεῖν»; κἀκείνη «Παρ' ἡμῖν» ἔφη «τοῖς | Ἑβραίοις πατροπαράδοτος ἐπικρατεῖ col. 2 *λόγος τὸν Θεὸν ἐν τῷδε τῷ τόπῳ ὀφθῆναί τινι τῶν πατέρων, ἐξ οὗ φυλαχθῆναι τῷ τόπῳ τὸ χάρισμα». ταῦτα λεγούσης ἐκεῖνοι τὴν καρδίαν συντιθεμένην οὐκ εἶχον, ἀλλ' ἐῴκει τούτοις τὸ γύναιον, ὥσπερ ἄρα καὶ ἦν, πιθανῶν ῥημάτων εὐπροσωπίᾳ τὸ ἀληθὲς ἐπικρύπτειν. τοιγαροῦν αὐτοὶ μὲν καὶ ἔτι θερμότερον ἠξίουν ἀνακαλύψαι τούτοις τὸ ὄν, αἰδεσθεῖσαν εἰ μή τι ἕτερον, ἀλλὰ κόπον γε τοσαύτης ὁδοιπορίας, οὐδὲν εἰς πρόφασιν ἄλλο ἔχοντα, ὅτι μὴ θέαν ἁγίων τόπων καὶ ἀκοὴν ἱερῶν λόγων καὶ φιλοθέων. ἐκείνη δὲ οὐδὲ οὕτως ὑφίει, ἀλλ' ἔμενεν ὡς ἔκρινεν, || αἰσχύνην ἡγουμένη τῆς θρη-* f. 188v *σκείας σαφῆ τῆς ἀληθείας τὴν ἀνακάλυψιν, οὐδὲν πλέον εἰδέναι λέγουσα, ὅτι μὴ θείας χάριτος πεπλῆσθαι τὸν τόπον.*

48. Ἐπεὶ δὲ ἐκεῖνοι καλῶς ᾔσθοντο γινώσκειν μὲν ἀκριβῶς, φεύγειν δὲ ὅμως τὸ γινώσκουσαν εἶναι δήλην καὶ διὰ τοῦτο προσποιεῖσθαι τὴν ἄγνοιαν, λιχνότεροί τε πρὸς τὴν εὕρεσιν τοῦ ζητουμένου καθίσταντο καὶ τὴν καρδίαν, ὡς οἱ περὶ Κλεόπαν, ἀνακαίεσθαι ἤρξαντο[1]*· ἠρέθιζε γὰρ αὐτοὺς ἡ βουλομένη Βυζαντίοις ἄσυλόν τινα καὶ θεῖον χαρίσασθαι θησαυρόν. εὐθὺς οὖν πάντα λίθον ἐκίνουν, ὥστε τὸ γύναιον τῆς ἀκινήτου ταύτης ἐνδε|δωκὸς ἐπικρύψεως* col. 2 *φανερὸν αὐτοῖς θέσθαι τὸ σεσιωπημένον· ἀμέλει καὶ ὅρκων ἀνάγκην ἐπῆγον, ὅρκων ἰσχυρῶν καὶ οἵων παράστημα ψυχῆς ἄμαχον κατεργάσασθαι. οὕτω πανταχόθεν αὐτὴν διαδήσαντες καὶ ὥσπερ ἄφυκτα δεσμὰ περιθέντες πείθουσι μόλις πρὸς τὴν τοῦ πράγματος ἀνακάλυψιν. στενάξασα γοῦν τι βύθιον καὶ δεδακρυμένον καὶ τὸ ὄμμα εἰς γῆν πήξασα, καθάπερ αἰσχυνομένη ἑαυτὴν τῆς ἐξαγορεύσεως, «Ὦ ἄνδρες», φησίν, «οὐδέπω μέχρι καὶ τήμερον τὸ θεῖον τοῦτο μυστήριον ἀνδρὶ δῆλον κατέστη. ὅρκῳ γὰρ αἱ ἐμαὶ πρόγονοι μιᾷ γυναικὶ παρέδοσαν καὶ ταύ||τῃ παρθένῳ κατὰ γενεὰν παραδίδοσθαι. ἀλλ' ἐπείπερ* f. 189

3 *τε καὶ ἀκούειν om.* **M²M³**; *ἄλλαί τε* **M²M³** || 5 *οἱ δὲ om.* **M³**, *mox οὐδὲ γὰρ* || 9 *ὀφθῆναι τινὶ* **libri** || 16—17 *οὐδ' οὕτωσ* **M³** || 17 *ὥσπερ pro ὡς* **M²M³** || 21 *διατοῦτο* **M³** || 23 *κλέωπαν* **M³** || 28 *οἷον* **M²M³** || 31 *γδῦν* **M¹**, *γουν* **M²M³**; *βύθιόν τε καὶ δεδακρυμμένον* **M³** || 34 *παρέδωσαν* **M³** || 35 *παρεδίδοσθαι* **M³**

1) Luc. 24, 32.

αἰδεσίμους ὑμᾶς καὶ θεοσεβεῖς ἄνδρας θεωρῶ, ἄλλως τε δέ — καὶ τοῦτο γὰρ ὑμῖν γνωριῶ — ἐπεὶ μέχρις ἐμοῦ τὸ τοῦ γένους ἡμῶν περιέστη θῆλυ καὶ οὐκ ἔστιν ἄλλη μετ' ἐμὲ παρθένος, ᾗ τὴν γνῶσιν τοῦ μυστηρίου παρ' ἐμοῦ πιστευθείη, φανερὸν εἰς ὑμᾶς ἄρτι τὸ πρᾶγμα ποιῶ· οἶμαι γάρ, ὅτι καὶ ὑμεῖς τὸν λόγον παρ' ὑμῖν ἕξετε φυλαττόμενον. Μαρίας ἐκείνης τῆς Θεοτόκου — τοῦτο γὰρ ἄνωθεν ἡμῖν ἐστι παραδεδομένον — ἐσθὴς ἐνταῦθα κεῖται φυλαττομένη.» ἔφριξαν καὶ μόνην οἱ ἄνδρες τοῦ πράγματος ἀκούσαντες τὴν ἀρχήν. | col. 2 ἔπειτα ἡ γυνὴ προσθεῖσα «Καὶ γὰρ ἡ Θεοτόκος αὕτη» φησί «τελευτῶσα τὸν βίον δυσὶ γυναιξὶ παρθένοις δύο αὐτῆς ἐσθῆτας ἐν εὐλογίας μέρει δεδώρηται· ὧν ἡ μία, γένους οὖσα τοῦ ἐμοῦ πρόγονος, κομισαμένη τὸ δωρηθὲν ἐν κιβωτίῳ τε ἔθετο καὶ ταῖς τοῦ γένους ἐνετείλατο πάντως παρθένον εἶναι τὴν κατὰ μίαν αὐτὸ διαδεχομένην. ἔστι τοιγαροῦν τὸ κιβώτιον ἐν ᾧ βλέπετε νῦν ἐνδοτέρῳ οἰκήματι τεταμιευμένον, καὶ ἡ ἐνοῦσα τούτῳ ἐσθὴς αὕτη τῶν γινομένων πάντων θαυμάτων αἰτία. οὗτος, ὦ ἄνδρες, τοῦ ζητουμένου παρ' ὑμῶν ὁ ἀληθὴς λόγος, καὶ ὅπως ἄχρις ὑμῶν ἡ γνῶσις αὐτοῦ f. 189v περισταίη καὶ || γνῷ τῶν ἐν Ἱερουσαλὴμ ἁπάντων οὐδείς».

49. Τούτων ἀκούσαντας ἔτι μείζων ὁ φόβος εἰσῄει τοὺς ἄνδρας, εὐφροσύνῃ μεμερισμένος· ὁ φόβος μὲν ἐν τῇ τῶν ἀκουσθέντων μεγαλειότητι, ἡ εὐφροσύνη δὲ τῷ μυστηρίων κοινωνῆσαι τοιούτων. τί τοίνυν τὸ ἀπὸ τοῦδε; εἰς γῆν ἑαυτοὺς ῥίπτουσιν οἱ ἄνδρες καὶ τῶν ἐκείνης ποδῶν ἐχόμενοι, «Ὡς μὲν οὐδενὶ τῶν ἐν Ἱερουσαλὴμ» εἶπον «γνώριμον τὸ λαληθὲν ἡμῖν ἔσται, μηδεμία σοι, ὦ δέσποινα — δέσποιναν γὰρ ἤδη σε καλοῦμεν μυστηρίων τοιούτων ἠξιωμένην — μηδαμῶς ἔστω ἀμφιβολία· αὐτήν σοι μάρτυρα τούτου τὴν Θεοτόκον προσάγομεν· ἓν μέντοι καὶ ἄλλο δεομένοις ἡμῖν ἐπίνευσον· ἡ δὲ col. 2 δέησις, | ὥστε πρὸς τῷ τόπῳ ἡμᾶς, ᾧ τὸ θεῖον τοῦτο ἀπόκειται, διακαθευδῆσαι». εὐθὺς οὖν ἐπιτρέψαν τὸ γύναιον, αἱ μὲν στρωμναὶ παρὰ τὸν τόπον εἰσήχθησαν, ἐκεῖνοι δὲ οὐ πρὸς ὕπνον ἑαυτοὺς ἀνῆκαν, ἀλλ' ἡσυχίας νυκτερινῆς λαβόμενοι παρ' ὅλην νύκτα διετέλουν προσευχῇ τε σχολάζοντες καὶ θερμοῖς δάκρυσι τῇ Θεοτόκῳ χάριν ὁμολογοῦντες ἀνθ' ὧν ἀκουσμάτων τε τοιούτων καὶ ἁγίων θέας γεγόνασιν ἄξιοι· ἐπεὶ δὲ καὶ τοὺς νοσοῦντας εἶδον ὕπνῳ κατενε-

1 ἄνδρασ ὁρῶ M²M³ || 6 ἡμῖν ἄνωθεν M³ || 9 ἡ γυνὴ om. M³ || 11 προγόνου M³ || 12 τὲ libri || 16 ἁπάντων, omisso θαυμάτων M³ || 18 τὴν pro τῶν M³ || 19 ἀκούσαντεσ M³ || 20 μεμερισμένουσ M¹M² || 21 ἡ om. M²M³; τοιούτω M³ || 24 μὴ δὲ μία M¹, μηδεμία M², μηδὲμιᾶσοι M³ || 25 σοι pro σε M² || 26 ἀμφιβολεῖν M¹ || 27 προσάγωμεν M³; ἡμῖν om. M³ || 28 πρὸς om. M³ || 29 ἐπιστρέψαν M³ || 32 τὲ M¹ || 33 τὲ M¹M³

χθέντας, λαμβάνουσι πανταχόθεν τὴν τοῦ κιβωτίου περίμετρον, ᾧ τὸ θεῖον περιβόλαιον ἐγκείμενον ἦν, αὐτό τε τοῦ ξύλου τὸ εἶδος, οὗπερ ἡ κιβωτὸς πε||ποίητο, περιέργως ἀκριβωσάμενοι· ἔπειτα ἐξελ- *f. 190* θόντες κατ' αὐτὸ τὸ περίορθρον τὴν σεμνὴν γυναῖκα ἠσπάσαντο καὶ εἴπερ ἐξ Ἱεροσολύμων δέοιτό τινων θαρρούντως ἐπιτρέψαι παρακαλέσαντες, πάλιν γὰρ διὰ τῆς αὐτῆς ἐλεύσονται παρ' αὐτήν, εἶπον, ὁδοῦ, τῆς πρὸς τὰ Ἱεροσόλυμα εἴχοντο, ἐκείνης μηδενὸς ἑτέρου δεῖσθαι παρ' αὐτῶν εἰπούσης, ἢ τῶν εὐχῶν καὶ τοῦ πάλιν αὐτοὺς εὐθυμοῦντας ὄψεσθαι.

50. Γενόμενοι τοιγαροῦν Γάλβιός τε καὶ Κάνδιδος ἐν Ἱεροσολύμοις καὶ τοῦτο μὲν Θεῷ τὰς εὐχὰς ἀποδόντες, τοῦτο δὲ πτωχοῖς καὶ ἐνδεέσιν ἀφθονωτέραν ὑποσχόντες τὴν δεξιάν, καλοῦσί τινας ἐν ἀπορρήτῳ τῶν|ξυλουργεῖν εὖ ἐπισταμένων, οἷς ὁμοίου κατα- *col. 2* σκευὴν ἐπιτάττουσι κιβωτίου, πρός τε τὰ μέτρα, ἃ παρειλήφασι, καὶ τὸ σχῆμα καὶ τοῦ ξύλου τὸ εἶδος, παλαιὸν εἶναι καὶ αὐτὸ κελεύσαντες, ἵνα μηδὲν ὅλως ἐπισημαίνοι διὰ τὸ ἀκριβῶς ὅμοιον. σοφίζονται δὲ καί τι πλέον εἰς ἐπίκρυψιν τοῦ γενησομένου καὶ ἐπίχρυσόν τι ἐπίβλημα ἐπικτῶνται, ὥστε τούτῳ συγκαλύπτεσθαι τὸ κιβώτιον. ἐπεὶ οὖν τὰ τῆς εὐχῆς καὶ τῆς μεταδόσεως καλῶς ἔσχεν αὐτοῖς, λαβόντες ἅμα τὸ ἐπιτεχνηθὲν εἰς τὴν κώμην ἐπανίασιν εὐθύμως καὶ ὑγιῶς, ἀρώμασί τε καὶ θυμιάμασι τοῖς πρὸς ἱερουργίαν ἐπιτηδείοις τὴν σεμνὴν||γυναῖκα δεξιοῦνται· καὶ ἡ μὲν δέχεται πάλιν τοὺς ἄν- *f. 190ᵛ* δρας περιχαρῶς, ὡς ἤδη συνήθεις, οἱ δὲ αἰτοῦσι παρ' αὐτῆς ὡς τὸ πρότερον εἰς τὸ ἱερὸν οἴκημα διανυκτερεῦσαι· ἡ δὲ καὶ αὖθις ἐφίησιν, οὐδὲν τὸ παράπαν ὑπιδομένη· καὶ αὐτοὶ εἰσελθόντες κατὰ σχολὴν πᾶσαν εὐχαῖς ἐχρῶντο πρὸς τὴν τοῦ Θεοῦ ἄμωμον μητέρα, δάκρυσι ταύτας ὡς ἱερὰν θυσίαν καταπιαίνοντες, «Οὐκ ἀγνοοῦμεν οἱ σοὶ δοῦλοι, θειοτάτη» λέγοντες «καὶ ὑπερένδοξε δέσποινα, οἷα τῷ Ζὰν ἐκείνῳ συνέβη τῆς κατὰ νόμον κιβωτοῦ ἅψασθαι πάλαι θρασυνομένῳ. πῶς οὖν ἡμεῖς οἱ πολλαῖς ἔνοχοι ἁμαρτίαις σοῦ μὴ κελευούσης τῆς|θείας κιβωτοῦ ταύτης τολμήσαιμεν ὅλως ἅψασθαι, *col. 2* ᾗ τοιοῦτος ἔνδον ἐναπόκειται θησαυρός; καὶ οὐχὶ μόνον ἅψασθαι βεβήλοις χερσίν, ἀλλὰ καὶ ἀλλαχόσε ταύτην μετενεγκεῖν. ἐπίνευσον οὖν τῷ θελήματι τῶν ἡμετέρων ψυχῶν, ἡ ἀγαθὴ τοῦ ἀγαθοῦ μήτηρ·

2 τε *om.* M^3 || 4 τὸ *om.* M^3 || 5 δέοιτο τινῶν *libri*; θαρούντωσ M^3 || 10 γάλειόσ τε M^2 || 11 τὰσ εὐχὰσ θῶ M^3 || 11—12 πτωχοῖσ τε καὶ M^3 || 12 καλοῦσι τινὰσ *libri* || 15 τὸ τοῦ ξύλου εἶδοσ M^2 || 16 ἐπισημένοι M^3 || 17 καὶ *ante* ἐπίχρυσον *om.* M^3 || 21 θυμιάμασιν M^1 || 22 πάλιν *om.* M^3 || 25—26 κατασχολὴν M^2 || 27 ταύτην M^3 || 28 ὑπὲρ ἔνδοξε M^3 || 31 ἅψασθαι ὅλωσ M^2 || 32 ἀπόκειται M^3, *mox* καὶ *om.* M^3 || 33 μετενεγκεῖν | ταῦτην M^3

πρὸς γὰρ τὴν πόλιν τὴν σὴν ἡ μετάθεσις, ἣ πασῶν τῶν ἄλλων ἐστὶ βασιλὶς καὶ ἀεὶ τὰ σὰ τιμᾶν ἐπιμελῶς ἔγνωκε· ταύτῃ δῶρον ἡμεῖς τὸ θεῖον τοῦτο διακομίσαι νῦν ἐσπουδάκαμεν εἰς ἀσφάλειάν τε καὶ δόξαν αὐτῆς οὐδέποτε σβεννυμένην». τοιαῦτα διὰ πάσης νυκτὸς ἐν προσευχῇ λέγοντες, δάκρυσί τε τὸ ἔδαφος καταβρέχοντες, f. 191 θάρ||σους ἀθρόον ὑπόπλεω γίνονται, θάρσους εὐλαβείᾳ συγκεκραμένου· εἶτα τῷ θείῳ προσέρχονται κιβωτίῳ χαιρούσῃ ἅμα καὶ τρεμούσῃ ψυχῇ, καὶ ἐπεὶ πᾶσι τοῖς ἐκεῖ κοιμωμένοις ὁ ὕπνος ὑπεῖχεν ἀναισθησίαν — ὦ μακαρίων χειρῶν, ὦ κλέμματος ψόγου κρείττονος, — λαμβάνουσι τοῦτο, συνευδοκούσης πάντως αὐτοῖς καὶ τῆς χάριτος, καὶ τὸ μὲν οὕτως αἴρουσιν, ἀντιτιθέασι δὲ ὅπερ ἐν Ἱεροσολύμοις καθ' ὁμοίωσιν ἐτεκτήναντο, ἐπιθέντες αὐτῷ καὶ προκάλυμμα, ὅπερ ἐπίχρυσον αὐτοῖς ἐπίβλημα ἦν, ὡς ὁ λόγος φθάσας ἤδη ἐδήλωσεν.

col. 2 51. Ἅμα δὲ φωτὶ ἀσπάζονται | μὲν τὴν ἱερὰν γυναῖκα τὰ συντακτήρια, ἀξιοῦσί τε μὴ διαλείπειν ὑπερεύχεσθαί τε αὐτῶν καὶ μνήμην ποιεῖν, εἶτα καὶ τὸ προκάλυμμα ταύτῃ δακτύλῳ διασημαίνουσι, συγκαλύπτον δῆθεν τὸ ἀληθὲς καὶ πρῶτον κιβώτιον, ὃ καὶ τῇ γυναικὶ ἔδοξε τιμῆς λόγῳ παρ' ἐκείνων προσενηνέχθαι, πρὸς δὲ καὶ τοῖς εὑρεθεῖσι πένησιν ἀγαθοὶ τῶν εἰς χρείαν χορηγοὶ φανέντες ἐπανόδου εὐθὺς ἥπτοντο σφόδρα χαίροντες.

Ἐπεὶ δὲ καὶ τὸ Βυζάντιον αὐτοὺς εἶχεν, οὐ καλὸν ἑαυτοῖς ἔκριναν εἶναι τοῖς κατ' ἐκεῖνο καιροῦ βασιλεύουσιν ἢ τῷ πατριάρχῃ f. 191v κοινώσασθαι τὸ μυστήριον· δέος γὰρ αὐτοὺς εἰσῄει, μὴ ὅπερ || αὐτοὶ ἔθεντο σφέτερον ἀγαθὸν ὑπ' ἐκείνων ἀφαιρεθεῖεν. πολλὰ τοίνυν βουλευσαμένοις αὕτη ἔδοξε γνώμη κρατίστη, ἀφανῶς αὐτοὺς καὶ τῆς Θεοτόκου πάντως πρὸς τοῦτο κινούσης· χῶρος αὐτοῖς ἦν πρὸ τοῦ τείχους τοῦ ἄστεος, ἐγγίζων τῷ θαλασσίῳ κόλπῳ τοῦ Κέρατος· ὄνομα Βλαχέρναι τῷ τόπῳ. ἐν τούτῳ εὐκτήριον μὲν ἐγείρουσιν οἶκον, πάνυ δὲ φροντίζοντες τοῦ λαθεῖν, Πέτρου τοῦ κορυφαίου καὶ Μάρκου τὸν οἶκον κατονομάζουσιν. ἐν αὐτῷ γοῦν τὸ ἱερὸν ἐκεῖνο θησαύρισμα θέμενοι πᾶσαν εὐθὺς ἐποιοῦντο σπουδήν, ὥστε τὸν ναὸν ἀδιαπαύστου μὲν τῆς ὑμνῳδίας, ἀδιαπαύστου δὲ τῆς τῶν col. 2 ἀρωμάτων εὐωδίας, ἀλήκτου δὲ καὶ τῆς τῶν φώτων | ἀπολαύειν λαμπρότητος. καὶ οὕτω μὲν ἐπὶ πολὺ χρόνου τὸ θεῖον τοῦτο διετέλει μυστήριον, μυστήριον ὄντως ὄν.

1 πάντων ἄλλων M^3 || 6 συγκεκραμμένου M^3 || 8 κειμένοισ M^2M^3 || 12 καθομοίωσιν M^2 || 13—14 ἤδη φθάσασ M^3 || 15 τὰ om. M^3 || 16 ἀξιοῦσι τὲ M^1M^3; ἀξιοῦσι τε M^2; ὑπὲρ|εὔχεσθαί M^3 || 23 κα|τεκεῖνο — βασιλέ|βουσιν M^3 || 24 αὐτοὺς om. M^3; εἰσίει M^3 || 28 ἄστεωσ M^3 || 31 γὄῦν M^1, γοὺν M^2M^3 || 32 κατὰ πᾶσαν M^2M^3 || 35 πολὺν χρόνον M^3

52. Ἐπεὶ δὲ ἡ δι᾽ αὐτοῦ τιμωμένη καὶ ἧς ἐκεῖνο τὸ περιβόλαιον ἦν ἐπὶ μόνοις δυσὶν οὐκ ηὐδόκει τοσοῦτον ἀγαθὸν συνεστάλθαι καὶ ὡς ἐν βάθει τινὶ τῇ σιωπῇ κρύπτεσθαι καὶ τὸν κοινὸν πλοῦτον ἴδιον αὐτῶν γίνεσθαι μόνων καὶ τῆς κοινῆς πανδαισίας μόνους ἐκείνους τρυφᾶν, ὑποκινεῖ τούτους πρὸς τὴν τοῦ σεσιωπημένου φανέρωσιν· καὶ προσελθόντες ἀναγγέλλουσι τοῖς τότε κρατοῦσι καὶ οἷον ἦν τὸ θαῦμα διατρανοῦσι καὶ φανεροῦσιν, ὅπως διακεκόμισται. τοὺς δὲ ἀκούσαντας μεγάλη λαμβάνει χαρά, καὶ παρα||χρῆμα τὸ *f. 192* κεκρυμμένον δημοσιεύεται, καὶ μακάριοι μὲν ἐν πᾶσι Γάλβιός τε καὶ Κάνδιδος τῆς ὑπηρεσίας ταύτης λογίζονται καὶ δημοσίαις τιμῶνται τιμαῖς, θεῖος δὲ οἶκος ἀνὰ τὸν τόπον βασιλικαῖς δαπάναις τῇ Θεοτόκῳ οἰκοδομεῖται, καὶ σορὸς ἐξ ἀργύρου τε καὶ χρυσοῦ διασκευασθεῖσα τὸν ἱερὸν ἐκεῖνον θησαυρὸν ὑποδέχεται, πλείστοις τε ἄλλοις ἀναθήμασι καὶ δώροις ὁ οἶκος τιμᾶται. Λέων δὲ καὶ Βηρίνα (οὗτοι γὰρ ἦσαν οἱ τότε κρατοῦντες, ἐφ᾽ ὧν καὶ τὸ μέγα τοῦτο μυστήριον καὶ φανεροῦται καὶ πρὸς τὴν βασιλίδα πόλιν μετακομίζεται) καλῶς τε καὶ φιλευσεβῶς βασιλεύσαντες, ἔτι τε Γάλβιός τε καὶ Κάνδιδος | οἱ τὴν θείαν ταύτην διακονίαν χαριέστατα διακονησάμενοι πρὸς τὴν *col. 2* ἀγήρω μετατίθενται λῆξιν.

53. Οὕτω τοίνυν τῆς ἱερᾶς ἡμῖν ταύτης φερούσης σοροῦ οὐ πλάκας τινὰς μωσαϊκῇ χειρὶ λαξευθείσας, ἀλλ᾽ ἐσθῆτα θείαν κομιδῇ καὶ ὑπέρτιμον, ἣ οὐ μόνον τὸ ἄχραντόν τε καὶ ἄμωμον περιέβαλε σῶμα, ἀλλ᾽ ἐν ᾗ, θαρρούντως εἰπεῖν, καὶ νηπιάζων ὁ θεῖος λόγος ἐνειλήθη καὶ γεγαλούχηται, ὥστε καὶ σταγόσιν αὐτὴν κατερράνθαι τοῦ φρικτοῦ γάλακτος, ᾧπερ ἡ πάντων ὄντως τροφή τε καὶ ζωὴ τέθραπται, ἐξυμνεῖν μὲν αὐτὴν δὴ τὴν ἐσθῆτα οὐδεὶς πρὸς ἀλήθειαν λόγος ἐξαρκεῖ, εὐχαριστίᾳ δὲ μόνῃ τὸ πρᾶγμα δοτέον, αὐτῇ τε τῇ Θεοτόκῳ || χάριν ὁμολογούσῃ καὶ τῷ ταύτης υἱῷ, τῷ κοινῷ σω- *f. 192v* τῆρι καὶ βασιλεῖ, ὃς πάντα πρὸς ἡμετέραν λυσιτέλειάν τε καὶ σωτηρίαν οἰκονομεῖ. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

4 γενέσθαι M3 || 6 ἀναγγέλουσι M3; *in* M2 *post* κρατοῦσι *integer fere versus erasus* || 12 et 13 τὲ *libri* || 14 βηρῖνα M2 || 15 οἱ *om.* M3 || 16 καλῶσ τὲ M1M3 || 17 γάλβιοσ τὲ M1, τε *om.* M3 || 20 οὗτοι *pro* οὕτω M3 || 21 μοσαϊκῇ *libri* || 22 τότε *pro* τε M1; περιέστειλε *pro* περιέβαλε M2 || 24 ἐνειλήθει M3 || 25 τροφὴ τὲ M1 || 26 δὴ τὴν ἐσθῆτα *om.* M3 || 27 λόγος *om.* M3; τὲ M1 || 28 ὁμολογοῦσι M2M3

M1 f. 210 *Μηνὶ τῷ αὐτῷ κθ'.*

ΛΟΓΟΣ

διαλαμβάνων τὰ περὶ τῆς γεννήσεως καὶ ἀνατροφῆς καὶ ἀποτομῆς τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ προδρόμου καὶ περὶ τῆς εὑρέσεως τῆς τιμίας αὐτοῦ κεφαλῆς.

1. Ἰωάννην τὸ μέγα κλέος τῆς οἰκουμένης, τὸν βαπτιστήν, ἐπαι- col. 2 *νεῖν | μὲν ἅπασιν ἐφετόν, ἐπαινεῖν δὲ πρὸς ἀξίαν ἑνὶ τῶν πάντων οὐκ ἐφικτόν. τίς γὰρ ἐκείνῳ κατ' ἀξίαν πλέξει τὸν ἔπαινον, ὃν ὑπερκεῖσθαι πάντων ἀνθρώπων ὁ πάντων ἔφη δημιουργός; ἐπεὶ δὲ οὗτος φίλος ἐκείνου καὶ πρὸς ἀκρίβειαν μιμητής, φίλον ἂν εἴη καὶ αὐτῷ πάντως τὸ κατὰ δύναμιν. λεκτέον τοιγαροῦν τὰ ἐκείνου καὶ διηγητέον ἡμῖν, Λουκᾷ τῷ θείῳ κατ' ἴχνος ἑφεπομένοις, ὅθεν τε προῆλθε καὶ ὅπως καὶ τίνα τὴν ἀγωγὴν ἔσχε καὶ ποίῳ ἄρα πέρατι βίου ὁ πάμμεγας οὗτος καὶ θαυμαστὸς ἐχρήσατο. λεκτέον δὲ οὐχ ὡς ἀγνοοῦσι ταῦτα διηγουμένοις (πῶς γάρ, ἐπεὶ τὰ ἐκείνου πάντα τε* f. 210v *καὶ πᾶσιν || ἡδέως περιᾳδόμενα;), ἀλλ' ὡς ἡδονὴν πλείονα πάντως τῇ μνήμῃ καρπωσομένοις. ἔχει δὲ οὕτως.*

2. Κατὰ τοὺς Ἡρῴδου χρόνους, ὃς ἦρχε τῆς Ἰουδαίας, ἱερέα φησὶ γενέσθαι ὁ θεῖος οὗτος Λουκᾶς 1) Ζαχαρίαν μὲν ὄνομα, ἐξ ἐφημερίας δὲ Ἀβιά· δύο γὰρ ἱερεῖς ἦσαν, ἐκ διαδοχῆς τὴν λειτουργίαν ἀνῃρημένοι, ὅ τε Ἀβιὰ οὗτος καὶ Ζαχαρίας. ἐπεὶ οὖν ἱερατεύσειε τῇ λειτουργίᾳ ὁ Ἀβιά, μετὰ τὴν ἐκείνου ἐφημερίαν ἐλειτούργει καὶ Ζαχαρίας· ἐφημερίαν δὲ νοητέον οὐ τὸ προς ἡμέραν, ἀλλὰ τὸ πρὸς ἑβδομάδα μᾶλλον παραμένειν τῇ λειτουργίᾳ· τοῦτο γὰρ τοῖς παλαιοῖς ἔθιμον. εἶναι δὲ αὐτῷ καὶ γυναῖκα, ἐκ τῶν θυγατέρων μὲν

M4 ***est cod.*** *Mosq. 378* ***Vlad., ff.*** *255v—270* ***(in M3 haec oratio non exstat), in quo titulus orationis hic est:*** *Ὑπόμνημα εἰς τὸν ἅγιον Ἰωάννην τὸν πρόδρομον, ἐν οἷς καὶ τὸ μαρτύριον αὐτοῦ.* ***Imae paginae inscriptum est:*** *τοῦ λογοθέτου.*

3 *περὶ M1, ἀπὸ M2; καὶ* ***ante*** *ἀνατροφῆς* ***om.*** *M2* || **6** ***post titulum*** *M1* ***habet*** *κύ(ριε) εὐ(λόγησον)* || **9** *καταξίαν M2* || **12** *καταδύναμιν M2M4* || **13** *κατίχνοσ M4* || **16** *τὲ M4* || **21 sq.** *Ἀβιᾶ* ***libri*** || **23** *ἐλειτούργει καὶ Ζαχαρίας* ***om.*** *M1* || **26** *ἔθημον M2*

1) Luc. 1, 5

Ἀαρὼν ὁρμωμένην, Ἐλισάβετ | δὲ καλουμένην, ἵν' ἑκατέρωθεν ὁ col. 2 Ζαχαρίας νόμιμος ἱερεὺς ᾖ, ἐκ τοῦ πατρῴου τε ἅμα καὶ μητρῴου γένους, καὶ ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ τοῖς δικαιώμασιν αὐτοῦ ἀμέμπτως πορεύεσθαι. καίτοι δὲ οὕτως ἔχοντας ἀρετῆς, ὅμως παίδων αὐτοὺς ἠπορῆσθαι λέγει· ὅπερ ὄνειδος ἦν τοῖς πάλαι οὐ κοῦφόν τι καὶ εὐκαταφρόνητον, ἀλλὰ τῶν ἄλλων σχεδὸν τὸ βαρύτατον. ἱκανὸν ὑμῖν τὸ πρᾶγμα εἰς παραμύθιον, ὅσοι βίον μὲν ἀγαθὸν ἑαυτοῖς συγγινώσκετε, ἀνθρωπίναις δὲ πολλάκις ἀνωμαλίαις ἁλόντες ἐστέ.

3. Τούτῳ τοίνυν ἐν τῷ ἱερατεύειν τῷ Ζαχαρίᾳ ἄγγελον ὀφθῆναι κυρίου, ἐκ δεξιῶν || ἑστῶτα τοῦ θυσιαστηρίου τοῦ θυμιάματος (ἐπεὶ f. 211 καὶ ἕτερον ἦν, τὸ τῶν καρπωμάτων). καὶ τὸν μὲν Ζαχαρίαν ἐκεῖ παραδῦναι μόνον ἐν αὐτῇ λέγει[1]) τῇ ὥρᾳ τοῦ θυμιάματος, τὸ δὲ τοῦ λαοῦ πλῆθος ἅπαν ἔξω εἶναι, τῇ προσευχῇ χρώμενον. ταραχθέντι δὲ τῇ θέᾳ τῷ Ζαχαρίᾳ καὶ γενομένῳ περιδεεῖ τὸν ἄγγελον, λύοντα τὸ δέος αὐτῷ, «Μὴ φοβοῦ» φάναι· «ἀκουστὴν γάρ σου γενέσθαι τὴν δέησιν», καὶ τοῦ ἠκοῦσθαι ἀπόδειξις ἐπαγγελία υἱοῦ καὶ ὅπως κληθήσεται δήλωσις καὶ τῆς ἐπὶ τῇ γεννήσει τούτου χαρᾶς προαγόρευσις. ἀλλὰ τί ἂν εἴποι τις ἀκόλουθον ὑπὲρ ἁμαρτιῶν ἐκεῖνον λαοῦ πρεσβεύοντα ἐπαγγελίαν λα|βεῖν ἴδιον παῖδα τεκεῖν; καὶ λίαν συνᾷδον col. 2 καὶ προσφυές· ὃν γὰρ ἐκεῖνος ἔμελλε τίκτειν, κῆρυξ οὗτος τοῦ ἀμνοῦ ἔσται τοῦ τὴν ἁμαρτίαν τοῦ κόσμου, καθὼς αὐτὸς ἐκεῖνος βοᾷ, αἴροντος. ἔσεσθαι δὲ καὶ μέγαν αὐτὸν οὐχ ἁπλῶς, ἀλλ' ἐνώπιον κυρίου προαγορεύει, ὥσπερ ἄρα καὶ τοὺς γεγεννηκότας δικαίους ἐνώπιον Θεοῦ προλαβὼν ἔλεξεν· ἐν τίνι δὲ καὶ μέγαν αὐτὸν ὁ θεῖος ἔφη Λουκᾶς[2]); ἢ πάντως ἐν τῇ δαψιλείᾳ τοῦ πνεύματος· οὐδὲ γὰρ θείας χάριτος κοινωνήσειν ἁπλῶς, ἀλλὰ πλησθήσεται, φησί, πνεύματος ἁγίου καὶ οὐ μετά τινα χρόνον, οὐδὲ ἡλικίας τινὸς ἁπτόμενον, ἀλλ' ὅτι σύνδρομος αὐτῷ ἔσται || καὶ ἡ ἀπὸ γαστρὸς ἐξέλευσις f. 211v καὶ ἡ τοῦ πνεύματος πλήρωσις. τί δὲ καὶ ἔργον ἕξει καὶ τί διαπρά-

1—3 ὁρμωμένην, ἵν' ἑκατέρωθεν ὁ Ζαχαρίας νόμιμοσ ἱερεὺσ ᾖ, Ἐλισάβετ δὲ καλουμένην· τούτοισ δικαιοσύνην τε μαρτυρεῖ τὴν κατ' ὀφθαλμοὺσ θεοῦ· αὕτη γὰρ ἡ ὄντωσ δικαιοσύνη, ἐπεὶ καὶ αὐτῷ μόνῳ ἀνθρώπων καρδίαι καταφανεῖσ, καὶ τὸ ἐν πάσαισ κτλ. M^4 || 2 ὁ Ζαχαρίας νόμιμος *om.* M^2 || 3 τοῦ θεοῦ M^1, αὐτοῦ M^2M^4 || 4 αὐτοῦ *om.* M^2M^4 || 5 ἠπορεῖσθαι M^2M^4; τοῖς *om.* M^2 || 6 κοῦφον τὲ καὶ M^4 || 10 ἐν *om.* M^1M^2 || 11 κυρίου *om.* M^2; θυσιαστηρίου. τίνος δὲ θυσιαστηρίου; τοῦ θυμιάματος M^4 || 12 μὲν *om.* M^4 || 12—13 παραδοῦναι M^2 || 16 φᾶναι M^4 || 17 τὸ *pro* τοῦ M^4 || 18 τῆς *om.* M^1M^2 || 19 τίσ M^1M^4 || 20 συνάδον M^2M^4 || 23 ἔροντ^ο *pro* αἴροντοσ M^4 || 26 ἡ *libri* || 27 πλησθήσεταί φησι M^1M^2, πλησθήσεται φ^η M^4

1) Luc. 1, 8—11 || 2) ibid. 15

ξεται; ἐπιστροφὴν πολλῶν υἱῶν Ἰσραὴλ ἐπὶ κύριον τὸν Θεὸν αὐτῶν. πρόσθες καὶ τὰ λοιπὰ τῆς εὐφημίας, ὦ ἄγγελε· ὅτι τε προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ· καὶ γὰρ ὥσπερ ἐκεῖνος τῆς δευτέρας ἔσται παρουσίας Χριστοῦ πρόδρομος, οὕτως οὗτος τῆς πρώτης γέγονε τῇ τε ἴσῃ δυνάμει καὶ τῷ αὐτῷ πνεύματι· καὶ ὅτι ἐπιστρέψει καρδίας πατέρων ἐπὶ τέκνα· τί τοῦτο δηλῶν; ἢ τὸ ἐπηκόους γενέσθαι τοὺς Ἰουδαίους παρασκευάσαι τῆς τῶν ἀποστόλων διδασκαλίας· οὗτοι γὰρ ἐκείνων τέκνα τῇ συγγε- col. 2 *νείᾳ τοῦ αἵματος, ὧν καὶ τῇ φρο|νήσει καταπεισθεῖς ὤφθησαν οἱ τέως ἀπειθεῖς καὶ ἀνήκοοι· πρὸς τοῦτο γὰρ φέρει καὶ τὸ κατασκευάσαι κυρίῳ λαὸν περιούσιον, τὸ τὸν Ἰουδαϊκὸν λαὸν εὐπειθῆ γενέσθαι Χριστῷ καὶ πρὸ τῆς Χριστοῦ φανερώσεως ὑπὸ Ἰωάννου δηλαδὴ προευτρεπισθέντας καὶ τῆς αὐτοῦ γλώττης θήραμα γενομένους.*

4. «Ἐπεὶ δὲ σὺ (τοιαῦτα γὰρ πρὸς τὸν Ζαχαρίαν ὁ ἄγγελος) διαπιστῶν ὤφθης τοῖς ἐμοῖς λόγοις καὶ τῇ τοῦ πέμψαντός με δυνάμει, ᾧ ἐγὼ παρέστηκα, μὴ προσσχὼν σώματος μᾶλλον ἀσθενείᾳ προσέσχες καὶ πρὸς τοῦτο μόνον ἀκριβῶς ἔβλεψας, ἐπιτίμιον εὐθὺς ἕξεις τὴν ἀφωνίαν καὶ σιωπῇ μέχρι τῆς τῶν εἰρημένων ἐκβάσεως f. 212 *ὑπό||δικος ἔσῃ»* [1]. *ὅτι δὲ κατὰ πόδας ἡ δίκη, καὶ τῇ φωνῇ ἅμα τοῦ ἀγγέλου τῷ Ζαχαρίᾳ ἔσβεστο ἡ φωνή. δεῖγμα σαφὲς τὸ νεῦμα· ἦν γάρ, φησί* [2], *διανεύων αὐτοῖς, τῷ λαῷ δηλονότι, δι' ἀπορίαν τοῦ φθέγματος. σὸν ἄρα καὶ τοῦτο, πρόδρομε τοῦ μεγίστου, καὶ τῆς σῆς ἐκ προοιμίων ἀπορρήτου δυνάμεως, ἵνα καὶ τῷ πατρὶ λύσῃς δεσμὰ γλώττης ἐκ ψιλοῦ τοῦ ὀνόματος καὶ τῇ μητρὶ πέδας ἀναγκαίας στειρώσεως, ὥσπερ οὖν καὶ πολλοῖς ὕστερον κηρύγματι μετανοίας ἁμαρτιῶν δεσμὰ λέλυκας.*

5. Πλὴν ἀλλὰ Ζαχαρίας μέν, τῶν ἡμερῶν αὐτῷ τῆς λειτουργίας ἤδη τελεσθεισῶν, οἴκαδε ἐπανήει, τῇ Ἐλισάβετ δὲ μετὰ ταῦτα ἐκ col. 2 *παραδόξου ἡ σύλληψις ἐπιλάμπει· καὶ περιέ|κρυβεν ἑαυτήν, φησί* [3], *μῆνας πέντε, τὴν γηραιὰν ὥσπερ καὶ ἔξωρον αἰδουμένη κυοφορίαν, ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ (δεῖ γὰρ καὶ ταῦτα συνάψαι, τοῖς προκειμένοις ἀκολούθως ἔχοντα) ἡ προσήκουσα κατὰ γένος αὐτῇ Μαρία, τὴν Θεοτόκον φημί, ἐν τῷ τοῦ μνηστῆρος Ἰωσὴφ οἴκῳ διάγουσα,*

5 *γέγονεν* M^1 || 7 *ἡ* **libri** || 8—9 *τῆσ συγγενείασ* M^1 || 9 *τῇ* **om.** M^2 || 11 *κυρίῳ* **om.** M^2; *εὐπειθεῖ* M^4 || 17 *παρέστη καὶ* M^2; *ἀσθενεία μᾶλλον* M^2 || 20 *καταπόδασ* M^2M^4 || 21 *νεύμα* M^2 || 22 *δῆλον ὅτι* M^2M^4; *διαπορίαν* M^4 || 25 *παῖδας* pro *πέδας* M^2M^4 || 30 *ἡ ἐκ παραδόξου σύλληψισ* M^4 || 32 *συνᾶψαι* M^4 || 33 *καταγένοσ — Μαρίαν* M^4

1) Cf. Luc. 1, 20 || 2) ibid. 22 || 3) ibid. 24

ὅς ἀνὰ τὴν πόλιν Ναζαρὲτ ἐτύγχανεν ὤν, ἐκεῖ τε τῆς τοῦ λόγου σαρκώσεως τὰ εὐαγγέλια δεξαμένη καὶ ὡς ξένῳ τῷ πράγματι νόμων φυσικῶν ἐπαπορουμένη ἀκούει πρὸς τοῦ ἀγγέλου τρανῶς τά τε ἄλλα βεβαιοῦντα τὸν λόγον καὶ παραδείγματι τοιῷδε πρὸς πίστιν ἕλκοντα· «Ἰδοὺ» γάρ φησι «καὶ ἡ συγγενής σου Ἐλισάβετ καὶ αὐτὴ συνει||ληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ f. 212v τῇ καλουμένῃ στείρᾳ»[1]. εἶθ' οὕτως ἀκολουθεῖ μετ' ὀλίγον ἥ τε μετὰ σπουδῆς τῆς Μαρίας πρὸς τὴν ὀρεινὴν ἄφιξις καὶ ἡ πρὸς τὸν οἶκον Ζαχαρίου ταύτης εἰσέλευσις· ἔσπευσε γὰρ συνησθῆναι τῇ Ἐλισάβετ τὰ τῆς καινῆς ταύτης συλλήψεως εὐαγγέλια. πρόσεισι τοιγαροῦν καὶ ἀσπάζεται φιλοφρόνως αὐτήν, εἴτ' οὖν προσαγορεύει· ὁ δὲ ἀσπασμὸς σκίρτημα τοῦ ἐν γαστρὶ βρέφους τῆς Ἐλισάβετ ἡδὺ γίνεται· καὶ γὰρ ἀπὸ γαστρὸς ἐμάνθανεν ἤδη τὸν ἐν γαστρὶ δεσπότην ὁ δοῦλος καὶ τὴν εἰς τὸν κόσμον αὐτοῦ πάροδον ᾐσθημένος ὑπερφυῶς ἥδετο· τοῦτο γὰρ τὸ ἐν ἀγαλλιάσει σκίρτημα | φανερῶς ἐδήλου. μὴ λάθοι col. 2 δέ σε μηδὲ τὸ λίαν μέτριόν τε καὶ ὑποχωρητικὸν Ἐλισάβετ μετὰ καὶ θαυμαστῆς τῆς προρρήσεως· ᾔδεῖτο γὰρ τὴν τῆς παρθένου ἐπιστασίαν, ὡς ὑπὲρ ἀξίαν αὐτῆς οὖσαν, καὶ διὰ ταῦτα «Πόθεν μοι τοῦτο»;[2] λέγει, καθάπερ καὶ ὁ παῖς ἐκείνης πρὸς τὴν δεσποτικὴν ἐποίει προσέλευσιν, «Καὶ σὺ ἔρχῃ πρός με»[3] λέγων κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος. ὅρα δὲ πῶς καὶ προσαγορεύει καὶ μητέρα ταύτην καὶ κυρίαν ἑαυτῆς ὀνομάζει, ἀλλὰ καὶ εὐλογημένην ἐν γυναιξὶ λέγει καὶ τὸ κυοφορούμενον ἐν αὐτῇ καρπὸν κοιλίας παραδόξως ἀποκαλεῖ· τί τοῦτο σημαῖνον; ὅτι σπέρματος ἀνδρὸς οὐδαμῶς || ἐκοινώνει. f. 213

6. Εἶχε μὲν οὖν ἡ τῆς Ἐλισάβετ οἰκία τὴν παρθένον σύνοικον περὶ μῆνας τρεῖς, εἶθ' οὕτως ἡ μὲν παρθένος ἐπάνεισιν οἴκαδε, τῇ δὲ Ἐλισάβετ ὁ τοῦ τεκεῖν χρόνος ἐπλήσθη. ὅτου δὲ χάριν ἐπὶ τρεῖς μῆνας καὶ μὴ πλέον ἡ συνοικία; ἢ πάντως, ὡς τίκτειν τότε μελλούσης τῆς Ἐλισάβετ· εἰ γὰρ περὶ τὸν ἕκτον μῆνα τοῦ ταύτην δὴ συλλαβεῖν ἡ τοῦ ἀγγέλου γέγονε πρὸς τὴν παρθένον ἀποστολή, αὐτὴ δὲ γενομένη πρὸς Ἐλισάβετ μῆνας τρεῖς παρ' αὐτῇ διαμένει, εὔδηλον ὅτι τοῦ χρόνου τῆς συλλήψεως, ὃν ὁ ἔνατος περιγράφει μήν, πέρας ἔχοντος εἰς τὸν αὐτῆς οἶκον ἐπάνεισιν ἡ παρθένος, καὶ τοῦτο τυ|χὸν διὰ τὸ μέλλον ἀπαντᾶν πλῆθος εἰς τὸν τοῦ col. 2

5 *Ἐλισάβετ om.* M4 || 6 *αὐτῇ* **in M4 membrana discissa periit** || 7 *στεῖρα — μετασπουδῆσ* M2 || 10 *ταύτης om.* M1M2 || 11 *εἴ|τοῦν* M2 || 12 et 13 *ἐγγαστρὶ* M4 || 15 *λ[άθοι]* M4 || 16 *μὴδὲ* **libri** || 18 *ὑπεραξίαν* M2, *ὑπεράξίαν* M4 || 21 *προαγορεύει* M4 || 24 *σημαίνων* M1M4 || 28 *ἢ* **libri** || 32 *διαμένη* M4 || 34 *τυχὼν* M4; *μέλλον om.* M2; *τοῦ om.* M2M4

1) Cf. Luc. 1, 36 || 2) ibid. 48 || 3) Matth. 3, 14.

Ζαχαρίου οἶκον, τόκου μὲν ὥραν τῆς Ἐλισάβετ ἐχούσης, τῆς δὲ παρθενικῆς ταῦτα αἰδοῦς οὐκ ἀνεχομένης.

7. Πόθεν δὲ καὶ τῇ Ἐλισάβετ ἐπῆλθε τὸ Ἰωάννης εἰπεῖν ὄνομα πρὸς τὴν τοῦ παιδὸς κλῆσιν, ξένον ὂν ἀτεχνῶς καὶ τοῦ γένους αὐτῆς ἀλλότριον; πόθεν ἄλλοθεν, ἢ ἐκ πνεύματος ἄντικρυς ἁγίου καὶ τῆς τοῦ τικτομένου δυνάμεως; ἐπεὶ οὐκ ἂν ἐκ τοῦ ἀνδρὸς ἡ δήλωσις· πῶς γάρ, τῷ προστίμῳ ἔτι τῆς ἀφωνίας πεπεδημένου; ἀμέλει καὶ μετὰ τὸ γραφῇ δηλῶσαι τοῦτο τὸν Ζαχαρίαν (καὶ γὰρ ἀμήχανον ἦν διὰ νεύματος) ἐθαύμασαν, φησί[1]*, πάντες· ἐπὶ τίνι ἄλλῳ* f. 213v *ἢ ἐπὶ* || *τῇ συμφωνίᾳ τῶν γεννητόρων περὶ τὸ τοῦ παιδὸς ὄνομα; ὁμοῦ τοίνυν γράφων ὠνόμαζε, καὶ τῇ γλώττῃ τὰ δεσμὰ διελύετο καὶ λέγειν ἤρχετο· εἰς τί δὲ καὶ ὁ φόβος πάντων ἐπιλαμβάνεται τῶν περιοικούντων; ὅτι προτρέχειν ἔδει περιφανῆ θαύματα ἐπί τε τῇ ἐπαγγελίᾳ φημὶ τοῦ τεχθησομένου καὶ ἐπ᾿ αὐτῷ δὴ τῷ ἐκείνου τόκῳ, ἵν᾿ ἐκ προοιμίων τὸ ἀξιόπιστον τοῦ μαρτυρῆσαι Χριστῷ μέλλοντος ἐπισήμως ἀναφανῇ. δηλοῖ δὲ τοῦτο καὶ ἡ ἐπαγωγὴ τὸ θαύματι καὶ δέει κατόχους γενέσθαι πάντας δηλαδὴ τοὺς ἀκούοντας, «Τί ἄρα» λέγοντας «τοῦτο τὸ παιδίον ἔσται»; πλὴν ἀλλὰ μηδὲ ταῦτα* col. 2 *ἡμᾶς παραδράμῃ,* | *μηδὲ ῥαθυμίαν καταγνωσθῶμεν ἐν οἷς σπουδὴν μᾶλλον εἰσάγειν ὀφείλομεν. θέα γάρ, ὅπως ἡ Ζαχαρίου γλῶττα τὰς τοῦ κωφεύειν πέδας ἀποθεμένη οὐχ ἁπλῶς φθέγγεται, ἀλλὰ καὶ προφητεύειν ἐπιεικῶς ἄρχεται, καὶ προφητεύειν περὶ αὐτοῦ δὴ τοῦ παιδός, ὃς καὶ τὰς πέδας αὐτῇ τῆς ἀφωνίας ἐπέθηκε καὶ πάλιν ἀνῆκεν· ἔσεσθαι γὰρ καὶ προφήτην αὐτὸν ὑψίστου προλέγει καὶ πρὸ προσώπου αὐτοῦ προπορεύεσθαι, ἑτοιμασίαν δὴ τῶν ὁδῶν αὐτῷ ποιησόμενον. ἀλλὰ ταῦτα μὲν οὕτως.*

8. Ἠκολούθει δὲ τῷ Ἰωάννῃ, φησί, κατὰ τὸ τῆς ἡλικίας ἀνάλογον καὶ ἡ τῆς πνευματικῆς χάριτος προσθήκη. τοῦτο γὰρ τῷ f. 214 *εὐαγγελιστῇ* || *βούλεται, «Τὸ δὲ παιδίον ηὔξανε» λέγοντι «καὶ ἐκραταιοῦτο πνεύματι» καὶ τὰ ἑξῆς*[2]*. ἀλλὰ καὶ ταῖς ἐρήμοις αὐτόν φησιν ἐμφιλοχωρεῖν ἄχρι γοῦν καὶ ὥρας αὐτοῦ τῆς πρὸς τὸν Ἰσραὴλ ἀναδείξεως. ὅτου δὲ χάριν ἡ πρὸς τὸ πλῆθος ἀμιξία καὶ τὸ ἀποδημητικὸν αὐτῷ καὶ φιλέρημον; ἵνα μὴ ἕωλος ἡ τοῦ λαοῦ πρὸς αὐτὸν αἰδὼς γένηται, τῷ συνεθισμῷ τῆς ἐπιμιξίας ἀμαυρουμένη, ἀλλὰ καὶ ἐλέγχων εὐπαράδεκτος ᾖ καὶ μαρτυρῶν ἀξιόπιστος, τοῦτο*

2 *αἰδοὺσ* M² || 8 *γραφὴ* M⁴ || 9 *ἔφη* pro *φησὶ* M⁴ || 16 *καὶ τοῦτο* M¹, *τούτῳ καὶ* M⁴ || 18 *τοῦτο λέγοντασ* M⁴ || 18 et 19 *μήδὲ* M¹M⁴ || 19 *παραδράμοι* M²M⁴ || 22 *ἐπιεικῶσ* M² || 24—25 *προπροσώπου* M²M⁴ || 27 *Ἠκολούθη* M²; *ἀνάλωγον* M⁴ || 30 *αὐτὸ* M⁴ || 31 *γόῦν* M¹M⁴, *γοῦν* M² || 35 *ἢ* M¹; *μαρτύρων* M⁴

1) Luc. 1, 63 || 2) ibid. 80.

μὲν τὴν Ἰουδαίων μοχθηρίαν ἐλέγχων, τοῦτο δὲ καὶ Χριστῷ μαρτυρῶν.

9. Πλὴν ἀλλὰ Ζαχαρίας μὲν ὁ πρεσβύτης καὶ ἱερεύς, ὅσα γε δεῖ πιστεύειν πατροπαραδότῳ περὶ τούτου λόγῳ, μέχρι καὶ αὐτῆς | τῆς col. 2 *τοῦ Χριστοῦ γεννήσεως παρατείνει καὶ μητρικαῖς ἀγκάλαις φερόμενον καθορᾷ καὶ πολλάκις οὕτως εἰς τὸν ναὸν ὑπ' αὐτῆς εἰσαγόμενον καὶ Θεὸν εἶναι τοῦτον οὐμενοῦν ἀγνοεῖ· διὰ τοῦτο γὰρ αὐτῇ καὶ τῆς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσόδου παραχωρεῖ, Θεοτόκον αὐτὴν ἐγνωκώς, καὶ τὴν ἐκεῖσε στάσιν αὐτῇ φιλοτιμεῖται κατὰ πολὺ τὸ ἐξαίρετον. ἀλλὰ τοῦτο μὲν εἶχεν οὕτως· ὀργὴν δὲ τοῖς προκρίτοις τῶν Ἰουδαίων πλείστην ἀνάπτει καὶ τῷ πρεσβύτῃ χαλεπῶς ἐπιμανῆναι παρασκευάζει· καὶ γὰρ ἤκουον, φασί, παρ' αὐτοῦ βασιλέα τῆς κτίσεως εἰς γέννησιν ἥκειν ἀνθρωπίνην· δέει τοιγαροῦν τοῦ μὴ ὑπήκοοι βασιλεῖ γενέσθαι κύουσι πόνον, || κατὰ τὸν Ἠσαΐαν[1]), καὶ τί-* f. 214v *κτουσιν ἀνομίαν· καὶ ἐπεὶ πρόχειροι πρὸς κακίαν ἦσαν, καὶ τὸ ἐκχέαι αὐτοῖς αἷμα ὡς τὸ κατὰ χειρὸς ὅ φασιν ὕδωρ, μιᾶς τῶν νυκτῶν λαθραίως εἰς τὸν ναὸν ἑαυτοὺς εἰσωθήσαντες ἐπ' ὄψει, φεῦ, τοῦ θυσιαστηρίου κτείνουσι Ζαχαρίαν, εἶτα τοῦ αἵματος ἰσχυρῶς τὸν τόπον φοινίξαντος καὶ τὴν μιαιφονίαν ἐλέγχοντος καθαρῶς, γῆν ἀνορύξαντες κρύπτουσι τὸν νεκρὸν οἱ φονεῖς, οἷα δὴ συγκατακρύψαι καὶ τὸ τοῦ φόνου μῖσος βουλόμενοι· τοῦτο δὲ ἀτεχνῶς ἐργῶδες· ἔστι γὰρ ἡ κακία πρᾶξαι μὲν ῥᾳδία, λαθεῖν δὲ μετὰ πρᾶξιν εἰς ἅπαν ἥκιστα εὐχερής. καὶ οὗτος μὲν ὁ περὶ τῆς Ζαχαρίου | σφαγῆς λόγος· ἔστι δὲ καὶ ἕτερος, οὐδὲν ἧττον καὶ αὐτὸς ἐγκρατής·* col. 2 *ὃς κατὰ πρόφασιν τῆς Ἡρῴδου παιδοκτονίας καὶ αὐτὸν ἀνῃρῆσθαι λέγει· ἐπεὶ γὰρ τὸ δόγμα πανταχῇ διέρρει τοὺς κατὰ τὴν Βηθλεὲμ ἅμα καὶ τὴν ὀρεινὴν παῖδας μαχαίρᾳ δίδοσθαι κελεῦον, ἵνα τῇ*

3 δσάγε M^1 || 3—6 **haec habet** M^4: ὡς ὁ πατροπαράδοτος περὶ τούτου κρατεῖ λόγος ἄχρι καὶ αὐτῆς τῆς τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν τὸ κατασάρκα γεννήσεως παρατείνας καὶ μητρικαῖς ἀγκάλαις, ὢ θείας συγκαταβάσεως, φερόμενον αὐτὸν ἐπιδὼν καὶ πολλάκις κτλ. || 6 οὗτοσ M^2 || 7 οὐμενοῦν **libri** || 7—8 δι' αὐτὸ γὰρ τοῦτο καὶ τῆς — ταύτῃ παραχωρεῖ M^4 || 9 φιλοτιμῆται M^4; καταπολὺ M^2M^4 || 10 ταῦτα **pro** τοῦτο M^4; προκρείττοισ M^2 || 10—11 ἐπιφανεστέροις τῶν Ἰουδαίων, τοῦτο γὰρ ὁ κρατῶν βούλεται λόγος, ἀνάπτει τὸ χρῆμα κτλ. M^4 || 12 φ^{ά} M^1, φὴ(σι) M^2M^4 || 12—13 βασιλεὺσ— ἥκει M^1 || 15 ἐκχαῖε M^4 || 16 καταχειρὸσ M^4; φασιν **om.** M^4 || 17 εἰσωθίσαντεσ ἐπόψει M^2 || 19 ἐπιφοινίξαντος M^4; καθαρῶσ **om.** M^1M^2 || 20 ὑπορύξαντεσ — φωνεῖσ M^4 || 21 μίσοσ M^1M^2, μῦσοσ M^4 || 22 ἐργῶδαισ — πράξαι M^1 || 23 εἰς ἅπαν **om.** M^4 || 24 ἥττων M^2, **omissis** καὶ αὐτός; ἥττων ἐπικρατῶν M^4 || 27 μαχαίρᾳ δίδοσθαι M^1M^2, ἀναιρεῖσθαι M^4

1) Es. 59, 4.

κοινῇ ταύτῃ τῶν παίδων σφαγῇ καὶ τὸν ἀνιστᾶν νεκροὺς μέλλοντα συνανέλῃ καὶ τὸν τῆς ἀρχῆς φόβον αὐτὸς ἀποδύσηται (δι' αὐτὴν *f. 215* γὰρ μόνην καὶ τῆς καθόλου παιδοφονίας τὸ ἐπιχείρημα· οἷα τολμᾶν οἱ ἄνθρωποι τῷ περὶ τὴν δόξαν ἔρωτι συνωθούμεθα), εἶτα ἐπεζητεῖτο μὲν καὶ ὁ τοῦ Ζαχαρίου παῖς εἰς ἀναί‖ρεσιν, ὡς ἂν ἔναγχος γεννηθείς, οὐχ ηὑρίσκετο δέ, καὶ γὰρ ὥσπερ Ἰωσὴφ φεύγειν εἰς Αἴγυπτον μετὰ Μαριὰμ καὶ τοῦ παιδὸς ἐκελεύετο, οὕτω δὴ καὶ τὴν Ἐλισάβετ σπήλαιόν τι μετὰ τοῦ βρέφους οὐκ ἀθεεὶ κρυπτομένους εἶχεν. ἐπεὶ οὖν ὁ παῖς αὐτοῖς οὕτως ἀχείρωτος ἦν, τὴν ὀργὴν πᾶσαν οἱ ζητοῦντες τοῦ Ζαχαρίου κατασκεδάζουσι καὶ εἴσω τοῦ ναοῦ εὑρόντες (καὶ γὰρ ἔτυχεν ἐξ ἐφημερίας τῷ θυσιαστηρίῳ πάλιν τοῦ θυ*col. 2*μιάματος προσανέχων) ἀναιροῦσι κρύπτοντα τὸν υἱὸν ὥσπερ καὶ μὴ παραδοῦναι τούτοις εἰς σφαγὴν σπεύδοντα· καὶ οὕτω διπλῇ στεφανοῦται· ὅτι τε λειτουργῶν | τῷ Θεῷ παρ' αὐτῷ δήπου τῷ θυσιαστηρίῳ σφάττεται καὶ ὅτι πρῶτος μετὰ νηπίων τῷ Χριστῷ θύεται.

10. Τούτων οὕτω προβάντων καὶ χρόνους ἤδη συχνοὺς μετὰ τὴν ἐκ παίδων ἀναγωγὴν τοῦ Ἰωάννου ταῖς ἐρήμοις ἐμφιλοχωροῦντος καὶ τὸν ὡρισμένον καιρόν, ὡς τὰ θεῖά φησι λόγια[1]), τῆς πρὸς τὸν Ἰσραὴλ αὐτοῦ ἀναδείξεως περιμένοντος, ἐπεὶ καὶ ἤδη τὸν βίον ἐτελεύτα μοναρχῶν Αὔγουστος, ἔπειτα δὲ καὶ Τιβέριος μετ' ἐκεῖνον τὸ τῆς μοναρχίας κράτος ἀναδησάμενος ἦν, ἔτος δὲ πέμπτον ἤδη πρὸς τοῖς δέκα τῆς ἀρχῆς ταύτης ἐπειλημμένος διήνυεν, οὐ μὴν *f. 215v* ἀλλὰ καὶ τῆς Ἡρῴδου τότε βασιλείας εἰς ‖ τέσσαρας διαιρεθείσης ἀρχὰς καὶ τοῖς ἰσαρίθμοις αὐτοῦ υἱοῖς ἐπινεμηθείσης, οἵ γε Ἀρχέλαος καὶ Ἡρῴδης, Φίλιππός τε καὶ Λυσανίας ἐτύγχανον ὄντες, καὶ πρώτης μὲν τετραρχίας τῆς Ἰουδαίας οὔσης, Ἀρχελάου δὲ ταύτην, ὃς ἐν υἱέσι πρῶτος αὐτῷ ἦν, διέποντος, τούτων ἤδη πάντων τῷ Ῥωμαϊκῷ σκήπτρῳ μετὰ τὴν πρώτην ἀπογραφὴν αὐχένα κλινάντων, ἄρχοντάς τε καὶ ἡγεμόνας, οἷς ἡ τῶν δημοσίων φροντὶς ἐπιστεύετο, τῆς Ῥώμης ἐκδεχομένων, ἡγεμονεύοντος τηνικαῦτα Ποντίου Πιλάτου τῆς Ἰουδαίας (ὃς ἐς τὰ μάλιστα Τιβερίῳ Καίσαρι προσκείμενος ἦν καὶ παρὰ τοῦτο δὴ καὶ γέρας τῆς πρὸς αὐτὸν φιλίας *col. 2* τὴν ἡ|γεμονίαν ταύτην ἀπειληφώς· ἔδει γὰρ ἐλθόντος Χριστοῦ, ᾧ

1 τῇδε *pro* ταύτῃ M[4] ‖ 2 καὶ οὕτω τὸν M[4] ‖ 2—3 παρὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ τῆς καθ' ὅλης παιδοφονίας τὸ ἐπιχείρημα, φεῦ, οἷα κτλ. M[4] ‖ 4 ἐζητεῖτο M[4] ‖ 8 βρέφους εἰσελθόντας εἶχε M[4] ‖ 9 οὕτως *om.* M[4]; ὅλην *pro* πᾶσαν M[4] ‖ 13 δὴ πλεῖον *pro* διπλῇ M[4] ‖ 17 ἀγωγὴν M[1] ‖ 18 θεῖα φη(σι) *libri* ‖ 20 ὁ αὔγουστος M[4] ‖ 21 ἔτος τὲ M[4] ‖ 26 ταύτης M[1]M[2] ‖ 27 υἱέσιν ἐπρώτευεν αὐτῷ M[4] ‖ 29 καὶ *pro* ἡ τῶν M[1] ‖ 31 μάλλιστα M[1] ‖ 33 ἀπειληφῶς M[4]

1) Luc. 1, 80

καὶ τὸ ἄρχειν κατὰ τὸν προφήτην ἀπέκειτο, ἐκλιπεῖν ἄρχοντας ἐξ Ἰούδα) καὶ τετραρχοῦντος μέν, ὡς τὸ ἱερόν φησιν εὐαγγέλιον[1]), τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος (χρὴ γὰρ οἷα κόσμῳ τοῖς αὐτοῖς χρήσασθαι λόγοις) τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα Ἰωάννης ἔτι τῶν ἐν ἐρήμῳ διατριβῶν εἴχετο, ἣν οὔπω σπαργάνων ἀφεθεὶς ᾤκησε, τὸν ἀγγελικόν τε καὶ ἄσκευον ἀσκούμενος βίον· οὔτε γὰρ στέγης, οὐ κλίνης, οὐ τραπέζης, οὐκ ἄλ||λου τῶν τοιούτων οὐδενὸς ἐδεῖτο, οὐ γῆν ἤροσεν, *f. 216* οὐκ αὔλακα ἔτεμεν, οὐκ ἐκ ἱδρῶτι προσώπου, ὅπερ ἐμὸν οἶδα καὶ πατρικὸν ἐπιτίμιον, ἄρτον ἔφαγεν, ἀλλὰ δένδρων μὲν ἀκρίδες αὐτῷ ἡ τροφή, ἐκ τριχῶν δὲ καμήλου σχεδιασθὲν τὸ ἱμάτιον, ἵνα καὶ τοῖς ἐν κόσμῳ, οἷς ἄρτι ἐπιδεδημηκὼς ἦν, λιτότητα παιδεύσῃ καὶ πείσῃ τῶν τε ἀνθρωπίνων ὑπερορᾶν καὶ τὴν ἀρχαιογενῆ τῷ ὄντι μεταδιώκειν εὐτέλειαν, ᾗ πρότερον Ἀδὰμ τιμηθεὶς ἱματίων οὐδαμῶς ἐδεῖτο· δῆλον γάρ, ὡς μετὰ τὴν παράβασιν ἡ χρῆσις τῶν ἐνδυμάτων.

11. Οἷα γοῦν εἰς ἔκπληξιν ἦν τὰ δρώμενα· ἄνθρωπος τριακοστὸν ἔτος τὴν ἔρημον ᾠκη|κώς, ὥσπερ ἀειφυγίαν ἑαυτοῦ καταψηφισάμενος *col. 2* καὶ τὴν πρὸς ἀνθρώπους ἅπαντας ἀμιξίαν, ἡλικιῶτίν τε τὴν μονήρη ζωὴν ἑλόμενος, ἄρτι πρῶτον εἰς ὅρασιν ἀνθρώποις ἥκων (ἐξέτι γὰρ σπαργάνων, ὡς ἤδη ἔφημεν, ἡ πρὸς τὰς ἐρήμους φιλοχωρία), οὐδενὸς οὐδέποτε τῶν ἀνθρωπίνων ἐπιδεὴς γενόμενος, συμφθεγγομένην τῷ τρόπῳ καὶ τὴν μορφὴν ἅμα καὶ τὴν στολὴν ἐφελκόμενος, ἀρχιερέως υἱὸς ὑπάρξας, μαρτυροῦντά τε περὶ αὐτοῦ τὸν Ἠσαΐαν ἄντικρυς ἐπαγόμενος (τὸ γὰρ «φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ»[2]) περὶ αὐτοῦ δηλαδὴ λέλεκται), καινός τις Ἠλίας ἐκ πάντων ἐπιδεικνύμενος, μᾶλλον || δὲ κἀκείνου τι πλέον ἀναπείθων ἔχειν, ὅσῳ *f. 216v* πλεῖον αἱ ἐν ἐρήμοις καθάπαξ διατριβαὶ τῶν ἐν πόλεσιν, ἐν αἷς ὁ Ἠλίας. ταύτῃ τοι καὶ αἰδέσιμος Ἰουδαίοις ὑπερφυῶς ἦν καὶ τὴν ἐπίπληξιν φορητός· οἷα γὰρ αὐτοῖς ἐπιπλήττων, γεννήματά τε ἀποκαλῶν ἐχιδνῶν, καίτοι πάνυ γε ὄντας ὀξύχειράς τε καὶ φονικοὺς πρὸς ὀργὴν οὐκ ἐξέμηνεν.

12. Πλὴν ἀλλὰ προσεκτέον καὶ ὅπως ἀξιοθαύμαστος τοῖς

3 γαληλαί(ας) M^4 || 5 τετραχωνίτιδος M^4; ἀβιλινῆσ M^2 || 7 εὐαγγελικὸν τὲ M^1 || 12 καμίλου M^1; τοὺσ *pro* τοῖς M^4 || 15 ὁ ἀδὰμ *et* ἥκιστα *pro* οὐδαμῶς M^4 || 17 οἷον M^4; γοῦν M^1, γουν M^4; τὰ δρώμενα *om.* M^2M^4 || 19 ἡλικιῶτιν τε M^1M^2, ἡλικιώτην τὲ M^4 || 20 ἑλόμενον M^4; ἀνθρώποις *om.* M^1M^2 || 21 ἔφαμεν M^4 || 24 μαρτυροῦντα τὲ *libri*; δηλαδὴ *ante* περὶ *inserit* M^4 || 27 τί πλέον *libri* || 31 ὀξύχειρα(ς) ὄντας καὶ φονικοὺς M^4 || 33 προσεκτέ(ον) ὅπως ἄρα θαυμαστὸς M^4

1) Luc. 3, 1 || 2) Es. 40, 3.

Ἰουδαίοις ὁ βαπτιστὴς εἰς τοσοῦτον, ὥστε καὶ ὑπόνοιαν αὐτοῖς ἐνιέναι, μήτι γε αὐτὸς εἴη πρὸς ἀλήθειαν ὁ Χριστός, καὶ παρὰ τοῦτο καὶ ἡ φωνὴ ἄνωθεν ἐπιμαρτυροῦσα τὴν υἱότητα τῷ βαπτιζομένῳ col. 2 *καὶ ἡ περιστε|ρὰ ἐπικαταπτᾶσα μόνως αὐτῷ καὶ προσμείνασα. ἐκεῖνον δὲ τῶν τοιούτων ἐπῆρεν οὐδέν, οὔτε μὴν ὅλως ἐφάνη τῶν πρωτείων μεταποιούμενος, ἀλλὰ τὴν ἐσχάτην ἑαυτῷ μᾶλλον εὐτέλειαν περιάπτων· τί γὰρ ἕτερον ἡ τοῦ ἱμάντος τῶν ὑποδημάτων δήλωσις, ἢ τὸ ὅλως ἀπαγορεύειν αὐτὸν τὴν πρὸς τὸν Ἰησοῦν παράθεσιν καὶ μηδὲ ψιλοῦ λέγειν τοῦ ἱμάντος τῶν ὑποδημάτων εἶναι, οὐχ ὅπως αὐτὰ λύειν τὰ ὑποδήματα ἄξιος. ἄλλως τε δὲ καὶ παρὰ Ἰουδαίων διὰ τῆς τῶν ἱερέων καὶ λευιτῶν ἀποστολῆς ἐρωτώμενος ὡμολόγησε, φησί, καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησε μὴ αὐτὸν εἶναι* f. 217 *μηδαμῶς || τὸν Χριστόν, καίτοι γε ἐκείνων πρὸς τὴν ὁμολογίαν ταύτην, ὅτιπερ αὐτὸς ἄντικρυς ἐστιν ὁ Χριστός, τί μὴ ποιούντων, ὥστε συναρπάσαι τὸν βαπτιστήν· εἰς τοῦτο γὰρ μετὰ τῶν ἄλλων αὐτοῖς ἔφερε καὶ ἡ τοῦ «Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός»*[1]*), πεπονηρευμένη ἐρώτησις. καὶ τοῖς μαθηταῖς δὲ τοῖς ἰδίοις διαβασκαίνουσι Χριστῷ καὶ ὑποκνιζομένοις διὰ τὸ βάπτισμα (καὶ γὰρ «ᾧ σὺ μεμαρτύρηκας» προσελθόντες αὐτῷ, ἠρέμα δὲ καὶ πρὸς ζηλοτυπίαν οὐκ ἐλευθερίως ἀνάπτοντες, «ἴδε οὗτος» ἔλεγον «βαπτίζει»*[2]*) ἐκεῖνος οὐδὲ βραχὺ συνεπήγετο, ἑαυτὸν δὲ προδήλως μὴ εἶναι τὸν Χριστὸν ἔφα-* col. 2 *σκεν, ἀλλ' ἀπεσταλ|μένον, τὸν δὲ Χριστὸν ἀμνόν τε τοῦ Θεοῦ ἐκάλει καὶ αὐτῷ μὲν τὸ ἐλαττοῦσθαι προσήκειν, Χριστῷ δὲ τὸ αὐξάνειν διωμολόγει.*

13. Οὐκ αἰδέσιμος δὲ οὕτω τοῖς Ἰουδαίοις μόνον ὁ βαπτιστὴς καὶ θαυμάζειν ἀτεχνῶς ἄξιος, ἀλλὰ καὶ αὐτῷ δὴ τῷ Ἡρῴδῃ, καὶ τούτῳ μᾶλλον ἢ Ἰουδαίοις, ὅσῳπερ οὐκ αἰδῶ μόνον αὐτῷ, ἀλλὰ καὶ δέος ἐμβεβληκὼς ἦν· ἐφοβεῖτο γάρ, φησί[3]*), τὸν Ἰωάννην τῷ εἰδέναι ἄνδρα δίκαιόν τε καὶ ἅγιον αὐτὸν εἶναι, ἀλλὰ καὶ ἀκούων αὐτοῦ πολλὰ ἐποίει καὶ ἡδέως αὐτοῦ ἤκουε· τὸ μὲν γὰρ ἀπὸ τῆς ἰδίας εἶχεν ἀκολασίας, τὸ φοβεῖσθαί φημι, τὸ δ' ἀπὸ τῆς τοῦ λέγον-*

2 *ἐμβαλεῖν* pro *ἐνιέναι* M^4 | 3 *ἐπιμαρτυροῦσα ἦν* M^4 || 4 *καὶ μόνον* pro *μόνως* M^4 || 5 *τὸν τοιοῦτον* M^2 || 6 *προτείων* M^4 || 7 *ἡ* et mox *τῶν ὑποδημάτων* om. M^4 || 8 *ὅλως* post *Ἰησοῦν* M^4 || 9 *μὴδὲ* M^1, *μιδὲ* M^2 || 9—10 *μὴδὲ ψιλὸν λέγειν αὐτὸν φημὶ τὸν ἱμάντα τῶν ὑποδημάτων ἱκανὸν εἶναι λύειν* M^4 || 12 *ὁμολόγησεν* M^2M^4; *οὐκηρνήσατο* M^4 || 15 *συναρπᾶσαι* M^2 || 16—17 *πεπονηρευμένη* om. M^4 || 19 *δὲ* et 20 *οὐκ ἐλευθερίως* om. M^4 || 22 *ἀμνὸν τὲ* M^2 || 23 *ἐλατοῦσθαι* et *ἐκείνω* pro *Χριστῷ* M^4 || 25 *ὁ βαπτιστὴς μόνον* M^4 || 29 *εἶναι* pro *εἰδέναι* M^2 || 30 *καὶ — ἤκουε* om. M^2 || 31 *φοβεῖσθαι φημὶ* libri || 30—31 *τὸ μὲν γὰρ ἀπὸ τῆς τοῦ συνειδότ(ος) εἶχε κατακρίσεως, τὸ φοβεῖσθαι φημί, διεφθαρμένος ὢν τὸν βίον καὶ κομιδῇ πλημμελής, τὸ δ' ἀπὸ κτλ.* M^4

1) Ioan. 1, 25 || 2) Ioan. 3, 26 || 3) Marc. 6, 20.

τος ἀρετῆς, τὸ ἡδέως αὐτοῦ || πάντως ἀκούειν. καὶ οὕτω μὲν ἡ ἀρετὴ f. 217v δυσωπεῖν οἶδε καὶ τοὺς παντάπασιν ἀλλοτρίους. ἀλλ' ἰσχυρὸν ὄντως ἀκόλαστος ἐπιθυμία καὶ ψυχὴν δουλῶσαι τῶν πάντων ἀνυσιμώτατον· ὥσπερ ἄρα καὶ τοῦτον Ἡρῴδην ἀθλίως σφόδρα διέθηκε καὶ ἀνδραπόδοις ὁμοίως τῷ βασιλεῖ, φεῦ, ἐχρήσατο· ὃς ὑπεριδὼν γυναικὸς ἰδίας (θυγάτηρ δὲ αὕτη τοῦ Ἀράβων βασιλέως Ἀρέτα) καὶ τὸ πρὸς αὐτὴν ἀτιμάσας φίλτρον, τοὺς πρὸς Ἡρῳδιάδα κενοὺς ἔρωτας τοῦ παντὸς ἠξίου· ταύτην γὰρ γυναῖκα οὖσαν τοῦ ἀδελφοῦ Φιλίππου εἰς γυναῖκα οὗτος ἠγάγετο, πρᾶγμα σφόδρα παρὰ τὸν νόμον ποιῶν, σπέρμα | ἤδη τοῦ ἀδελφοῦ ἔχουσαν· ἐκείνοις γὰρ ἐφεῖτο col. 2 μόνοις τοῦτο ποιεῖν τοῖς παίδων ἄνευ ἀπολιποῦσι τὸν βίον, ἐφεῖτο δὲ κατὰ πρόνοιαν πάντως τοῦ ἀναστῆσαι σπέρμα τοῖς ἀδελφοῖς.

14. Ἐπὶ τούτοις οὖν ἐλέγχοντα τὸν Ἰωάννην Ἡρῴδης ᾄδειν πρὸς κωφὸν ἐδείκνυ καὶ ἀνέμοις, ὅ φασι, διαλέγεσθαι, καίτοι γε ἡδέως αὐτοῦ πρότερον εἰωθὼς ἀκούειν καὶ πολύ γε εἰδὼς αὐτὸν ἔχειν τὸ δυσωπητικὸν καὶ αἰδέσιμον. ἀλλ' ὁ πρὸς Ἡρῳδιάδα, ὥσπερ ἔφημεν, ἔρως ἰσχυρότερος αὐτῷ ἐμπεσὼν τῶν Ἰωάννου λόγων ἀμελεῖν ἐποίει· καὶ τὸν μὲν ἐδίδου τῇ φυλακῇ, Ἡρῳδιάδος δὲ μᾶλλον ἡδέως ἑαυτὸν παρεῖχεν ἀκούειν καὶ τῶν αὐτῆς ἱμέρων || ἐπι- f. 218 μελῶς γίνεσθαι.

15. Πλὴν ὁ βαπτιστής, οἷα προφήτης, μᾶλλον δὲ καὶ προφήτου δηλαδὴ περισσότερος, προδιαγνοὺς ὅσον οὔπω τὸν Ἡρῴδην μὲν ἐπὶ πλεῖον καὶ ἔτι μανησόμενον, ἑαυτὸν δὲ ἐξ ἀνθρώπων ἐσόμενον, τοὺς ἐκείνου δὲ μαθητὰς ψιλὸν μὲν ἄνθρωπον τὸν Χριστὸν οἰομένους, αὐτὸν δὲ πολλῷ τῷ μέσῳ Χριστοῦ διαφέροντα, βουλόμενός τε καὶ ταύτην ὡς οὐ καλῶς ἔχουσαν διορθῶσαι τὴν κρίσιν, ἐπεὶ μηδὲ κολακείας ἦν ἐπιθυμητής, μηδὲ δόξαν περιβαλέσθαι παρὰ τὴν ἀλήθειαν ἀνεχόμενος, τί ποιεῖ; δύο τῶν μαθητῶν ἐκεῖνος τῶν ἰδίων ἀπολεξάμενος πέμπει πρὸς Ἰησοῦν, «Σὺ εἶ ὁ ἐρχόμενος» λέγων, «ἢ ἕτερον προσδοκῶμεν;» 1) | τοῦτο δὲ ἐποίει οὐκ αὐτὸς μα- col. 2

7. *Voce* φίλτρον *finitur f. 194* **in** M^4; **post id** *pro sex foliis (195—200)* **deperditis chartacea inserta sunt**, *quibus quae perierat orationis pars manu recentiore inscripta est admodum arcte, ita ut f. 200v totum scriptura vacet. Folium 201 rursus membranaceum, priore manu scriptum, incipit a verbis* καὶ ἐποφθεὶς *cap. 23 (p. 401 v. 11)*. || 7 καινοὺσ M^4 || 9 παρανόμωσ *pro* εἰς γυναῖκα M^2M^4 || 9—10 πρᾶγμα— ποιῶν *om.* M^4 || 11 τοῦτο ποιεῖν *om.* M^1; ἀπολείπουσι M^2 || 12 ἀναστῆναι M^2 || 13—14 Ἐπὶ τούτοις οὖν Ἰω(άννης) Ἡρώδην ἐλέγχων ᾄδειν πρὸς κωφὸν ἐῴκει καὶ νεκρῷ πρὸς οὓς διαλέγεσθαι M^2M^4 || 15 πρότερον *om.* M^2; ἀκούειν εἰωθότα— αὐτὸν εἰδότα M^2 || 16 ἀλλὰ πρὸσ M^2 || 19 ἑαυτὸν *om.* M^1M^2 || 21 μᾶλλον — προφήτου *om.* M^1M^2 || 22—23 μὲν — ἑαυτὸν δὲ *om.* M^2, ἐπὶ — ἑαυτὸν δὲ *om.* M^4 || 23 οἰκείουσ *pro* ἐκείνου M^2 || 27 μὴδὲ *(bis)* **libri** || 28 πέμπι M^2 || 30 καὶ τοῦτο ἔγνω ποιεῖν M^2M^4

1) Matth. 11, 3; Luc. 7, 19.

θεῖν, ἀλλ' ἐκείνους μᾶλλον διδαχθῆναι βουλόμενος. πῶς γὰρ ἐδεῖτο μαθεῖν, ὃν καὶ νηδύος ἔγνω πρὶν ἢ προελθεῖν καὶ ὃν ὑπὸ τοῦ πνεύματος διδαχθεὶς διαρρήδην ἐκήρυττεν ἐπὶ πάντων; οἷς ἀφικομένοις καὶ ταῦτα πρὸς Χριστὸν εἰποῦσιν ἀπόκρισιν μὲν ἐκεῖνος τὴν διὰ γλώττης δίδωσιν οὐδεμίαν, ἔργοις δὲ μᾶλλον ἀπολογούμενος αὐτὸς εἶναι δείκνυσι τῇ τῶν σημείων μεγαλειότητι, ἐπεὶ καὶ πολλὰς αὐτῆς ὥρας ἐνηργήκει θεοσημείας, ἔπειτα καὶ τὴν διὰ λόγων ἀπόκρισιν προστιθείς, «Πορευθέντες ἀπαγγείλατε» φησὶν «Ἰωάννῃ, ἃ ἀκούετε f. 218v καὶ βλέπετε»[1]. τίνα δὲ ταῦτα; τυφλῶν ἀνάβλεψις, || χωλῶν εὐδρομία, λεπρῶν κάθαρσις, κωφῶν ἀκοή, νεκρῶν ἔγερσίς τε καὶ τὰ ἑξῆς. ἐφ' οἷς ἐπάγει θεοπρεπῶς· «Καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί»[2]. τί τοῦτο λέγων; ἢ δεῖξαι βουλόμενος, ὅτι καὶ αὐτοῦ τὰ βλέφαρα, ἥ φησιν ὁ θεῖος Δαυίδ[3], ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ ὅτι τὰ ἐν καρδίαις αὐτοῖς στρεφόμενα τοὺς ὀφθαλμοὺς ἐκείνου διέφυγεν οὐδαμῶς· αὐτοὶ γὰρ ἀτεχνῶς οἱ σκανδαλιζόμενοι.

16. Ἐπεὶ δὲ οὗτοι πρὸς τὸν βαπτιστὴν ἐπανήεσαν, βουληθεὶς ὁ Χριστὸς καὶ ἃ τὸν περιεστῶτα ὄχλον κατὰ νοῦν ἔθραττεν ἴασιμα col. 2 θέσθαι· τὰ γὰρ τῶν μαθητῶν Ἰωάννου | ἤδη καλῶς εἶχεν· εἰκὸς γὰρ καὶ ἀμφισβητῆσαι τούτους μή ποτε καὶ Ἰωάννῃ ἐπιδοιάσαντι περὶ Χριστοῦ ταῦτα λέλεκται, τὸ «Εἶτε οὗτός ἐστιν ὁ ἐρχόμενος ἢ ἕτερον χρὴ προσδοκᾶν», τυχὸν ἢ ὡς εἰς δειλίαν ὑπὸ τοῦ δεσμωτηρίου ἐμπεπτωκότι ἢ καὶ μεταμελῆσαν αὐτῷ τῶν πρότερον εἰρημένων· ταῦτα τοιγαροῦν ὁ Χριστὸς διορθούμενος «Τί ἐξήλθετε» φησὶν[4] «εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον»; εἶτα τὸ ἐν μαλακοῖς ἱματίοις καὶ τὸ τῶν προφητῶν ἐπέκεινα· ταῦτα δὲ μετὰ τὴν τῶν Ἰωάννου μαθητῶν ὑποστροφήν, ὥσπερ ἔφημεν· οὐδὲ γὰρ f. 219 παρόντων ἠβούλετο πλέκειν || ἐπαίνους τῷ βαπτιστῇ· οὕτω γὰρ ἂν κολακεύοντος μᾶλλον ἢ ἀληθεύοντος ἐδόκει τὰ εἰρημένα. εἰς τί οὖν τὸ τοῦ καλάμου παράδειγμα τοῦ εὐχερῶς ἀνέμοις σαλευομένου; ἢ ὥστε δηλῶσαι γνώμην εὐάγωγόν τε καὶ μεταθετικήν, ἀνέμου, τὸ τοῦ λόγου, πεδίον, καιροῖς τε δουλεύουσαν καὶ ῥαδίως ὑπ' αὐτῶν μετα-

2 πρὶν M^1, πρότερον M^2M^4 || 2—3 ὑπὸ τοῦ πρὸ διδαχθῆναι M^1 || 3 διαρρήδην M^1, φανερῶσ M^2M^4 || 5 οὐδὲμίαν **libri** || 6 τῷ *pro* τῇ M^2 || 7 ἐνειργήκει M^2; διαλόγω M^4 || 8 καὶ ἃ M^4 || 9 χωλῶν διόρθωσις M^4; τυφλῶν διόρθωσις, λεπρῶν κτλ. M^2 || 10 τε *om.* M^2 || 11 ἐὰν *om.* M^4, ἂν *pro* ἐὰν M^2 || 12 ἢ **libri** || 14 ὅτι *om.* M^2M^4 || 15 ἀτεχνῶσ M^1, ἄντικρυσ M^2M^4 || 17 ἔθραττε M^4 || 18 εἰκὼς M^2 || 24 τὸν *pro* τὸ M^2M^4 || 25 τὸν *pro* τὸ M^2 || 27—28 ἐπεὶ κολακεύοντος — ἐνομίσθη τὰ κτλ. M^2M^3 || 29 ἀνέμω σαλευομένω M^4; ἢ **libri** || 30—31 δηλῶσαι ἄνθρωπον εὐχερῆ καὶ ῥᾴδιον, ἀνέμου—πεδίον, γνώμην εὐάγωγόν τε καὶ μεταθετικήν, καιροῖς δουλεύουσαν καὶ προχείρως ὑπ' αὐτῶν κτλ. M^2M^4 || 31 καιροῖσ τὲ δουλεύσαν M^1

1) Matth. 11, 4; cf. Luc. 7, 22 || 2) Matth. 11, 6; Luc. 7, 23 || 3) Psalm. 10 (11), 5 || 4) Matth. 11, 7—9; Luc. 7, 24—26.

φερομένην. οὐκ ἂν οὖν τῆς προτέρας δόξης φημὶ καὶ γνώμης μετέπιπτεν Ἰωάννης, ἐκ διαμέτρου πρὸς τὸ παράδειγμα διστάμενος, ἐπεὶ βέβαιος ἐκεῖνος καὶ πεπηγὼς καὶ καλάμου περιφορᾷ τὸ παράπαν ἀνόμοιος. τί δὲ τὸ ἐν μαλακοῖς ἱματίοις; ἢ τοὺς ἐν τρυφῇ ζῶντας αἰ|νιττομένου· εἰκὸς γὰρ ἦν ἐννοεῖν, ὅτι τέως μὲν στερρὸς (col. 2) ἦν καὶ γενναῖος, εἶτα τρυφῇ χρησάμενος χαῦνος κατέστη καὶ μαλακός· ὧν οὐδέτερον τῆς Ἰωάννου ψυχῆς καὶ τοῦ βίου· καὶ μαρτύριον ἀψευδὲς ἥ τε στολὴ καὶ τὸ δεσμωτήριον· οὐ γὰρ ἂν εἱρκτῇ συνεκλείετο, εἰ καιροὺς ἐγίνωσκε θεραπεύειν· ἀλλὰ σιωπῆσαι μόνον ἐξήρκει, καὶ πάσης ἂν ἀπέλαυε τῆς τιμῆς. πῶς δὲ καὶ τὸ περισσότερον αὐτὸν εἶναι προφήτου ὑποληπτέον; ἢ διὰ τὸ ἐγγὺς ὀφθῆναι τῆς πρὸς ἀνθρώπους ἐπιδημίας Χριστοῦ· «Ἀποστέλλω» γάρ φησι «τὸν ἄγγελόν μου πρὸ προσώπου σου»[1]). ὅπερ οὐδὲν ἕτερον ἢ τὸν ἐγγυτάτω δηλοῖ· ἐπεὶ καὶ οἱ τῶν || βασιλέων ἐν ταῖς προόδοις ἐχόμενα προϊόντες, (f. 219v) οὗτοι δηλαδὴ καὶ τῶν ἄλλων ἀξιωματικώτεροί τε καὶ οἰκειότεροι. καὶ ἀπόχρη μὲν ἡ δεσποτικὴ γλῶττα μαρτυροῦσα τῷ Ἰωάννῃ τὴν ἐν ἀνθρώποις ὑπεροχὴν καὶ τὸ γυναικῶν μηδεμίαν μείζονα τούτου τεκεῖν· εὑρήσει δὲ ὁ βουλόμενος καὶ τὴν τῶν πραγμάτων ἀλήθειαν τὸ παράπαν συμφθεγγομένην, εἰ τὴν τράπεζαν ἐννοῶν εἴη τὴν ἐκείνου, εἰ τὴν διαγωγήν, εἰ τῆς γνώμης τὸ ὑψηλότατον. καθάπερ γάρ τις οὐράνιος οὕτω περιῄει τὴν γῆν, τὸ σῶμα ὡς περιττόν τι καὶ ὅλως ἀργὸν ἐπαγόμενος, πρόνοιάν τε νέμων αὐτῷ σχεδὸν οὐδεμίαν, ὕμνοις καὶ εὐχαῖς ἀπαρα|λείπτως προσκείμενος, μικροῦ μὲν μηδὲ (col. 2) τῆς γῆς ἁπτόμενος, πρὸς οὐρανὸν δὲ κατὰ νοῦν ἐπαιρόμενος καὶ Θεῷ μόνῳ καθαρῶς συναπτόμενος, οὐδενὸς ὅλως τῶν ἀνθρωπίνων μεταποιούμενος, ἀλλὰ καινήν τινα τρίβον ὁδεύων ζωῆς, γαληνός τε ὁμοῦ καὶ σφοδρὸς γινόμενος· καὶ γὰρ τῷ μὲν δήμῳ τῶν Ἰουδαίων ἀνδρωδῶς καὶ γενναίως, τῷ βασιλεῖ δὲ πεπαρρησιασμένως,

3 ἐπεὶ πάγιος ἐκεῖνος καὶ βεβηκώς, καλάμῳ περιφορᾷ ῥαδία τὸ κτλ. M^2M^4 || 4 τί δαὶ M^4; ἢ **libri** || 5—6 στερρὸς ἦν καὶ πον(εῖν) συνειθισμένος, εἶτα M^2; στερρῶς καὶ πόνοις συνειθισμένος M^4 || 6—7 χαῦνον ἔβλεψε καὶ πρὸς μαλακίαν ἐπείσατο M^2M^4 (ἐσπείσατο M^4) || 7 καὶ **ante** μαρτύριον **om.** M^2M^4 || 8—9 οὐ γὰρ ἂν οἰκεῖν αὐτὸ κατεκρίνετο, εἰ—θεραπεύειν καὶ βασιλεῦσιν εἴκειν παρανομοῦσιν, ὥπερ οὐχὶ τὸ πρὸς χάριν λέγειν ἀνάγκη, ἀλλὰ σιωπῆσαι κτλ. M^2M^4 || 10 ἀπέλαυε θεραπείας M^4, ἀπέλαβε θεραπείας M^2 || 11 ἢ **libri**; διὰ **om.** M^2M^4 || 12 ἀποστελῶ M^2; φησι **om.** M^1 || 13 προπροσώπου M^4; τὸν M^1, τὸ M^2, τῶ M^4 || 14 οἱ **om.** M^2 || 17 μὴδεμίαν M^1M^4 || 21 οὐράνιος M^1, ὁδῦνόθεν ἥκων M^2M^4; τι ὅλως καὶ M^2M^4 || 22 σχεδὸν **om.** M^2; οὐδεμίαν **libri** || 23 ὅσαι ὧραι **pro** ἀπαραλείπτως M^2M^4; μὴδὲ **libri** || 25 ὅλως **om.** M^4; οὐδὲν τῶν ἀνθ(ρωπ)ίνων M^2 || 26 τινα **om.** M^2; ἀλλὰ καὶ μόνην τρίβον M^4

1) Matth. 11, 10; Marc. 1, 2; Luc. 7, 27.

τοῖς δὲ μαθηταῖς τοῖς ἰδίοις καὶ λίαν ἐπιεικῶς διελέγετο, οὐδὲν εἰκῇ καὶ ἁπλῶς, ἀλλ' ἕκαστον δηλαδὴ μετὰ τοῦ προσήκοντος. πῶς οὖν οὐ πάντων μείζων ὁ οὕτως ἔχων καὶ διακείμενος; τί δὲ ἡ ἐπαγωγὴ f. 220 *τοῦ μικροτέ||ρου μέν, ἐν δὲ τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζονος βούλεται; ἢ ὥστε μὴ τῇ ὑπερβολῇ τῶν ἐγκωμίων καί τινα τοῖς Ἰουδαίοις ἀτοπίαν ἀποτεκεῖν καὶ πρόφασιν αὐτοῖς δοῦναι τοῦ καὶ Χριστοῦ προθεῖναι τὸν Ἰωάννην, μικρότερον δὲ πάντως ἀπό τε τῆς ἡλικίας καὶ ἀπὸ τῆς τῶν πολλῶν δόξης ἑαυτὸν καλεῖν. ἦσαν γάρ τινες, οἳ μὴ μόνον τὴν εὐτέλειαν αὐτῷ περιῆπτον, ἀλλὰ καὶ φάγον τε καὶ οἰνοπότην οὐκ ὤκνουν καλεῖν.*

17. Ἀλλὰ μεταβατέον ἤδη καὶ πρὸς τὸν αὐτοῦ θάνατον, ὃν ἐκεῖνος διὰ τοὺς ἐλέγχους ὑπέστη, ἄχρι τέλους πρὸς τὴν ἁμαρτίαν col. 2 *ἀγωνισάμενος, οὐ φοβηθεὶς ἡμέρας, τὸ τοῦ θείου φάναι | Δαυίδ*[1]*), οὐ βασιλέων δυσωπηθεὶς πρόσωπα, Θεοῦ νόμων ὑπερορώντων, ἀλλὰ φανερῶς ἐλέγξας δούλους ἡδονῆς ὄντας τοὺς τῶν ἄλλων ἄρχειν, ὦ νόμοι καὶ δίκαια, βουλομένους.*

Ἐπεὶ γὰρ ἤδη τῇ φυλακῇ κέκλειστο (ἐκεῖ γὰρ αὐτὸν ἀφέντες μετέβημεν), ἡμέρας, φησίν[2]*), εὐκαίρου γενομένης Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσι καὶ χιλιάρχοις καί, ἧ τὸ ἱερόν φησιν εὐαγγέλιον, τοῖς πρώτοις τῆς Γαλιλαίας· εἶτα αἱ περὶ τὸ δεῖπνον ψυχαγωγίαι καὶ σεμναὶ χάριτες· δεῖ γὰρ καὶ ταύτας εἰπεῖν, αἷς ὁ βασιλεὺς ἐχρήσατο πρὸς τοὺς κεκλημένους. κόρη πρόσ-* f. 220v *εισιν ὀρχουμένη, καὶ κόρη οὐχ ἡ τυχοῦσά τις οὐδὲ || τῶν πολλῶν μία, ἀλλὰ θυγάτηρ ἤδη βασιλέως ὠνομασμένη καὶ αὐτοῦ ἐκείνου τοῦ ἑστιάσαντος. καὶ οὐκ ᾐδεῖτο θυγατέρα βασιλεύς, καὶ ταῦτα παρθένον τῷ δοκεῖν, εἰσάγων καὶ τοσαύταις παραδιδοὺς ἀρρένων ὄψεσιν ὀρχουμένην, πρᾶγμα σώφροσιν ὀφθαλμοῖς οὐχ ἁπλῶς ἀπαρέσκον, ἀλλὰ καὶ φυγῆς ἄξιον, ἀλλ' ἵνα τὸ φιλόσεμνον οὕτω τῆς νέας γυναικὸς γνωρισθῇ, ἐκ τοῦ καρποῦ τε τὸ δένδρον καὶ ἡ μήτηρ ἐπίδηλος ἐκ τῆς θυγατρὸς γένηται, καὶ αὐτὴ μὲν δι' ἐκείνης, ὁ γήμας δὲ δι' ἀμφοτέρων ἐπαινετὸς ὀφθῇ καὶ μακάριος. ὅρα δὲ καὶ τὴν τοῦ κακοῦ* col. 2 *προσθήκην, ὅτι καὶ | ἤρεσε τῷ πατρὶ τὸ γινόμενον, ἐφ' ᾧ μᾶλλον*

2 *καὶ om.* M^2; *δὲ pro οὖν* M^2 || 3 *δαὶ pro δὲ* M^1M^4 || 5 *ἣ* **libri**; *τὴν ὑπερβολὴν* M^2M^4 || 8 *καλεῖ* M^4 || 9 *τὴν om.* M^1M^2 || *Ad 11:* M^4 **in summo margine** *f. 266* **titulum habet eadem manu scriptum:** *ἡ ἀποτομή* || 14 *θῦ καὶ νόμων* M^2M^4 || 17 *Ἐπειδὴ* M^2 || 18 *φασίν* M^1 || 19 *μεγιστάσι* M^1M^2; *χιλιάρχαισ* M^4 || 19—20 *ἢ φησι τὸ ἱερὸν* M^2 || 20 *γαλελαίασ* M^4 || 21 *τὸν pro τὸ* M^1 || 23 *τυχοῦσα τίσ* M^1 || 23--24 *οὐδὲ -- μία om.* M^2 || 24 *ὀνομασμένη* M^2 || 26 *παραδιδοὺς* **post** *ὀρχουμένην* M^2M^4 || 27 *ἀπαρέσκον* M^1, *ἄφιλον* M^2M^4 || 28 *οὕτωε ἧς ἠγάγετο γυναικὸς* M^2M^4 || 29 *τὲ* **libri** || 30 *δὲ καὶ δι'* M^4

1) Cf. Psalm. 48 (49), 5 || 2) Marc. 6, 21 sqq.

ἐγκαλύψασθαι ἔδει, καὶ οὕτως ἤρεσεν, ὦ βασιλικῆς μεγαλοδωρίας, ὡς ὁμολογῆσαι καὶ συνδιελέσθαι ταύτῃ τὴν βασιλείαν πρὸς ἀντίδοσιν καινωφελοῦς τοιοῦδε καὶ ἀξίου σπουδῆς πράγματος. καὶ τό γε χεῖρον, ὅτι μηδὲ ἐκείνης αἰτησαμένης, ἀλλ᾽ αὐτοῦ ταύτην πρὸς τὴν ἀξίωσιν ἐρεθίσαντος. ἡ δὲ καὶ ἔτι φιλότιμος γίνεται καὶ πολλῷ μεῖζον αἰτεῖται, παρ᾽ αὐτῆς γε τῆς μητρὸς τὸ γέννημα τῆς ἐχίδνης διδαχθεῖσα τὴν αἴτησιν· ἐπιζητεῖ γὰρ οὐ τὴν ἐξ ἡμισείας ὑπεσχημένην αὐτῇ βασιλείαν, οὐδὲ ἄλλο τι τῶν οὕτως || ἐχόντων, ἀλλὰ *f. 221* πρᾶγμα, φεῦ, βασιλειῶν ὅλων τῶν ἐπὶ γῆς ὑπερκείμενον καὶ οὗ μηδὲ ὁ κόσμος αὐτὸς ἀντάξιος· κεφαλὴν ἀνδρός, ἣν καὶ σὺ πρότερον, ὁ δοῦλος μᾶλλον ἢ βασιλεύς, σφόδρα διὰ τιμῆς ἦγες, ὡς αὐτά τε λέγει τὰ εὐαγγέλια καὶ ὁ λόγος ἤδη φθάσας ἐδήλωσε. νῦν δὲ τοῦ πάθους χάριν καὶ τῶν ἐλέγχων δεσμεῖς τὸν αἰδέσιμον, καὶ οὐ δεσμεῖς μόνον, ἀλλὰ καὶ ἀναιρεῖς καὶ κεφαλὴν ἐκείνην φαύλων ἐρώτων πωλεῖς, τοιαύτας, ἄθλιε, χάριτας τῇ ἐρασθείσῃ σοι κακῶς χαριζόμενος. πῶς δέ σοι καὶ εἰς πρόφασιν ἦν τοῦ μὴ παραβῆναι δὴ τὰ ὀμωμοσμένα ἡ τοῦ δικαίου ἀναίρεσις; εὔδηλον γάρ, ὅτι βα|σιλείαν ἐξ ἡμι- *col. 2* σείας τὴν σὴν ἀνωμολόγηκας αὐτῇ παρασχεῖν· τοῦτο δὲ τί ἕτερον ἦν ἢ πλοῦτος, χρήματα, πλέθρα γῆς, δόξα πρόσκαιρος, ὧν αὐτὸς κύριος ἧς; ταῦτα γὰρ ἰσομοιρίᾳ σοι πρὸς αὐτὴν διαιρούμενα διετήρει τὸν ὅρκον· ἀνδρὸς δὲ φόνος (ἀνδρὸς εἶπον; πολλῷ μᾶλλον ἤπερ ἀνδρός) τί πρὸς ταῦτα κοινὸν εἶχεν, ὦ σωφροσύνη θεία καὶ νόμων ὀρθοτομία, εἰ μὴ τοῦτό σοι τὸ βασιλεύειν, ὦ βέλτιστε, ἦν τὸ τοὺς ἀρχομένους οὐδὲν δέον ἀναιρεῖν; σὺ δὲ καὶ λελυπῆσθαι φανερὸς γέγονας, ὡς ἐπιτρέψαι δῆθεν τὸν τοῦ δικαίου φόνον ἀνάγκῃ περιληφθεὶς ὁ τῶν ὅρκων ἀκριβὴς φύλαξ, οὔτι γε || τῶν νόμων· ἀλλ᾽ οὐ *f. 221v* λέληθας πρὸς τάφον μητρυιᾶς, τὸ τοῦ λόγου, κλαίων κἀκεῖνο διδόναι προσποιούμενος οὐχ ἑκών, ὃ τῶν αἰτούντων μᾶλλον χαίρεις αὐτὸς χαριζόμενος.

18. Εἰσάγεται δὲ ἡ κεφαλὴ πλήρης αἵματος, τοῖς κεκλημένοις μὲν θέαμα σκυθρωπόν, εὐφροσύνην τε ὅλην ἐπιτραπέζιον εἰς λύπην μεταβαλεῖν ἱκανόν, τῇ μητρὶ δὲ τῆς κόρης καὶ πολλῆς ὅσης τῆς ἡδονῆς πρόξενον· ἐδίψα γὰρ οὕτως ἰδεῖν τὸν εἴργοντα ταύτην χρῆσθαι τοῖς κατὰ γνώμην καὶ γλῶτταν ζήλῳ τεθηγμένην οὐχ ἧττον

1 ἐγκαλύπτεσθαι M[2]; μεγαλοδωρεᾶσ M[1] || 3 κοινωφελοῦσ M[2]M[4] || 4 μήδὲ M[1]; μήδ᾽ ἐκείνησ M[2]M[4] || 5 πολλῶ γε M[2] || 6 αἰχίδνησ M[4] || 7 δὲ *pro* γὰρ M[2] || 8 ἄλλό τι *libri* || 10 μήδὲ *libri* || 11 διατιμῆσ M[4] || 12 ἤδη *om.* M[1] || 13 δεσμεῖς — καὶ *om.* M[1] || 16 καὶ πρόφασισ ἦν τὸ μὴ M[4]; τὸ μὴ *item* M[1]; ὀμωσμένα M[1], ὀμοσμένα M[4] || 18 τὴν σὴν *om.* M[2] || 21 πρὸσ τὸν ὅρκον M[2] || 22 θεῖα M[1] || 24 λελυπεῖσθαι M[2] || 28 ἐκῶν M[4] || 30 καὶ *pro* ἡ M[2], καὶ ἡ M[4]

ξίφους ἐσχάτως ἄφωνον· ἀλλὰ γὰρ θεῖόν τι χρῆμα ἡ ἀρετὴ καὶ ἀνάλωτον ἔτι κρατοῦσα καὶ μετὰ τὸν τοῦ κεκτημένου | [col. 2] *θάνατον· ὁ γὰρ αἰσχρὸς οὗτος καὶ βδελυρὸς καὶ ἡδονῶν ἥττων βασιλεύς, ὁ φόνον ἀνδρὸς τοιοῦδε ὡς ἑνὸς τῶν ἠμελημένων δράσας ἐξ ἐπιτάγματος, ὅρα ὅπως μετὰ τὴν ἐκείνου σφαγὴν περιδεὴς γίνεται καὶ κατάφοβος, οὕτω κατάφοβος, ὡς μικροῦ καὶ θανάτου κρείττω τὸν τεθνηκότα οἴεσθαι· περὶ γὰρ Ἰησοῦ ἀκούσαντά φησι*[1]) *τὸν Ἡρῴδην καὶ οἵοις ἐχρῆτο θαύμασιν, «Οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής» φάναι· «αὐτὸς ἀπὸ τῶν νεκρῶν ἠγέρθη». καὶ ἡ ἀπόδειξις τὸ τὰς δυνάμεις, φησίν, ἐνεργεῖν ἐν αὐτῷ, τὴν τῶν κυριακῶν οὕτω λέγων σημείων καὶ θαυμάτων ἐνέργειαν.*

[f. 222] *19. Ἐπεὶ δὲ καὶ Ἰωάννης ὁ θεῖος ἀνῄρητο καὶ* || *ἡ περιμάχητος κεφαλὴ ἆθλον ὀρχήσεως τῇ μαινάδι πεφιλοτίμητο καὶ δι᾿ αὐτῆς εἶχεν ἡ μήτηρ, ἐκείνη λαβοῦσα τὸ διαφερόντως αὐτῇ διψώμενον κατορύττει βαθέως καὶ κρύπτει παρ᾿ ἑαυτῇ λίαν ἀσφαλῶς καὶ ἀσύλως, ὡς ἐκ πατροπαραδότων λόγων καὶ ἀντιγράφων ἔξεστι διδαχθῆναι· ἐποίει γὰρ αὐτὴν τὸ πολὺ δέος καὶ ἡ τοῦ μισουμένου μεγαλειότης καὶ μετὰ θάνατον ἀσφαλίζεσθαι. καὶ οὐ μεθίει συναφθῆναι τὴν κεφαλὴν τῷ ὅλῳ σώματι, μὴ καὶ ἀνασταίη οὕτως ἔχων ὑπειδομένη καὶ τῶν προτέρων ἐλέγχων ὁμοίως ἅψαιτο· «Εἰ δὲ παρ᾿ ἐμοὶ» φησίν «ἡ κεφαλὴ καλῶς κρύπτοιτο, οὐκ ἂν ἀναστῆναι τούτῳ ῥᾳδίως* | [col. 2] *γένοιτο». ἐπεὶ δὲ τὸ λοιπὸν σῶμα, τοῖς μαθηταῖς ἐκείνου μελῆσαν, ἐν τόπῳ δή τινι τῶν ἐπισήμων ἐντίμως θάπτεται, ἀπελθόντες οὗτοι τῷ Ἰησοῦ ἅπαντα προσαγγέλλουσι, κἀκεῖνος οἱονεὶ λύπῃ τῇ περὶ αὐτὸν συσχεθεὶς οὐκέτι μένειν κατὰ χώραν ἀνέχεται, ἀλλ᾿ ἐκεῖθέν τε εὐθὺς ἀπανίσταται καὶ ἅμα μαθηταῖς ἰδίοις εἴς τινα χῶρον τῆς Βηθανίας ἔρημον εἰς πλοῖον ἐμβὰς ἀφικνεῖται, ἑαυτόν τε κἀκείνους τῷ ἡσύχῳ διαναπαύων καὶ τὰ τῆς λύπης οἷα παραμυθούμενος.*

20. Ἰωάννης μὲν οὖν ὁ θεῖος πρὸς τοῖς ἄλλοις οἷς ἐπλούτει χαρίσμασιν ἔτι καὶ τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τιμηθεὶς τοὺς οὐρανοὺς μᾶλλον, || [f. 222v] *ὧν ἄρα καὶ ἦν ἄξιος, οἰκεῖν ἐκληρώθη, δύο καὶ τριάκοντα πρὸς μησὶν ἓξ τὰ ἐπὶ γῆς ἅπαντα διανύσας ἔτη, Ἡρῴδῃ δὲ*

1 *ἄφονον* M^2 || 5 *κατάφωβοσ* M^4 || 6 *οὔτω κατάφοβος* om. M^2 || 7 *ἀκούσαντα φησὶ* M^1M^4 || 9 *ἡ* om. M^1M^2 || 10 *ἐνεργεῖν φησιν* M^2M^4 || 14 *ἐκεῖνο* M^1 || 15 *κρύπτη* M^1 || 19 *ἔχον* M^4 || 21 *ἂν* post *ῥᾳδίως* M^1 || 24—25 *οἱονεὶ λυπηθεὶσ οὐκέτι κτλ.* M^2 || 25 *καταχώραν* M^2M^4 || 27 *βηθανίασ* M^1, *θηβαΐδοσ* M^2M^4 (cf. Marc. 6, 45: *πρὸς Βηθσαϊδάν*); *ἔρημον — ἐμβάς* om. M^4 || 31 *τιμηθεὶσ* M^1, *τυθεὶσ* M^2, *τελειωθεὶσ* M^4 || 32 *ἄρα* M^4 || 33 *ἡρώδην* M^4

1) Marc. 6, 14—16.

ἡ τοῦ Θεοῦ δίκη, καίτοι μέλλειν εἰς τιμωρίαν ὡς τὰ πολλὰ φύσιν ἔχουσα, ὅμως ἐνταῦθα, τὴν ὑπερβολὴν ἴσως μισήσασα τοῦ μιάσματος, οὐκ εἰς μακρὰν ἔπεισιν. ὡς γὰρ ἐκεῖνος τὴν ἑαυτοῦ γυναῖκα διὰ τοὺς πρὸς τὴν μοιχαλίδα δριμεῖς ἔρωτας ἀπέστερξέ τε κακῶς καὶ ἀπώσατο, αὕτη τὴν ὕβριν οὐκ ἐνεγκοῦσα πρὸς Ἀρέταν τὸν αὐτῆς πατέρα, ὃς Ἀράβων βασιλεύς, ὡς ὁ λόγος ὁ περὶ τούτων δείκνυσιν, ἐτύγχανεν ὤν, ἀφίκετο καὶ τὴν ὑπεροψίαν τε καὶ τἄλλα πρὸς ἔπος αὐτῷ | διηγήσατο καὶ τὴν ἐκδικίαν ᾐτήσατο τοῦ *col. 2* ἀφορήτου γυναικὶ πράγματος. ὁ δέ, καὶ γὰρ οὐκ αὐτῆς μόνον, ἀλλὰ καὶ ἰδίαν εἶναι μᾶλλον τὴν ὕβριν ἔκρινε, τῷ Ἡρῴδῃ ἐπιστρατεύει, πράξας τε κατὰ νοῦν καὶ τὸ ἐκείνου στράτευμα κραταιῶς συγκόψας καὶ οὓς μὲν ἀνελών, οὓς δὲ καὶ ἀνδραποδισάμενος καὶ τὴν χώραν ἅπασαν πυρὶ δεδωκὼς ἐπανῄει. καὶ τὰ μὲν εἰς Ἡρῴδην τοιαῦτα.

21. Πλὴν ἀλλὰ καὶ τὰ τῆς μοιχαλίδος ταύτης καὶ παρὰ τὸν νόμον γυναικὸς Ἡρῴδου ὁποῖα; αὕτη μὲν ἐπὶ μήκιστον παρατείνει ζωῆς, τὴν θυγατέρα δὲ πρότερον πικρῷ τέλει καταλύσασαν τὸν βίον θεα||σαμένη οὕτως καὶ αὐτὴ ἄπεισι, τοῖς ἐκεῖθεν δικαιωτηρίοις κα- *f. 223* θάπαξ συντηρουμένη καὶ τὸν τρυγίαν ὅλον τοῦ ἐν χειρὶ κυρίου ποτηρίου δικαιοτάτου πιουμένη. ἡ μέντοι θυγάτηρ (ἐκείνην γὰρ καὶ ὁ λόγος τῆς μητρὸς ἔφη προαποίχεσθαι) πρός τινα τόπον ἀλλαχόθι ὄντα πορευομένη, καὶ ποταμὸν αὐτῇ ὥρᾳ χειμῶνος διαβῆναι δεῆσαν, ἐπεὶ κεκρυστάλλωτο οὗτος καὶ πεπηγὼς ἦν, ὑπεράνω αὕτη πεζῇ διήρχετο· τοῦ κρυστάλλου δὲ οὐκ ἀθεεὶ πάντως περιρραγέντος αὐτὴ μὲν εὐθὺς κατερρύη ἄχρι δήπου καὶ κεφαλῆς ἡ ἀθλία, τοῖς σπαραγμοῖς καὶ τότε ὥσπερ ὀρχησαμένη οὐκ ἐν γῇ, ἀλλ᾽ ἐν ὕδα|σιν· ἡ κεφαλὴ δὲ θραυσθεῖσά τε τῷ κρυστάλλῳ καὶ ἀποτμη- *col. 2* θεῖσα δεινῶς ὑπεράνω τῶν πάγων δεῖγμα θαυμάσιον τῶν τοῦ Θεοῦ κριμάτων ἀπολιμπάνεται, διαιρεθεῖσα καὶ αὐτὴ τοῦ λοιποῦ σώματος οὐ ξίφει, ἀλλὰ κρυστάλλῳ. ἀλλὰ ταῦτα μὲν ἔσχεν οὕτως, καὶ ἡ ἄτιμος ἐκείνη καὶ μιαρὰ κεφαλὴ ὑπ᾽ ὄψιν ἔκειτο πᾶσιν, εἰς ὑπόμνησιν ὧν ἔδρασεν ἀνάγουσα τοὺς δρῶντας.

3 *γυναῖκα καὶ διὰ* **M**[1] || 6 *βασιλεὺσ ἦν* **M**[4] || 7 *καὶ ante τὴν om.* **M**[2]**M**[4]; *τὲ* **M**[1] || 8 *τἄλλα* **M**[1], *ἄλλα* **M**[2] || 10 *εἶναι om.* **M**[4] || 11 *τὲ libri; κατανοῦν* **M**[4] || 12 *καὶ post δὲ om.* **M**[2] || 14 *ταύτῃ pro τοιαῦτα* **M**[2]**M**[4] || 16 *μὲν post ἐπὶ μήκιστον* **M**[1] *(ἐπιμήκιστον libri)* || 21 *καὶ om.* **M**[2]; *προαποιχέσθαι* **M**[1]**M**[2] || 23 *κεκρυςάλλοτο* **M**[2] || 23 et 28 *ὑπὲρ ἄνω* **M**[4] || 24, 27, 29 *κρυςάλου, κρυςάλῳ* **M**[2] || 24 *οὐκαθεεὶ* **M**[4] || 25 *ἡ om.* **M**[2]**M**[4] || 31 *ὑπόψιν* **M**[4]

M[4] in imo f. 268[r] titulum habet eadem manu scriptum: *θάνατ(ος) ἡρωδιάδ(ος)* et f. 269 in summo margine manu recentiore: *τέλος τῆς ἀποτομῆς + ἀρχῆ τῆσ εὑρέσεοσ.*

Ὅτῳ δὲ τρόπῳ ἡ ἱερὰ τῷ ὄντι καὶ περιμάχητος κεφαλή, ἐν μυχῷ γῆς πρότερον, ὥσπερ ἔφημεν, ὑπὸ τῆς μαινάδος κρυβεῖσα, θαυμαστὸν οἷον αὖθις ἐξέλαμψε καὶ φανερὰ τοῖς πιστοῖς κατέστη, ὁ λόγος ἤδη δηλοῦν ἔρχεται. ||

f. 223v *22. Μοναχοὶ δύο τῆς ἑῴας μὲν ἐξορμώμενοι, πόθου δὲ κατασχόντος αὐτοὺς τοὺς ἱεροὺς τόπους τῶν τοῦ Χριστοῦ παθῶν ὄψεσι χαρίσασθαι ταῖς ἰδίαις, τὰ Ἱεροσόλυμα κατειλήφασι. τούτων ὁ βαπτιστὴς ἐπιστὰς ὑπνοῦντι θατέρῳ δῆλόν τε ἑαυτόν, ὅστις εἴη, ποιεῖ καὶ «Πρὸς τὸν Ἡρῴδου» ἔφη «τοῦ βασιλέως οἶκον γενομένοις ὑμῖν, ἐκεῖ γὰρ ἡ ἐμὴ κρύπτεται κεφαλή, ἀνελέσθαι ταύτην ὡς μάλιστα φροντιστέον». ὄρθρου τοιγαροῦν ἐπιστὰς ὁ τῆς ὄψεως θεατὴς κοινολογεῖται ταῦτα τῷ συνοδίτῃ· καὶ ὃς φαντασίαν εἴρηκεν εἶναι τὸ θεαθέν, οὐκ ἀλήθειαν· ἐκίνει γὰρ ἴσως καὶ πρὸς ἀπιστίαν* col. 2 *αὐτὸν πάθος ζηλοτυπίας,* | *τῷ θατέρῳ μόνῳ καὶ μὴ ἀμφοτέροις ὀφθῆναι τὸ ὅραμα. ταύτῃ τοι καὶ ἠμελεῖτο τὸ κελευσθὲν καὶ εἰς ἔργον ἐξέβαινεν οὐδαμῶς. τῆς ἐπιούσης τοίνυν νυκτὸς αὖθις ὁ τῆς ἀληθείας κῆρυξ καθ' ἕνα ἐπιστὰς ἀμφοτέροις τὰ αὐτὰ ἐπισκήπτει, οὐδὲν ἐπιδοιάζειν εἰρηκὼς προσήκειν, ἀλλὰ πᾶσαν ἀπιστίαν τε ἅμα καὶ ῥᾳθυμίαν ἀποθεμένοις τοῦ κελευσθέντος ἐπιμελῶς γίνεσθαι. ὡς οὖν ἀμφότεροι τὸ θεαθὲν πάλιν εἰς γνῶσιν ἀλλήλοις ἀντιπαρεῖχον, ἥ τε ἀπιστία εὐθὺς διελύετο καὶ ἡ ὁδὸς σύναμα ἑκατέροις ἠνύετο, τοῦ προδρόμου πάλιν, ὡς εἰπεῖν, εὐθεῖαν καὶ ταύτην αὐτοῖς ποιοῦν-* f. 224 *τος καὶ* || *ὁδηγοῦ πρὸς ἅπασαν ἀγαθοῦ γενομένου. ἀμέλει καὶ τὸν τόπον οὐκ εἰς μακρὰν φθάνουσιν, εὑρίσκουσί τε τὴν ἱερὰν κεφαλήν, ἧς ἐπιτίμιον σωφροσύνης ἡ ἐκτομή· διὰ ταῦτα οὐ κεκρύφθαι δικαία μᾶλλον, ἀλλ' ἐπιφανὴς εἶναι πρὸς ἁγιασμὸν πολλῶν καὶ ὠφέλειαν. ἀνελόμενοι τοίνυν αὐτὴν οἱ μοναχοὶ κατὰ τὸ ἐπίταγμα καὶ σάκκῳ τινί, ὃς ἐκ τριχῶν κατεσκεύαστο, ἐμβαλόντες (κατὰ γνώμην ἴσως ἐκείνῳ καὶ τοῦτο πραχθέν, ὡς ἂν ἡ κεφαλὴ τὸ ἐν ἐρήμῳ τοῦ ὅλου σώματος ἔνδυμα ζηλώσῃ) παραχρῆμα ἐπανόδου ἐμέμνηντο, χρῆμα ὡς ἀληθῶς ἐπιπόθητον καὶ ὑπὲρ χιλιάδας, τὸ τοῦ θείου φάναι* col. 2 *Δαυίδ* [1]*), χρυσίου* | *καὶ ἀργυρίου τοῖς πιστοῖς κομιζόμενοι.*

M^2 in margine, ubi incipit cap. 22, hunc titulum habet (compendiose illum quidem scriptum): *Λόγος εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου.*

4 *δηλῶν* M^4 || **8** *ἐπιστᾶσ* M^4 || **12—13** *δε φασῒ φαντασίαν εἶναι* M^2 || **16** *αὖθις* **om.** M^2 || **17** *κήρυξ* M^2M^4; *καθένα* M^2 || **18** *προσήκει* M^1M^2; *τὲ* **libri** || **21** *σὺν ἅμα* M^1M^4 || **23** *γινομένου* M^4 || **28** *καταγνώμην* M^4 || **29** *ἂν καὶ ἡ* M^2M^4 || **30** *ἐπανόδου παραχρῆμα* M^2M^4 (*ἐπανώδου* M^4); *χρῆμα γὰρ* M^4 || **32** *κομιζόμενον* M^4

1) Psalm. 118 (119), 72.

23. Κεραμεὺς δέ τις κατ' ἐκεῖνο καιροῦ ἐκ πόλεως μὲν Ἐμέσης τὰς τοῦ γένους ἔχων ἀρχάς, πένης δὲ ὢν κομιδῇ καὶ πένης ἐσχάτως, ὡς αὐτὴν ἀποστέρξαι τὴν ἐνεγκοῦσαν, ἅτε τρέφειν οὐ δυναμένην, καὶ αὐτὸ τὸ φίλον ἔδαφος τὴν πατρίδα καταλιπεῖν, ὥσπερ ἄρα σὺν τούτῳ καὶ τὴν σύνοικον πενίαν ἀποδιδράσκων, ταύτῃ γοῦν καὶ ἀλώμενος παρὰ τὴν ὁδὸν τοῖς μοναχοῖς ἐντυχεῖν, οἷς τὸ θεῖον κειμήλιον, ἡ τοῦ προδρόμου μετεκομίζετο κεφαλή. ἐπεὶ οὖν καὶ συνομιλῶν ἦν αὐτοῖς καὶ ἅμα τὴν πορείαν ποιούμενος, ἐγχειρίζουσιν ἐκείνῳ τὴν μετακομιδὴν τῆς ὑψηλῆς ταύτης καὶ πολυτίμου || φημὶ κεφαλῆς. ἀγνοοῦντι δὲ τῷ κεραμεῖ, τί τὸ πιστευθὲν *f. 224v* ἦν, ὁ πρόδρομος δῆλον ἑαυτὸν ἐκείνῳ καθίστησι καὶ ἐποφθεὶς «Τοὺς συνοδοιπόρους ἀπολιπὼν» ἔφη, «τὸ ἐν χερσὶν ἔχων ἀπόδραθι». τοῦτο δὲ ποιεῖ τῶν μὲν μοναχῶν, ὡς ἔοικε, ψυχρότητα πίστεως καὶ ῥᾳθυμίαν κατεγνωκώς, ἅτε χρῆμα τοσοῦτον ξένῳ καὶ ἀγνῶτι πεπιστευκότων, τῷ κεραμεῖ δὲ ἀφορμὴν εὐπραγίας τὸ πρᾶγμα καὶ βίου κρείττονος ἐπιδεικνύμενος. ὑπακούσας γὰρ ἐκεῖνος καὶ λαθὼν καὶ ἅμα θησαυρῷ τοιῷδε ἐπανελθὼν οἴκαδε διετέλει τὸ μετὰ ταῦτα πλούτῳ κομῶν καὶ ἀγαθῶν ἀγαθοῖς παρ' ὅλον βίον εὐθηνούμενος. καὶ πῶς γὰρ | οὐκ ἔμελλε, μὴ κατὰ τὸν τῆς κωμῳδίας *col. 2* Χρεμύλον ἐκεῖνον οὐχὶ πλοῦτον εἰσοικισάμενος τὸν τυφλὸν ἐσχάτως καὶ ἄπιστον, ἀλλὰ τὸν ἀληθῆ πλοῦτον, τὸν μὴ κενούμενον θησαυρὸν ἔχων σύνοικον; μὴ ἀμνημονῶν δὲ οὗτος μηδὲ τῆς προτέρας δυσπραγίας, μηδὲ τῆς μετὰ ταῦτα ἀνέσεως, διὰ πάσης ἦγε τιμῆς τὴν ἱερὰν ἐκείνην καὶ πάντιμον κεφαλήν.

24. Καὶ τοῦτο μὲν παρ' ὅλην αὐτοῦ τὴν ζωὴν ἐποίει· ἐπεὶ δὲ καὶ ἔμελλε τελευτᾶν, ἐν ὑδρίᾳ ταύτην ἐνθέμενος (οὕτω γὰρ ἴσως οἰκονομῶν ἦν ὁ τὴν πτωχείαν τοῦ δι' ἐμὲ Θεοῦ πτωχεύσαντος ἐν πᾶσι ζηλῶν), ἔπειτα καὶ κιβωτίῳ διασφα||λισάμενος ἔξωθεν καὶ *f. 225* σφραγῖδι καλῶς ἐπισημηνάμενος τῇ ἀδελφῇ παρατίθησιν, ἐπίδηλα πάντα δὴ τὰ συνενεχθέντα πρὸς αὐτὴν ποιησάμενος, καὶ ὅπως μὲν τέως ὥσπερ ἄμαχόν τι κακὸν ἐπέτριβεν αὐτὸν ἡ πενία, ὅπως δὲ παρ' ἐλπίδα πρὸς τὴν νῦν μετέβαλεν εὐθηνίαν καὶ τὴν τῶν ἀγαθῶν εὔροιαν, τὸ αἴτιόν τε τῆς μεταβολῆς αὐτῇ ἔλεγε τὴν εἴσω τοῦ

1 κατ'εκείνω M^2; ἐμέσσησ M^4 || 4 καὶ *om.* M^2M^4 || 7 κατεκομίζετο M^4 || 9 ὑψιλῆσ M^2 || 11 *verbis* ἐκείνῳ καθίστησι *finitur textus recentiore manu scriptus in* M^2 || 12 ἔχον M^4 || 13 δὲ|ποίει M^2 || 18 εὐθυνού|μενοσ M^2 || 19 τραγωδίασ *pro* κωμῳδίας M^4 || 20 χρεμῦλον M^2 || 21 μηκενούμενον M^2 || 22 μὴδὲ M^1M^4; τῆσ πρότερον M^2M^4 || 23 μηδὲ — ἀνέσεως *om.* M^2M^4 || 26 ὑδρεία M^2 || 27 πτωχίαν M^4 || 29 ἐπισημμηνάμενοσ M^1 || 31 αὐτὸν *om.* M^2 || 31—32 παρελπίδα M^2M^4 || 33 αὕτη *pro* αὐτῇ M^4; ἔλεγεν M^2

σκεύους ἐπιδεικνύμενος κεφαλήν, ἢ γέγονέ μοι πλέον, φησίν, ἢ τὸ περιᾳδόμενον Ἀμαλθείας κέρας. οὕτως εἰπὼν ἀκριβῶς ἐπέσκηπτε τιμῇ μὲν ἁπάσῃ ἐκείνην τιμᾶν, μὴ πρότερον δὲ τὸ κρυπτόμενον col. 2 αὐτὴν | ἐκκαλύψαι, πρὶν ἂν οἷς οἶδε τρόποις αὐτὸ ἐκεῖνο διαμηνύσῃ τὴν ἔξοδον. τοῦτο δὲ ἐπέτρεπε διασκοπούμενος ἴσως, ὅτιπερ ὁ τὸν δεσπότην τὸν ἑαυτοῦ καὶ εἴσω νηδύος ὢν ἔτι μὴ ἀγνοήσας, ἀλλὰ σκιρτήμασιν ἐγγαστρίοις διασημάνας αὐτόν, οὗτος ἄρα καὶ μετὰ θάνατον, οἷα γαστρὶ τῇ θήκῃ χρώμενος, ἑαυτὸν δηλώσει. «Ἕως μὲν οὖν» ἔφη «ἐν ζῶσιν αὐτὴ τελεῖς, ὅπως αὐτῷ τὰ τῆς τιμῆς σώζοιτο καὶ τὰ τῆς θεραπείας· ἐπειδὰν δὲ τὴν τελευτὴν ἐγγίζουσαν ἴδῃς, εὐσεβεῖ τινί σοι παραθετέος ὁ θησαυρός».

25. Οὕτω τοιγαροῦν ἡ γυνή, ἄχρι καὶ τὸ σῶμα εἶχε τῇ τῆς ψυχῆς f. 225ᵛ προθυμίᾳ διακονούμενον, ¦ τῶν ἀδελφικῶν τε ἐφρόντιζεν ἐντολῶν καὶ τῇ τιμίᾳ κεφαλῇ λειτουργεῖν οὐκ ἠμέλει. ἐπειδὴ δὲ καὶ εἰς γῆρας ἧκε καὶ τὸ ἀναγκαῖον ἐκτῖσαι χρέος ὁ θάνατος αὐτὴν παρεκάλει, πληροῖ κἀνταῦθα τὴν ἐντολὴν καί τινι τῶν πάνυ οὐκ εὐσεβείας μόνον, ἀλλὰ καὶ ἁγνείας μεταποιουμένων παρατίθησι τὸ κειμήλιον, ἐπισκήψασα ὁμοίως ἅπερ ἤδη καὶ αὐτῇ πρῶτον ἐπέσκηπτο.

26. Εἰς πολλοὺς οὖν κατὰ τὰ αὐτὰ δι' ἀμοιβῆς τὸ δῶρον μεταφοιτῶν ἔπειτα καὶ εἰς Εὐστάθιόν τινα μοναχὸν μὲν καὶ πρεσβύτερον, ἑτερόδοξον δὲ καὶ τοῖς ὑγιῶς περὶ τὴν πίστιν ἔχουσι μὴ συμ- col. 2 βαίνοντα, τὸ ἀγαθὸν ἔρχεται, ἀγνοησάντων, οἶμαι, τῶν | παραθεμένων τῆς δόξης τὴν ἑτερότητα. τῷ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ γνώμη διάστροφος ἦν καὶ ὁ τρόπος τῷ φρονήματι συμφθεγγόμενος. καὶ ὅπως, ἐγγὺς ἡ ἀπόδειξις· ἃ γὰρ τὸ παρ' αὐτῷ κρυπτόμενον ἐπετέλει καὶ ἃς ἐκεῖνος θεοσημείας εἰργάζετο, ἑαυτῷ κακούργως ὁ δυσσεβὴς ἐπεγράφετο καὶ κλέπτης ἦν καὶ αὐτός, τὴν πάντιμον θήκην οἷα δὴ γλωσσόκομον ἔχων καὶ τὰ τελούμενα ὡς βαλλόμενα καπηλεύων ὁ καθάπαξ ὑποποιούμενος. πάντως δὲ οὐ χρὴ θαυμάζειν, εἰ ἀνδρὶ τοιούτῳ κεφαλῆς χρῆμα τοσοῦτον ὁ βαπτιστὴς f. 226 ἠνέσχετο πιστευθῆναι. τί γὰρ ὁ καὶ πρότερον || γυναικὶ φαύλῃ πρὸς χεῖρας ἐλθεῖν καὶ ὑπ' αὐτῇ κρύπτεσθαι, πολλῷ δὲ μᾶλλον ὁ καὶ αὐτὴν ἐκείνην αἰτίαν ἔχειν τῆς ἐκτομῆς ἀνασχόμενος;

27. Ὀψὲ δέ ποτε δῆλος γίνεται καὶ ὅπως ἐτύγχανε δόξης ἔχων· καὶ γὰρ τὰ Ἀρείου πρεσβεύων ἦν καὶ τῇ ὁμοίᾳ νόσῳ καὶ αὐτὸς

1 ἢ καὶ γέγονε M^2M^4 || 3 τιμὴ M^2 || 4 μηνύσῃ M^4 || 7 διασημήνασ M^2 || 10 τὰ *om.* M^4; ἐπειδ'ὰν M^1M^2, ἴδοισ M^4 || 12 ἄχρι μὲν M^4 || 13 τὲ M^4 || 15 ἐκτίσαι M^1M^2 || 18 ἐπισκήψασ M^2 || 19 διαμοιβῆσ M^4; μεταφοιτὸν M^2 || 20 πρεσβύτην M^4 || 21 ὑγιοῖσ M^4 || 26 ἐκεῖνο M^4; θεοσημίασ M^2 || 29 καπηλεύων καὶ M^4; ὁ M^1M^2

κάτοχος. αὐτῇ γοῦν αἱρέσει αὐτῆς ὥρας τῆς Ἐμεσηνῶν ἀπελαύνεται, ἀξιῶν μὲν καὶ σφόδρα δεόμενος ἡμέραν ἀνεθῆναι αὐτῷ μίαν τῇ μονῇ προσμεῖναι, μὴ ἀκουσθεὶς δέ, οὐδὲ γὰρ ἔδει τοῦ θείου μὴ ἐφιέντος προδρόμου κατὰ πολλὴν τοῦ μέλλοντος κακοῦ πρόνοιαν. ἐβούλετο γὰρ ὁ μιαρὸς κρύφα καὶ τὴν θείαν ὁμοῦ κεφαλὴν συμ|πα- *col. 2* ραλαβεῖν, ὥστε καὶ αὖθις κλέπτειν καὶ ἰδιοῦσθαι τὰ ὑπ' ἐκείνης θαυματουργούμενα καὶ οὕτως τῇ αἱρέσει τὸ καλῶς αὐτὴν ἔχειν καὶ ὡς Θεῷ φίλον μνηστεύσασθαι. ὁ μὲν οὖν κακὸς κακῶς εὐθὺς ἐξωθεῖται, ἡ κεφαλὴ δὲ ὡς εἶχε καὶ αὖθις μένει πρὸς τῇ μονῇ. μετὰ πολλοὺς γοῦν τοὺς ἡγησαμένους καὶ Μαρκέλλου τοῦ θείου τὴν προστασίαν ταύτης ἐγχειρισθέντος ἔδοξε τῷ μεγάλῳ τῆς ἀληθείας κήρυκι δῆλον ἑαυτὸν καταστῆσαι· καὶ ἡ δήλωσις φοβερὰ λίαν καὶ πιστοῖς ἀνδράσιν ἀκούειν ἀξία. ἔχει δὲ οὕτως, ὡς αὐτὸς ἐκεῖνος, ᾧ ἐδηλώθη, Μάρκελλος ἐξηγήσατο.

28. Μέση μὲν ἦν τῶν θείων || νηστειῶν ἑβδομάς, ὀκτὼ δὲ ἐπὶ *f. 226^v* δεκάτῃ ὁ Περίτιος εἶχε μήν, ἔτος δὴ τρίτον καὶ ἑξηκοστόν, ἐβασίλευον δὲ Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς βασιλέων οἱ εὐσεβέστατοι, ἦρχε δὲ τῆς ἐκκλησίας Οὐράνιος. ἐῴκεσάν μοι, φησίν, ὄναρ αἱ θύραι ἅπασαι τῆς καθ' ἡμᾶς ἀνεῷχθαι μονῆς· ἐγὼ δὲ θορύβῳ κάτοχος γεγονὼς ᾤμην ἀπιέναι κατὰ σκοπόν, ὥστε τὰς θύρας ἐπικλεῖσαι. εἶτ' αὖθις ἐδόκει μοι ποταμὸν πρὸς τῇ θύρᾳ ἕλκοντα καθορᾶν, θαυμάζειν τε ἐπὶ τούτῳ, πόθεν ἂν ἡ τῶν τοσούτων ὑδάτων εἴη φορά. ἐν ᾧ δὲ ταῦτά μοι ἐστρέφετο κατὰ νοῦν, ἦχος λαοῦ πλήθυος καὶ ταγμάτων ὡς | ἐξ ἀνατολῶν ἐπὶ τῶν ὑδάτων οἱονεὶ φερομένων *col. 2* ἠκούετο· ἐχώρει δὲ πρὸς ἡμᾶς τὰ ὕδατα, ἕκαστον μέντοι τῶν ταγμάτων ἰδίᾳ χρώμενον γλώττῃ «Ὁ μέγας» ἔλεγον «ἰδοὺ πρόδρομος ὁ βαπτιστὴς Ἰωάννης Χριστοῦ τοῦ σωτῆρος ἡμῶν ἀναδείκνυται.» ἐμοῦ δὲ πρὸς τὴν μεσημβρινὴν ἱσταμένου θύραν παραχρῆμα ἐκεῖναί τε ἀνεῴγεισαν καὶ εἰσῄει τὰ τάγματα. ἀπολιπὼν δὲ αὐτὸς τὴν θύραν τρέχων τε εἰσῆλθον καὶ ἐν ἀρχῇ τῆς κλίμακος στὰς ἑώρων εἰσιόντας αὐτοὺς ἐπὶ τὴν μονήν. ἐν τῇ αὐτῇ δέ μοι ἔτι κλίμακι ἱσταμένῳ ὤφθησαν αὐλαὶ δύο, μία μὲν πρὸς δυσμὰς φέρουσα, ἡ δὲ πρὸς || μεσημβρίαν, ναός τε μέγας ἀνὰ τὸ μέσον αὐτῶν ἵδρυτο. *f. 227* ἕκαστον δὲ τῶν ταγμάτων εἰσιὸν ἑώρων πρὸς τὴν αὐλήν, ᾗ γε δὴ

1 et 10 γόῦν M^1M^4, γοὺν M^2 || 1 ἐμεσινῶν M^1, ἐμεσσηνῶ M^4 || 2 μίαν αὐτῷ M^4 || 4 ἐφέντοσ M^4 || 13 εἶχε M^4 || 15—16 ἐπιδέκα M^4 || 16 τερίτιοσ M^4; ἔτος — ἑξηκοστὸν *om.* M^4; τρίτον δὴ M^2; ἐβασίλευε M^2M^4 || 18 οὐρβανὸσ *pro* Οὐράνιος M^4 || 19 ἀνεώχθαι M^1 || 20 κατασκοπὸν — τὴν θύραν M^2M^4; ἐπικλεῖσθαι M^2 || 21 πρὸσ θύραν M^4 || 23 δέ μοι ταῦτα M^4 || 28 ἐκεῖναι τὲ M^1 || 30 τὲ M^1M^4 || 33 ναόσ τὲ M^1M^4 || 34 τὴν *om.* M^4

καὶ πρὸς δύσιν ἐτύγχανεν ἀποφέρουσα· εἶτα καὶ προσκυνήσαντες ἐπὶ τὸν ναὸν πρὸς τὴν μεσημβρινὴν εὐθέως ἀπῄεσαν πύλην καὶ οὕτως ἵσταντο τῆς πορείας. εἶτα καὶ φωνῆς ἤκουον ἑτέρων πάλιν ἐπιβοώντων· «Ἰδοὺ ὁ μέγας Ἰωάννης ὁ βαπτιστής».

29. Ἐπὶ τούτῳ διάρας τοὺς ὀφθαλμοὺς ἐπεῖδον αὐτὸν ἐν ἐκείνῳ ᾧ εἶδον ναῷ, πρὸς δὲ καὶ δύο τινές, ὁ μὲν ἐν δεξιᾷ, ἐν ἀριστερᾷ δὲ θάτερος, συμπαρῆσαν αὐτῷ. αὐτίκα γοῦν ἕκαστον τῶν ταγμάτων col. 2 πα|ριὸν ὡς αὐτὸν ηὐλόγει· καὶ ἐπεὶ ἐκεῖνα πέρας εἶχε τῆς προσελεύσεως, εἰσῄει κἀμὲ πόθος ὡς αὐτὸν ἱκέσθαι καὶ τοῦ ὁμοίου ἀπόνασθαι ἀσπασμοῦ καὶ τῆς εὐλογίας. ἐπέσχον δὲ ἐμαυτὸν τῷ μὴ βούλεσθαί με ἀπὸ τῶν θυρῶν εἰσελθεῖν ἐκείνων, δι' ὧν εἰσῄει τὰ τάγματα, ἐπεὶ μηδὲ εἶδον τὰ χείλη μηδένα προσενεγκόντα τῷ αὐτοῦ στόματι, ὅτι μὴ τῷ στήθει καὶ μόνον. ταύτῃ τοι καὶ ἐνώπιος μὲν ἐκ τῶν ἔμπροσθεν αὐτῷ πρόσειμι, σύντρομος δὲ καὶ περιδεὴς καὶ εἰς γῆν καταβεβληκὼς τὰ ὄμματα, ἔπειτα καὶ πεσὼν ἅπτομαι τῶν f. 227v αὐτοῦ ποδῶν· καὶ ὃς ἀνίστησί τε καὶ τοῦ πώ||γωνος ἁψάμενος εὐμενῶς καὶ στόματι στόμα προσενεγκὼν ἀσπάζεται, πρὸς δὲ καὶ σκεῦος ἐξενεγκὼν πλῆρες μέλιτος ἐγχειρίζει μοι, «Τοῦτό σοι» ἐπειπὼν «ἔσται εἰς εὐλογίαν». εἶθ' οὕτως προϊέναι δόξαν προῆγον αὐτοῦ καὶ ἅμα αὐτός τε καὶ οἵτινες αὐτῷ συνῆσαν εἰς τὴν μονὴν τήνδε τὴν καθ' ἡμᾶς εἰσῄεσαν. ἐμοὶ δὲ προσσχόντι στῦλος ἔμπροσθεν αὐτοῦ πυρὸς ἐθεάθη καὶ ἰδόντι δέος ἐνέσκηπτεν οὔτι μικρόν. καὶ εὐθὺς τοῦ ὕπνου ἀπελυόμην.

30. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τὰ ὁραθέντα εἰς πέρας ἐξῄει. ἑσπέρα μὲν γὰρ ἦν μιᾷ τῶν νηστειῶν, ἐγὼ δὲ πρὸς τοὺς μοναχοὺς col. 2 «Ἕκαστος ὑμῶν» εἶπον «τὸν ἑαυτοῦ ψαλμὸν | δὶς εἰπάτω». καὶ αὐτῶν οὕτω ποιούντων ἑνὶ τῶν ἀδελφῶν, Ἰσαάκιος αὐτῷ ὄνομα, διάραντι τοὺς ὀφθαλμοὺς πῦρ ἀντικρὺ καιόμενον ἐβλέπετο τοῦ σπηλαίου. περιδεᾶ γοῦν ἐντεῦθεν γενόμενον ἀνελάμβανον αὐτός, «Μὴ φοβοῦ» λέγων. πέντε τὸ μεταξὺ διῆλθον ἡμέραι, καὶ καθεύδοντί μοι νυκτὸς φωνὴ ἐξηκούετο, «Ἰδοὺ» λέγουσα «ἐδωρήθην ὑμῖν· σὺ δὲ ἀλλὰ ἀναστὰς πρόϊθι, ἀστέρα ἔχων ἡγεμόνα σοι τῆς ὁδοῦ χρηστὸν ἐσόμενον· ἔνθα δ' ἂν ἐκεῖνος καταποθῇ, ἐκεῖ διασκάψας οὐκ ἀπορήσεις οὐδαμῶς τοῦ ἐπηγγελμένου, ἀλλ' ἐμὲ πάντως κατὰ χώραν εὑρήσεις». καὶ ταῦτα μὲν ἡ φωνή, ἐγὼ δὲ κατάφοβος

2 εὐθέως *om.* M^1; ἀπίεσαν M^4 || 5 ἐπιτούτω M^4 || 6 ᾧ εἶδον M^1M^4, ὡσ εἶπον M^2; ἀριστερὰ M^4 || 7 γόῦν M^1, γοὺν M^2 || 12 μὴδὲ M^1M^4 || 17 εὐσεβῶσ *pro* εὐμενῶς M^2 || 18 εἰπὼν M^2 || 20 αὐτὸσ τὲ M^1; τε *om.* M^4; ἐνῆσαν *pro* συνῆσαν M^1 || 21 στύλοσ *libri* || 25 μὲν *om.* M^4; μία M^1M^4 || 29 γόῦν *libri*; ἀνελάμβανεν M^2 || 32 ἀλλ' M^4; ἡγεμόνάσοι M^4

γεγονὼς || εὐθὺς ἀνιστάμην καὶ ἐχόμενον ἀστέρα πρὸ ὀμμάτων f. 228 *ἑώρων· καὶ ἡμῶν ὁδοῦ ἀρξαμένων προῆγεν αὐτός, κἀγὼ ἀπῄειν ἀκολουθῶν, ἕως ἐκεῖνος ἐπὶ τῆς κόγχης ἔστη τοῦ σπηλαίου, ἔνθα δὴ καὶ ἡ τοῦ προδρόμου κατωρώρυκτο κεφαλή. τούτων ἐγὼ πάντων γενόμενος θεατὴς καὶ οἷα παραλαμβάνων ἤδη πίστιν εἰς τὴν ψυχήν, πεσὼν εἰς γόνατα προσεκύνησα τῷ κυρίῳ καὶ θυμιῶν θερμῶς ἐδεόμην· ἔπειτα καὶ σκαφεῖον μετὰ χεῖρας λαβὼν διέσκαπτον ἐρρωμένως· τοῦτο δὲ ποιοῦντί μοι τόπος ἐθεάθη τιτάνῳ ἀσφαλῶς ᾠκοδομημένος ἄχρι γοῦν καὶ παλαιστῶν πέντε. ὅσῳ δὲ τῇ σκαφῇ προσεκείμην, ἦχος | ἠκούετο, οἷος ἂν γένοιτο ἐκ κεράμων· ἤδη δὲ* col. 2 *καὶ ἐδάφους ἁπτόμενος ὁρῶ ψήγματα χαλκοῦ τὸ μέγεθος κατὰ ψάμμον, καὶ ἅμα συνεξῄει καὶ κεραμὶς μία, ὑφ' ἣν πλάκα μαρμαρίνην ἐπεῖδον· ἣν ἄρας καὶ ἀναστήσας τὴν πάντιμον ὑδρίαν ὑπ' αὐτὴν εὑρίσκω· καὶ τὸ ἑξῆς φόβος τε ὁμοῦ καὶ χαρὰ διεμερίζοντό με· ὅμως ἀλλὰ τολμήσας, ὢ θρασείας χειρός, τῆς ἁγίας σύντρομος ἅπτομαι κεφαλῆς, εἶτα καὶ προσκύνησιν αὐτῇ ὥσπερ ἔδει προσενεγκὼν αὖθις συνεκάλυψα τὴν ὑδρίαν.*

31. Οὔπω πέρας ἤδη τὸ γινόμενον εἶχε, καὶ παραγίνονται πρὸς ἡμᾶς οἱ περὶ τὸν ἀρχιμανδρίτην καὶ διάκονόν ||φημι Γεννάδιον· ὃς f. 228v *καὶ πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου ἐντυχὼν ἡμῖν, ἀσπασάμενός τε καὶ προσφθεγξάμενος τὰ συνήθη, ὄψιν ἣν αὐτὸς καθ' ὕπνον ἐθεάσατο διηγεῖται. ἡ δὲ εἶχεν οὕτως. «Ὤιμην» φησὶν «ἀμφοτέρους ἡμᾶς παρὰ τῷδε ἵστασθαι τῷ σπηλαίῳ, κεῖσθαι δὲ παρ' αὐτῷ καὶ σωρὸν ἄρτων· κρίθινοι μὲν ἦσαν ἐκεῖνοι, πλὴν ἀλλὰ καθαροὶ ἐπίσης ἡλίῳ· ἐπέκειτο δὲ αὐτοῖς καί τις ἐπάνω μερίς· τούτου σμῆνος ἀνθρώπων εἰς τὸ σπήλαιον κατιόντες ἐλάμβανον παρ' ἡμῶν· οὔτε δὲ οἱ ἄρτοι ἐπέλειπον τούτοις ἐπιδιδόμενοι, οὔτε μὴν ἐκεῖνοι τῆς προσελεύσεως ἔληγον. ἐπεὶ δὲ καὶ πρὸς τῷ τέλει ἤδη οἱ ἄρτοι ἐγίνοντο, ἐῴκεσαν οὕτως ἐν | χερσὶν ἵπτασθαι ταῖς ἡμετέραις, καὶ οὕτως αὐτῶν ἱπταμένων μεταλαγχάνειν τοὺς προσιόντας». τούτων ἀκούσας ἔστρεφον* col. 2 *εὐθέως κατ' ἐμαυτόν, τίς ἂν ποτε εἴη, ἐπιζητῶν, ἡ δήλωσις τοῦ ὀνείρατος. ἐδόκει μοι δὲ μὴ ἀθεεὶ τοῦτο μηδαμῶς θεαθῆναι, μήτε μὴν ὅλως ὑπάρχειν ψιλοῦ φάσματος. ἔπειτα συνιδὼν ἐκκαλύπτω*

1 *ἐχόμενοσ* M^2, *ἐχομένωσ* M^4; *προομμάτων* M^4 || 5 *γενόμενος* om. M^4 || 8 *τόποσ τίσ* $M^2 M^4$ || 9 *γόῦν* M^1, *γοὺν* M^2 || 11 *ψίγματα* M^4 || 13 *καὶ* **pro** *ἣν* M^2 || 13 et 17 *ὑδρείαν* M^2 || 14 *εὕρισκον* M^4 || 15 *καὶ τῆσ* $M^2 M^4$ || 19 *διάκονον φημὶ* **libri** || 20 *πρὸ* **pro** *πρὸς* M^2 || 21 *προσευξάμενοσ — καθ' ὕπνον αὐτὸσ* M^4; *καθύπνον* M^2 || 22 *διηγεῖτο* M^1 || 23 *παρ' αὐτὸ* M^4 || 24 *κρίθηνοι μὲν* M^1 || 27 *ἐπέλιπον* M^2, *ἐπέλιπον ὅλω(ς)* M^4 || 29 *οὗτοι* **pro priori** *οὕτως* M^4 || 31 *κατεμαυτὸν* M^4

καὶ τὴν τοῦ βαπτιστοῦ θείαν πρὸς αὐτὸν ἐπιφάνειαν. καὶ ὃς ἀκούσας ἐδέετό μου μάλα θερμῶς ὄψει καὶ τὸν τόπον παραλαβεῖν. ἐγὼ δὲ ἐπήκουσά τε εὐθὺς καὶ ὑπέδειξα· μετὰ ταῦτα κοινῇ τοῦ σπηλαίου ἐξιόντων ἡμῶν διεσκοπούμην αὐτός, τί ποτε ἄρα ποιητέον ἡμῖν, καί f. 229 *μοι ἄριστον || ἐδόκει εἶναι διασαφῆσαι ταῦτα καὶ τῷ Στεφάνῳ (ἀρχιμανδρίτης δὲ οὗτος τοῦ Δαυρομίου ἐτύγχανεν ὤν), ὥστε παρ' αὐτοῦ πάλιν διαβιβασθῆναι ταῦτα τῷ ἐπισκόπῳ. ἀφικόμενοι τοιγαροῦν αὐτὸν μὲν οὐχ εὑρίσκομεν παρόντα, καὶ γὰρ πρὸς τὰ κατὰ χώραν μοναστήρια παροιχόμενος ἦν. λογισάμενος οὖν τὸν διάκονον Κυριακὸν μεταπέμψασθαι δεῖν, ὃς ἀρχιμανδρίτης τῶν ἐν τῷ Ἱερῷ ἦν μοναστηρίων, αὐτῷ τε ἀποκαλύψαι τὰ τοῦ προδρόμου; ταῦτ' ἐποίουν.*

32. Καὶ ὃς μετακληθεὶς εὐθέως ἐφοίτα· ἠκολούθει δὲ καὶ ἕτερον συντεῖνον τοῖς προκειμένοις· διηγεῖται γὰρ ἡμῖν καὶ αὐτός τι ἐνύπνιον, col. 2 *ὃ νυ|κτὸς ἐθεάσατο. καὶ ἦν ἐκεῖνο σφόδρα συνᾷδον τῷ Γενναδίου ὁράματι. ἐπεὶ δὲ καὶ τὰ τοῦ προδρόμου ἐπῆλθον αὐτῷ, ἐκεῖνος «Τί οὖν ἡμῖν πρακτέον;» ἔφη· κἀγὼ «Τῷ ἐπισκόπῳ γνωριστέον» εἶπον· «λυσιτελεῖ γάρ». ἐπεὶ δὲ ἐμανθάνομεν οὔπω ἐνδημῆσαι τὸν εἰρημένον ἀρχιμανδρίτην, πέντε τὸ μετὰ ταῦτα περιεμένομεν ἡμέρας, τὸ δ' ἐπὶ τούτοις σάββατον μὲν ἦν ἡ παροῦσα δείλη, ἡμῶν δὲ καθημένων ἄμφω καὶ κοινῇ διομιλουμένων πληγεὶς ἐπὶ γόνατα ἰσχυρῶς κάμπτομαι, οὕτως ἰσχυρῶς, ὡς μηδὲ κινηθῆναι δυνατὸς εἶναι, μήτε ἄλλο τὸ παράπαν δρᾶσαι μηδέν. οἱ τοίνυν περὶ τὸν διάκονον Γεννάδιον οὕτως ἔχοντά με πονήρως ἰδόντες* f. 229v *|| «Τί δέ; οὐκ ἔφημέν σοι» εἶπον «καὶ τῷ ἐπισκόπῳ χρῆναι παρελθόντας γνωρίσαι περὶ αὐτῶν, ἐπεὶ μὴ ὁ ἀρχιμανδρίτης Στέφανος πεφοίτηκεν ἤδη». αὐτὸς μὲν οὖν ἔμεινα καὶ ἔτι ἐπὶ μᾶλλον τῇ μάστιγι παιδευόμενος, ἐκεῖνοι δὲ τὴν ὑπηρεσίαν ἐνεγκόντες εἰς πέρας προσίασιν ἅμα πρὸς ἡμᾶς, ἔνθα δὴ καὶ κείμενοι ἦμεν, καὶ «Σὲ δὲ» φασὶν «εἰδέναι χρή, ὅτιπερ ὅρκοις διωμολογησάμεθα τῷ προδρόμῳ ἦ μὴν ἅμα πρωῒ ταῦτα πάντα ἀναμαθεῖν τὸν τῆς ἐκκλησίας πρόεδρον (δεῖν γὰρ ἔλεγον κἀκεῖνον ταῦτα γινώσκειν). οὐδὲ γὰρ ἂν σύ γε δίκας εἰσεπράττου τῆς ἀποκρύψεως». κἀμοῦ «Εὖ ἔχει ταῦτα» εἰπόντος καὶ οἷον*

6 δαρομίου M^2M^4 || 8 τα πρὸσ κατα|χώραν M^2 || 11 τὰ *om.* M^1 || 11—12 ταύτη ἐποίουν M^2M^4 || 14 διηγεῖτο M^4; αὐτὸσ τί M^1M^4 || 15 συνάδον *libri* || 16 ἐπήνυθων (?) *pro* ἐπῆλθον M^2 || 17 εἶπεν *pro* ἔφη M^2; γνωστέον M^2 || 20 δείλησ M^2M^4 || 22 ἰσχυρῶς — οὕτως *om.* M^1; μὴδὲ M^1M^4 || 23 παρὸν *pro* παράπαν M^4; δράσαι *libri*; μηθὲν M^2M^4 || 25 παρελθόντα M^4 || 26 πάπασ *pro* ἀρχιμανδρίτης M^4 || 27 ἐπιμᾶλλον M^4 || 28 δὲ *om.* M^4 || 32 κακεῖνον ἔλεγον — εἰσεπράξω M^2

Inde a v. 29 usque ad finem textus in M^4 ita differt a M^1 et M^2, ut integrum eum exscribendum esse statuamus (v. p. 408).

ἐξο|μολογησαμένου τὸ ἐξαμαρτηθέν, παραυτίκα τῆς ὀδύνης ἀπηλ- col. 2 *λάγην τῆς κατεχούσης με.*

33. Πρωΐθεν οὖν ἀναστάντες σὺν ἅμα εὐλαβεστάτοις ἀνδράσι Κυριακῷ τε διακόνῳ καὶ ἀρχιμανδρίτῃ καὶ Ἰουλιανῷ μοναχῷ ἐγνωρίσαμεν ἅπαντα τῷ τηνικαῦτα τῆς Ἐμεσηνῶν ἐκκλησίας ἐγκεχειρισμένῳ τοὺς οἴακας. Οὐράνιος οὗτος ἦν. ὃς τῶν παρ᾽ ἡμῶν λεγομένων μετὰ θαύματος καὶ ἐκπλήξεως ἐπακροασάμενος αὐτὸς μὲν εὐφροσύνης καὶ θυμηδίας πίμπλαται, ἡμῖν δὲ ἐπισκήπτει ἐν τῷ τέως μηδενὶ ταῦτα δῆλα ποιῆσαι. οὕτω γοῦν συνταξάμενοι οἴκοι ἀπηλλαττόμεθα. ἕωθεν οὖν πάλιν, ἥτις ἦν μετὰ τὴν Κυριακήν, παρα||γενόμενος ὁ ἐπίσκοπος μετά τε πρεσβυτέρων καὶ διακόνων ἐν τῷ f. 230 *τόπῳ, ᾧ ἡ τὴν τιμίαν κεφαλὴν τοῦ προδρόμου φέρουσα ὑδρία ἐναπετέθειτο, εὐχὴν ἐκτενῆ γενέσθαι προσέταττε. τῆς τοίνυν εὐχῆς τέλος ἤδη ἐχούσης πρεσβύτερός τις τῶν τῷ ἐπισκόπῳ συνεφεπομένων, ᾧ Μάλχος ὄνομα, διαπιστήσας τῷ θαύματι, οἷα φιλεῖ ἐν τοῖς οὕτω παραδόξως ἐπιτελουμένοις γίνεσθαι, ἐνδοιάζων ἦν, πόθεν ἄρα εἴη τοῦ προδρόμου αὕτη ἡ κεφαλή. ἀλλ᾽ οὐκ εἰς μακρὰν καὶ τῆς ἀπιστίας αὐτῷ ἐδρέπετο ὁ καρπός· ὡς γὰρ οἷα γνωσιμαχῶν καὶ πίστει μὴ ἐπιτρέπων τὸ παραδόξως τελού|μενον τὴν ἑαυτοῦ χεῖρα* col. 2 *τῷ τῆς ὑδρίας τολμηρῶς ἐνέβαλε στόματι καὶ τριχῶν ἁγίων τῆς κάρας ἐπέψαυσεν, ὢ τῆς ἀπείρου σου καὶ φοβερᾶς δυναστείας, θειότατε πρόδρομε, οὐκέτι ἐν αἰσθήσει ὑπῆρχεν ἡ χεὶρ αὐτῷ, ἀλλ᾽ ὅλη κατάξηρος ἐγεγόνει καὶ τῇ ὑδρίᾳ προσεκολλήθη.*

34. Πάντες οὖν καταπλαγέντες οἱ τοῦ θαύματος θεαταὶ καὶ τὴν τῇ ὑδρίᾳ ἐναποτεθησαυρισμένην ἐκ τῆς πανευφήμου καὶ θείας τοῦ προδρόμου κεφαλῆς δύναμιν ὑπερθαυμάσαντες πρὸς εὐχὰς καὶ δεήσεις ἐτράποντο· ὑφ᾽ ὧν μόλις ἀποσπάσαι τὴν χεῖρα ἐκεῖθεν ὁ πρεσβύτερος ἐδυνήθη· πλὴν ὅσον μεμένηκεν αὐτῷ || ἡ χεὶρ μηκέτι τὰ f. 230v *χειρὸς ἐπιδεικνυμένη, μέχρις ἂν αὐτῷ κατ᾽ ὄναρ ἀπεκαλύφθη, ὡς ὁπηνίκα μέλλοι κατατίθεσθαι ἡ σεβασμία κεφαλὴ τοῦ προδρόμου, προσεγγίσαι αὐτὸν τῇ ὑδρίᾳ τὴν χεῖρα· οὕτω γὰρ ἂν ὥσπερ ἀπιστήσας τὴν τιμωρίαν, οὕτω πιστεύσας τὴν ἴασιν λήψοιτο. ἡνίκα γοῦν ἡ ὑδρία ὑπὸ τοῦ ἀρχιποίμενος καὶ τοῦ ἐπισυναχθέντος φιλοχρίστου λαοῦ ἐν τῷ τῆς ἁγιωτάτης ἐκκλησίας διακονικῷ κατετίθετο, ταύτῃ προσπελάσας ὁ πρεσβύτερος ἐκ τοῦ σύνεγγυς ὑγιῆ τὴν χεῖρα καὶ τὰ χειρὸς ἐνεργοῦσαν ὡς καὶ πρότερον ἐκομίζετο. οὕτω τοίνυν καὶ μετὰ τοιούτου τοῦ θαύματος | ἡ τιμία καὶ αἰδέσιμος κεφαλὴ τοῦ* col. 2

3—4 *ἀνδράσι καὶ τῶ ἀρχιμανδρίτη* M^1 || 5 *ἐμεσινῶν* M^1 || 9 *οὔτωσ Οὖν* M^2 || 12 *sqq. passim* *ὑδρεία* M^2 || 28 *μηκέτι* M^1 || 31 *τῇ* *om.* M^2 || 32 *γὀῦν* M^1, *οὖν* M^2 || 37 *τοῦ* *ante* *θαύματος* *om.* M^2

προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἐπὶ τῇ τῶν Ἐμεσηνῶν πόλει κατετέθη ἐν τῷ ναῷ αὐτοῦ μηνὶ Ὀκτωβρίῳ εἰκάδι πέμπτῃ, Ἰνδικτιῶνος ἑβδόμης, Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ τὸ τηνικαῦτα εὐσεβῶς καὶ φιλοχρίστως τὴν βασίλειον διεπόντων ἀρχήν. ἡ δὲ ταύτης εὕρεσις γέγονε μηνὶ Φεβρουαρίῳ εἰκάδι τετάρτῃ, Ἰνδικτιῶνος ἕκτης.

35. Τοιαῦτα τὰ ἐξ ἀρχῆς ἀπό τε συλλήψεως, γεννήσεως καὶ τῶν καθ᾽ἑξῆς πανθαύμαστα καὶ ὄντως παράδοξα διηγήματα τοῦ μείζονος ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας, τῶν τε πρὸ τῆς ἐν f. 231 *Ἰορδά||νῃ τοῦ Θεοῦ λόγου ἐπιφανείας καὶ τῶν μετὰ τὸ βάπτισμα καὶ τὴν τοῦ πνεύματος κάθοδον ὑπ᾽ αὐτοῦ παραδόξως ἐνεργηθέντων, ὅπως τε τὸ μαρτυρικὸν αὐτοῦ ἔσχε τέλος καὶ ὅπως καὶ τοῖς ἐν Ἅιδῃ κῆρυξ τῆς μετανοίας ἐγένετο, ἥ τε πρώτη καὶ δευτέρα μετὰ καὶ τῆς τρίτης εὑρέσεως τῆς πανενδόξου καὶ τιμίας αὐτοῦ κεφαλῆς ἀνάγραπτος ἱστορία. ὑφ᾽ ὧν ἡμεῖς, ὁ Χριστοῦ λαός, τὰς ψυχὰς ὡς ἐκ παραδείσου μυστικοῦ ἀρδευόμενοι καὶ ταῖς εἰς Θεὸν αὐτοῦ εὐπροσδέκτοις δεήσεσι πρὸς μετάνοιαν εὐοδούμενοι καρπὸν θεῖον* col. 2 *καὶ ἄξιον τῆς μετανοίας ἐνέγκοιμεν, ἵνα μὴ ὡς ἄκαρπα | δένδρα ψυχαὶ ἀθεράπευτοι ὑπὸ τῆς ἐκτεμνούσης ἀξίνης τὴν ἐκτομὴν ἐκ ῥιζῶν ὑποστῶμεν, ἀλλ᾽ ὑπὸ τοῦ γεωργοῦ μᾶλλον τῶν ἡμετέρων ψυχῶν ὡς σῖτος ὥριμος ἐκλεγέντες, μηδὲν ἀχυρῶδες ἐπιφερόμενοι, ταῖς αἰωνίοις αὐτοῦ μοναῖς προσδεχθείημεν καὶ μετὰ τοῦ μεγάλου τῆς ἀληθείας κήρυκος Ἰωάννου τοῦ βαπτιστοῦ, οὗ καὶ τὴν ἑορτὴν ἄγομεν σήμερον, τῷ ἀθανάτῳ βασιλεῖ παρασταίημεν αἰωνίως ἀγαλλόμενοι· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

---

1 ἐμεσινῶν *M*[1] || 12 ἄδῃ *libri* || 14 ὑμεῖσ *M*[1] || 24—25 καὶ ἀεὶ *et* τῶν αἰώνων *om. M*[1]

Ultima pars orationis (inde a p. 406 v. 29) ita legitur in M[4]: . . . «Σὲ δὲ» φασὶν «εἰδέναι χρή, ὅπως τῷ θείῳ καθωμολογήσαμεν (καθομολ. *cod.*) Ἰωάννη, πρότερον ἢ τὸν ἥλιον ἀνατεῖλαι, δῆλα ταῦτα γενέσθαι τῷ ἐπισκόπῳ». καὶ αὐτὸς «Καλῶς» ἔφην, «καὶ ἐπηγγείλασθε». οὔπω πέρας ἐλάμβανε τὸ λεχθέν, καὶ ἐμοὶ πέρας εἶχεν ἡ μάστιξ καὶ διελύετο. (33) καὶ παραχρῆμα τοιγαροῦν εἰς τὴν ἐπιοῦσαν σὺν ἅμα τῷ τε Κυριακῷ καὶ Ἰουλιανῷ τῷ μονάζοντι παρελθόντες γνωρίζομεν πάντα Οὐρανίῳ τῷ ἐπισκόπῳ, ἤδη τῶν ἑωθινῶν ἐξιόντι, «Ὁ μέγας» εἰπόντες «Ἰωάννης ὁ βαπτιστὴς ἀναδείκνυται». αὐτῷ δὲ ἀκούσαντι θαυμάζειν ἐπῄει· καὶ προ(σ)σχὼν «Ἀλλὰ μὴ γνώτω» ἔφη «μηδείς, μήτε τις αὐτοῦ τὸ παράπαν ἀψάσθω». ἐρομένῳ δὲ τῷ Κυριακῷ «Πότε γοῦν ἄρα καὶ ἐλεύσῃ σύ», «Εἰς τὴν αὔριον» εἶπεν. ἀφικόμενος τοίνυν, ὡς ἡ ὑπόσχεσις, εἰς τὴν ὑστεραίαν

σὺν πρεσβυτέροις ἅμα καὶ διακόνοις, ἐπεὶ παρὰ τῷ τόπῳ ἦμεν, αὐτοὶ μὲν πίπτοντες προσεκύνουν, Μάλχῳ δὲ τῷ πρεσβύτῃ, φεῦ (εἷς δὲ οὗτος ἦν τῶν τῷ ἐπισκόπῳ ἑφεπομένων), διαπιστεῖν ἐπῄει, καὶ «Πόθεν» ἔλεγε «πιστευτέον, ὅτι αὕτη» τὴν κεφαλὴν δείξας ὁμοῦ καὶ ἀψάμενος «τοῦ προδρόμου ἂν εἴη;» ὡς οὖν ἅμα τῶν τριχῶν ἥπτετο, καὶ ἡ χεὶρ εὐθέως ἐξηραίνετο καὶ τῷ στόματι συνήπτετο τῆς ὑδρίας· ἀναλαβεῖν δὲ αὐτὴν ἢ ἐκεῖθεν ἐκσπάσαι τὸ παράπαν οὐκ ἦν. (34) τί οὖν τὸ μετὰ ταῦτα; εὐχὴ πάντων ἐκτενὴς γίνεται, δέησις ὅτι μάλιστα θερμοτάτη. ἡ μὲν οὖν χεὶρ ὀψὲ καὶ μόλις τῶν ἀοράτων ἀνεῖτο δεσμῶν, ἔμεινε δὲ οὕτως ἀρρώστως ἔχουσα καὶ λείψανα τῆς παιδείας οὐκ ἀμυδρὰ φέρουσα. ὁ τοίνυν ἐπίσκοπος σὺν ἅμα τοῖς περὶ αὐτὸν πᾶσι λαβὼν τὴν ὑδρίαν, ἢ τὸν μέγαν πλοῦτον, τὸν θεῖον ἐνέκρυπτε θησαυρὸν (θησαυρῶν cod.), ἐν τῷ διακονικῷ καλουμένῳ τῆς ἁγίας ἀποτίθησιν ἐκκλησίας. καὶ ἦν οὕτως ἐκεῖ ἄχρι καὶ ὁ ναὸς αὐτῷ ᾠκοδόμητο. πλὴν ἀλλὰ τῆς καταθέσεως ταύτης μελλούσης ἤδη πραχθῆναι ὁ μέγας πρόδρομος ἦν καὶ πρὸς εὐσπλαγχνίαν ⟨καὶ⟩ τοῦ βαπτισθέντος ὑπ' αὐτοῦ μιμητής. τῷ ἀπιστήσαντι γὰρ πρεσβυτέρῳ ὄναρ ἐπιφανεὶς «Ἐν τῇ προόδῳ» ἔφη «τῶν ἐμῶν καταθέσεων τὴν χεῖρα ἐπιθεὶς ἐπὶ τῆς ὑδρίας οὐκέτι τῶν ἐπιτιμίων οὐδαμῶς αἰσθήσῃ, ἀλλὰ τὸ λοιπὸν ἕξεις αὐτὴν τὸ σύνολον ἐρρωμένην καὶ ὑγιῶς ἔχουσαν». οὕτω πεποιηκὼς ὁ πρεσβύτης οὐμενοῦν οὐκ ἐψεύσθη τοῦ εὐαγγέλματος, ἀλλὰ καὶ τὴν χεῖρα εἶχε καὶ σὺν αὐτῇ τὴν ψυχὴν ἀκριβῶς ὑγιαίνουσαν. ὁ θεῖος τοιγαροῦν Ἰωάννης, ὁ τοῦ ἡλίου τῆς δικαιοσύνης πρόδρομος, ὁ ἑωσφόρος ἀστήρ, ὁ τοῦ πατρὸς ἀπόστολος, ὁ τοῦ υἱοῦ βαπτιστής, ὁ τοῦ ἁγίου πνεύματος γνωριστής, ὁ τῆς οἰκονομίας ὑπουργός, ἡ τῶν εὐαγγελίων ἀρχή, ἡ φωνὴ τοῦ λόγου, ὁ κῆρυξ τοῦ βασιλέως, ἡ σάλπιγξ τῆς σωτηρίας, ὁ νυμφαγωγὸς τοῦ νυμφίου, ὁ τῆς ἐγκρατείας εὑρετής, ὁ τῆς ἁγνείας ἀρχηγός, ὁ φανώτατος λύχνος, ὁ πρόδρομός τε καὶ βαπτιστής, πέμπτην μὲν ἐπὶ εἰκάδι τοῦ Ὀκτωβρίου μηνὸς ἔχοντος, ἔτους δὲ ἑβδόμου πρὸς ἑξήκοντα καὶ τετρακοσίοις ὑπάρχοντος, Οὐαλεντινιανοῦ τε καὶ Μαρκιανοῦ τῶν ἐν βασιλεῦσιν εὐσεβεστάτων τὰ τῆς βασιλείας σκῆπτρα διεπόντων, κατατίθεται μὲν ἐν τῇ τῶν Ἐμεσσηνῶν πόλει ἐν τῷ οἰκείῳ ναῷ, ἀνευρίσκεται δὲ κατὰ τὴν κδ' Φευρουαρίου τῆς ἕκτης ἰνδίκτου εἰς δόξαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Index nominum.

Addenda et corrigenda.

1. Addenda et corrigenda in fasc. I.

Ad praef. p. IV. Codicis Mosquensis 183 (376 Vlad.) imagines omnes a. 1911 denuo edidit D. K. Tréneff arte quae dicitur phototypica confectas magnitudine naturali, addita codicis descriptione a N. Popovio facta et integri folii 59 imagine, textu rossice et francogallice scripto. Titulus libri hic est: Миніатюры греческаго минологія XI вѣка № 183 Московской Синодальной библіотеки. Изданіе Д. К. Тренева. Описаніе рукописи Н. П. Попова. Москва 1911. — Miniatures du ménologe grec du XI-me siècle № 183 de la Bibliothèque Synodale à Moscou. Edition de D. K. Tréneff. Description du manuscrit par N. P. Popoff. Moscou 1911. fol.

Ad praef. p. VII. Doleo quod in laterculo vitarum e cod. 376 ante me editarum memoriae lapsu omisi editionem vitae S. Cononis (die 8 Martii, nobis pp. 203—208), a N. Durnovo insertam commentationi doctissimae, quam de daemone incluso scripsit («Легенда о заключенномъ бѣсѣ въ византійской и старинной русской литературѣ») et a. 1907 publici iuris fecit in opere periodico societatis archeologicae Mosquensis, cuius titulus est «Древности. Труды Славянской коммиссіи Имп. Московскаго Археолог. Общества», v. IV fasc. 1 pp. 54—152 (textus ipse vitae S. Cononis continetur pp. 90—93). Ceterum cum vitae textus nonnullis locis prave sit lectus (ex. causa p. 204 v. 32: φωνὴ χρησάμενον ἐν τρόμῳ τὸ ἄγαλμα) saepiusque operarum erroribus foedatus, nihil inde lucramur ad corrigendum textum utile.

Eduardus Kurtz v. cl. libro nostro atttentissime perlecto longam corrigendorum seriem per litteras nobiscum communicavit, e quibus tamen nonnulla ipse antea inveneram. Cum autem multi loci a Kurtzio tacti in dubium me vocassent, num recte codicem exscripsissem, N. P. f. Popovium praefectum bibliothecae Synodalis rogavi, ut denuo codicem inspiceret; qui qua solet esse comitate omnes locos a nobis indicatos accuratissime contulit. Eas adnotationes, quae Kurtzio et Popovio debentur, litteris *K* resp. *P* appositis signamus.

Pag. Vs.

3, 20 τοὺς ὑπ' αὐτὸν legendum proposuit *K* (ut 42, 2—3), sed genetivum esse in codice testatur *P*.

12, 1—2 ἵλεων αὐτῷ commendat *K* (ut 41, 8 et 215, 30), sed αὐτὸν esse in codice testatur *P*.

22, 29 «Unter Vergleichung mit 4, 2 (πρὸς ἐρήμους) und 307, 37 (ἔρημοί τε καὶ ἄβατοι) ist vielleicht auch hier eine vom Autor gewollte Ellipse des Subst. (τόπος) anzunehmen». *K*.

25, 7 pro ἀγαθῇ fortasse legendum esse ἀγαθῶν coll. 312, 31 animadvertit Al. B. f. Nikitski.

46, 21 lege κατάκομος (quamvis in codice sit κατάκωμος teste *P.*).

50, 20 «l. τοῖς κιβδήλοις (ohne θεοῖς); die nämliche Ellipse des Subst. findet sich 332, 29 (τοῖς κιβδήλοις) und 342, 26 (τοῖς χειροποιήτοις)». *K*. (θεοῖς addendum esse dubitanter in nota conieci).

51, 32 εὐτρεπεῖς legendum proposuit *K* (coll. 334, 30), sed in codice esse εὐπρεπεῖς testatur *P*.

55, 30 «l. c. cod. ὑπέβαλλεν, εἴ τις; derselbe eigenthümliche Gebrauch von εἴ τις = ὅστις findet sich auch 219, 2 (ἰδεῖν, εἴ τι καὶ εἴη) und 252, 32 (εἴ τι ἂν ὑπόθῃ μοι); vgl. auch 75, 26 (πᾶν εἴ τι περίγειον) und 246, 26 (πᾶν εἴ τι τῶν κοσμικῶν)». *K*.

56, 1 δήλην προετίθει commendat *K*, sed in codice est προσετίθει teste *P*.

66, 26 βηρίον et 103, 9 βιρίου: utrobique aut βηρίον et βηρίου legendum est, aut βιρρίον et βιρρίου (cf. Du-Cange Gloss. Graec. s. vv.).

69, 16—17 «Man könnte das impf. ἐπευλόγει halten und hinter κλέψαντα ein Semikolon setzen. Dafür spricht auch die im allgemeinen deutlich hervortretende Vorliebe des Verfassers für das sog. Schlussgesetz (2 Silben zwischen den beiden letzten Hochtönen)». *K*.

69, 27 «Die Einschiebung von ἰδὼν scheint überflüssig zu sein, wenn man den Accusativ τινὰ ἑλκόμενον von ἐξείλετο abhängen lasst». *K*.

70, 8 κατῴκισας commendat *K*, sed in cod. esse κατῴκησας testatur *P*.

75, 14 «μόνον fehlt auch 156, 8 (οὐ τοῖς ἐγγὺς ἀλλὰ δὴ καὶ τοῖς πόρρω)». *K*. (μόνον inserendum esse dubitanter in nota conieci).

76, 15 «l. στενότατον c. cod., cf. Kühner-Blass, Ausf. Gramm. d. griech. Sprache. 3 Aufl. S. 558, Anm. 2». *K*.

77, 16 «Gegen die Einschiebung von θᾶττον spricht die zweite Stelle 98, 1; vgl. auch 159, 18 (αἱρετὸν ἤ)». *K*.

81, 18 «Tilge das Komma hinter ἀπολέσθαι, da dies Wort eng zu βούλεσθαι gehört». *K*.

83, 4 λαμπρὰν [καὶ] διαυγῆ legendum proposuit *K*. Ego comma ponere post λαμπρὰν praetulerim, quoniam καὶ coniunctione inserta versus laeditur (de versibus in vitarum epilogis in commentatione Rossica disputaturus sum).

84, 1 'Ελιαίων scriba exaravit pro Αἰλιέων et v. 3 'Λειμνητῶν pro 'Ιαμνιτῶν.

92, 10 «l. διαμάρτυραι = imper. aor. von διαμαρτύρομαι. Ein Aktivum διαμαρτύρω ist nicht nachzuweisen». *K*. Sed in codice legitur διαμάρτυρε teste *P*.

95, 7 ἔνοπλος legendum proposuit *K*, sed in codice esse ἔνοπλον testatur *P*.

Pag. Vs.

99, 16 lege *περὶ κεχρεωστημένων κτλ.*

99, 26 legendum esse videtur *προθετέον*, quamvis codex habeat *προσθετέον* teste *P* (cf. supra 56, 1).

99, 20 *τῶν περιδόξων [τινὸς] τῆς κτλ.* legendum proposuit *K.*

114, 13 et 115, 1 *αἰγιαλὸς* non esse nomen proprium nunc video cum *K.*

116, 26 in codice esse *τὸν μάγον καταλαμβάνει* testatur *P*, non *τὸν ἅγιον*, ut ego oculorum sive calami lapsu scripsi. Itaque *σταυρὸν* a me insertum delendum est.

121, 28 *ἐκπεπτώκασι* legendum proposuit *K*, recte sine dubio, quamvis in codice potius *π* esse quam *ππ* testetur *P.*

132, 14 dele comma post *αὐτῆς.*

137, 1 lege *κολάσει, τούτοις ἁλοὺς κτλ.*

141, 26 «l. c. cod. *λάβε;* vgl. *ἴδε* 17, 10. 22; 206, 13 adn. und Iannaris, Histor. Greek Grammar 996, 149». *K.*

153, 28 *μηκίστην ζωὴν* legendum proposuit *K*, ut 300, 18, sed *μεγίστην* esse in codice testatur *P.*

157, 23 «*τούτῳ* (= sibi) ganz richtig: cf. 234, 18; 246, 19; 12, 20 und 96, 4». *K.*

161, 7 «l. *ἐθέλοι* c. cod. Gegen die Aenderung in *ἐθέλει* spricht eine Reihe von Stellen, wo in gleicher Weise in Hauptsatze ein Optativ steht (vielleicht potential ohne *ἄν*): 220, 25 u. 34; 237, 31; 204, 26». *K.*

162, 9 lege *ἐμνήσθη, τὰ κατὰ τὴν Εὐδοκίαν τοῖς κτλ.*

175, 18 «l. *κύριος ἧς* (= *ἦσθα*, vgl. 264, 4)». *K.*

181, 18 «l. *πλήρου* c. cod. (imper. praes. act.)». *K.*

198, 10 «*ἑξκαιδέκατον;* 243, 11 *ἑξκαιδεκάτῃ;* 295, 11 *ἑξκαίδεκα.* Diese Stellen stützen sich gegenseitig und sprechen gegen eine Aenderung der Ueberlieferung; vgl. auch Reinhold, De graecitate patrum apostolic. § 12 ex.» *K.*

203, 7 *Νάδα* (non *Μάδα*) in codice legi testatur *P.*

217, 19 lege: *καθυποβάλλει, μὴ λόγου μεταδούς, μὴ προσρήσεως· Ἄνεκτος ἦν ὁ γενναῖος κτλ.* (*Ἄνεκτος* est nomen proprium quarti martyris).

228, 7—10 «l. *λέγοντος ὡς «Ἴσως—ἀλλάξῃ», ἐκεῖνος κτλ.*» *K.*

229, 18 in codice esse *διακομισαμένης* (ut coniecit *K*) testatur *P.*

229, 29 verbis *κατ' ἐναντίων* finitur col. 1 et a v. *καὶ* incipit *col. 2.*

229, 30 *τὰ στρατεύματα [καὶ] ἅπαν γένος* coniecit *K*, sed *καὶ* non exstare in cod. testatur *P.*

234, 23 «l. *λεῖα;* es ist ein biblischer Ausdruck: Prov. 12, 13». *K.*

234, 26 *νεανίσκον [εἶδεν] αὐτὸν* coniecit *K.*

239, 18 calami lapsu scripsi *οἱ παρὰ τὸν Πιόνιον;* in codice legitur *οἱ περὶ τὸν Π.*

246, 33 post *φιλτάτου* inserendum esse *τέκνου* conieci dubitanter; quam coniecturam damnat *K:* «Gegen die Hinzufügung von *τέκνου* sprechen die anderen Stellen: 166, 29; 247, 13; 298, 12, 18».

248, 11 «l. *δῴη* (opt.), wie 66, 29». *K.*

252, 28—29 lege: *καὶ ὁ μέγας «Ἐτῶν — ὤν, ὧδε, Παῦλε», φησί, «μονάσαι σε κτλ.*

253, 1 «l. c. cod. *ὑπόθῃ*, cf. 88, 28 (*μετάθηται*) und 248, 37 (*διάθωμαι*)». *K.*

253, 5 «lies *ἀνάσχωνται* als conj. aor. = ind. fut., wie z. B. 267, 5 *προσενέγκωμεν = προσοίσομεν*». *K.* In codice *ἀνάσχονται* scriptum esse testatur *P.*

Pag. Vs.

270, 26 «Ich möchte die handschriftliche Lesart *διηρώτα* (subjekt *καὶ ὅς* = Maximos) beibehalten; dafür spricht auch im folgenden Satze *κάκεῖνος*, was nicht gesagt werden könnte, wenn der Heilige schon im vorhergehenden Satze Subjekt gewesen wäre; *ἅμα* ist hier Konjunktion = sobald also, vgl. Jannaris, Hist. Gr. Grammar 1794». *K.*

271, 1 «l. *πλὴν οὐκ;* ohne Negation hat der Satz keinen Sinn». *K.* Sed in codice est *οὖν*, ut dedi.

272, 4 «Tilge das Komma hinter *καρπόν*, das vom folgenden *προσδεξάμενος* abhängt, und interpungiere hinter *ἐμεγάλυνε*». *K.*

285, 16 «als Frage zu fassen, also «*Οὐχ οὕτως — εἶπον;*» *K.*

305, 6 *ἀρρώστου* commendat *K*, coll. 21, 10.

319, 6 «l. *τούτοις τε*, sie geben denen öffentliche Beweise von Freundschaft, denen sie im geheimen Fallstricke legen». *K.*

323, 9 *τῆς ἐνστάσεως* pro *τῆς ἐντάσεως* coniecit *K* collatis locis 331, 21 et 342, 35.

327, 34 «l. *οὐ σωμάτων ἆθλοι;* es handelt sich hier um den Gegensatz zwischen *σῶμα* und *ψυχή*, wie 328, 5—6». *K.*

334, 9 «l. *θαῦμα τῷ … ἀνόμοιον:* es folgte ein Wunder, das dem der 3 Jünglinge im feurigen Ofen nicht unähnlich war». *K.*

335, 29 «l. *τί δέ»; ἐκεῖνός φησιν κτλ».* *K.*

340, 35 «Die Form *ἐξωλότρευσε* ist sehr auffallend und wohl in *ἐξωλόθρευσε* zu ändern, vgl. 106, 14». *K.*

Praeterea corrigendi sunt typothetarum errores partim a Kurtzio, partim a Nikitskio, partim a me ipso deprehensi. Nempe legendum est: praef. p. VI adn. 1 v. 2: (v. infra n. 8) || praef. p. VII v. 35: 437—439 || pag. 3, 26 *ἐδόθη* || 13, 29 *πᾶσιν* || 25, 5 *ῥηθήσεσθαι* || 28, 30 *ὀλέθριος* || 32, 14 *ζῇ* || 51, 7 *ὀθόνην* || 69, 16 *μάθοιεν* || 77, 24 *φωνῇ* || 109, 10 *ἐπινόει* || 120, 11 *γεγενημένον* || 132, 28 *Φλώρου* || 139, 29 in. *ἐν* || 168, 11 *ὑποστᾶσα* || 175, 18 *πρᾶττε* || 189, 27 *ἀχυρῶνος* || 206, 9 *ἑώρα* || 226, 14 *κράζετε».* || 229 v. 30 post *κατ' ἐναντίων* pone lineolam verticalem et in margine: *col. 2* || 234, 28 lege *καθιστώσης* || 291, 18 *σπείρω* || 294, 29 cap. 1 (non 2).

Ad passionem Ss. martyrum XL.

Haec passio in appendice pp. 337—347 e codicibus Mosquensibus 377 Vl. et 389 Vl. a Novossadskio exscriptis edita exstat etiam in codice item Mosquensi 378 Vl. (de quo cf. praef. p. X). ff. 160^v—172. Quem cum Mosquae degens m. Februario a. 1912 ipse contulerim, hic lectionis varietatem propono. Titulus rubro scriptus hic est: *Μαρτύριον τῶν ἁγίων τεσσαράκοντα τοῦ χῦ μαρτύρων. εὐλ.*

P. 337 v. 7 *ἐκοιμαίνετο* || 9 *ἀλλᾶτινασ* || 10 *κἂν ἐψεύσατο* || 11 *οὗτοσ ὁ πονηρὸσ* || 16 *τῶι ἀντικειμένου* || 21 *τῶν πολιτῶ͂* || 22 *ἀνδρίαν*

P. 338 v. 11 *πλάνησ ἅμα καὶ* || 20 *ῥήματα συγκαταβῆναι* || 22 *τὰ* ante *γόνατα* om. || 29 *ἐλπιῶ ἐπ' αὐτῶι*

P. 339 v. 3 *λειποτακτήσοντι* || 5 *ἀλλ' ὁ ὑπομείνασ* || 7 *προαναστέλλον* || 8 *ἔμφοβοι ἐγένοντο* (om. *τε*) || 12 *συνήχθησαν* || 13 *ὁμαλῶς] μᾶλλον* || 20 *ἀνδρία* || 30 *κεῖται* om. || 31 *παρ' ὑμῖν*

P. 340 v. 15 *σπουδάσομεν* || 17 *ποιησόμεθα* || 26 *ἐτύχωμεν — ἐπὶ τόξωι* || 32 *ἀπελείφθημεν* (recte) || 35 *ἐξωλόθρευε*

P. 341 v. 7 *ἀφανεὶσ* || 8 *εἰσ ἀόρατοσ (om. ὁ)* || 11 *ἄλλδτι* || 19 *καὶ σκέπει* || 34 *περιμένουσαι*

P. 342 v. 4 *πρὸς ταῦτα τοσοῦτον ἀπέσχον (recte)* || 5 *ἀνδρίασ* || 6 *δ[ι]έβαλλον* || 7 *αὐτοῦ τὸν θυμὸν* || 19 *καὶ πολύ τι θάρσοσ* || 22 *συνέτριψεν* || 32 *ἐνέπλησε*

P. 343 v. 5 *ἤιραμεν* || 17 *πρὸσ οὖσ (om. τὸ)* || 20 *τῆι πεῖρα τῶν λόγω̈ ἢ τῶ̈ πραγμάτων* || 22 *τίποτε ὀῦν* || 24 *καὶ post δὴ om.* || 28 *τὸ τῆς ἀληθείασ μαρτύριον* || 31 *κατὰ μέση(ν), recte*

P. 344 v. 1 *πολὺ τὸ περιὸν* || 4 *παρακαλεῖ* || 11 *αὐτοῦ τὸ σῶμα* || 13 *ἀπορρήτων ἐκείνων ὀδυνῶν* || 15 *καὶ μιᾷ*

P. 345 v. 6 *ἐνάγάλλονται* || 25 *πρόκημαι* || 33 *παρεσκεύασασ*

P. 346 v. 11 *παρέμεινε* || 15 *εἰς] ὡσ* || 19 *τέκνον ἐμὸν* || 21 *φοβηθεὶσ* || 23 *ἀπαντήσοι* || 24 *νενίκηκας] γεγέννηκασ* || 27 *τῶν ἁγίων τοὺσ πόδασ* || 35 *καταλίπεσιν* || 37 *μᾶλλον] μόνον*

P. 347 v. 9 *μέγάτε* || 12 *σῶμα om.* || 13 *συναριθμῆσθαι* || 27 *ἀγαθὸν σωρὸν* || 30 *τῶν αἰώνων ἀμήν om.*

2. Addenda et corrigenda in fasc. II.

Pag. Vs.

6, 7 legendum est *τῶν ἁγίων εἰκόνων* ad fidem cod. Vatic. 1991 (v. infra).

7, 28 lege *αὐτίκα κελεύει προσφέρεσθαι* ex eodem codice.

17, 14 lege *τούτους προσφέρειν* ex eodem codice.

20, 14 lege *προθύμως· Θεόδοτος κτλ.*

25, 1 infra in adnotatione post «*34 διὰ* inserui» adde: (em. iam Kurtz *Виз. Врем.* VII p. 448).

48, 30 lege: *ὄμματα*»;

70, 21 pro *ἐπιγελῶν* fortasse legendum est *ἐπεγγελῶν* coll. fasc. I p. 32 v. 20 (cf. etiam *ἐγγελῶν* ibid. p. 88 v. 3).

137, 5 puto legendum esse *ὑπεμφαίνοντα*.

140, 16 pro verbo *λαβὼν*, quod est in cod. *H*, lege *λαθὼν* collato synaxario (v. Delehaye, Synax. eccl. Constantinop., col. 798).

200, 35 *ἐπιβοῇ]* an *ἐπιβολῇ*?

208 in adnot. v. 1 post «*λίθον*?» adde: cf. p. 220 v. 24.

219, 19 ante *οὐρανὸν* videtur inserendum esse *[Χριστός]*.

228, 4 pro eo quod in adnot. proposui verbo *χαιρέτω* substituendum est *ἐρρέτω*, quod legitur in Basilii Magni homilia in martyrem Iulittam (Migne, P. Gr. v. 31, col. 240, cap. 2).

231, 8 pro *νεκρὸς*, quod est in codice, videtur legendum esse *νεαρός* coll. p. 315 v. 12.

Quod superest, rogatos velim lectores benevolos, ut typothetarum errores manifestos corrigant. Legendum est p. 4 v. 4 infra (in adn.) *κεφαλάς* || 20, 27 *ἅγιος* || 21, 22 *ταὐτὸ* || 26, 28 *μάρτυρα* posito accentu || 28, 14 *[δίδωσιν]* || 29, 15 *παρεσάλευσεν* || 130, 32 *κλέμματος* || 197, 24–25 *γινώσκον|τος* || 206, 1 *κδ´* || 219, 16 *τὸ ζῆν;*» || 244, 37 *τὸ πάντιμον* || 255, 4 *Νοδοβελ* || 257 nota «*col. 2*», quam typotheta versui 9 falso apposuit, transferenda est ad v. 2 || 262, 31 lege *ἐπαγωγάς;* || 280, 8 *συγγενεῖς·* || 283, 16 *εἶποις* posito accentu || 290, 19 *ἄρχων*, || 302, 6 *ἐδείκνυτο*, ||

303, 18 *ΚΥΖΙΚΩι* || 310, 19 *διαδέξονται* || 312, 24 *καὶ* || 325, 11—12 *δια-|σώζει* || 325, 26 *ταῖς* || 330—333 supra lege *AETHIOPIS.* || 337, 4 et 6 commata post *ταύτην* et post *ξίφους* delenda || 346, 4 lege 160 pro 159 || 350, 20 lege *τοιγαροῦν* || 354, 5 *ἀνα-γραφάς* || 359, 5 *ἐπιζητεῖν;* || ibid. 34 *αὐτὸν* || 362, 34—35 *πνεύ|ματι* || 363 adn. v. 4 *ὑπομένει* || 366, 15 *οἱ* || 375, 11 *διέξεισι* || 376, 8 *προσμεῖναι* || ibid. in adnot. v. 3 pro 29 pone 31 || 381, 25 lege *ὑπειδομένη* || 398, 9 *ἠγέρθη* posito accentu || 393, 14 *διαφερόντως* || 408, 26 *ἐλεύσῃ*

Variae lectiones

e codicis Vaticani 1991 foliis 129ᵛ—134, continentibus partes vitarum et passionum Ss. Nicephori, Lucilliani, martyrum X Aegyptiorum, Dorothei (cf. praef. p. VI):

P. 6 v. 1 *ἐκμετρισάντων* || 7 *τῶν ἁγίων εἰκόνων* || 8 *in textu ὁ χρόνοσ pro ἡ ἡμέρα, supra lineam adscriptis vocibus ἡ ἡμέ(ρα)* || 23 *κακώσησ* || 29 *ἀποστόλοισ καὶ δικαίοισ* || 30 sqq. *συγχωρευ|ονται καὶ συναγαλλόμ(ενοσ) μέμνησο πάντων ἡμῶν καὶ υἱοὺσ ἡμέρασ ποίησον τῆσ ἀνεσπέρου, λαμπροῖσ καλλυνομένουσ καὶ θείοισ ἔργοισ + ὅτι Χ(ριστ)ῷ τῷ θ(ε)ῷ ἡμῶν πρέπει ἡ δόξα εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων. ἀμήν.*

P. 7 v. 2—4 *titulus: Μαρτύριον τοῦ ἁγίου μ(ά)ρ(τυρος) λουκιλλιανοῦ, παύλης κ(αὶ) τ(ῶν) σὺν αὐτ(οῖς)* || 5 *αὐριλλιανοῦ* || 9 *αὐτοὺσ ἐθέλειν* || 14 *φησὶν exstat in codice* || 23—24 *αὐτίκα κελεύει προσφέρεσθαι ναὶ δὴ καὶ λουκιλλιανὸν τὸν κλεινὸν κτλ.* || 28 *λουκιλλιανὸσ σὺν ἐκείνοισ διῆγ(εν)*

P. 8 v. 1—2 *ἄγεσθαι κελεύει τὸν δίκαιον om.* || 10 *ὡσ βούλει* || 14 *καὶ κατα γ(ῆς)* || 18 *καταξαίνουσιν + δυρ* | *Ὁ δὲ καὶ κτλ.* || 29 *προσεπτύσσο|το*

P. 9 v. 1 *τῇ αὔριον] ῇ τ ἑξῆσ*

P. 16 v. 26 *δ*[δ]|*διττόμεθα*

P. 17 v. 8 *pro ξίφος legitur ξίφει (= ξίφη)* || 13 *ἐφεκάστησ* || 14 *τούτουσ προσφέρειν* || 15 *πολυειδεῖσ εἰσ ὑμῶν ἀπόλαυσιν ἀρνήσασθε κτλ.* || 17 *τὴν ante σωτηρίαν om.* || 18 *ὁμολόγουν* || 21 *ψαλμοὶ* || 23 *ἐνταλαιπορούμενοι* || 24 *παραλυθέντεσ* || 29 sqq. *epilogus: ... ἐμφιλοχωρεῖτε σκηναῖσ, κατατρυφῶντεσ τῶν αἰωνίων ἀγαθῶν, ὧν γένοιτο καὶ ἡμᾶσ πάντασ ἐπιτυχεῖν χάριτι καὶ φιλαν(θρωπ)ίᾳ τοῦ κυρίου ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ, μεθ' οὗ τῷ π(ατ)ρὶ πρέπει δόξα, τιμὴ ̓ς προσκύνησις ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ πν(εύματ)ι νῦν καὶ ἀεὶ καὶ εἰσ τ(οὺς) αἰῶν(ας) τ(ῶν) αἰών(ων). ἀμήν.*

P. 18 v. 5 *καταχριστιανῶν* || 7—8 *ἐγνωρίζετο + | Ἀνὴρ — διαφέρων ἦν + πάσαν κτλ.* || 12 *μνημόσυνον βέλτιστον*

303, 18 *ΚΥΖΙΚΩι* || **310, 12** *διαδέξονται* || **312, 24** *καὶ* || **325, 11—12** *δια-|σώζει* || **325, 26** *ταῖς* || **330—333 supra lege** *AETHIOPIS.* || **337, 4 et 6 commata post** *ταύτην* **et post** *ξίφους* **delenda** || **346, 4 lege 160 pro 159** || **350, 20 lege** *τοιγαροῦν* || **354, 5** *ἀναγραφάς* || **359, 5** *ἐπιζητεῖν;* || **ibid. 34** *αὐτὸν* || **362, 34—35** *πνεύ|ματι* || **363 adn. v. 4** *ὑπομένει* || **366, 15** *οἱ* || **375, 11** *διέξεισι* || **376, 8** *προσμεῖναι* || **ibid. in adnot. v. 3 pro 29 pone 31** || **381, 25 lege** *ὑπειδομένη* || **398, 9** *ἠγέρθη* **posito accentu** || **393, 14** *διαφερόντως* || **408, 26** *ἐλεύσῃ*

Variae lectiones

e codicis Vaticani 1991 foliis 129ᵛ—134, continentibus partes vitarum et passionum Ss. Nicephori, Lucilliani, martyrum X Aegyptiorum, Dorothei (cf. praef. p. VI):

P. 6 v. 1 *ἐκμετρισάντων* || 7 *τῶν ἁγίων εἰκόνων* || 8 ***in textu*** *ὁ χρόνοσ* ***pro*** *ἡ ἡμέρα,* ***supra lineam adscriptis vocibus*** *ἡ ἡμέ(ρα)* || 23 *κακώσησ* || 29 *ἀποστόλοισ καὶ δικαίοισ* || 30 **sqq.** *συγχωρευ|ονται καὶ συναγαλλόμ(ενοσ) μέμνησο πάντων ἡμῶν καὶ υἱοὺσ ἡμέρασ ποίησον τῆσ ἀνεσπέρου, λαμπροῖσ καλλυνομένουσ καὶ θείοισ ἔργοισ + ὅτι Χ(ριστ)ῷ τῷ θ(ε)ῷ ἡμῶν πρέπει ἡ δόξα εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων. ἀμήν.*

P. 7 v. 2—4 ***titulus:*** *Μαρτύριον τοῦ ἁγίου μ(ά)ρ(τυρος) λουκιλλιανοῦ, παύλης κ(αὶ) τ(ῶν) σὺν αὐτ(οῖς)* || 5 *αὐριλλιανοῦ* || 9 *αὐτοὺσ ἐθέλειν* || 14 *φησὶν* ***exstat in codice*** || 23—24 *αὐτίκα κελεύει προσφέρεσθαι ναὶ δὴ καὶ λουκιλλιανὸν τὸν κλεινὸν κτλ.* || 28 *λουκιλλιανὸσ σὺν ἐκείνοισ διῆγ(εν)*

P. 8 v. 1—2 *ἄγεσθαι κελεύει τὸν δίκαιον* ***om.*** || 10 *ὡσ βούλει* || 14 *καὶ κατα γ(ῆς)* || 18 *καταξαίνουσιν + ὅν* | *Ὁ δὲ καὶ κτλ.* || 29 *προσεπτύσσο|το*

P. 9 v. 1 *τῇ αὔριον]* *ἢ τ ἑξῆσ*

P. 16 v. 26 *δ|διττόμεθα*

P. 17 v. 8 ***pro*** *ξίφος* ***legitur*** *ξίφει (= ξίφη)* || 13 *ἐφεκάστησ* || 14 *τούτουσ προσφέρειν* || 15 *πολυειδεῖσ εἰσ ὑμῶν ἀπόλαυσιν ἀρνήσασθε κτλ.* || 17 *τὴν* ***ante*** *σωτηρίαν* ***om.*** || 18 *ὁμολόγουν* || 21 *ψαλμοὶ* || 23 *ἐνταλαιπορούμενοι* || 24 *παραλυθέντεσ* || 29 **sqq.** ***epilogus:*** *... ἐμφιλοχωρεῖτε σκηναῖσ, κατατρυφῶντεσ τῶν αἰωνίων ἀγαθῶν, ὧν γένοιτο καὶ ἡμᾶσ πάντασ ἐπιτυχεῖν χάριτι καὶ φιλαν(θρωπ)ίᾳ τοῦ κυρίου ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ, μεθ' οὗ τῷ π(ατ)ρὶ πρέπει δόξα, τιμὴ ˋς προσκύνησις ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ πν(εύματ)ι νῦν καὶ ἀεὶ καὶ εἰσ τ(οὺς) αἰῶν(ας) τ(ῶν) αἰών(ων). ἀμήν.*

P. 18 v. 5 *καταχριστιανῶν* || 7—8 *ἐγνωρίζετο +* | *Ἀνὴρ — διαφέρων ἦν + πάσαν κτλ.* || 12 *μνημόσυνον βέλτιστον*

Codicis Hierosolym. № 17 folium 1.

Цѣна 3 руб. 15 коп.; Prix 7 Mrk.

Продается въ Книжномъ Складѣ Императорской Академіи Наукъ и у ея коммиссіонеровъ:

И. И. Глазунова и К. Л. Риккера въ С.-Петербургѣ, Н. П. Карбасникова въ С.-Петербургѣ, Москвѣ, Варшавѣ и Вильнѣ, Н. Я. Оглоблина въ С.-Петербургѣ и Кіевѣ, Н. Киммеля въ Ригѣ, Фоссъ (Г. В. Зоргенфрей) въ Лейпцигѣ, Люзакъ и Комп. въ Лондонѣ.

Commissionnaires de l'Académie Impériale des Sciences:

J. Glasunov et C. Ricker à St.-Pétersbourg, N. Karbasnikov à St.-Pétersbourg, Moscou, Varsovie et Vilna, N. Ogloblin à St.-Pétersbourg et Kief, N. Kymmel à Riga, Voss' Sortiment (G. W. Sorgenfrey) à Leipsic, Luzac & Cie à Londres.